Η

ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

ΜΕΤΑ

ΥΠΟΜΝΗΜΑΤΩΝ ΑΡΧΑΙΩΝ,

ΕΚΔΙΔΟΜΕΝΗ

ΥΠΟ

ΘΕΟΚΛΗΤΟΥ ΦΑΡΜΑΚΙΔΟΥ.


ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΑ

ΚΑΤΑ ΜΑΡΚΟΝ, ΛΟΥΚΑΝ ΚΑΙ ΙΩΑΝΝΗΝ

ΕΥΑΓΓΕΛΙΑ.



ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΓΓΕΛΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ Τῌ ΚΑΠΝΙΚΑΡΕΑ.

1842.

ΕΥΘΥΜΙΟΥ ΤΟΥ ΖΙΓΑΒΗΝΟΥ

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑ

ΤΕΣΣΑΡΑ ΕΥΑΓΓΕΛΙΑ.


ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΑ

ΚΑΤΑ ΜΑΡΚΟΝ, ΛΟΥΚΑΝ ΚΑΙ ΙΩΑΝΝΗΝ

ΕΥΑΓΓΕΛΙΑ.



ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΓΓΕΛΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤΗ ΚΑΠΝΙΚΑΡΕΑ

1842.

Ἐξῆλθε τῶν τυπογραφικῶν πιεστηρίων καὶ ὁ Β′ τόμος τῆς καινῆς Διαθήκης, βραδύτερον μὲν, ἢ ὅσον ἔδει, διά τινας περιςάσεις ἀνωτέρας τοῦ ἀνθρώπου, καὶ παχύτερος ἢ ὅσον ἐξ ἀρχῆς ἐλογίσθη. Περιέχει δὲ τὰ τρία λοιπὰ ἱερὰ **Εὐαγγέλια**. Ἐλπίζεται, ὅτι οἱ ἄλλοι τόμοι θέλουσιν ἐκδίδεσθαι ταχύτερον.

Ὅσοι κατεγράφησαν συνδρομηταὶ, παρακαλοῦνται, λαμβάνοντες ἕκαστον τόμον, νὰ καταβάλλωσιν ἀμέσως καὶ τὴν τιμὴν αὐτοῦ, ἤτοι δραχμὰς ἕξ, πρὸς ἀπάντησιν τῆς πολλῆς δαπάνης. Ἐξ οἰκείας, ὡς νομίζομεν, προαιρέσεως, διὰ τὴν ἐκ τοῦ ἱεροῦ συγγράμματος ψυχοσωτήριον ὠφέλειαν, κατεγράφησαν συνδρομηταί· ἐξ οἰκείας προαιρέσεως ὀφείλουσι νὰ καταβάλλωσι καὶ τὴν τόσον μετρίαν τιμήν.

Ἐν Ἀθήναις 1842. Αὐγούστου 29.

Θ. ΦΑΡΜΑΚΙΔΗΣ.

ΕΡΜΗΝΕΙΑ
ΤΟΥ
ΚΑΤΑ ΜΑΡΚΟΝ ΕΥΑΓΓΕΛΙΟΥ.

ΜΑΡΚΟΣ ὁ εὐαγγελιστὴς, υἱὸς μὲν γέγονε Μαρίας, τῆς δεξιωσαμένης ἐν τῇ ἑαυτῆς οἰκίᾳ τοὺς ἀποστόλους· ἐκαλεῖτο δὲ καὶ Ἰωάννης, ὡς ἐν ταῖς Πράξεσι (α) τῶν ἀποστόλων εὑρίσκομεν. « Συνιδὼν γάρ, φησιν, ὁ Πέτρος ἦλθεν ἐπὶ τὴν οἰκίαν τῆς μητρὸς Ἰωάννου, τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι. » Καὶ καταρχὰς μὲν συνείπετο Βαρνάβᾳ, τῷ θείῳ αὐτοῦ, καὶ Παύλῳ, καθὼς ἥ τε βίβλος τῶν Πράξεων παριστᾷ (β), καὶ Παῦλος, ἐν ἐπιςολαῖς μνήμην αὐτοῦ ποιούμενος, τῇ τε πρὸς Κολασσαεῖς (γ) καὶ τῇ πρὸς Τιμόθεον δευτέρᾳ (δ)· εἶτα τῷ Πέτρῳ συνῆν ἐν Ῥώμῃ, ὡς ἡ πρώτη αὐτοῦ ἐπιστολὴ δείκνυσιν, ἐν ᾗ καὶ υἱὸν αὐτοῦ κατὰ πνεῦμα τὸν Μάρκον οὗτος ὠνόμασε (ε), παρ' οὗ καὶ ὅλον τὸν τοῦ εὐαγγελίου λόγον ὁ Μάρκος μεμάθηκεν. Ἔπειτα συνεγράψατο τὸ εὐαγγέλιον, ὡς μὲν ἱστορεῖ Κλήμης ὁ Στρωματεὺς (1), ἐν αὐτῇ τῇ Ῥώμῃ, κατὰ δὲ τὸν Χρυσόστομον (2), ἐν Αἰγύπτῳ, παρακληθεὶς ὑπὸ τῶν ἐκεῖ πιστῶν, μετὰ ἔτη δέκα τῆς τοῦ Σωτῆρος ἀναλήψεως. Συμφωνεῖ δὲ τῷ Ματθαίῳ λίαν, πλὴν ὅσον ἐκεῖνός ἐστι πλατύτερος. Χρὴ δὲ καθόλου γινώσκειν, ὡς οἱ εὐαγγελισταὶ ποτὲ μὲν κατὰ τάξιν ἀπαγγέ-

(α) Πραξ. ΙΒ', 12.
(β) Πραξ. ΙΒ', 25. ΙΕ', 37. 39.
(γ) Κολοσ. Δ', 10.
(δ) Β' Τιμ. Δ', 11.
(ε) Α' Πέτρ. Ε', 13.

(1) Ἐν τῷ ἕκτῳ τῶν Ὑποτυπώσεων λόγῳ κατα τὸν εἰς τὸν Μάρκον πρόλογον τοῦ Σωφρονίου.
(2) Τομ. Ζ'. Σελ. 7. Β.

λουσι τὰς διδασκαλίας καὶ τὰ θαύματα τοῦ Χριστοῦ, νόμῳ ἱστορίας· ποτὲ δὲ, οὐ τηροῦσι τάξιν, σπεύδοντες εἰς μόνον τὸ ἀπαγγέλλειν αὐτά.

ΚΕΦ. Ι, 1 Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ,
2 υἱοῦ τοῦ θεοῦ. Ὡς γέγραπται ἐν τοῖς προφήταις·

Ε*ὐαγγέλιον* νῦν ὁ Μάρκος, τὴν καινὴν Διαθήκην, τὴν νέαν νομοθεσίαν τοῦ Χριστοῦ κέκληκε· διὰ τί δὲ οὕτως αὐτὴν ὠνόμασεν, εἴρηται ἐν τῷ προοιμίῳ τῆς ἐξηγήσεως τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, ἔνθα περὶ τῆς ἐπιγραφῆς τῶν εὐαγγελίων προδιείληπται. Φησὶ δὲ ὁ παρὼν εὐαγγελιστὴς, ὅτι ἀρχὴ τῆς νέας νομοθεσίας Χριστοῦ οὕτω γέγονεν, ὡς γέγραπται ἐν τοῖς προφήταις· λέγει δὲ Μαλαχίαν καὶ Ἡσαΐαν. Εἶτα τίθησι καὶ τὰ ῥητὰ τῶν προφητῶν, ἵνα μάθῃς, ὅτι τοιαύτη ἀρχὴ τοῦ εὐαγγελίου γέγονεν, οἵαν ταῦτά φασιν. Ταῦτα δέ φασιν, ἀρχὴν αὐτοῦ γενήσεσθαι τὸν Ἰωάννην, ὡς ἀναπτυσσόμενα δείξουσιν. Ἐπεὶ γὰρ πάντες οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προεφήτευσαν, κατὰ τὸν τοῦ Κυρίου λόγον (α), ἔδει τοῦτον, τέλος ὄντα τῆς Παλαιᾶς, ἀρχὴν γενέσθαι τῆς Νέας. Ἀλλὰ διαιρετέον ἰδίᾳ τῶν δύο προφητῶν τὰ ῥητά.

2 «Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου·

Μαλαχίου μὲν τὸ ῥητόν· εἴρηται δὲ περὶ τούτου σαφῶς ἐν τῇ ἐξηγήσει τοῦ εἰκοστοῦ κεφαλαίου τοῦ κατὰ Ματθαῖον εὐαγγελίου· καὶ περιττὸν τὰ αὐτὰ πάλιν εἰς μέσον ἄγειν.

3 Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.»

[**Ε**τοιμάζει (1) μὲν τὴν ὁδὸν Κυρίου, ὁ τὴν ἀρετὴν ἐργαζόμενος· οὐκ εὐθείας δὲ ποιεῖ τὰς τρίβους αὐτοῦ, ὁ μὴ πρὸς εὐαρέστησιν θεοῦ, ἀλλὰ δι' ἀνθρωπαρέσκειαν, ἤ τινα σκοπὸν οὐκ ἀγαθὸν, ταύτην ἐργαζόμενος. Οὗτος τὸν μὲν πόνον τῆς ἑτοιμασίας ὑφίσταται· τὸν δὲ θεὸν οὐκ ἔχει ταῖς τοιαύταις τρίβοις ἐμπεριπατοῦντα.]

(α) Ματθ. ΙΑ', 13.

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις·

Τοῦτο τοῦ Ἡσαΐου ἐστίν· ἡρμήνευται δὲ καὶ τοῦτο πάλιν ἐν τῇ ἐξηγήσει τοῦ τρίτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, καὶ ζήτει ἐκεῖ. Τὰ μὲν οὖν προφητικὰ ταῦτα ῥητὰ συμφώνως κεκράγασιν, ὅτι ὁ Ἰωάννης προοδεύσει τοῦ Χριστοῦ, καὶ εὐτρεπίσει αὐτῷ τὴν ὁδὸν τοῦ εὐαγγελίου, καὶ ὅτι ἐντεῦθεν ἔσται ἀρχὴ τῆς νέας νομοθεσίας. Γέγονε δὲ πάντα οὕτως. Ὁ γὰρ Ἰωάννης πρὸ τοῦ Σωτῆρος ἐλθὼν ἐπὶ τὸν Ἰορδάνην, καὶ κηρύξας μετάνοιαν, ὤρυξεν ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων τόπους θεμελίων· παραγενόμενος δὲ ὁ Χριστὸς, ἐνέβαλε τὰ θεμέλια τῆς πίστεως, καὶ ᾠκοδόμησε τὴν νέαν νομοθεσίαν. Εἰπὼν δὲ ὁ Μάρκος· ὅτι *Ἀρχὴ τοῦ εὐαγγελίου* οὕτω γέγονεν, *ὡς γέγραπται ἐν τοῖς προφήταις*· εἶτα παραγαγὼν καὶ τὰ προφητικὰ ῥητὰ, λοιπὸν ἐπιχειρεῖ ἀποδεικνύειν, ὃ προέθετο, καὶ ἄρχεται λέγειν τὰ κατὰ τὸν Ἰωάννην, ὅπως ἦλθεν ἐπὶ τὸν Ἰορδάνην, ὅπως ἐκήρυξε, καὶ ἁπλῶς, ὅπως ἡ ἀρχὴ τοῦ εὐαγγελίου γέγονεν. Ἐπεὶ δὲ ὁ Μάρκος ἄγαν συμφωνεῖ τῷ Ματθαίῳ, καθὼς ἐν προοιμίοις ἐπεσημηνάμεθα, ὅσα μὲν ἐν ἐκείνῳ διηρμηνεύθη, παρήσομεν, ὡς ἤδη σαφηνισθέντα, τοῦτο μόνον σημειούμενοι ἐφ' ἑκάστῳ τούτων, ὅτι προείρηται περὶ τούτου ἐν τῷ δεῖνι κεφαλαίῳ· σὺ δὲ αὐτίκα ζήτησον ἐκεῖνο τὸ κεφάλαιον, καὶ ἀνάγνωθι τοῦτο μέχρις ἂν εὑρήσεις τὸ ζητούμενον. Ὅσα δὲ παραλλάττει, ταῦτα λοιπὸν ἀγάγωμεν εἰς ἐξήγησιν. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἑξῆς εὐαγγελιστῶν.

4 Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.

Ε*γένετο*, ἀντὶ τοῦ, ἦν. Ἀλλ' ὅτι μὲν οὗτος κατήγγελλε βά-

πτισμα μετανοίας, δῆλον, ἀφ᾿ ὧν τε ἔλεγεν, ἀφ᾿ ὧν τε ἔπραττεν· ἐντελλόμενος γὰρ μετανοεῖν, ἐβάπτιζε τοὺς μετανοοῦντας. Ὅτι δὲ τὸ βάπτισμα, ὃ ἐβάπτιζεν, οὐ παρεῖχεν ἄφεσιν ἁμαρτιῶν, ὁμοίως φανερόν· τὸ μὲν γὰρ Ἰωάννου βάπτισμα, μετανοίας ἦν μόνον· τὸ δὲ τοῦ Χριστοῦ, τοῦτο ἦν ἀφέσεως. Καὶ τούτων τὴν διαφορὰν αὐτὸς ὁ πρόδρομος ἐδίδαξεν εἰπών· *Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι*, δηλαδὴ, ψιλῷ· *αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ* (α)· πρὸ γὰρ τοῦ Σωτῆρος οὐδαμοῦ φαίνεται δοθεῖσα ἄφεσις ἁμαρτιῶν, ἀλλ᾿ αὐτὸς πρῶτος ὁ Χριστὸς τοῦτο τὸ δῶρον ἐχαρίσατο, διά τε ἑαυτοῦ καὶ διὰ τοῦ ἰδίου βαπτίσματος. Δῆλον οὖν, ὅτι τὸ βάπτισμα Ἰωάννου προπαρασκευὴ ἦν τῆς ἀφέσεως τῶν ἁμαρτιῶν. Δεῖ γὰρ τὸν ἁμαρτωλὸν μετανοῆσαι πρῶτον, εἶτα τυχεῖν ἀφέσεως.

Ἀλλ᾿ ἴδωμεν αὖθις, τί φησιν ὁ εὐαγγελιστής. *Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν*. Οὐκ εἶπε, Καὶ ἀφέσεως ἁμαρτιῶν, ἵνα μὴ νομίσῃς, ὅτι τὸ τοιοῦτον βάπτισμα παρεῖχε καὶ ἄφεσιν· ἀλλὰ προσέθηκεν, ὅτι *Εἰς ἄφεσιν ἁμαρτιῶν*, τουτέστι διὰ ἄφεσιν. Ἐκήρυσσε γὰρ μετάνοιαν ἕνεκεν ἀφέσεως, ἵνα τῇ μετανοίᾳ καταγνόντες ἑαυτῶν, καὶ κατανυγέντες, ἐφ᾿ οἷς ἥμαρτον, ζητήσωσι θερμῶς τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ φανέντι προσδράμωσι, καὶ λάβωσι παρ᾿ αὐτοῦ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν.

5 Καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται· καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ᾿ αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

Ταῦτα προηρμηνεύθησαν ἐν τῇ ἐξηγήσει τοῦ δηλωθέντος τρίτου κεφαλαίου.

(α) Μαρκ. Α', 8.

6 Ἦν δὲ ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον.

Καὶ ταῦτα ἐν τῇ ἐξηγήσει τοῦ αὐτοῦ κεφαλαίου ἐσαφηνίσθησαν. Ἐνεδύδετο δὲ τρίχας καμήλου, οὐχὶ ἀκατεργάστους, ἀλλ᾿ ὑφηφασμένας. Εἴρηκε γὰρ ὁ Ματθαῖος· ὅτι *εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου* (α). Τὸ δὲ, *ἐνδεδυμένος*, ἐξακούεται καὶ εἰς τὸ, *καὶ ζώνην δερματίνην*.

7 Καὶ ἐκήρυσσε, λέγων· Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ.

[*Τὸν ἱμάντα* (1). Γρηγορίου τοῦ Θεολόγου (2). Τί δὲ ὁ σφαιρωτὴρ τοῦ ὑποδήματος, ὃν οὐ λύεις, ὦ βαπτιστά; (3) Τυχὸν (4) ὁ τῆς ἐπιδημίας λόγος καὶ τῆς σαρκὸς, οὗ μηδὲ τὸ ἀκρότατον εὐδιάλυτον.]

Εἴρηται μὲν τοῦτο, καὶ διὰ τὴν ὑπερβάλλουσαν ὑπεροχὴν τοῦ κηρυσσομένου, ὡς ἐν τῷ εἰρημένῳ κεφαλαίῳ παραδεδώκαμεν. Φασὶ δέ τινες, *ὑποδήματα* μὲν νοεῖσθαι, τὴν σάρκα, ἣν ὑποδὺς ἐφόρεσεν ὁ υἱὸς τοῦ θεοῦ· *ἱμάντα* δὲ, τὸν ἀπόῤῥητον λόγον τῆς ἑνώσεως αὐτῆς, οἷον, πῶς μεμενήκασιν αἱ φύσεις ἀσύγχυτοι, καὶ τὰ τοιαῦτα· κατὰ δὲ τὴν φανερὰν ἑρμηνείαν, *ἱμάντα* λέγει τὸν ἐκ λώρου δεσμόν. Ἔστι δὲ ἡ τοῦ ῥητοῦ σύνταξις οὕτως· Οὗτινος αὐτοῦ τὸν ἱμάντα τῶν ὑποδημάτων οὐκ εἰμὶ ἱκανὸς λῦσαι κύψας. Κύπτει γὰρ, ὁ λῦσαι τοῦτον βουλόμενος. *Ὑποδήματα* δὲ λέγει τὰ σανδάλια. Τὸ δὲ, *οὗτινος αὐτοῦ*, σύνηθες παρ᾿ Ἑβραίοις, ὡς τό· *Οὗ ἀρᾶς*

(α) Ματθ. Γ', 4.

(1) Ταῦτα παρ᾿ ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

(2) Γρηγ. Ναζ. Σελ. 236.

(3) Παρὰ τῷ Γρηγορίῳ· λύεις ὁ βαπτίζων Ἰησοῦν;

(4) Πρὸ τοῦ, τυχὸν, προστίθενται ἄλλα.

τὸ στόμα αὐτοῦ γέμει (α). Ὁμοίως δὲ καὶ τό· *Ὧτινι αὐτῷ*, ὡς τό· *Μακάριος ἀνὴρ, ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ* (β).

8 Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι· αὐτὸς δὲ βα-
πτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ.

Ὁμοίως καὶ περὶ τούτου προείρηται ἐν τῷ δηλωθέντι κεφαλαίῳ.

9 Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν Ἰη-
σοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη
ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην.

Τὸ, *Καὶ ἐγένετο*, σύνηθές ἐστι πρόσρημα τοῖς Ἑβραίοις. *Καὶ ἐγένετό*, φησιν, *ἐν ἐκείναις ταῖς ἡμέραις* (1). Εἶτα ἄρχεται λέγειν, τί ἐγένετο. Ἡμέρας δὲ νῦν φησιν, ἐν αἷς ἐκήρυσσε τὸ βάπτισμα τῆς μετανοίας ὁ Ἰωάννης. Εἴρηται δὲ καὶ περὶ τῶν ἑξῆς ἐν τῷ ῥηθέντι κεφαλαίῳ. Ἀλλὰ Ματθαῖος μὲν ἁπλῶς *ἀπὸ τῆς Γαλιλαίας* εἶπε (γ)· Μάρκος δὲ ἰδικώτερον καὶ τὴν πόλιν, ἐν ᾗ διέτριβε, προσέθηκε.

10 Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχι-
ζομένους τοὺς οὐρανοὺς, καὶ τὸ Πνεῦμα ὡσεὶ πε-
ριστερὰν, καταβαῖνον ἐπ᾽ αὐτόν.

Καὶ περὶ τούτων εὑρήσεις ἐν τῷ τοιούτῳ κεφαλαίῳ. Ἀλλὰ Ματθαῖος μὲν (δ), καὶ Λουκᾶς (ε) ἀνοιγῆναί, φασι, τοὺς οὐρανούς· οὗτος δὲ, σχισθῆναι· εἰσὶ δὲ ταὐτά.

11 Καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν· Σὺ εἶ ὁ υἱός
μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.

Ἐν τῷ κατὰ Ματθαῖον μὲν, *Οὗτός ἐστιν ὁ υἱός μου* (ζ), γέγραπται· Μάρκος δὲ καὶ Λουκᾶς, *Σὺ εἶ ὁ υἱός μου*, γράφουσι (η). Τί οὖν ἐροῦμεν; Οὐδὲν ἕτερον, ἢ ὅπερ ἐν τῷ κατὰ Ματθαῖον

(α) Ψαλμ. Θ΄, 28.
(β) Ψαλμ. ΠΓ΄, 6.
(1) Παρὰ τῷ Β:—ἡμέραις τάδε. Εἶτα.
(γ) Ματθ. Γ΄, 13.
(δ) Ματθ. Γ΄, 16.
(ε) Λουκ. Γ΄, 21.
(ζ) Ματθ. Γ΄, 17.
(η) Λουκ. Γ΄, 22.

εἰρήκαμεν, ὅτι οἱ εὐαγγελισταὶ ποτὲ μὲν, ἀκεραίων τῶν τοιού-
των ῥητῶν ἀπομνημονεύουσι· ποτὲ δὲ, τὴν μὲν τοῦ ῥητοῦ διά-
νοιαν ὁλόκληρον ἀποσώζουσι, λέξεις δέ τινας ἀπαρατηρήτως
ὑπαλλάττουσιν, ὅταν οὐδέν τι μέλλοι τῷ λόγῳ τούτῳ λυμαί-
νεσθαι, τῆς ἀντεισαχθείσης λέξεως ταὐτὸν σημαινούσης. Δει-
κτικὰ γὰρ ἄμφω, καὶ τὸ, *οὗτος*, καὶ τὸ, *σύ*. Αὖθις οὖν τοῦ
Ματθαίου μὲν καὶ τοῦ Μάρκου γραψάντων· *Ἐν ᾧ εὐδόκησα* (α)·
ὁ Λουκᾶς· *Ἐν σοὶ εὐδόκησα*, εἴρηκε (β). Καὶ τοῦτο κανὼν
ἔστω σοι καθολικὸς ἐπὶ τῶν τοιούτων πάντων.

12 Καὶ εὐθὺς τὸ Πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρη-
13 μον. Καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαρά-
κοντα, πειραζόμενος ὑπὸ τοῦ σατανᾶ·

Εἴρηται καὶ περὶ τούτων ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ
Ματθαῖον. Ἀλλ᾽ ἐκεῖνος μὲν, ἔτι δὲ καὶ Λουκᾶς, *ὑπὸ τοῦ
διαβόλου*, εἶπον (γ)· Μάρκος δὲ, *ὑπὸ τοῦ σατανᾶ*. Πολυω-
νύμου γὰρ ὄντος τοῦ δαίμονος, καὶ ἀφ᾽ ἑκάστης αὐτοῦ κακίας
ὀνομαζομένου, τὸ μὲν, οὗτοι· τὸ δὲ, οὗτος εἰρήκασι.

Λέγεται δὲ *σατανᾶς*, ὁ ἀντικείμενος· ἀντίκειται γὰρ ὁ
δαίμων τῷ θεῷ, τὰ ἐναντία νομοθετῶν.

13 Καὶ ἦν μετὰ τῶν θηρίων·

Ματθαῖος μὲν καὶ Λουκᾶς (δ) καὶ τὰ εἴδη τῶν πειρασμῶν
αὐτοῦ ἀνέγραψαν· ὁ δὲ Μάρκος, φιλοσύντομος ὢν ὑπὲρ τοὺς
ἄλλους, ἠρκέσθη τῷ εἰπεῖν· ὅτι *Καὶ ἦν πειραζόμενος*· ἐν τού-
τῳ γὰρ καὶ τὰ εἴδη συμπεριέλαβεν. Ἦν δὲ *μετὰ τῶν θηρίων*,
διά τε τὴν ἄγαν ἐρημίαν τοῦ τόπου, καὶ ἵνα μάθῃς, ὅτι ὁ
φυλάττων τὸ ἀξίωμα τῆς ψυχῆς, φοβερὸς μᾶλλον τοῖς θηρίοις
ἐστίν. Ἄρχειν γὰρ πάντων αὐτῶν πρὸ τῆς παρακοῆς ὁ ἄνθρω-
πος ἐκελεύσθη.

(α) Ματθ. Γ΄, 17.
(β) Λουκ. Γ΄, 22.
(γ) Ματθ. Δ΄, 1. Λουκ. Δ΄, 2.
(δ) Ματθ. Δ΄, 3 καὶ ἑξ. Λουκ. Δ΄, 3 καὶ ἑξῆς.

13 **Καὶ** οἱ ἄγγελοι διηκόνουν αὐτῷ.

Μετὰ τοὺς πειρασμοὺς δηλονότι, καὶ μετὰ τὴν κατὰ τοῦ πειραστοῦ περιφανῆ νίκην, ὡς ὁ Ματθαῖος ἐπεσημήνατο.

14 Μετὰ δὲ τὸ παραδοθῆναι τὸν Ἰωάννην, ἦλθεν ὁ
Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, κηρύσσων τὸ εὐαγγέλιον
τῆς βασιλείας τοῦ θεοῦ·

Εἴρηται καὶ περὶ τούτων ἐν τῷ αὐτῷ κεφαλαίῳ. *Εὐαγγέλιον δὲ τῆς βασιλείας τοῦ θεοῦ* νῦν, τὴν καινὴν Διαθήκην λέγει, ὡς μηνύουσαν περὶ τῆς βασιλείας τοῦ θεοῦ, ἢ ὡς εἰσάγουσαν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.

15 **Καὶ** λέγων· Ὅτι πεπλήρωται ὁ καιρός·

Ο καιρὸς ὁ ἀφορισθεὶς παρὰ θεοῦ τῇ πολιτείᾳ τῆς παλαιᾶς Διαθήκης, περὶ οὗ φησιν ὁ ἀπόστολος· ὅτι *Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ* (α).

15 **Καὶ** ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ·

Ηγγικεν, ἵνα βασιλεύσῃ τῶν πιστευόντων, ὡς ἡρμηνεύθη φανερώτερον ἐν τῷ δηλωθέντι κεφαλαίῳ.

15 Μετανοεῖτε, καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ.

Πάλιν *εὐαγγέλιον* ἐνταῦθα, τὴν καινὴν Διαθήκην ὠνόμασε, παραινῶν, ὅτι πιστεύετε τῇ καινῇ Διαθήκῃ, ἤγουν, ὡς αὕτη ὑποτίθησι.

16 *Περιπατῶν* δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας,
εἶδε Σίμωνα καὶ Ἀνδρέαν, τὸν ἀδελφὸν αὐτοῦ, βάλ-
λοντας ἀμφίβληστρον ἐν τῇ θαλάσσῃ· ἦσαν γὰρ
ἁλιεῖς·

Εἴρηται καὶ περὶ τούτων ἐν τῷ τοιούτῳ κεφαλαίῳ.

17 **Καὶ** εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε ὀπίσω μου, καὶ

(α) Γαλατ. Δ', 4.

18 ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων. **Καὶ** εὐθέ-
ως ἀφέντες τὰ δίκτυα αὐτῶν, ἠκολούθησαν αὐτῷ.

Καὶ περὶ τούτων ὁμοίως ἐν ἐκείνῳ εἴρηται.

19 **Καὶ** προβὰς ἐκεῖθεν ὀλίγον, εἶδεν Ἰάκωβον τὸν τοῦ
Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ
20 αὐτοὺς ἐν τῷ πλοίῳ καταρτίζοντας τὰ δίκτυα. **Καὶ**
εὐθέως ἐκάλεσεν αὐτούς· καὶ ἀφέντες τὸν πατέρα
αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν,
ἀπῆλθον ὀπίσω αὐτοῦ.

Εἴρηται καὶ περὶ τούτων ἐκεῖ.

21 **Καὶ** εἰσπορεύονται εἰς Καπερναούμ· καὶ εὐθέως τοῖς
σάββασιν εἰσελθὼν εἰς τὴν συναγωγὴν, ἐδίδασκε.

Ταῦτα καὶ ὁ Λουκᾶς ἱστόρησεν. Ἦλθον δὲ εἰς Καπερναοὺμ ἀπὸ τῆς Ναζαρὲτ, ὡς ὁ αὐτὸς (α) ἐπεσημειώσατο. *Τοῖς Σάββασι δὲ*, ἀντὶ τοῦ, Ἐν ταῖς ἡμέραις τῶν σαββάτων, ὅτε ἦν δηλαδὴ σάββατον. Ἐν ταύταις γὰρ ταῖς ἡμέραις ἀργοῦσιν αὐτοῖς ἐπέτρεπεν ὁ νόμος συνάγεσθαι, καὶ τοὺς νόμους ἀναγινώσκειν. Τότε οὖν εἰσήρχετο, ἵνα πάντες ἀκούσωσιν αὐτοῦ κατὰ σχολήν.

22 **Καὶ** ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ
διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ
γραμματεῖς.

Ταῦτα καὶ ὁ Ματθαῖος παρέθηκεν ἐν τῷ τέλει τοῦ πέμπτου κεφαλαίου. Ἀλλ' ἐκεῖνος, εἰς τὸ ὄρος ἀναβῆναι λέγει τὸν Χριστὸν (β), κἀκεῖ καθίσαντα διδάξαι τοὺς μαθητὰς αὐτοῦ, παρεστώτων τῶν ὄχλων· εἶτα μετὰ μακρὰν διδασκαλίαν ἐπάγει· ὅτι *Καὶ ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ*, καὶ τὰ ἑξῆς (γ). Δῆλον οὖν ἐστιν, ὅτι καὶ ἀμφότερα γεγόνασιν.

(α) Λουκ. Δ', 16. (β) Ματθ. Ε', 1. (γ) Ματθ, Ζ', 28.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τοῦ δαιμονιζομένου.

23 Καὶ ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν πνεύ-
24 ματι ἀκαθάρτῳ, καὶ ἀνέκραξε, λέγων· Ἔα, τί ἡμῖν
καὶ σοὶ, Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς;
οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ.

Ταῦτα καὶ ὁ Λουκᾶς εἴρηκεν (α). *Ἀκάθαρτον* δὲ καλοῦσι τὸ δαιμόνιον, ὡς ἐφηδυνόμενον ταῖς ἀκαθαρσίαις καὶ μιαρίαις. *Ἀνέκραξε* δὲ ὁ ἄνθρωπος, μὴ φέροντος τοῦ ἐν αὐτῷ δαιμονίου τὴν προσβολὴν τῆς θεότητος. *Ἔα* δὲ, ἀντὶ τοῦ, Ἄφες ἡμᾶς, τί κοινὸν ἡμῖν καὶ σοί; Ναζαρηνὸν δὲ τὸν Χριςὸν ὠνόμασεν, ὡς ἀνατραφέντα ἐν τῇ πόλει Ναζαρὲτ, καθὼς ὁ Λουκᾶς ἱςόρησεν (β).

Ἀπώλειαν δὲ ἐνταῦθα ὁ δαίμων, τὴν ἐποχὴν τῆς δυνάμεως καὶ ἀνενεργησίαν καὶ δίωξιν ἑαυτοῦ καλεῖ. Τὸ δέ· *Οἶδά σε, τίς εἶ*, εἶπε, κολακεύων αὐτὸν, ἵνα φείσηται αὐτοῦ· οὐκ εἶπε δὲ *Ἅγιος*, ἀλλ' *Ὁ ἅγιος*, μετὰ τῆς τοῦ ἄρθρου προσθήκης. Ἅγιοι μὲν γὰρ καὶ οἱ προφῆται, ἀλλὰ κατὰ μετοχήν· μόνος δὲ ὁ θεὸς φύσει καὶ κυρίως ἅγιος. Διὰ τοῦτο τοίνυν εἶπεν, *ὁ ἅγιος*, ἀντὶ τοῦ, ὁ φύσει καὶ κυρίως ἅγιος.

25 Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων· Φιμώθη-
τι, καὶ ἔξελθε ἐξ αὐτοῦ.

Ἐπετίμησεν, ἀντὶ τοῦ, ἐπεστόμισεν. Ὅρα δὲ, πῶς οὐκ ἐδέξατο τὴν ἀπὸ τοῦ *δαίμονος* μαρτυρίαν ὁ Χριστὸς, καίτοι ἀληθεύουσαν. Πρῶτον μὲν, ὅτι οὐκ ἔχρῃζεν ἡ ἀλήθεια μαρτυρηθῆναι παρὰ τοῦ ψεύδους· ἔπειτα ἐδίδαξεν ἡμᾶς, μὴ πιστεύειν τοῖς δαίμοσι, κἂν ἀληθῆ λέγωσι· φιλοψευδεῖς γὰρ ὄντες καὶ πολεμιώτατοι, οὐκ ἄν ποτε ἀληθεύσαιεν, εἰ μὴ πρὸς ἀπάτην τῇ ἀληθείᾳ χρήσαιντο, καθάπερ τινὶ δελέατι.

(α) Λουκ. Δ', 33.

(β) Λουκ. Δ', 16.

26 Καὶ σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον, καὶ
κράξαν φωνῇ μεγάλῃ, ἐξῆλθεν ἐξ αὐτοῦ.

Τὸ, *σπαράξαν*, *ῥίψαν* εἶπεν ὁ Λουκᾶς (α), προσθείς· ὅτι *μηδὲν βλάψαν αὐτόν*. Ῥίψαι μὲν γὰρ τὸν ἄνθρωπον συνεχώρησεν ὁ Χριστὸς, ἵνα δειχθῇ τοῦ ῥίψαντος ἡ κακία· βλάψαι δὲ οὐκ εἴασεν, ἵνα φανῇ τοῦ ἀπελαύνοντος αὐτὸν ἡ δύναμις. Ἔκραξε δὲ φωνῇ μεγάλῃ, μαστιχθὲν ὑπὸ τῆς δεσποτικῆς φωνῆς. Οὐκ εἶπε δὲ, τί ἔκραξεν, ὡς ἀσήμαντα κράξαντος.

27 Καὶ ἐθαμβήθησαν πάντες, ὥστε συζητεῖν πρὸς αὐ-
τοὺς, λέγοντας· Τί ἐστι τοῦτο; τίς ἡ διδαχὴ ἡ
καινὴ αὕτη, ὅτι κατ' ἐξουσίαν καὶ τοῖς πνεύμασι
τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπακούουσιν αὐτῷ;

Τί ἐστι τοῦτο, ὃ βλέπομεν; *Διδαχὴν* δὲ *καινὴν* ἔλεγον, τὴν τοῦ Χριστοῦ, ὡς παραλλάττουσαν τῆς διδαχῆς τῶν γραμματέων, ἢ τῆς τοῦ βαπτιστοῦ Ἰωάννου. Οἱ μὲν γὰρ ἐδίδασκον μόνον, ὁ δὲ Χριστὸς ἔτι καὶ δαίμονας ἀπήλαυνε κατ' ἐξουσίαν. Ἐξουσιαστικὸν γὰρ τὸ, *φιμώθητι*, καὶ τὸ, *ἔξελθε*. Ὁ δὲ Λουκᾶς, ἀντὶ τοῦ, Τὶς ἡ διδαχὴ ἡ καινὴ αὕτη, *Τὶς ὁ λόγος οὗτος*, εἴρηκε (β)· *λόγον* ὀνομάσας, τὴν διὰ λόγου διδαχήν· ἢ λόγον λέγων, τὸν λεχθέντα πρὸς τὸ δαιμόνιον, τὸ, *φιμώθητι*, καὶ τὸ, *ἔξελθε*. Προσέθηκε γάρ· ὅτι *ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασιν* (γ)· ἐν ἐξουσίᾳ μὲν, διὰ τὸ προστάσσειν· ἐν δυνάμει δὲ, διὰ τὸ ἀνύειν.

28 Ἐξῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν πε-
ρίχωρον τῆς Γαλιλαίας.

Εἴρηται περὶ τούτου ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

(α) Λουκ. Δ', 35.

(β) Λουκ. Δ', 36.

(γ) Λουκ. Δ', 36.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς πενθερᾶς Πέτρου.

29 Καὶ εὐθέως ἐκ τῆς συναγωγῆς ἐξελθόντες, ἦλθον
εἰς τὴν οἰκίαν Σίμωνος καὶ Ἀνδρέου, μετὰ Ἰακώ-
βου καὶ Ἰωάννου.

Τίνος ἕνεκεν ἦλθεν ἐκεῖ, προείρηται ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

30 Ἡ δὲ πενθερὰ Σίμωνος κατέκειτο πυρέσσουσα· καὶ
31 εὐθέως λέγουσιν αὐτῷ περὶ αὐτῆς. Καὶ προσελθὼν
ἤγειρεν αὐτὴν, κρατήσας τῆς χειρὸς αὐτῆς· καὶ
ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως· καὶ διηκόνει αὐτοῖς.

Εἴρηται καὶ περὶ τούτων ἐν τῷ αὐτῷ κεφαλαίῳ. Σκόπει δὲ, ὅτι πολλάκις ὁ Χριστὸς τῇ ἑτέρων πίστει χαρίζεται τὴν ἑτέρων ἴασιν, ὅταν μέλλοι πιστεύειν καὶ ὁ θεραπευόμενος, καὶ μὴ δύνηται πρὸς αὐτὸν ἐλθεῖν, ἢ διὰ νόσον, ἢ δι' ἄωρον ἡλικίαν, ἢ καὶ δι' ἄγνοιαν. Καὶ γὰρ ἐνταῦθα, ἕτεροι αὐτὸν παρεκάλεσαν.

Ὑποδεξώμεθα οὖν καὶ ἡμεῖς τὸν Χριστὸν, εἶπουν, τὸν λόγον αὐτοῦ, ἵνα τῶν ἐν ἡμῖν παθῶν τὴν πύρωσιν ἀποσβέσῃ. Τυχόντες δὲ εὐεργεσίας, διακονήσωμεν αὐτῷ, θεραπεύοντες τοὺς πένητας· *Ἐφ' ὅσον γὰρ*, φησιν, *ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε* (α)· διακονήσωμεν δὲ καὶ τοῖς αὐτοῦ μιμηταῖς, ὡς μαθηταῖς αὐτοῦ, καὶ ὡς ὑπὲρ ἡμῶν ἱκετεύουσιν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.

32 Ὀψίας δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλιος, ἔφερον πρὸς

(α) Ματθ. ΚΕ', 40.

αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας καὶ τοὺς δαι-
33 μονιζομένους. Καὶ ἡ πόλις ὅλη ἐπισυνηγμένη ἦν
πρὸς τὴν θύραν.

Εἴρηται καὶ περὶ τούτου ἐν τῷ ἐννάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

34 Καὶ ἐθεράπευσε πολλοὺς κακῶς ἔχοντας ποικίλαις
νόσοις· καὶ δαιμόνια πολλὰ ἐξέβαλε·

Ὁ μὲν Μάρκος εἶπεν, ὅτι *ἐθεράπευσε πολλούς*· ὁ δὲ Ματθαῖος, ὅτι *πάντας* (α). Ὁμοίως δὲ καὶ περὶ τῶν δαιμονίων, ὁ μὲν Μάρκος, ὅτι *δαιμόνια πολλὰ ἐξέβαλεν*· ὁ δὲ Ματθαῖος, ὅτι *ἐξέβαλε τὰ πνεύματα* (β), δηλονότι, πάντα. Τί οὖν φαμέν; Τὸ, *πολλοὺς*, ἐνταῦθα καὶ τὸ, *πολλὰ*, προσέθηκεν ὁ εὐαγγελιστὴς, οὐχ ὅτι παρέλιπέ τινας ἀθεραπεύτους ὁ Κύριος· οὐδ' ὅτι δαιμόνιά τινα ἀφῆκεν· ἀλλ', ἵνα δείξῃ μόνον ὁ Μάρκος, ὅτι πλῆθος ἦσαν οἱ θεραπευθέντες, καὶ ὅτι πολλὰ ἦν τὰ ἐκβληθέντα δαιμόνια. Σκόπει δὲ, πῶς τὸ δαιμονᾷν οὐ συντάττει ταῖς ἄλλαις νόσοις, ἀλλ' ἰδίως αὐτὸ τίθησιν, ὡς χαλεπώτατον.

34 Καὶ οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια, ὅτι ᾔδεισαν αὐτόν.

Ἐκώλυεν αὐτὰ λαλεῖν περὶ αὐτοῦ, *κράζοντα*, καθὰ ἱστόρισεν ὁ Λουκᾶς, καὶ *λέγοντα· Ὅτι σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ* (γ). Ἐλάλουν δὲ περὶ αὐτοῦ, ὅτι *ᾔδεισαν αὐτὸν ὄντα τὸν Χριστὸν*, ὡς ὁ Λουκᾶς πάλιν εἴρηκεν. Ἐγίνωσκον δὲ αὐτὸν, προσβαλούσης αὐτοῖς σφοδρῶς τῆς ἀκτῖνος τῆς θεότητος, πυρὸς δίκην. *Οὐκ εἴα δὲ αὐτὰ λαλεῖν*, διὰ τὴν αἰτίαν, ἣν ἀποδεδώκαμεν ἀνωτέρω, ἔνθα ἐφίμωσε τὸ ἀκάθαρτον πνεῦμα τοῦ ἐν τῇ συναγωγῇ ὄντος ἀνθρώπου.

35 Καὶ πρωῒ, ἔννυχον λίαν, ἀναστὰς ἐξῆλθε· καὶ ἀπῆλ-
θεν εἰς ἔρημον τόπον, κἀκεῖ προσηύχετο.

Ἔννυχον, ἀντὶ τοῦ, νυκτὸς ἔτι οὔσης· τὸ γὰρ, *λίαν πρωῒ*,

(α) Ματθ. Η', 16. (β) Ματθ. Η', 16. (γ) Λουκ. Δ', 41.

ἔννυχόν ἐστιν, εἴτουν, ἔνσκοτον. Οὕτω γὰρ καὶ ὁ Ἰωάννης εἴρηκεν ἐν ἄλλοις· ὅτι *Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον* (α). Ἀλλὰ καὶ Μάρκος μὲν, *ἔννυχον* εἶπε· Λουκᾶς δὲ, γενομένης ἡμέρας (β). Οὐκ ἔστι δὲ ἐναντιοφωνία· τὸ γὰρ, *λίαν πρωΐ*, ἔνσκοτόν τε ἐστι, καὶ ἀρχὴ τῆς ἡμέρας.

Ἀπῆλθε δὲ εἰς ἐρημίαν, διδάσκων ἡμᾶς, ἐάν τί ποτε ποιήσωμεν ἀξιοθαύμαστον, φεύγειν τὸν ἀπὸ τῶν ἀνθρώπων ἔπαινον, καὶ κατὰ μόνους γινομένους εὐχαριστεῖν τε τῷ θεῷ, τῷ δόντι χάριν ἡμῖν, καὶ προσεύχεσθαι ἐνδυναμωθῆναι ἔτι. Ἐπιτηδεία δὲ εἰς προσευχὴν ἡ ἐρημία διὰ τὸ ἀπερίσπαστον.

36 Καὶ κατεδίωξαν αὐτὸν ὁ Σίμων καὶ οἱ μετ᾽ αὐτοῦ.
37 Καὶ εὑρόντες αὐτὸν, λέγουσιν αὐτῷ· Ὅτι πάντες ζητοῦσί σε.

Μάρκος μὲν λέγει, ὅτι ὁ *Σίμων καὶ οἱ μετ᾽ αὐτοῦ* μαθηταὶ καταδιώξαντες εὗρον αὐτόν· ὁ δὲ Λουκᾶς (γ), ὅτι *οἱ ὄχλοι*. Εἰκὸς δὲ, καὶ ἄμφω ταῦτα γενέσθαι· καὶ πρῶτον μὲν, τοὺς μαθητὰς τοῦτο ποιῆσαι· εἶτα, τοὺς ὄχλους. Καὶ γὰρ προλαβόντες οἱ μαθηταὶ, οἷα θερμότερον αὐτὸν ἀγαπῶντες, εἶπον περὶ τῶν ὄχλων, ὅτι πάντες σε ζητοῦσιν. Ὅρα δὲ, ὅπως ἡ ἀναχώρησις ποθεινότερον αὐτὸν ἐποίησε.

38 Καὶ λέγει αὐτοῖς· Ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα κἀκεῖ κηρύξω· εἰς τοῦτο γὰρ ἐξελήλυθα.

Πόλις μέν ἐστιν, ἡ τετειχισμένη· κώμη δὲ, ἡ ἀτείχιστος· κωμόπολις δὲ, ἡ ἐν μέρει μὲν ἀτείχιστος· ἐν μέρει δὲ τετειχισμένη. *Ἐχομένας* δὲ λέγει, τὰς πλησιαζούσας. Ἀπέλθωμέν, φησι, καὶ εἰς ταύτας· *διὰ τοῦτο γὰρ ἐξελήλυθα*, διὰ τὸ κηρύξαι, δηλαδὴ, καὶ ἐν αὐταῖς. Ὁ δὲ Λουκᾶς καὶ τὸ εἶδος τοῦ κηρύγματος προσέθηκεν, εἰπών· ὅτι *εὐαγγελίσασθαί με δεῖ*

(α) Ἰωαν. Κ', 1. (β) Λουκ. Δ', 42. (γ) Λουκ. Δ', 42.

τὴν βασιλείαν τοῦ θεοῦ (α), δηλαδὴ, ὅτι ἤγγικεν, ἵνα βασιλεύσῃ τῶν πιστευόντων, ὡς κατ᾽ ἀρχὰς τοῦ κηρύγματος τοῦ Χριστοῦ ἐν τῷ κατὰ Ματθαῖον εὐαγγελίῳ προείρηται. Ἀλλὰ Μάρκος μέν φησιν· ὅτι *ἐξελήλυθα*· Λουκᾶς δέ· ὅτι *ἀπέσταλμαι*. Εἰκὸς δὲ καὶ ἄμφω ῥηθῆναι· νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο. Καὶ ἐπεὶ διπλοῦς ἦν ὁ Χριστὸς, τὸ μὲν, *ἀπέσταλμαι*, ὡς ἄνθρωπος εἴρηκε· τὸ δὲ, *ἐξελήλυθα*, ὡς θεός.

39 Καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς αὐτῶν, εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ δαιμόνια ἐκβάλλων.

Ἀπὸ τῆς διδασκαλίας μετέβαινεν ἐπὶ τὰ θαύματα, ἵνα, οὓς οὐκ ἐπεσπᾶτο ὁ λόγος, ἑλκύσῃ τῶν θαυμάτων ἡ δύναμις, καὶ ἵνα βεβαιώσῃ τὸν λόγον τοῖς θαύμασι. Καὶ ἅμα τύπος ἡμῖν ἐγίνετο, τοῦ μὴ μόνον λέγειν περὶ ἀρετῆς, ἀλλὰ καὶ πράττειν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τοῦ Λεπροῦ.

40 Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς, παρακαλῶν αὐτὸν, καὶ γονυπετῶν αὐτὸν, καὶ λέγων αὐτῷ· Ὅτι, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

Εἴρηται περὶ τοῦ κεφαλαίου τούτου ἐν τῷ ἕκτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον. Φαίνονται δὲ ἐνταῦθα περὶ τὸν καιρὸν τῆς ἰάσεως οἱ εὐαγγελισταὶ μικρόν τι παραλλάττοντες. Ματθαῖος μὲν γὰρ, πρὸ τοῦ θεραπευθῆναι τὴν πενθερὰν Πέτρου, παρατίθεται τὰ κατὰ τὸν λεπρόν (β)· Μάρκος δὲ καὶ Λουκᾶς (γ), μετ᾽ αὐτήν. Εἰκὸς δὲ αὐτοὺς, τὸ θαῦμα μόνον ἀκριβολογησαμένους, μὴ πολυπραγμονῆσαι τὸν καιρὸν, ὡς οὐκ ἀναγκαῖον, ὃ καὶ πολλαχοῦ πεποιήκασιν.

41 Ὁ δὲ Ἰησοῦς σπλαγχνισθεὶς, ἐκτείνας τὴν χεῖρα,

(α) Λουκ, Δ', 43. (α) Ματθ. Η', 1. 14. (β) Λουκ. Δ', 38. Ε', 12.

ἥψατο αὐτοῦ, καὶ λέγει αὐτῷ· Θέλω, καθαρίσθητι.
42 Καὶ εἰπόντος αὐτοῦ, εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ
λέπρα, καὶ ἐκαθαρίσθη.

Εἴρηται καὶ περὶ τούτων ὁμοίως ἐν τῷ ῥηθέντι κεφαλαίῳ.

43 Καὶ ἐμβριμησάμενος αὐτῷ, εὐθέως ἐξέβαλεν αὐτόν.
44 Καὶ λέγει αὐτῷ· Ὅρα, μηδενὶ μηδὲν εἴπῃς· ἀλλ'
ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε
περὶ τοῦ καθαρισμοῦ σου, ἃ προσέταξε Μωσῆς, εἰς
μαρτύριον αὐτοῖς.

Ἐνεβριμήσατο καὶ τοῖς δυσὶ τυφλοῖς, καὶ ζήτησον τὴν ἐξήγησιν τοῦ ἑπτακαιδεκάτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον, ἐν ᾗ εἴρηται περὶ τῆς ἐμβριμήσεως. *Ἐξέβαλε δὲ αὐτὸν* ἀπ' ἐνώπιον αὐτοῦ, τουτέστιν, ἀπέλυσε.

Περὶ δὲ τῶν ἑξῆς ἡρμήνευται ἐν τῷ δηλωθέντι ἕκτῳ κεφαλαίῳ.

45 Ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλά, καὶ δια-
φημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι
φανερῶς εἰς πόλιν εἰσελθεῖν· ἀλλ' ἔξω ἐν ἐρήμοις
τόποις ἦν, καὶ ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν.

Εὐγνώμων ὢν ὁ λεπρός, οὐκ ἠνέσχετο σιγῇ καλῦψαι τὴν εὐεργεσίαν, ἀλλ' ἐκήρυττε πολλὰ περὶ τῆς δυνάμεως τοῦ Χριστοῦ, καὶ διεφήμιζε τὸν λόγον, ὃν εἴρηκεν αὐτῷ ὁ Χριστός, δηλαδὴ τό, *Θέλω, καθαρίσθητι*, ὡς μετ' ἐξουσίας γενόμενον, καὶ εὐθὺς εἰς ἔργον ἐκβεβηκότα. *Ἤρχοντο* δὲ πρὸς τὸν Χριστὸν *πανταχόθεν*, οἷα τῆς φήμης ἐπὶ πάντας διαθεούσης. Φησὶ γὰρ ὁ Λουκᾶς (α)· ὅτι *διήρχετο μᾶλλον ὁ λόγος περὶ αὐτοῦ*, τουτέστιν, ἡ φήμη, καὶ ἐνίκα τὸν κόπον ἡ ἐπιθυμία τοῦ ἰδεῖν τὸν φημιζόμενον.

(α) Λουκ. Ε', 15.

ΚΕΦ. ΙΙ, 1 Καὶ εἰσῆλθε πάλιν εἰς Καπερναοὺμ δι'
ἡμερῶν·

Δι' *ἡμερῶν*, ἀντὶ τοῦ, διελθουσῶν ἡμερῶν τινῶν.

1 Καὶ ἠκούσθη, ὅτι εἰς οἶκόν ἐστι.

Εἰς οἶκόν τινα.

2 Καὶ εὐθέως συνήχθησαν πολλοί· ὥστε μηκέτι χω-
ρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν·

Ἀκούσαντες, ὅτι ἐν οἴκῳ ἐστί, συνέδραμον, προσδοκήσαντες ῥᾷον ἐντυχεῖν αὐτῷ. Τοσοῦτοι δὲ συνήχθησαν, ὡς μηκέτι μηδὲ *τὰ πρὸς τὴν θύραν* μέρη χωρεῖν ἑτέρους, εἴτουν, τὰ πρόθυρα, ἤδη τῶν ἔνδον πεπληρωμένων.

2 Καὶ ἐλάλει αὐτοῖς τὸν λόγον.

Τὸν τῆς διδασκαλίας.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τοῦ παραλυτικοῦ

3 Καὶ ἔρχονται πρὸς αὐτόν, παραλυτικὸν φέροντες,
4 αἰρόμενον ὑπὸ τεσσάρων. Καὶ μὴ δυνάμενοι προσ-
εγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέ-
γην, ὅπου ἦν· καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβ-
βατον, ἐφ' ᾧ ὁ παραλυτικὸς κατέκειτο.

Ὅμοια τούτοις καὶ ὁ Λουκᾶς παρέθετο (α)· Ματθαῖος δέ, τὰ περὶ τῆς στέγης σιωπήσας, τὰ ἑξῆς ὁμοίως ἱστόρησεν (β).

5 Ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, λέγει τῷ
παραλυτικῷ· Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

Εἴρηται περὶ τούτων ἐν τῷ τρισκαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον. *Παράλυτος* δέ ἐστι, καὶ πᾶς ὁ ἔχων τὰς δυνάμεις

(α) Λουκ. Ε', 18. (β) Ματθ. Θ', 2.

τῆς ψυχῆς ἀκινήτους εἰς ἐργασίαν ἀρετῆς. Ἀλλ' ἐὰν ἀπὸ τῶν γηΐνων ἀρθῇ ὑπὸ τῶν τεσσάρων εὐαγγελίων, καὶ *χαλασθῇ*, εἴτουν, ταπεινωθῇ ἐνώπιον τοῦ Χριστοῦ, ἀκούσει καὶ αὐτὸς τὸ, *Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.*

6 Ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι,
7 καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν· Τί οὗτος
οὕτω λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρ-
τίας, εἰ μὴ εἷς ὁ Θεός;

Εἴρηται καὶ περὶ τούτων ἐκεῖ.

8 Καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ,
ὅτι οὕτως αὐτοὶ διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν
αὐτοῖς·

Πνεῦμα ἐνταῦθα, τὴν θεότητα καλεῖ. Ὡς θεὸς γὰρ ἔγνω τὰς διανοίας αὐτῶν.

8 Τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; Τί
9 ἐστιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ· Ἀφέων-
ταί σοι αἱ ἁμαρτίαι· ἢ εἰπεῖν· Ἔγειραι, καὶ ἆρόν
σου τὸν κράββατον, καὶ περιπάτει;

Εἴρηται καὶ περὶ τούτων ὁμοίως.

10 Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀν-
θρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας· (λέγει τῷ
11 παραλυτικῷ) Σοὶ λέγω, ἔγειραι, καὶ ἆρον τὸν κράβ-
βατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.

Καὶ περὶ τούτων ἐν τῷ δηλωθέντι κεφαλαίῳ ἡρμήνευται.

12 Καὶ ἠγέρθη εὐθέως, καὶ ἄρας τὸν κράββατον, ἐξῆλθεν
ἐναντίον πάντων· ὥστε ἐξίστασθαι πάντας, καὶ δοξά-
ζειν τὸν θεὸν, λέγοντας· Ὅτι οὐδέποτε οὕτως εἴδομεν.

Καὶ ταῦτα ἐν ἐκείνῳ διασεσάφηται. *Οὐδέποτε δὲ οὕτως εἴδομεν*, ἐφ' ἑτέρου, δηλονότι, τερατουργοῦντος.

13 Καὶ ἐξῆλθε πάλιν παρὰ τὴν θάλασσαν· καὶ πᾶς ὁ
ὄχλος ἤρχετο πρὸς αὐτὸν, καὶ ἐδίδασκεν αὐτούς.

Ἐξῆλθε, φεύγων τε τὸν ἐπὶ τῷ θαύματι κρότον, καὶ ἰδιάσαι βουλόμενος.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ Λευῒ τοῦ τελώνου.

14 Καὶ παράγων εἶδε Λευῒν τὸν τοῦ Ἀλφαίου, καθή-
μενον ἐπὶ τὸ τελώνιον· καὶ λέγει αὐτῷ· Ἀκολούθει
μοι. Καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ.

Ὁ Λευῒς οὗτος, ὁ Ματθαῖός ἐστι· διώνυμος γὰρ ἦν· περὶ οὗ λεπτομερέστερον ἐν τῷ τεσσαρεσκαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου προείρηται. Ὅρα δὲ, πῶς ἐκλέγεται τοὺς ἀξίους, ὥσπερ μαργαρίτας ἐν βορβόρῳ κειμένους.

15 Καὶ ἐγένετο ἐν τῷ κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ
αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέ-
κειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ· ἦσαν
γὰρ πολλοὶ, καὶ ἠκολούθησαν αὐτῷ.

Καὶ περὶ τούτων πάντων ἐν ἐκείνῳ τῷ κεφαλαίῳ ζήτησον.

16 Καὶ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, ἰδόντες αὐτὸν
ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν, ἔλεγον
τοῖς μαθηταῖς αὐτοῦ· Τί ὅτι μετὰ τῶν τελωνῶν
17 καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει; Καὶ ἀκούσας ὁ
Ἰησοῦς, λέγει αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύον-
τες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Οὐκ ἦλθον κα-
λέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καὶ ταῦτα διηρμηνεύθησαν. Ἐπελάβοντο δὲ τοῦ Χριστοῦ, ὡς μὴ διαστέλλοντος ἀνὰ μέσον ἁγίου

καὶ βεβήλου κατὰ τὸν νόμον, μὴ γινώσκοντες, ὡς ὑπὲρ τὴν νομικὴν χρῆσιν παρέχει τὴν φιλάνθρωπον χάριν. Ὁ μὲν γὰρ νόμος ἐξέβαλλε τὸ κακόν· ὁ δὲ Χριστὸς μετέβαλλεν. Ἔδειξεν οὖν, ὅτι οὐχ ὡς κριτὴς παραγέγονεν, ἀλλ' ὡς ἰατρός· διὸ καὶ τοῖς νοσοῦσι συνανεστρέφετο.

18 Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν Φαρισαί-
ων νηστεύοντες· καὶ ἔρχονται, καὶ λέγουσιν αὐτῷ·
Διατὶ οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν Φαρισαίων
19 νηστεύουσιν, οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσι; Καὶ
εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μὴ δύνανται οἱ υἱοὶ τοῦ
νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστι, νη-
στεύειν; ὅσον χρόνον μεθ' ἑαυτῶν ἔχουσι τὸν νυμ-
20 φίον, οὐ δύνανται νηστεύειν. Ἐλεύσονται δὲ ἡμέραι,
ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νη-
στεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.

Καὶ περὶ τούτων εὑρήσεις ἐν τῷ δηλωθέντι κεφαλαίῳ. Τὸ δὲ, *ἐν ᾧ*, ἀντὶ τοῦ, ἐφ' ὅσον.

21 Καὶ οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιῤῥάπτει ἐπὶ ἱματίῳ παλαιῷ· εἰ δὲ μὴ, αἴρει τὸ πλήρωμα αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ, καὶ χεῖρον σχίσμα γίνεται.

Καὶ αὕτη ἡ παραβολὴ ἐν τῷ τοιούτῳ κεφαλαίῳ σεσαφήνισται.

22 Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μὴ, ῥήσσει ὁ οἶνος ὁ νέος τοὺς ἀσκοὺς, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον.

Καὶ περὶ ταύτης τῆς παραβολῆς ὁμοίως ἐν ἐκείνῳ ζήτησον.

23 Καὶ ἐγένετο παραπορεύεσθαι αὐτὸν ἐν τοῖς σάββασι
διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ
24 ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας. Καὶ οἱ Φαρι-
σαῖοι ἔλεγον αὐτῷ· Ἴδε, τί ποιοῦσιν ἐν τοῖς σάββασιν,
ὃ οὐκ ἔξεστι;

Ζήτησον περὶ τούτων πρὸς τῷ τέλει τοῦ εἰκοστοῦ κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

[*Τίλλοντες* (1). Οἱ μετὰ τὴν πρακτικὴν ἐν τῇ ἀπαθείᾳ γενόμενοι, τοὺς λόγους ἀναλέγονται τῶν γεγονότων, καὶ τούτοις εὐσεβῶς τρέφονται. Τὸ γὰρ σάββατον, ἀπαθείας σύμβολον, διὰ τὴν ἀργίαν, ὥσπερ καὶ πρακτικῆς, αἱ πρὸ ταύτης ἡμέραι, διὰ τὴν ἐργασίαν.]

25 Καὶ αὐτὸς ἔλεγεν αὐτοῖς· Οὐδέποτε ἀνέγνωτε, τί
ἐποίησε Δαυὶδ, ὅτε χρείαν ἔσχε, καὶ ἐπείνασεν αὐ-
26 τὸς καὶ οἱ μετ' αὐτοῦ; Πῶς εἰσῆλθεν εἰς τὸν οἶκον
τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ Ἀρχιερέως, καὶ τοὺς ἄρ-
τους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν
εἰ μὴ τοῖς ἱερεῦσι, καὶ ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι;

Καὶ ταύτην τὴν ἱστορίαν ἐν ἐκείνῳ ζήτησον.

Τοῦτον δὲ τὸν Ἀβιάθαρ, ἡ μὲν βίβλος τῶν Βασιλειῶν (2) Ἀχιμέλεχ ὀνομάζει· ἡ δὲ βίβλος τῶν ψαλμῶν (3), Ἀβιμέλεχ. Δῆλον οὖν, ὅτι διώνυμος ἦν, ἀμφότερα καλούμενος, Ἀχιμέλεχ καὶ Ἀβιμέλεχ, ὡς καὶ ἄλλοι πολλοὶ τῶν Ἑβραίων· τὸ δὲ Ἀβιάθαρ προσωνυμίαν εἶχε, καταγομένην ἐκ προγόνων. Διὸ καὶ ὁ υἱὸς αὐτοῦ ὁμοίως Ἀβιάθαρ ἐκέκλητο.

[Ἐπὶ Ἀβιάθαρ (4). Ὁ μὲν Ἀβιάθαρ ἀρχιερεὺς ἐνταῦθα ἀναγέγραπται· τὸν δὲ Ἀχιμέλεχ, ἱερέα παραδίδωσιν ἡ τῶν Βασιλειῶν ἱστορία (α). Εἰκὸς οὖν, τὸν μὲν Ἀβιάθαρ ἀναπαύεσθαι,

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α. (2) Α' Βασιλ. ΚΑ', 6.
(3) Ψαλμ. ΛΓ', 1. (4) Ταῦτα παρὰ μὲν τῷ Β ἀναγινώσκονται ἐν τῷ κειμένῳ μετὰ τὸ ἀνωτέρω, ἐκέκλητο, καὶ ἄρχονται οὕτως: Ἢ ἑτέρως· ὁ μὲν Ἀβιάθαρ κτλ· παρὰ δὲ τῷ Α ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ.
(α) Α' Βασιλ. ΚΑ', 1. 8.

ὅτε ὁ Δαυὶδ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ, ἢ ὡς ὑπερέχοντα τῇ ἀρχιερωσύνῃ, ἢ ὡς ἀσθενῆ διὰ τὸ γῆρας· τὸν Ἀχιμέλεχ δὲ τὰ τῆς λατρείας τηνικαῦτα μεταχειρίζεσθαι, ἢ ὡς διαφέροντα τῶν ἄλλων ἱερέων, ἢ ὡς λαχόντα ἐφημερεύειν ἐν ἐκείναις ταῖς ἡμέραις.]

27 Καὶ ἔλεγεν αὐτοῖς· Τὸ σάββατον διὰ τὸν ἄν-
θρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον.
28 Ὥστε κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ
σαββάτου.

Καὶ ταῦτα ἐν τῷ ῥηθέντι κεφαλαίῳ τετυχήκασιν ἐξηγήσεως.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Περὶ τοῦ ξηρὰν ἔχοντος τὴν χεῖρα

ΚΕΦ. ΙΙΙ, 1. Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν·
καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα·
2 καὶ παρετήρουν αὐτὸν, εἰ τοῖς σάββασι θεραπεύ-
σει αὐτὸν, ἵνα κατηγορήσωσιν αὐτοῦ.

Εἴρηται περὶ τούτου ἐν τῷ εἰκοστῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

3 Καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν
4 χεῖρα· Ἔγειραι εἰς τὸ μέσον. Καὶ λέγει αὐτοῖς·
Ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι;
ψυχὴν σῶσαι, ἢ ἀποκτεῖναι; Οἱ δὲ ἐσιώπων.

Ἡρμηνεύθησαν καὶ ταῦτα ἐν τῷ τοιούτῳ κεφαλαίῳ. *Ψυχὴν* δὲ νῦν, τὸν ἄνθρωπον λέγει, ἀπὸ μέρους, τὸ ὅλον. Ἐρωτᾷ γὰρ, Ἔξεστιν ἄνθρωπον σῶσαι ἀπὸ θανάτου ἢ ἀποκτεῖναι;

5 Καὶ περιβλεψάμενος αὐτοὺς μετ᾽ ὀργῆς, συλλυ-
πούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέ-

γει τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρά σου. Καὶ
ἐξέτεινε· καὶ ἀπεκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς, ὡς
ἡ ἄλλη.

Ὁμοίως καὶ ταῦτα.

6 Καὶ ἐξελθόντες οἱ Φαρισαῖοι, εὐθέως μετὰ τῶν
Ἡρωδιανῶν συμβούλιον ἐποίουν κατ᾽ αὐτοῦ, ὅπως
7 αὐτὸν ἀπολέσωσι. Καὶ ὁ Ἰησοῦς ἀνεχώρησε μετὰ
τῶν μαθητῶν αὐτοῦ πρὸς τὴν θάλασσαν·

Ἔτι καὶ ταῦτα.

7 Καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας ἠκολούθησαν
8 αὐτῷ, καὶ ἀπὸ τῆς Ἰουδαίας, καὶ ἀπὸ Ἱεροσολύ-
μων, καὶ ἀπὸ τῆς Ἰδουμαίας, καὶ πέραν τοῦ Ἰορ-
δάνου· καὶ οἱ περὶ Τύρον καὶ Σιδῶνα, πλῆθος πο-
λὺ, ἀκούσαντες ὅσα ἐποίει, ἦλθον πρὸς αὐτόν.

Πέραν τοῦ Ἰορδάνου, ἤγουν, οἱ πέραν τοῦ Ἰορδάνου. Ἠκολούθουν δὲ, οἱ μὲν ἀῤῥώστους κομίζοντες· οἱ δὲ. ὅπως αὐτοὶ τύχωσιν ἰάσεως· οἱ δὲ, ἵνα θεάσωνται θαύματα. Καὶ οὐχ Ἑβραῖοι μόνον, ἀλλὰ καὶ ἀλλόφυλοι, Ἰδουμαῖοι καὶ Τύριοι καὶ Σιδώνιοι. Καὶ οἱ μὲν ἀλλογενεῖς ἤρχοντο πρὸς αὐτόν· οἱ δὲ συγγενεῖς Ἰουδαῖοι μᾶλλον ἐρχόμενον πρὸς αὐτοὺς ἐδίωκον αὐτόν.

9 Καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ, ἵνα πλοιάριον προσ-
καρτερῇ αὐτῷ, διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν
10 αὐτόν. Πολλοὺς γὰρ ἐθεράπευσεν· ὥστε ἐπιπίπτειν
αὐτῷ, ἵνα αὐτοῦ ἅψωνται, ὅσοι εἶχον μάστιγας.

Προσκαρτερῇ, ἀντὶ τοῦ, ὑπηρετῇ· ἔμελλε γὰρ, ἐμβὰς εἰς αὐτὸ, μὴ ἐνοχλεῖσθαι. *Θλίψιν* δὲ νόει νῦν, τὴν σύσφιγξιν· *μάστιγας* δὲ, τὰς νόσους.

11 Καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, ὅταν αὐτὸν ἐθεώ-

ρει, προσέπιπτεν αὐτῷ, καὶ ἔκραζε, λέγοντα· Ὅτι
12 σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ. Καὶ πολλὰ ἐπετίμα αὐτοῖς,
ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσι.

Ἐπιγνόντες τὴν θείαν δύναμιν οἱ δαίμονες, προσέπιπτον καὶ ἀνεκήρυττον αὐτὸν υἱὸν τοῦ θεοῦ· τοῦτο μὲν, τὴν ὑποταγὴν δηλοῦντες καὶ ἄκοντες· τοῦτο δὲ, καὶ ὑπὲρ τοῦ μὴ βασανισθῆναι δεόμενοι. Ἐπεστόμιζε δὲ αὐτοὺς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσαντες, ἀνάψωσι τὸν φθόνον τῶν Ἰουδαίων.

Ζήτησον δὲ καὶ ἐν ἀρχῇ τοῦ πρώτου κεφαλαίου, διὰ τί ἐπετίμησε τῷ ἀκαθάρτῳ πνεύματι, καὶ εὑρήσεις αὖθις ἑτέρας αἰτίας. Ἀλλὰ καὶ ἐν τῷ εἰκοστῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ἐπετίμησε τοῖς ὄχλοις, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσι (α). Καὶ ζήτησον κἀκεῖ τὴν ἐξήγησιν.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Περὶ τῆς ἐκλογῆς τῶν δώδεκα.

13 Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται οὓς
14 ἤθελεν αὐτός· καὶ ἀπῆλθον πρὸς αὐτόν. Καὶ ἐποίη-
σε δώδεκα, ἵνα ὦσι μετ᾽ αὐτοῦ, καὶ ἵνα ἀποστέλ-
15 λῃ αὐτοὺς κηρύσσειν, καὶ ἔχειν ἐξουσίαν θεραπεύειν
τὰς νόσους, καὶ ἐκβάλλειν τὰ δαιμόνια.

Λουκᾶς δέ φησιν· ὅτι *Ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ θεοῦ. Καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ· καὶ ἐκλεξάμενος ἀπ᾽ αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασε,* καὶ τὰ ἑξῆς (β). Διενυκτέρευσε γὰρ ἐν τῇ προσευχῇ τῇ πρὸς θεὸν, παιδεύων ἡμᾶς, ὅτάν τινα (1) προβάλλεσθαι μέλλωμεν,

(α) Ματθ. ΙΒ', 16. (β) Λουκ. ς', 12. 13. (1) Δηλαδὴ πρεσβύτερον ἢ ἐπίσκοπον.

διανυκτερεύειν προσευχομένους, ἵνα ὁ ἄξιος ἡμῖν γνωρισθῇ, καὶ μὴ κοινωνήσωμεν ἀλλοτρίαις ἁμαρτίαις. Ἐξελέξατο δὲ ἐκ πάντων τῶν πιστευσάντων εἰς αὐτὸν, *οὓς ἤθελε*, δηλαδὴ τοὺς ἀξιολογωτέρους. Ἐπελέξατο δὲ καὶ Ἰούδαν τὸν Ἰσκαριώτην, ὡς τηνικαῦτα καλόν· δεικνὺς, ὅτι προσίεται τὸν καλὸν, μέχρις ἂν γένηται κακὸς, εἰ καὶ προγινώσκει τὸ μέλλον, καὶ οὐκ ἀπὸ τῆς εἰς ὕστερον κακίας ἀποπέμπεται τὸν ἄρτι καλόν· ἀλλὰ ἀπὸ τῆς νῦν ἀρετῆς, οἰκειοῦται τὸν εἰς ὕστερον πονηρόν.

Ἐξουσίαν δὲ νόει, τὴν δύναμιν τοῦ θεραπεύειν τὰς νόσους καὶ ἐκβάλλειν τὰ δαιμόνια. Εἶτα λέγει καὶ τὰ ὀνόματα, διὰ τοὺς ψευδαποστόλους.

16 Καὶ ἐπέθηκε τῷ Σίμωνι ὄνομα Πέτρον·

Καὶ μὴν ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ μανθάνομεν, ὅτι, ὅτε πρῶτον ὁ ἀδελφὸς αὐτοῦ Ἀνδρέας ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν, τότε ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς, εἶπε· *Σὺ εἶ Σίμων, ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος* (α). Εἰκὸς οὖν τότε μὲν εἰπεῖν, ὅτι κληθήσῃ Πέτρος· νῦν δὲ καλέσαι τοῦτον Πέτρον.

Ζήτησον δὲ ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τῆς ἀπαριθμήσεως τῶν ὀνομάτων τῆς δωδεκάδος τῶν ἀποστόλων, καὶ εὑρήσεις πάντα κατὰ λόγον τεταγμένα.

17 Καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν
ἀδελφὸν τοῦ Ἰακώβου·

Ἀπὸ κοινοῦ τὸ, *προσκαλεῖται*. Καὶ γὰρ καὶ ἐπὶ τοὺς ἑξῆς τοῦτο λαμβάνεται.

17 Καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα Βοανεργὲς, ὅ ἐστιν,
υἱοὶ βροντῆς.

Ὥσπερ υἱὸς ἀνομίας, ὁ ἄνομος, καὶ υἱὸς ἀπωλείας, ὁ απο-

(α) Ἰωαν. Α΄, 43.

λωλῶς, καὶ υἱὸς εἰρήνης, ὁ εἰρηνικός· οὕτω καὶ *υἱοὶ βροντῆς*, οἱ βροντῶντες. Δίκην γὰρ βροντῆς οὐρανόθεν ἐξάκουστον ἐβρόντησαν οὗτοι τὰ θεολογικὰ δόγματα, ὁ μὲν Ἰάκωβος, ἀγράφως· ὁ δὲ Ἰωάννης, ἐγγράφως. Ἑβραϊκὸν δὲ τὸ *Βοανεργὲς*, ὥσπερ καὶ τὸ *Κηφᾶς*.

18 Καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ Βαρθολομαῖον, καὶ
Ματθαῖον, καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Κανανίτην·
19 καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ παρέδωκεν αὐτόν.

Περὶ τούτων εἴρηται ἐν τῷ δηλωθέντι ἐννεακαιδεκάτῳ κεφαλαίῳ.

20 Καὶ ἔρχονται εἰς οἶκον. Καὶ συνέρχεται πάλιν ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε ἄρτον φαγεῖν.

Εἰς οἶκόν τινος πιστοῦ.

21 Καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ, ἐξῆλθον κρατῆσαι αὐτόν·

Ἀκούσαντες οἱ οἰκεῖοι αὐτοῦ, ὅτι συνέρχεται πολὺς ὄχλος, ἐξῆλθον ἐπισχεῖν αὐτὸν, καὶ κωλῦσαι θεραπεύειν περαιτέρω. Εἶεν δ' ἂν οὗτοι, εἴτε οἱ ἐξ Ἰωσὴφ ἀδελφοὶ αὐτοῦ, εἴτε καὶ ἕτεροι συγγενεῖς.

21 Ἔλεγον γάρ· Ὅτι ἐξέστη.

Ἔλεγον γάρ τινες φθονεροὶ, ὅτι παρεφρόνησε· διότι ὅλον ἑαυτὸν ἐπέδωκεν εἰς τὸ θεραπεύειν· τὴν φιλανθρωπίαν νομίζοντες μανίαν, καὶ τὸν ἔλεον, ἔγκλημα ποιούμενοι, καὶ ὄντως αὐτοὶ μαινόμενοι. Διὰ γοῦν τὸν λόγον τοῦτον μᾶλλον ἐξῆλθον οἱ αὐτοῦ κωλῦσαι αὐτόν.

Ἕτεροι δὲ τὰ ῥητὰ τρόπον ἕτερον ἑρμηνεύουσιν, ὅτι Ἐξῆλθον οἱ οἰκεῖοι αὐτοῦ κρατῆσαι αὐτὸν, ἵνα μὴ ὑποχωρήσῃ. Ἔλεγον γάρ τινες, ὅτι *ἐξέστη*, ἤγουν ἀπέστη ἀπ' αὐτῶν διὰ τὸν ὄχλον.

Ἢ, *ἐξῆλθον κρατῆσαι αὐτὸν*, τουτέστι, παραβοηθῆσαι. Ἔλεγον γὰρ, ὅτι *ἐξέστη*, ὅ ἐστι παρελύθη τὸν τόνον τοῦ σώματος, ἄγαν κοπιάσας.

22 Καὶ οἱ γραμματεῖς, οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες, ἔλεγον· Ὅτι Βεελζεβοὺλ ἔχει, καὶ, ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

Εἶπον τοῦτο καὶ οἱ φαρισαῖοι ἐν τῷ εἰκοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν.

23 Καὶ προσκαλεσάμενος αὐτοὺς, ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς·

Ἐν παραδείγμασιν.

23 Πῶς δύναται σατανᾶς σατανᾶν ἐκβάλλειν;

Εἴρηται περὶ τούτων ἐν ἐκείνῳ τῷ κεφαλαίῳ.

24 Καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται
25 σταθῆναι ἡ βασιλεία ἐκείνη· καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ οἰκία ἐκείνη.

Καὶ περὶ τούτων ἐν ἐκείνῳ διείληπται.

26 Καὶ εἰ ὁ σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν καὶ μεμέρισται, οὐ δύναται σταθῆναι, ἀλλὰ τέλος ἔχει.

Ζήτησον ἐν τῷ δηλωθέντι κεφαλαίῳ καὶ περὶ τούτων.

27 Οὐδεὶς δύναται τὰ σκεύη τοῦ ἰσχυροῦ, εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ, διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ· καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει.

Καὶ ταῦτα ἐντελῶς ἐν αὐτῷ διηρμηνεύθησαν.

28 Ἀμὴν λέγω ὑμῖν, ὅτι πάντα ἀφεθήσεται τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ βλασφημίαι
29 ὅσας ἂν βλασφημήσωσιν· ὃς δ' ἂν βλασφημήσῃ εἰς

τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶ-
να, ἀλλ' ἔνοχός ἐστιν αἰωνίου κρίσεως.

Ετι καὶ ταῦτα καλλίστης ἐκεῖ τῆς ἐξηγήσεως τετυχήκασιν. *Εἰς τὸν αἰῶνα* μὲν οὖν, ἀντὶ τοῦ, οὐδέποτε. *Κρίσιν* δὲ νῦν, τὴν κατάκρισιν εἶπεν. Εἶτα προσέθηκε, καὶ διὰ τί τὰ ῥηθέντα εἴρηκεν.

30 Ὅτι ἔλεγον· Πνεῦμα ἀκάθαρτον ἔχει.

Ελεγον τοῦτο, οἱ λέγοντες, ὅτι Βεελζεβοὺλ ἔχει.

31 Ἔρχονται οὖν οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ αὐτοῦ· καὶ
ἔξω ἑστῶτες ἀπέστειλαν πρὸς αὐτὸν, φωνοῦντες
32 αὐτόν. Καὶ ἐκάθητο ὄχλος περὶ αὐτόν· εἶπον δὲ
αὐτῷ· Ἰδοὺ, ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω
ζητοῦσί σε.

Ζήτησον περὶ τούτων πρὸς τῷ τέλει τοῦ εἰκοστοῦ τρίτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

33 Καὶ ἀπεκρίθη αὐτοῖς, λέγων· Τίς ἐστιν ἡ μήτηρ
34 μου, ἢ οἱ ἀδελφοί μου; Καὶ περιβλεψάμενος κύκλῳ
τοὺς περὶ αὐτὸν καθημένους, λέγει· Ἴδε ἡ μήτηρ
35 μου καὶ οἱ ἀδελφοί μου. Ὃς γὰρ ἂν ποιήσῃ τὸ θέ-
λημα τοῦ Θεοῦ, οὗτος ἀδελφός μου, καὶ ἀδελφή
μου, καὶ μήτηρ ἐστί.

Καὶ περὶ τούτων πάντων ἀκριβῶς εὑρήσεις ἐν ἐκείνῳ τῷ κεφαλαίῳ (1).

---

(1) Ὁ Ἑντένιος εὕρηκεν ἐνταῦθα ἐν τῷ περισελιδίῳ τοῦ ἑαυτοῦ χειρογράφου καὶ τὸ ἑξῆς: «Ταῦτα δὲ ἔφη οὐκ ἀποδοκιμάζων πάντως τὴν μητέρα καὶ τοὺς ἀδελφούς· ἀλλὰ δεικνὺς, ὅτι πάσης συγγενείας σωματικῆς προτιμᾷ τὴν τῆς ψυχῆς οἰκειότητα.»

Τοῦτο δὲν εὑρίσκεται παρ' οὐδετέρῳ τῶν δύο χειρογράφων· ἀναγινώσκεται δὲ ἐν τῇ εἰς τὸν Μάρκον σειρᾷ Οὐΐκτορος πρεσβυτέρου Ἀντιοχείας.

ΚΕΦ. IV, 1 Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θά-
λασσαν· καὶ συνήχθη πρὸς αὐτὸν ὄχλος πολὺς,
ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον, καθῆσθαι ἐν
τῇ θαλάσσῃ·

Εκεῖ καὶ περὶ τούτων ζήτησον. Ἐκάθησε δὲ οὕτω, βουλόμενος πάντας κατὰ πρόσωπον ἔχειν, καὶ μηδένα κατὰ νώτου, καὶ ἀπὸ τῆς θαλάσσης ἡλίευε τοὺς ἐν τῇ γῇ.

1 Καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς ἦν.

Ηγουν ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει, καθὼς εἶπε Ματθαῖος (α).

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τοῦ σπόρου παραβολή.

2 Καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλά·

Εἴρηται περὶ τῶν παραβολῶν τούτων ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

3 Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· Ἀκούετε·

Ηγουν, προσέχετε.

4 Ἰδοὺ, ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι. Καὶ ἐγένετο
ἐν τῷ σπείρειν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ
ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτό.
5 Ἄλλο δὲ ἔπεσεν ἐπὶ τὸ πετρῶδες, ὅπου οὐκ εἶχε
γῆν πολλήν· καὶ εὐθέως ἐξανέτειλε, διὰ τὸ μὴ
6 ἔχειν βάθος γῆς· ἡλίου δὲ ἀνατείλαντος, ἐκαυμα-
7 τίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη. Καὶ
ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας· καὶ ἀνέβησαν αἱ
ἄκανθαι, καὶ συνέπνιξαν αὐτὸ, καὶ καρπὸν οὐκ ἔδω-

(α) Ματθ. ΙΓ', 2.

8 κε. Καὶ ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν· καὶ
ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ αὐξάνοντα· καὶ ἔφε-
ρεν, ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν.

Περὶ τούτων πάντων εἰρήκαμεν ἐν τῷ ῥηθέντι κεφαλαίῳ καθ' ἕκαστον ῥητόν.

9 Καὶ ἔλεγεν αὐτοῖς· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Ὁ ἔχων ὦτα νοητά, εἰς τὸ συνιέναι, συνιέτω.

10 Ὅτε δὲ ἐγένετο καταμόνας, ἠρώτησαν αὐτὸν οἱ περὶ
αὐτὸν σὺν τοῖς δώδεκα τὴν παραβολήν.

Οἱ περὶ αὐτόν, ἤγουν, οἱ τῆς ἑβδομηκοντάδος τῶν ἄλλων μαθητῶν. Ἐπηρώτων δὲ αὐτὸν περὶ τῆς παραβολῆς, ὅτι τίς εἴη ἡ παραβολὴ αὕτη, καθὼς ἔγραψεν ὁ Λουκᾶς (α).

11 Καὶ ἔλεγεν αὐτοῖς· Ὑμῖν δέδοται γνῶναι τὸ μυ-
στήριον τῆς βασιλείας τοῦ θεοῦ·

Εἴρηται καὶ περὶ τούτου ἐν ἐκείνῳ τῷ κεφαλαίῳ.

11 Ἐκείνοις δὲ τοῖς ἔξω, ἐν παραβολαῖς τὰ πάντα γί-
νεται·

Ἔξω λέγει, τοὺς ἔξω τῆς εἰς αὐτὸν πίστεως. *Ἐν παραβολαῖς δὲ τὰ πάντα γίνεται*, τὰ τῆς διδασκαλίας δηλονότι.

12 Ἵνα βλέποντες βλέπωσι, καὶ μὴ ἴδωσι· καὶ ἀκού-
οντες ἀκούωσι, καὶ μὴ συνιῶσι·

Τό, *Ἵνα βλέποντες βλέπωσιν*, ἀναδίπλωσίς ἐστι, ἀντὶ τοῦ, Ἵνα βλέπωσιν. Ὁμοίως δὲ καὶ τό, *Ἀκούοντες ἀκούωσιν*, ἀντὶ τοῦ, Ἀκούωσι. Λέγει δὲ ὅτι, ἵνα βλέπωσι μὲν τὴν διδασκαλίαν, ἅτε ἐνωτιζόμενοι ταύτην· μὴ ἴδωσι δὲ αὐτήν, ἅτε κεκαλυμμένην τῇ ἀσαφείᾳ τῆς παραβολῆς, διὰ τὸ εἶναι αὐτοὺς ἀναξίους τῆς γνώσεως αὐτῆς, ὡς ἀνιάτους. Τὰ αὐτὰ δὲ δηλοῖ καὶ τὸ ἑξῆς.

(α) Λουκ. Η', 9.

Ἐν δὲ τῷ δηλωθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ἑτέρα κεῖται ἀπολογία, καὶ εἰκός, ἀμφοτέρας ῥηθῆναι παρὰ τοῦ Χριστοῦ.

12 Μήποτε ἐπιστρέψωσι, καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁμαρ-
τήματα.

Εἴρηται καὶ περὶ τούτου ἐν τῷ τοιούτῳ κεφαλαίῳ.

13 Καὶ λέγει αὐτοῖς· Οὐκ οἴδατε τὴν παραβολὴν ταύ-
την; καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε;

Πάσας τὰς παραβολάς, ἃς μέλλει προϊὼν ἐρεῖν. Εἰ ταύτην οὐκ οἴδατε, πῶς ἐκείνας γνώσεσθε; Τοῦτο δὲ εἶπεν, ἐγείρων αὐτοὺς καὶ διορατικωτέρους ποιῶν. Εἶτα ἑρμηνεύει τὴν ῥηθεῖσαν παραβολήν.

14 Ὁ σπείρων, τὸν λόγον σπείρει.

Τὸν τῆς διδασκαλίας.

15 Οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδόν·

Οὗτοι· ποῖοι; Οὓς ἐρεῖ.

15 Ὅπου σπείρεται ὁ λόγος· καὶ ὅταν ἀκούσωσιν, εὐ-
θέως ἔρχεται ὁ σατανᾶς, καὶ αἴρει τὸν λόγον τὸν
ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν.

Ὅπου σπείρεται ὁ λόγος, ἀντὶ τοῦ, Εἰς οὓς σπείρεται. Εἴρηται δὲ περὶ τούτων ἐν τῷ προῤῥηθέντι κεφαλαίῳ.

16 Καὶ οὗτοί εἰσιν ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη σπειρό-
μενοι, οἵ, ὅταν ἀκούσωσι τὸν λόγον, εὐθέως μετὰ
17 χαρᾶς λαμβάνουσιν αὐτόν· καὶ οὐκ ἔχουσι ῥί-
ζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί εἰσιν· εἶτα γε-
νομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐ-
θέως σκανδαλίζονται.

Εἴρηται καὶ περὶ τούτων ἐν ἐκείνῳ.

18 Καὶ οὗτοί εἰσιν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι,
19 οἱ τὸν λόγον ἀκούοντες· καὶ αἱ μέριμναι τοῦ
αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου, καὶ αἱ
περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπορευόμεναι συμπνίγουσι
τὸν λόγον, καὶ ἄκαρπος γίνεται.

Εἴρηται καὶ περὶ τούτων ὁμοίως.

20 Καὶ οὗτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέν-
τες, οἵτινες ἀκούουσι τὸν λόγον, καὶ παραδέχον-
ται· καὶ καρποφοροῦσιν, ἓν τριάκοντα, καὶ ἓν ἑξή-
κοντα, καὶ ἓν ἑκατόν.

Εἴρηται καὶ περὶ τούτων.

21 Καὶ ἔλεγεν αὐτοῖς· Μήτι ὁ λύχνος ἔρχεται, ἵνα
ὑπὸ τὸν μόδιον τεθῇ, ἢ ὑπὸ τὴν κλίνην; οὐχ ἵνα
ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ;

Ἔρχεται, ἀντὶ τοῦ, ἄγεται, κομίζεται. Εἴρηται δὲ καὶ περὶ τούτου ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

22 Οὐ γάρ ἐστί τι κρυπτὸν, ὃ ἐὰν μὴ φανερωθῇ·

Ὃ ἂν οὐ φανερωθῇ.

22 Οὐδὲ ἐγένετο ἀπόκρυφον, ἀλλ' ἵνα εἰς φανερὸν ἔλθῃ.

Οὐδὲ ἐγένετό, φησιν, *ἀπόκρυφον*, ἵνα κρυβῇ διὰ παντός· ἀλλ' ἵνα ποτὲ εἰς φανερὸν ἔλθῃ. Περὶ τούτου δὲ εἴρηται ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

23 Εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω.

Ἀνωτέρω περὶ τούτου διείληπται.

24 Καὶ ἔλεγεν αὐτοῖς· Βλέπετε, τί ἀκούετε·

Βλέπετε, ἀντὶ τοῦ, προσέχετε.

24 Ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν.

Ἐν ᾧ μέτρῳ μετρεῖτε τὴν προσοχὴν, ἐν τῷ αὐτῷ μετρηθήσεται

ὑμῖν ἡ γνῶσις, τουτέστιν, ὅσην εἰσφέρετε προσοχὴν, τοσαύτη παρασχεθήσεται ὑμῖν γνῶσις.

24 Καὶ προστεθήσεται ὑμῖν τοῖς ἀκούουσιν.

Καὶ οὐ μόνον ἐν τῷ αὐτῷ μέτρῳ, ἀλλὰ καὶ πλέον.

25 Ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς οὐκ ἔχει,
καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ.

Ὃς ἂν ἔχῃ προσοχὴν, δοθήσεται αὐτῷ γνῶσις, καὶ ὃς οὐκ ἔχει, καὶ, ὃ ἔχει σπέρμα γνώσεως, ἀρθήσεται ἀπ' αὐτοῦ. Καθάπερ γὰρ ἡ σπουδὴ αὔξει τὸ τοιοῦτον, οὕτω καὶ ἡ ῥαθυμία διαφθείρει.

Ἐν τῷ κατὰ Ματθαῖον δὲ τρόπον ἕτερον ἐῤῥήθησαν ταῦτα, καὶ κατ' ἄλλην ἔννοιαν.

26 Καὶ ἔλεγεν· Οὕτως ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, ὡς
27 ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς, καὶ
καθεύδῃ, καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν· καὶ ὁ σπό-
ρος βλαστάνῃ, καὶ μηκύνηται, ὡς οὐκ οἶδεν αὐτός.

Βασιλείαν τοῦ θεοῦ νῦν ὀνομάζει ἑαυτὸν, ὡς βασιλέα καὶ θεόν· ὁμοίως δὲ, καὶ *ἄνθρωπον*, ὡς ἐνανθρωπήσαντα. *Σπόρον* δὲ λέγει, τὰς εὐαγγελικὰς ἐντολάς· *γῆν* δὲ, τοὺς ἐπιγείους ἀνθρώπους, ἀλλὰ τοὺς ἀγαθούς· περὶ μόνων γὰρ τούτων ὁ λόγος ἐνταῦθα· *καθεύδησιν* δὲ, τὴν ἀναμονήν· *ἐγείρεται* δὲ, νύκτα μὲν, ὅταν παραχωρῇ τοὺς πειρασμοὺς ἐπάγεσθαι, διανιστῶντας ἡμᾶς εἰς εὐαρέστησιν θεοῦ· νὺξ γὰρ, οἱ πειρασμοὶ, διὰ τὸν σκοτισμὸν τῆς λύπης· ἡμέραν δὲ, ὅταν διὰ τῶν χρηστοτέρων παραμυθῆται, παραθηγόντων ἡμᾶς εἰς ἀρετήν· ἡμέρα γὰρ ταῦτα, διὰ τὸν φωτισμὸν τῆς εὐφροσύνης. *Βλαστάνειν* δὲ *καὶ μηκύνεσθαι* τὸν σπόρον ἐν ἀγνοίᾳ τοῦ σπείραντος εἶπεν, ἐμφαίνων τὸ αὐτόματον τῆς τοιαύτης βλαστήσεως καὶ αὐξήσεως, καὶ ὅτι κατὰ προαίρεσιν, καὶ οὐ κατὰ ἀνάγκην βλαστάνει καὶ αὔξεται· καὶ τοῦτο δῆλον ἀπὸ τῶν ἑξῆς.

28 Αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ, πρῶτον χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον ἐν τῷ στάχυϊ.

Χ*όρτον* μὲν βλαστάνουσιν οἱ ἀρχὴν τῆς ἀρετῆς παραφαίνοντες, καὶ ἁπαλοὶ πρὸς ἀγῶνας ὄντες ἔτι· *στάχυν* δὲ, οἱ προκόψαντες εἰς τὸ ἀγαθὸν, καὶ σεῤῥότεροι πρὸς τὰς ἐπηρείας γεγονότες· καὶ γὰρ ὁ στάχυς καὶ γόνασι διαζώννυται, καὶ ὄρθιος ἵσταται· *πλήρη* δὲ *σῖτον*, οἱ τὸ τέλειον καρποφοροῦντες.

29 Ὅταν δὲ παραδῷ ὁ καρπὸς, εὐθέως ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέστηκεν ὁ θερισμός.

Ὁ*ταν παραδῷ*, ἀντὶ τοῦ, ὅταν ὥριμος γένηται, τουτέστιν, ὅταν πάντες οἱ καρποφορῆσαι μέλλοντες καρποφορήσωσι. *Δρέπανον* δὲ, ὁ λόγος, ὁ τὴν συντέλειαν τοῦ κόσμου κελεύων· *θερισμὸς* δὲ, ἡ συγκομιδὴ τῶν δικαίων· οὗτοι γὰρ καρποὶ τοῦ εὐαγγελικοῦ σπέρματος.

30 Καὶ ἔλεγε· Τίνι ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ θεοῦ; ἢ ἐν ποίᾳ παραβολῇ παραβαλοῦμεν αὐτήν;

Π*αραβαλοῦμεν*, ἀντὶ τοῦ, παραδείξομεν.

31 Ὡς κόκκον συνάπεως.

Παραδείξομεν αὐτὴν, δηλονότι. Ζήτησον δὲ τὴν ἐξήγησιν τῆς παραβολῆς ταύτης ὅλης ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

31 Ὃς, ὅταν σπαρῇ ἐπὶ τῆς γῆς, μικρότερος πάντων
32 τῶν σπερμάτων ἐστὶ τῶν ἐπὶ τῆς γῆς· καὶ ὅταν
σπαρῇ, ἀναβαίνει, καὶ γίνεται πάντων τῶν λαχάνων
μείζων, καὶ ποιεῖ κλάδους μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν.

Τρίτον εὑρήσεις τὴν παραβολὴν ταύτην τεταγμένην ἐν ταῖς παραβολαῖς τοῦ ῥηθέντος εἰκοστοῦ τετάρτου κεφαλαίου.

33 Καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν·

Καθὼς ἦσαν ἄξιοι ἀκούειν. Εἴρηται δὲ καὶ περὶ τούτου ἐν τῷ δηλωθέντι κεφαλαίῳ, ἐπὶ τέλους τῶν παραβολῶν.

34 Χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς· κατ᾽ ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ ἐπέλυε πάντα.

Εν ἐκείνῳ ταῦτα πάντα σεσαφήνισται.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.

35 Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὀψίας γενο-
36 μένης· Διέλθωμεν εἰς τὸ πέραν. Καὶ ἀφέντες τὸν
ὄχλον, παραλαμβάνουσιν αὐτὸν, ὡς ἦν ἐν τῷ πλοίῳ·

Ως *ἦν*, ἀντὶ τοῦ, ὡς ἐκάθητο ἐν τῷ πλοίῳ· ἐν τούτῳ γὰρ καθήμενος ἐδίδασκεν, ὡς προείρηται. Τὸ δὲ, *ἐν ἐκείνῃ τῇ ἡμέρᾳ*, ἴσον ἐστὶ τῷ, ἐν μιᾷ τῶν ἡμερῶν, ὡς εἶπε Λουκᾶς (α)· οὐδὲ γὰρ ἐκείνην δηλοῖ, καθ᾽ ἣν εἶπε τὰς παραβολὰς, ἀλλ᾽ ἑτέραν, καθ᾽ ἣν τὰ ῥηθησόμενα γέγονε, καθὼς καὶ ἐν ἀρχῇ τοῦ τρίτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον παρεσημειωσάμεθα.

36 Καὶ ἄλλα δὲ πλοιάρια ἦν μετ᾽ αὐτοῦ.

Μ*ετ᾽ αὐτοῦ*, τοῦ πλοίου, δηλονότι. Προσέθηκε δὲ περὶ τῶν ἄλλων, οὐχ ἁπλῶς, ἀλλὰ δεῖξαι θέλων, ὅτι τοῦτο μόνον ἐκλυδωνίσθη κατ᾽ οἰκονομίαν.

37 Καὶ γίνεται λαῖλαψ ἀνέμου μεγάλη· τὰ δὲ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι.

Εἴρηται περὶ τούτων ἐν τῷ ἑνδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

(α) Λουκ. Ἡ, 22.

38 Καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον
καθεύδων· καὶ διεγείρουσιν αὐτὸν, καὶ λέγουσιν
αὐτῷ· Διδάσκαλε, οὐ μέλει σοι, ὅτι ἀπολλύμεθα;
39 Καὶ διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ, καὶ εἶπε τῇ
θαλάσσῃ· Σιώπα, πεφίμωσο. Καὶ ἐκόπασεν ὁ ἄνε-
μος καὶ ἐγένετο γαλήνη μεγάλη.

Ἐῤῥήθη καὶ περὶ τούτων πάντων ἐν ἐκείνῳ.

40 Καὶ εἶπεν αὐτοῖς· Τί δειλοί ἐστε οὕτω;

Διὰ τί φοβεῖσθε οὕτως, ἔχοντες μεθ' ἑαυτῶν ἐμὲ, τὸν σώζειν ἐκ θανάτου ἰσχύοντα, καὶ πάντα δυνάμενον;

40 Πῶς οὐκ ἔχετε πίστιν;

Ἀδίστακτον, ἀναμφίβολον.

41 Καὶ ἐφοβήθησαν φόβον μέγαν, καὶ ἔλεγον πρὸς
ἀλλήλους· Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος
καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;

Καὶ περὶ τούτων ἐκεῖ δεδήλωται.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τοῦ Λεγεῶνος.

ΚΕΦ. V, 1 Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης,
εἰς τὴν χώραν τῶν Γαδαρηνῶν.

Εἴρηται περὶ τούτων ἐν τῷ δεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

2 Καὶ ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίου, εὐθέως ἀπήντησεν
αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκα-
3 θάρτῳ· ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνήμασι.

Ἐκεῖ καὶ ταῦτα ζήτησον.

7 Καὶ οὔτε ἁλύσεσιν οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι·
4 διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἁλύσεσι δεδέ-
σθαι, καὶ διεσπᾶσθαι ὑπ' αὐτοῦ τὰς ἁλύσεις, καὶ
τὰς πέδας συντετρίφθαι· καὶ οὐδεὶς αὐτὸν ἴσχυε
5 δαμάσαι. Καὶ διαπαντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς
ὄρεσι καὶ ἐν τοῖς μνήμασιν ἦν κράζων, καὶ κατα-
6 κόπτων ἑαυτὸν λίθοις. Ἰδὼν δὲ τὸν Ἰησοῦν ἀπὸ
μακρόθεν, ἔδραμε, καὶ προσεκύνησεν αὐτῷ·

Σαφῆ ταῦτα καὶ πρόδηλα.

7 Καὶ κράξας φωνῇ μεγάλῃ, εἶπε· Τί ἐμοὶ καὶ σοὶ,
Ἰησοῦ, υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου;

Ζήτησον ἐν τῷ ῥηθέντι κεφαλαίῳ.

7 Ὁρκίζω σε τὸν θεὸν, μή με βασανίσῃς.

Ἐκεῖθεν καὶ τοῦτο γνοίης ἄν.

8 (Ἔλεγε γὰρ αὐτῷ· Ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρ-
τον ἐκ τοῦ ἀνθρώπου.)

Ὡς ἑνὶ, τοῖς πολλοῖς δαίμοσιν, ἐπιτάττει, διὰ τὴν ἀσθένειαν αὐτῶν.

9 Καὶ ἐπηρώτα αὐτόν· Τί σοι ὄνομα; Καὶ ἀπεκρίθη,
λέγων· Λεγεὼν ὄνομά μοι· ὅτι πολλοί ἐσμεν.

Τὸν ἄνθρωπον μὲν ἐπηρώτα· πρὸς τὸ πλῆθος δὲ τῶν ἐν αὐτῷ δαιμόνων διέβαινεν ἡ ἐρώτησις· διὸ καὶ τὸ πλῆθος τούτων ἀπεκρίθη. *Λεγεὼν* δὲ ὠνομάζετο, διὰ τὸ πλῆθος· *λεγεὼν* γὰρ κυρίως, τάγμα στρατιωτικόν. Ἐπερώτα δὲ, ἵνα γνῶσιν οἱ παρόντες, ὅτι πολλῶν δαιμόνων οἰκητήριον ὁ εἷς ἄνθρωπος ἦν.

10 Καὶ παρεκάλει αὐτὸν πολλὰ, ἵνα μὴ αὐτοὺς ἀπο-
στείλῃ ἔξω τῆς χώρας.

Ὁ δὲ Λουκᾶς εἶπεν· ὅτι *Καὶ παρεκάλει αὐτὸν, ἵνα μὴ ἐπι-*

τάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν (α). Εἰκὸς γὰρ, καὶ περὶ τούτου κἀκείνου παρακαλεῖν.

11 Ἦν δὲ ἐκεῖ πρὸς τῷ ὄρει ἀγέλη χοίρων μεγάλη
12 βοσκομένη. Καὶ παρεκάλεσαν αὐτὸν πάντες οἱ δαί-
μονες, λέγοντες· Πέμψον ἡμᾶς εἰς τοὺς χοίρους,
13 ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν. Καὶ ἐπέτρεψεν αὐτοῖς
εὐθέως ὁ Ἰησοῦς. Καὶ ἐξελθόντα τὰ πνεύματα τὰ
ἀκάθαρτα, εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ ὥρμησεν
ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν· ἦσαν
δὲ ὡς δισχίλιοι· καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ.

Περὶ τούτων εἴρηται λεπτομερῶς ἐν τῷ προῤῥηθέντι δωδεκάτῳ κεφαλαίῳ.

14 Οἱ δὲ βόσκοντες τοὺς χοίρους, ἔφυγον, καὶ ἀνήγγει-
λαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. Καὶ ἐξῆλ-
θον ἰδεῖν τί ἐστι τὸ γεγονός.

Ὁμοίως καὶ περὶ τούτων.

15 Καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν, καὶ θεωροῦσι τὸν
δαιμονιζόμενον, καθήμενον καὶ ἱματισμένον, καὶ σω-
φρονοῦντα, τὸν ἐσχηκότα τὸν λεγεῶνα· καὶ ἐφο-
βήθησαν.

Ὁ δὲ Λουκᾶς εἶπε, καὶ ποῦ εὗρον αὐτὸν καθήμενον, ὅτι *παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ* (β).

16 Καὶ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες, πῶς ἐγένετο τῷ
δαιμονιζομένῳ.

Πῶς ἐγένετο αὐτῷ ἡ μεταβολὴ καὶ σωφροσύνη.

16 Καὶ περὶ τῶν χοίρων.

Πῶς οὗτοι ἀπώλοντο.

(α) Λουκ. Η, 31. (β) Λουκ. Η', 35.

17 Καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν
ὁρίων αὐτῶν.

Καὶ περὶ τούτων ὁμοίως τὸ κεφάλαιον ἐκεῖνο διδάσκει.

18 Καὶ ἐμβάντος αὐτοῦ εἰς τὸ πλοῖον, παρεκάλει αὐ-
τὸν ὁ δαιμονισθεὶς, ἵνα ᾖ μετ' αὐτοῦ.

Ἅμα μὲν εὐγνωμονῶν· ἅμα δὲ καὶ φοβούμενος τοὺς δαίμονας, μὴ χωρὶς αὐτοῦ τοῦτον εὑρόντες, πάλιν ἐπιπηδήσωσιν αὐτῷ.

19 Ὁ δὲ Ἰησοῦς οὐκ ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ·
Ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς σοὺς, καὶ ἀνάγ-
γειλον αὐτοῖς, ὅσα σοι ὁ Κύριος ἐποίησε, καὶ
ἠλέησέ σε.

Ἀπέλυσεν αὐτὸν, τοῦτο μὲν, τὸν τοιοῦτον φόβον ἐκβαλὼν ἀπ' αὐτοῦ, ὡς μηκέτι τῶν δαιμόνων κατατολμώντων αὐτοῦ· τοῦτο δὲ, καὶ ἵνα τοῖς ἐν τῷ οἴκῳ καὶ τῇ πατρίδι αὐτοῦ διδάσκαλος τοῦ θαύματος γένηται. Οὐκ εἶπε δὲ, ὅτι Ὅσα σοι πεποίηκα, ἀλλ' ὅτι *Ὅσα σοι ὁ Κύριος πεποίηκε*, τῷ πατρὶ τὸ θαῦμα ἐπιγραφόμενος, καὶ παιδεύων ἡμᾶς, τῷ θεῷ τὰ κατορθώματα ἐπιγράφεσθαι.

20 Καὶ ἀπῆλθε, καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπό-
λει, ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς· καὶ πάντες ἐθαύ-
μαζον.

Ὁ μὲν Χριστὸς μετριοφρονῶν, τῷ πατρὶ τὸ ἔργον ἀνέθηκεν· ὁ δὲ θεραπευθεὶς εὐγνωμονῶν, τῷ Χριστῷ τοῦτο ἀνετίθει.

ΚΦΑΛΑΙΟΝ ΙΒ΄.

Περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου.

21 Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν

εἰς τὸ πέραν, συνήχθη ὄχλος πολὺς ἐπ' αὐτόν· καὶ
22 ἦν παρὰ τὴν θάλασσαν. Καὶ ἰδοὺ, ἔρχεται εἷς τῶν
ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος· καὶ ἰδὼν αὐτὸν,
23 πίπτει πρὸς τοὺς πόδας αὐτοῦ· καὶ παρεκάλει
αὐτὸν πολλὰ, λέγων· Ὅτι τὸ θυγάτριόν μου ἐσχά-
τως ἔχει·

Περὶ τούτου διελάβομεν ἐν τῷ πεντεκαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον. Τὸ δὲ, *ἐσχάτως ἔχει*, ἀντὶ τοῦ, τελευταῖα πνέει.

23 Ἵνα ἐλθὼν ἐπιθῇς αὐτῇ τὰς χεῖρας, ὅπως σωθῇ·
καὶ ζήσεται.

Καθ' ὑπερβατόν ἐστιν ἡ τῶν ῥητῶν σύνταξις, ὅτι *Παρεκάλει αὐτὸν πολλὰ, ἵνα ἐλθὼν ἐπιθῇ αὐτῇ τὰς χεῖρας*, καὶ τὰ ἑξῆς. Εἶτα τὸ ἐν μέσῳ.

24 Καὶ ἀπῆλθε μετ' αὐτοῦ· καὶ ἠκολούθει αὐτῷ ὄχλος
πολὺς, καὶ συνέθλιβον αὐτόν.

Συνέπνιγον, εἶπεν ὁ Λουκᾶς (α), εἴτουν, συνώθουν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Περὶ τῆς αἱμοῤῥοούσης.

25 Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα,
26 καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπα-
νήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφελη-
27 θεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα· ἀκού-
σασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν,
ἥψατο τοῦ ἱματίου αὐτοῦ.

Τὸ κεφάλαιον τοῦτο φανερώτερον ἐξέθηκεν ὁ Λουκᾶς, καὶ ζή-

(α) Λουκ. Κ΄, 42.

τησον παρ' αὐτῷ τὴν ἐξήγησιν τοῦ εἰκοστοῦ ἕκτου κεφαλαίου.

28 Ἔλεγε γάρ· Ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι,
σωθήσομαι.

Εἴρηται περὶ τούτου ἐν τῷ ἑξκαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

29 Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς·
καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος.

Ἔγνω διὰ τοῦ σώματος, μηκέτι φαινομένου τοῖς σταλαγμοῖς, ὅτι τεθεράπευται. *Μάστιγα* δὲ, τὴν νόσον ἐκάλεσεν, ὡς μαστίζουσαν αὐτὴν, καὶ τῷ πόνῳ καὶ τῇ αἰσχύνῃ.

30 Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ
αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ,
31 ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συν-
32 θλίβοντά σε, καὶ λέγεις· Τίς μου ἥψατο; Καὶ
περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν.

Ζήτησον καὶ περὶ τούτων ἐν τῇ ἐξηγήσει τοῦ εἰκοστοῦ ἕκτου κεφαλαίου τοῦ κατὰ Λουκᾶν εὐαγγελίου. Τὸ δὲ, *Ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν*, καθ' ὑπερβατὸν ἀναγνωστέον, ὅτι *Ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξελθοῦσαν ἐξ αὐτοῦ δύναμιν*.

33 Ἡ δὲ γυνὴ, φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέ-
γονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ
34 εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ·
Θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς
εἰρήνην.

Καὶ ταῦτα πάντα διηρμηνεύθησαν ἐν τῷ ῥηθέντι εἰκοστῷ ἕκτῳ κεφαλαίῳ.

34 **Καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.**

Τοῦτο οὔτε ὁ Ματθαῖος, οὔτε ὁ Λουκᾶς (α) προστεθείκασι· καὶ καινὸν οὐδέν. Εἴρηται γὰρ, ὅτι τὰ μὴ ἀναγκαῖα, τινὲς μὲν τῶν εὐαγγελιστῶν παρελίμπανον, συντομίας χάριν· τινὲς δὲ καὶ ταῦτα συνέγραφον, ἀκριβείας ἕνεκεν. Εἰκὸς δὲ αὐτοὺς καὶ τῶν μὲν θαυμάτων μνημονεύειν· τῶν δὲ ῥημάτων μὴ πάντων.

35 **Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου, λέγοντες· Ὅτι ἡ θυγάτηρ σου ἀπέθανε· τί ἔτι σκύλλεις τὸν διδάσκαλον;**

Ἔρχονται *ἀπὸ τοῦ ἀρχισυναγώγου*, τουτέστιν, ἀπὸ τῆς οἰκίας τοῦ ἀρχισυναγώγου. *Σκύλλεις* δὲ, ἀντὶ τοῦ, περισπᾷς, ἐνοχλεῖς. Οἱ γὰρ περὶ τὸν ἀρχισυνάγωγον, ἀτελῆ πίστιν εἰς Χριστὸν ἔχοντες, ὑπελάμβανον, ὅτι νοσήματα μὲν πάντα δύναται θεραπεύειν, ἀναστῆσαι δὲ νεκρὸν, οὐ δύναται· οὔπω γὰρ εἶδον τοιοῦτον ὑπ᾽ αὐτοῦ θαῦμα γεγενημένον· διὸ καὶ εἶπον, *Ἡ θυγάτηρ σου ἀπέθανε· τί ἔτι σκύλλεις τὸν διδάσκαλον*, μὴ δυνάμενον αὐτὴν ἀναστῆσαι;

36 **Ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον, λέγει τῷ ἀρχισυναγώγῳ· Μὴ φοβοῦ, μόνον πίστευε.**

Γνοὺς τὸν ἀρχισυνάγωγον ἀμβλυνθέντα περὶ τὴν πίστιν, οἷα συναπαχθέντα τοῖς λόγοις αὐτῶν, ἐπιθαῤῥύνει, καὶ ἀνακτᾶται τὴν ἀσθένειαν τῆς αὐτοῦ πίστεως.

37 **Καὶ οὐκ ἀφῆκεν οὐδένα συνακολουθῆσαι, εἰ μὴ Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν Ἰακώβου.**

Μόνους τούτους ἀπὸ τῶν ἄλλων Μαθητῶν συμπαρέλαβεν, ὡς

(α) Ματθ. Θ', 22. Λουκ. Η', 48.

διαφορωτέρους τῶν ἄλλων. Καὶ γὰρ καὶ ἐπὶ τῆς μεταμορφώσεως αὐτοῦ, μόνους τούτους παρέλαβε θεατάς.

Καὶ ζήτησον ἐν τῷ τριακοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὰς αἰτίας τῆς προτιμήσεως αὐτῶν. Προετίμα δὲ τούτους, ἵνα καὶ οἱ ἄλλοι τοιοῦτοι γένωνται.

38 **Καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον, κλαίοντας καὶ ἀλαλάζοντας πολλά.**

Ἠλάλαζον οἱ αὐληταὶ, περὶ ὧν εἰρήκαμεν ἐν τῷ ἑξκαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

39 **Καὶ εἰσελθὼν λέγει αὐτοῖς· Τί θορυβεῖσθε καὶ κλαίετε; τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει.**

Εἶπε τοῦτο, πρῶτα μὲν, τὴν λύπην αὐτῶν παραμυθούμενος· ἔπειτα καὶ διδάσκων, ὅτι παρ᾽ ἐκείνοις μὲν τέθνηκε, παρ᾽ αὐτῷ δὲ κοιμᾶται· καὶ γὰρ ἐκεῖνοι μὲν, οὐκ ἠδύναντο ἀναστῆσαι ταύτην· αὐτὸς δὲ καὶ μάλιστα· εἶτα καὶ διδοὺς θαῤῥεῖν, ὅτι καθάπερ ὕπνον ἀπελάσει τὸν θάνατον, ὡς κύριος θανάτου, καὶ ὡς ζωή.

40 **Καὶ κατεγέλων αὐτοῦ·**

Ὡς λέγοντος καθεύδειν τὴν τεθνηκυῖαν, *εἰδότες, ὅτι ἀπέθανεν*, ὡς ὁ Λουκᾶς εἶπεν (α). Ἐβούλετο δὲ καὶ αὐτὸς καταγελασθῆναι, ἵνα καὶ οἱ αὐληταὶ, καὶ ὁ κατάγελως, καὶ τὰ τοιαῦτα, σαφὴς εἶεν ἀπόδειξις τοῦ τεθνηκέναι τὸ κοράσιον, καὶ μηδεὶς ὕστερον δυνηθείη λέγειν, ὅτι οὐ τέθνηκε. Διὰ τοῦτο γὰρ καὶ τῷ κατὰ τὴν αἱμόῤῥουν θαύματι ἐνεβράδυνεν· ἵνα προδήλως τὸ παιδίον ἀποθάνῃ, καὶ εἰσενεχθῶσι μὲν οἱ αὐληταὶ, γένωνται δὲ καὶ τὰ ἑξῆς.

40 **Ὁ δὲ, ἐκβαλὼν πάντας, παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου, καὶ τὴν μητέρα, καὶ τοὺς μετ᾽αὐτοῦ.**

Τοὺς *μετ᾽ αὐτοῦ* συνελθόντας· λέγει δὲ Πέτρον, καὶ Ἰάκωβον,

(α) Λουκ. Η', 53.

καὶ Ἰωάννην. Τὸν μὲν οὖν πατέρα καὶ τὴν μητέρα τῆς κόρης παρέλαβε θεατὰς τοῦ θαύματος, ὡς οἰκείους ἐκείνῃ· τοὺς δὲ μαθητὰς, ὡς οἰκείους ἑαυτῷ· τοὺς ἄλλους δὲ πάντας ἐξέβαλε, φεύγων τὸν παρ' αὐτῶν ἔπαινον. Οὐδέποτε γὰρ τοιοῦτον ἰδόντες, ἔμελλον αὐτὸν κροτῆσαι καὶ ὑπερευφημῆσαι.

40 Καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον.
41 Καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου, λέγει αὐτῇ·
Ταλιθὰ κοῦμι· ὅ ἐστι μεθερμηνευόμενον· Τὸ κορά-
42 σιον, σοὶ λέγω, ἔγειραι. Καὶ εὐθέως ἀνέστη τὸ κο-
ράσιον, καὶ περιεπάτει·

Ἐκράτησε τῆς χειρὸς αὐτῆς καὶ ἐφώνησεν, ἵνα ἡ φωνὴ μὲν ἐπιστρέψῃ τὴν οἰχομένην ψυχήν· ἡ δὲ χείρ, συμπήξῃ τὸ σῶμα.

Ἢ καὶ ἑτέρως· Ἐκράτησε τῆς χειρὸς αὐτῆς, δεικνὺς, ὅτι καὶ ἡ παναγία σὰρξ αὐτοῦ ζωοποιεῖ τοὺς νεκρούς.

42 Ἦν γὰρ ἐτῶν δώδεκα·

Ἐπειδὴ παιδίον ἄνω ταύτην ἔλεγε, νῦν σαφηνίζει καὶ τὴν ἡλικίαν αὐτῆς.

43 Καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ. Καὶ διεστείλατο
αὐτοῖς πολλὰ, ἵνα μηδεὶς γνῷ τοῦτο·

Διεστείλατο, ἀντὶ τοῦ, παρήγγειλεν· οὕτω γὰρ εἶπεν ὁ Λουκᾶς (α). Διὰ τοῦτο γὰρ καὶ τοὺς ἄλλους πάντας ἐξέβαλε. Γινώσκων δὲ, ὅτι πανταχοῦ δραμεῖται τοῦ θαύματος ὁ λόγος· καὶ γὰρ ὁ Ματθαῖος εἶπεν· ὅτι *ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην* (β)· ὅμως τὸ οἰκεῖον πανταχοῦ ποιεῖ (1).

43 Καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν.

Τοῦτο προσέταξεν, ἵνα μὴ φάσμα δόξῃ τούτοις ἡ ἀναστᾶσα. Διὰ τοῦτο γὰρ οὐδ' αὐτὸς δίδωσιν αὐτῇ φαγεῖν, ἀλλὰ τοῖς γονεῦσιν ἐπιτρέπει τοῦτο ποιῆσαι.

(α) Λουκ. Η΄, 56. (β) Ματθ. Θ΄, 26. (1) Νοεῖται τὸ, φεύγει τὸν ἔπαινον.

ΚΕΦ. VI, 1 Καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς τὴν
πατρίδα αὐτοῦ· καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ
2 αὐτοῦ. Καὶ γενομένου σαββάτου, ἤρξατο ἐν τῇ συνα-
γωγῇ διδάσκειν· καὶ πολλοὶ ἀκούοντες ἐξεπλήσσον-
το, λέγοντες· Πόθεν τούτῳ ταῦτα; καὶ, τίς ἡ σοφία
ἡ δοθεῖσα αὐτῷ; καὶ δυνάμεις τοιαῦται διὰ τῶν
3 χειρῶν αὐτοῦ γίνονται; Οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ
υἱὸς Μαρίας, ἀδελφὸς δὲ Ἰακώβου, καὶ Ἰωσῆ, καὶ
Ἰούδα, καὶ Σίμωνος; καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ
πρὸς ἡμᾶς; Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ.

Ἐπιβαίνει τῆς πατρίδος, οὐκ ἀγνοῶν, ὅτι καταφρονήσουσιν αὐτοῦ, ἀλλ' ἵνα μὴ δύνωνται λέγειν ὕστερον, ὅτι οὐκ ἐδίδαξεν αὐτούς· ἅμα δὲ καὶ τὸν φθόνον αὐτῶν ἐξελέγχων. Δέον γὰρ χαίρειν ἐπ' αὐτῷ, κοσμοῦντι τὴν πατρίδα αὐτῶν διδασκαλίαις καὶ θαύμασιν, ἐσκανδαλίζοντο μᾶλλον ἐπ' αὐτῷ, διὰ τὴν τοῦ γένους αὐτοῦ εὐτέλειαν.

Τὸ δὲ, *Καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται*, ἐλλειπτικόν ἐστιν· ἐλλείπει γὰρ τὸ, πόθεν· οἷον, Καὶ πόθεν δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται;

Εἴρηται δὲ περὶ τούτων ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον πρὸς τῷ τέλει, μετὰ τὴν συμπλήρωσιν τῶν παραβολῶν.

4 Ἔλεγε δὲ αὐτοῖς ὁ Ἰησοῦς· Ὅτι οὐκ ἔστι προφή-
της ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς
συγγενέσι, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.

Καὶ περὶ τούτων ἐν ἐκείνῳ τῷ κεφαλαίῳ διείληπται.

5 Καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι,
εἰ μὴ ὀλίγοις ἀῤῥώστοις ἐπιθεὶς τὰς χεῖρας, ἐθε-
6 ράπευσε. Καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν.

Καὶ περὶ τούτων σαφῶς ἐκεῖ διηρμήνευται. Νοεῖται δὲ

τὸ, οὐκ ἠδύνατο, καὶ ἀντὶ τοῦ, οὐκ ἐνδεχόμενον ἐνόμιζε. Φησὶ γὰρ ὁ θεολόγος Γρηγόριος (1), ὅτι, ἐπεὶ τοῦ συναμφοτέρου χρεία πρὸς τὰς ἰάσεις, καὶ τῆς τῶν θεραπευομένων πίστεως, καὶ τῆς τοῦ θεραπευτοῦ δυνάμεως, οὐκ ἐνεδέχετο τὸ ἕτερον, τοῦ συζύγου ἐλλείποντος. Οὐκ (2) οἶδα δὲ, εἰ μὴ καὶ τοῦτο τῷ εὐλόγῳ προσθετέον· οὐ γὰρ εὔλογος ἴασις τοῖς βλαβησομένοις ἐξ ἀπιςίας.

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Περὶ τῆς ἀποστολῆς τῶν δώδεκα.

7 Καὶ περιῆγε τὰς κώμας κύκλῳ, διδάσκων. Καὶ προσκαλεῖται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο.

Πρὸς παρηγορίαν ἀλλήλων, ὡς εἴρηται ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

7 Καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων.

Ματθαῖος δὲ προσέθηκεν (α)· ὅτι *Ὥστε αὐτὰ ἐκβάλλειν, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν*. Ὁ δὲ Λουκᾶς ἔγραψεν, ὅτι *Ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν* (β).

8 Καὶ παρήγγειλεν αὐτοῖς, ἵνα μηδὲν αἴρωσιν εἰς ὁδὸν,
εἰ μὴ ῥάβδον μόνον· μὴ πήραν, μὴ ἄρτον, μὴ εἰς
9 τὴν ζώνην χαλκόν· ἀλλ' ὑποδεδεμένους σανδάλια·

Εἴρηται καὶ περὶ τούτων κατὰ λεπτὸν ἐν τῷ δηλωθέντι ἐννεακαιδεκάτῳ κεφαλαίῳ.

(1) Γρηγορ. Ναζ. Σελ. 215. (2) Καὶ ταῦτα τοῦ αὐτοῦ Γρηγορίου.
(α) Ματθ. Ι', 1. (β) Λουκ. Θ', 1.

9 Καὶ μὴ ἐνδύσασθαι δύο χιτῶνας.

Ἀπὸ κοινοῦ ληπτέον τὸ, *παρήγγειλε*.

10 Καὶ ἔλεγεν αὐτοῖς· Ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν.

Ἐκεῖ καὶ ταῦτα σεσαφήνισται.

11 Καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν, ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν, εἰς μαρτύριον αὐτοῖς.

Εἴρηται καὶ περὶ τούτων ἐν τῷ ῥηθέντι κεφαλαίῳ.

11 Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόῤῥοις ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ.

Ὁμοίως καὶ περὶ τούτου.

12 Καὶ ἐξελθόντες, ἐκήρυσσον, ἵνα μετανοήσωσι· καὶ
13 δαιμόνια πολλὰ ἐξέβαλλον· καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους, καὶ ἐθεράπευον.

Περὶ τῆς ἀλείψεως τοῦ ἐλαίου μόνος ὁ Μάρκος φησί. Παραγγέλλει δὲ περὶ ταύτης καὶ Ἰάκωβος ἐν τῇ καθολικῇ ἐπιστολῇ αὐτοῦ, λέγων· *Ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ, ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος* (α). Εἰκὸς δὲ, καὶ τοῦτο παρὰ τοῦ Κυρίου διδαχθῆναι τοὺς ἀποστόλους. Ἦν δὲ τὸ ἔλαιον, σύμβολον ἱλαρότητος τοῦ σώματος καὶ φαιδρότητος τῆς ψυχῆς (1).

(α) Ἰακ. Ε', 14. 15. (1) Παρὰ τῷ Θεοφυλάκτῳ Σελ. 219 «Ἐστιν οὖν τὸ ἔλαιον καὶ πρὸς κόπους ὠφέλιμον, καὶ φωτὸς αἴτιον, καὶ ἱλαρότητος πρόξενον, καὶ σημαίνει τὸ ἔλεος τοῦ θεοῦ, καὶ τὴν χάριν τοῦ πνεύματος, δι' ἧς καὶ κόπων ἀπαλλαττόμεθα, καὶ φῶς καὶ χαρὰν καὶ ἱλαρότητα πνευματικὴν δεχόμεθα.»

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Περὶ Ἰωάννου καὶ Ἡρώδου.

14 Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρώδης, (φανερὸν γὰρ ἐγέ-
νετο τὸ ὄνομα αὐτοῦ,) καὶ ἔλεγεν· Ὅτι Ἰωάννης ὁ
βαπτίζων ἐκ νεκρῶν ἠγέρθη, καὶ διὰ τοῦτο ἐνερ-
15 γοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. Ἄλλοι ἔλεγον· Ὅτι
Ἡλίας ἐστίν. Ἄλλοι δὲ ἔλεγον· Ὅτι προφήτης ἐστίν,
16 ὡς εἷς τῶν προφητῶν. Ἀκούσας δὲ ὁ Ἡρώδης,
εἶπεν· Ὅτι ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός
ἐστιν, αὐτὸς ἠγέρθη ἐκ νεκρῶν.

Περὶ τῆς ὑποθέσεως ταύτης εἴρηται ἀκριβῶς ἐν τῷ εἰκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

Τινὰ δὲ τῶν ἀντιγράφων (1) μετὰ τοῦ ἄρθρου γράφουσιν· ὅτι *ὁ προφήτης ἐστίν, ἢ ὡς εἷς τῶν προφητῶν*. Προσεδόκων γὰρ προφήτην, περὶ οὗ προεφήτευσεν αὐτοῖς ὁ Μωϋσῆς (α). Οὗτος δὲ ἦν, ὁ Χριστός.

17 Αὐτὸς γὰρ ὁ Ἡρώδης, ἀποστείλας ἐκράτησε τὸν
Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ, διὰ Ἡρω-
διάδα, τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ,
18 ὅτι αὐτὴν ἐγάμησεν. Ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ

(1) Καὶ εἰς ὃ ἄρα εἶχε πρὸ ὀφθαλμῶν κείμενον τοῦ Μάρκου ὁ Εὐθύμιος χωρὶς τοῦ ἄρθρου, καὶ ἑπομένως καὶ χωρὶς τοῦ, Ἢ, ἐγράφετο. Ἐν οἷς δὲ εἶχεν ἐν χερσὶν εἰς τὸ χωρίον τοῦτο σχολίοις ἀνεγινώσκετο οὕτως· «Ὁ δὲ Μάρκος εἰπών, ὥς τινές φασιν, ὅτι ἄλλοι δὲ ἔλεγον· ὅτι προφήτης ἐστὶν, ὡς εἷς τῶν προφητῶν, αἰνίττεσθαί μοι δοκεῖ, λέγειν ἐκείνους, περὶ οὗ φησὶν ὁ Μωϋσῆς· Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ θεὸς ὑμῶν, ὡς ἐμέ.» Ἡ ἑρμηνεία αὕτη ἀπαιτεῖ τὸ ἄρθρον, Ὁ. Ἀλλὰ τούτου προστεθέντος, προσετέθη καὶ τὸ, Ἢ. Ἴδ. Οὐΐκτορος σειρὰν εἰς τὸν Μάρκον Τομ. Α΄. Σελ. 104. Ἐκδ. Μόσχας, καὶ Σελ. 126. Ἐκδ. Ποσσίνου. Ἐὰν δὲ ἐγράφετο, Ὁ προφήτης, δὲν ἐδύνατο νὰ ἦναι, ὡς εἷς τῶν προφητῶν· Ὅθεν προστεθὲν καὶ τὸ, Ἢ, πρῶτον ἐν τῷ σχολίῳ, προσετέθη ἔπειτα καὶ ἐν τῷ κειμένῳ. (α) Δευτερ. ΙΗ΄, 15.

Ἡρώδῃ· Ὅτι οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ
ἀδελφοῦ σου.

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καὶ περὶ τούτων εἴρηται.

19 Ἡ δὲ Ἡρωδιὰς ἐνεῖχεν αὐτῷ, καὶ ἤθελεν αὐτὸν
20 ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο. Ὁ γὰρ Ἡρώδης ἐφο-
βεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ
ἅγιον· καὶ συνετήρει αὐτόν· καὶ ἀκούσας αὐτοῦ,
πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουε.

Ἔτι καὶ περὶ τούτων.

21 Καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρώδης τοῖς
γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν
αὐτοῦ, καὶ τοῖς χιλιάρχοις, καὶ τοῖς πρώτοις τῆς Γα-
22 λιλαίας· καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς
Ἡρωδιάδος, καὶ ὀρχησαμένης, καὶ ἀρεσάσης τῷ
Ἡρώδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς
τῷ κορασίῳ· Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω
23 σοί. Καὶ ὤμοσεν αὐτῇ· Ὅτι ὃ ἐάν με αἰτήσῃς, δώσω
σοί, ἕως ἡμίσους τῆς βασιλείας μου.

Ὁμοίως καὶ περὶ τούτων.

24 Ἡ δὲ ἐξελθοῦσα, εἶπε τῇ μητρὶ αὐτῆς· Τί αἰτήσο-
μαι; Ἡ δὲ εἶπε· Τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτι-
25 στοῦ. Καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς
τὸν βασιλέα, ᾐτήσατο, λέγουσα· Θέλω ἵνα μοι δῷς
ἐξαυτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτι-
26 στοῦ. Καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς, διὰ τοὺς
ὅρκους καὶ τοὺς συνανακειμένους οὐκ ἠθέλησεν αὐ-
27 τὴν ἀθετῆσαι. Καὶ εὐθέως ἀποστείλας ὁ βασιλεὺς σπε-
κουλάτωρα, ἐπέταξεν ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ.
28 Ὁ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ·

καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδω-
κεν αὐτὴν τῷ κορασίῳ· καὶ τὸ κοράσιον ἔδωκεν αὐ-
τὴν τῇ μητρὶ αὐτῆς.

Καὶ περὶ τούτων πάντων ἡ ἐξήγησις ἐκείνου τοῦ κεφαλαίου διέξεισι.

29 Καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ, ἦλθον, καὶ ἦραν
τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ.

Εἴρηται καὶ περὶ τούτων ἐν ἐκείνῳ.

30 Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν,
καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν, καὶ
31 ὅσα ἐδίδαξαν. Καὶ εἶπεν αὐτοῖς· Δεῦτε ὑμεῖς αὐ-
τοὶ κατ' ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύεσθε
ὀλίγον. Ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες
πολλοί· καὶ οὐδὲ φαγεῖν ηὐκαίρουν.

Ἐκεῖ καὶ περὶ τούτων ζήτησον. Διδασκόμεθα δὲ ἐντεῦθεν, ὅτι χρὴ τοὺς διδασκάλους τῆς ἐκκλησίας, μὴ διαπαντὸς ἑαυτοὺς ἐκδιδόναι τοῖς πλήθεσιν, ἀλλ' ἐν καιρῷ συστέλλεσθαι, καὶ ἰδιάζειν, καὶ συνάγειν τὸν νοῦν ἀπὸ τῆς ἔξω περιφορᾶς· καὶ ὅτι προσήκει διαναπαύειν τοὺς διακονοῦντας, καὶ σωματικῶς παρηγορεῖν μετὰ τὴν διακονίαν.

32 Καὶ ἀπῆλθον εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ' ἰδί-
33 αν. Καὶ εἶδον αὐτοὺς ὑπάγοντας οἱ ὄχλοι· καὶ ἐπέ-
γνωσαν αὐτὸν πολλοί· καὶ πεζῇ ἀπὸ πασῶν τῶν
πόλεων συνέδραμον ἐκεῖ, καὶ προῆλθον αὐτούς, καὶ
συνῆλθον πρὸς αὐτόν.

Ὡσαύτως καὶ περὶ τούτων. *Ἀπὸ πασῶν δὲ τῶν πόλεων*, τῶν πέριξ, δηλονότι.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

Περὶ τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων.

34 Καὶ ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον, καὶ
ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, ὅτι ἦσαν ὡς πρόβατα μὴ
ἔχοντα ποιμένα·

Καὶ περὶ τούτων ἐν τῷ προδιαληφθέντι κεφαλαίῳ διείληπται. *Ποιμένα* δὲ λέγει, τὸν φροντίζοντα τῆς σωτηρίας αὐτῶν.

35 Καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά. Καὶ ἤδη ὥρας
πολλῆς γενομένης, προσελθόντες αὐτῷ οἱ μαθηταὶ
αὐτοῦ, λέγουσιν· Ὅτι ἔρημός ἐστιν ὁ τόπος, καὶ
36 ἤδη ὥρα πολλή· ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες
εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας, ἀγοράσωσιν
37 ἑαυτοῖς ἄρτους· τί γὰρ φάγωσιν οὐκ ἔχουσιν. Ὁ δὲ
ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν.

Καὶ ταῦτα ἐκεῖθεν διαγνωσθῆναι ῥᾴδιον.

37 Καὶ λέγουσιν αὐτῷ· Ἀπελθόντες ἀγοράσωμεν δη-
ναρίων διακοσίων ἄρτους, καὶ δῶμεν αὐτοῖς φαγεῖν;

Τοῦτο κατ' ἐρώτησιν ἀναγνωστέον. Βαρυνομένων δὲ ὁ τοιοῦτος λόγος.

38 Ὁ δὲ λέγει αὐτοῖς· Πόσους ἄρτους ἔχετε; ὑπάγε-
τε καὶ ἴδετε. Καὶ γνόντες, λέγουσι· Πέντε, καὶ δύο
39 ἰχθύας. Καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας συμ-
40 πόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ. Καὶ ἀνέ-
πεσον πρασιαὶ πρασιαί, ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντή-
κοντα.

Περὶ τούτων εἴρηται ἐν τῷ εἰκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

41 Καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας,
ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησε, καὶ κατέ-
κλασε τοὺς ἄρτους· καὶ ἐδίδου τοῖς μαθηταῖς αὐ-
τοῦ, ἵνα παραθῶσιν αὐτοῖς· καὶ τοὺς δύο ἰχθύας ἐμέ-
42 ρισε πᾶσι. Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν.
43 Καὶ ἦραν κλασμάτων δώδεκα κοφίνους πλήρεις,
44 καὶ ἀπὸ τῶν ἰχθύων. Καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρ-
τους, πεντακισχίλιοι ἄνδρες.

Ἐν ἐκείνῳ καὶ περὶ τούτων πάντων ἐῤῥήθη.

45 Καὶ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι
εἰς τὸ πλοῖον, καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθ-
46 σαϊδὰν, ἕως αὐτὸς ἀπολύσῃ τὸν ὄχλον. Καὶ ἀποταξά-
μενος αὐτοῖς, ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι.

Ὁμοίως καὶ περὶ τούτων. *Ἀποταξάμενος δὲ αὐτοῖς*, ἀντὶ τοῦ, ἀπολύσας αὐτοὺς, δηλαδὴ, τοὺς ὄχλους. Οὕτω γὰρ εἶπεν ὁ Ματθαῖος (α).

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.

47 Καὶ ὀψίας γενομένης, ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς
48 θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς. Καὶ εἶ-
δεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν· ἦν γὰρ
ὁ ἄνεμος ἐναντίος αὐτοῖς· καὶ περὶ τετάρτην φυ-
λακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς, περιπατῶν
ἐπὶ τῆς θαλάσσης·

Ζήτησον περὶ τούτων ἐν τῷ εἰκοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

(α) Ματθ. ΙΔʹ, 23.

48 Καὶ ἤθελε παρελθεῖν αὐτούς.

Ἵνα πλέον ἀγωνιάσωσιν.

49 Οἱ δὲ, ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσ-
50 σης, ἔδοξαν φάντασμα εἶναι, καὶ ἀνέκραξαν. Πάν-
τες γὰρ αὐτὸν εἶδον, καὶ ἐταράχθησαν. Καὶ εὐ-
θέως ἐλάλησε μετ' αὐτῶν, καὶ λέγει αὐτοῖς· Θαρ-
σεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε.

Καὶ περὶ τούτων ἐν ἐκείνῳ εἴρηται.

51 Καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον· καὶ ἐκόπα-
σεν ὁ ἄνεμος·

Συνέτεμεν ὁ Μάρκος τὰ κατὰ τὸν Πέτρον· ἔτι δὲ καὶ ὁ Ἰωάννης· ὁ δὲ Ματθαῖος καὶ ταῦτα σαφῶς ἀνέγραψεν.

51 Καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο, καὶ
52 ἐθαύμαζον. Οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις· ἦν
γὰρ ἡ καρδία αὐτῶν πεπωρωμένη.

Καὶ ταῦτα ἐν τῷ τοιούτῳ κεφαλαίῳ διασεσάφηται.

53 Καὶ διαπεράσαντες ἦλθον ἐπὶ τὴν γῆν Γεννησαρέτ·
54 καὶ προσωρμίσθησαν. Καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ
55 πλοίου, εὐθέως ἐπιγνόντες αὐτὸν, περιδραμόντες
ὅλην τὴν περίχωρον ἐκείνην, ἤρξαντο ἐπὶ τοῖς κραβ-
βάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου ἤκουον
56 ὅτι ἐκεῖ ἐστι. Καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας,
ἢ πόλεις, ἢ ἀγροὺς, ἐν ταῖς ἀγοραῖς ἐτίθουν τοὺς
ἀσθενοῦντας, καὶ παρεκάλουν αὐτὸν, ἵνα κἂν τοῦ
κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἂν
ἥπτοντο αὐτοῦ, ἐσώζοντο.

Ἐκεῖ καὶ περὶ πάντων τούτων εὑρήσεις. *Σωτηρίαν* δὲ νῦν, τὴν ὑγείαν νόει.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ θεοῦ.

ΚΕΦ. VII, 1 Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι,
καί τινες τῶν γραμματέων, ἐλθόντες ἀπὸ Ἱεροσο-
2 λύμων. Καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοι-
ναῖς χερσὶ, τουτ' ἔστιν, ἀνίπτοις, ἐσθίοντας ἄρτους,
3 ἐμέμψαντο· (οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰου-
δαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ
ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέ-
4 ρων· καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ
ἐσθίουσι·

Καὶ περὶ τούτων ἡ ἐξήγησις ἐκείνου τοῦ κεφαλαίου διαλαμβάνει.

4 Καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν, βα-
πτισμοὺς ποτηρίων, καὶ ξεστῶν, καὶ χαλκίων, καὶ
κλινῶν·)

Ἐκεῖ καὶ περὶ τούτων εἴρηται.

5 Ἔπειτα ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ
γραμματεῖς· Διατί οἱ μαθηταί σου οὐ περιπατοῦσι
κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλὰ ἀνί-
6 πτοις χερσὶν ἐσθίουσι τὸν ἄρτον; Ὁ δὲ ἀποκριθεὶς,
εἶπεν αὐτοῖς· Ὅτι καλῶς προεφήτευσεν Ἡσαίας
περὶ ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέγραπται· «Οὗτος
ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν
7 πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. Μάτην δὲ σέβονταί με,
διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων.»
8 Ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ θεοῦ, κρατεῖτε τὴν
παράδοσιν τῶν ἀνθρώπων, βαπτισμοὺς ξεστῶν καὶ

ποτηρίων· καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ
ποιεῖτε.

Ἡ τούτων διάγνωσις ἐν τῷ εἰκοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον κεῖται.

9 Καὶ ἔλεγεν αὐτοῖς· Καλῶς ἀθετεῖτε τὴν ἐντολὴν
τοῦ θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε.

Κατ' εἰρωνείαν τοῦτό φησι.

10 Μωσῆς γὰρ εἶπε· «Τίμα τὸν πατέρα σου καὶ τὴν
μητέρα σου·» καὶ· «Ὁ κακολογῶν πατέρα ἢ μητέρα,
11 θανάτῳ τελευτάτω.» Ὑμεῖς δὲ λέγετε· Ἐὰν εἴπῃ
ἄνθρωπος τῷ πατρὶ, ἢ τῇ μητρί· Κορβᾶν (ὅ ἐστι,
δῶρον), ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς·

Καὶ περὶ τούτων ἐν ἐκείνῳ τῷ κεφαλαίῳ λελεπτολόγηται.

12 Καὶ οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ
αὐτοῦ, ἢ τῇ μητρὶ αὐτοῦ.

Οὐδὲν εὐάρεστον.

13 Ἀκυροῦντες τὸν λόγον τοῦ θεοῦ τῇ παραδόσει ὑμῶν,
ᾗ παρεδώκατε· καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.

Λόγον τοῦ θεοῦ λέγει, τὸν νόμον, τὸν κελεύοντα τιμᾷν τοὺς γονεῖς. Ζήτει δὲ καὶ περὶ τούτων ἐν τῷ ῥηθέντι κεφαλαίῳ.

14 Καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον, ἔλεγεν
15 αὐτοῖς· Ἀκούετέ μου πάντες, καὶ συνίετε. Οὐδέν
ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐ-
τὸν, ὃ δύναται αὐτὸν κοινῶσαι· ἀλλὰ τὰ ἐκπορευό-
μενα ἀπ' αὐτοῦ, ἐκεῖνά ἐστι τὰ κοινοῦντα τὸν ἄν-
θρωπον.

Ἐκεῖ καὶ περὶ τούτων εἴρηται,

16 Εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω.

Τοῦτο πολλάκις ἡρμηνεύθη.

17 Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώ-
των αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς.
18 Καὶ λέγει αὐτοῖς· Οὕτω καὶ ὑμεῖς ἀσύνετοί ἐστε;
Οὐ νοεῖτε, ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν
19 ἄνθρωπον οὐ δύναται αὐτὸν κοινῶσαι; Ὅτι οὐκ εἰσ-
πορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοι-
λίαν· καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον
πάντα τὰ βρώματα.

Ἐκεῖ καὶ περὶ τούτων ἀκριβέστατα διεσαφηνίσθη.

20 Ἔλεγε δὲ, ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον,
21 ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον. Ἔσωθεν γὰρ ἐκ τῆς
καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ
22 ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι, κλοπαὶ,
πλεονεξίαι, πονηρίαι, δόλος, ἀσέλγεια, ὀφθαλμὸς
23 πονηρὸς, βλασφημία, ὑπερηφανία, ἀφροσύνη· πάν-
τα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται, καὶ κοι-
νοῖ τὸν ἄνθρωπον.

Ὁμοίως καὶ περὶ τούτων.

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

Περὶ τῆς Φοινικίσσης.

24 Καὶ ἐκεῖθεν ἀναστὰς, ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου
καὶ Σιδῶνος·

Εἰς τὰ μέρη, Ματθαῖος εἶπε (α). Ζήτησον δὲ τὴν ἐξήγησιν τοῦ τέλους τοῦ εἰκοστοῦ ὀγδόου κεφαλαίου αὐτοῦ.

(α) Ματθ. ΙΕʹ, 21.

24 Καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν, οὐδένα ἤθελε γνῶναι·
καὶ οὐκ ἠδυνήθη λαθεῖν.

Ἐκεῖσε τὴν αἰτίαν εἰρήκαμεν.

25 Ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγά-
τριον αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπε-
26 σε πρὸς τοὺς πόδας αὐτοῦ· (ἦν δὲ ἡ γυνὴ Ἑλλη-
νὶς, Σύρα Φοινίκισσα τῷ γένει·)

Εἴρηται περὶ ταύτης ἐν τῷ εἰκοστῷ ἐννάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

26 Καὶ ἠρώτα αὐτὸν, ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς
θυγατρὸς αὐτῆς.

Ἠρώτα, ἀντὶ τοῦ, παρεκάλει, ὡς ἐν ἐκείνῳ παρασεσημείωται.

27 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῇ· Ἄφες πρῶτον χορτα-
σθῆναι τὰ τέκνα· οὐ γὰρ καλόν ἐστι λαβεῖν τὸν ἄρ-
28 τον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δὲ
ἀπεκρίθη, καὶ λέγει αὐτῷ· Ναὶ, Κύριε· καὶ γὰρ τὰ
κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψι-
29 χίων τῶν παιδίων. Καὶ εἶπεν αὐτῇ· Διὰ τοῦτον τὸν
λόγον ὕπαγε· ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυ-
γατρός σου.

Ἐν τῷ τοιούτῳ κεφαλαίῳ πάντα ταῦτα διηρμηνεύθησαν.

30 Καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς, εὗρε τὸ δαι-
μόνιον ἐξεληλυθὸς, καὶ τὴν θυγατέρα βεβλημένην
ἐπὶ τῆς κλίνης.

Κειμένην ἐν εἰρήνῃ.

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Περὶ τοῦ μογιλάλου.

31 Καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶ-
νος, ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας, ἀνὰ
μέσον τῶν ὁρίων Δεκαπόλεως.

Οὐκ ἐμβραδύνει τοῖς μέρεσι τῶν ἐθνῶν, ἵνα μὴ κατηγορηθῇ παρ᾽ Ἰουδαίων, ὡς τοῖς ἐθνικοῖς ἐπιμιγνύμενος.

32 Καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον· καὶ παρακα-
33 λοῦσιν αὐτὸν, ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. Καὶ ἀπο-
λαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ᾽ ἰδίαν, ἔβαλε
τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ· καὶ πτύ-
σας ἥψατο τῆς γλώσσης αὐτοῦ.

Ἀπέλαβεν αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ᾽ ἰδίαν, τουτέστι, Παρέλαβεν, ἐχώρισεν, ἵνα μὴ δόξῃ θεατρίζειν τὰ θαύματα, καὶ μάλιστα γνούς τινας τῶν μεμψιμοίρων ἀναμεμιγμένους τοῖς πλήθεσιν.

Ἄλλως τε, ποτὲ μὲν ἐνώπιον πολλῶν θαυματουργεῖ, δι᾽ ὠφέλειαν τῶν ὁρώντων· ποτὲ δὲ, κατ᾽ ἰδίαν, διὰ τὸ φεύγειν τὸν ἔπαινον, ὡς τύφου γεννητικόν. Ἔβαλε δὲ τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ, ἕνα μὲν τῆς δεξιᾶς χειρὸς, εἰς τοῦτο τὸ οὖς· ἕνα δὲ τῆς ἀριστερᾶς, εἰς ἐκεῖνο, διὰ τὸ στενὸν καὶ βαθὺ τῆς ἀκοῆς, ἵνα θίξῃ ταύτης. Ἠδύνατο δὲ καὶ τρόπον ἕτερον θεραπεῦσαι αὐτόν· ἀλλ᾽ ἵνα γνῶμεν, ὅτι πᾶν μέρος τοῦ ἁγίου σώματος αὐτοῦ θείας δυνάμεως μεστὸν ἦν. Ἰδοὺ γὰρ καὶ τὸ πτύελον τοῦ ἀχράντου στόματος, μεθ᾽ οὗ τῆς μογιγῆς γλώσσης ἥψατο, θείας μετεῖχε δυνάμεως· καὶ πάντα δὲ πάντως τὰ περιττώματα τοῦ θεανδρικοῦ σώματος ἅγια ἦν, ὡς τοιούτου σώματος· ἐνήργουν δὲ μόνον, ὅτε ἤθελεν.

Καὶ ἐν τῷ εἰκοστῷ δὲ τρίτῳ κεφαλαίῳ τοῦ παρόντος εὐ-

αγγελιστοῦ πτυέλῳ πρὸς τὴν θεραπείαν ἐχρήσατο τοῦ τυφλοῦ. Καὶ ἐν τῷ δεκάτῳ δὲ τοῦ Ἰωάννου, ὅτε τὸν ἐκ γενετῆς τυφλὸν ἰάσατο. Τοῦτο δὲ ἐποίει πρὸς πίστωσιν τῆς ἡνωμένης αὐτῷ θεότητος. Πῶς γὰρ ἂν ἐνήργουν ταῦτα, εἰ μὴ θεὸς ἦν;

34 Καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, ἐστέναξε, καὶ λέ-
35 γει αὐτῷ· Ἐφφαθὰ, ὅ ἐστι, διανοίχθητι. Καὶ εὐθέ-
ως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαί· καὶ ἐλύθη ὁ δε-
σμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς.

Ἀνέβλεψε μὲν εἰς τὸν οὐρανὸν, διδάσκων τοὺς μέλλοντας θεραπεύειν πρὸς θεὸν ἀφορᾷν, καὶ παρ᾽ αὐτοῦ δύναμιν αἰτεῖν· ἐστέναξε δὲ, ἐπικαμπτόμενος τοῖς πάθεσι τοῦ ἀνθρώπου, καὶ κατοικτείρων τὴν ἀνθρωπίνην φύσιν, οὕτως ἐπηρεαζομένην ὑπό τε νόσων καὶ δαιμόνων διὰ τὴν τῆς ἐντολῆς παράβασιν.

36 Καὶ διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ
αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον
37 ἐκήρυσσον. Καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο, λέ-
γοντες· Καλῶς πάντα πεποίηκε· καὶ τοὺς κωφοὺς
ποιεῖ ἀκούειν, καὶ τοὺς ἀλάλους λαλεῖν.

Τὴν αἰτίαν, δι᾽ ἣν παρήγγειλε σιγᾷν, εἰρήκαμεν διαφόρως.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Περὶ τῶν ἑπτὰ ἄρτων.

ΚΕΦ. VIII, 1 Ἐν ἐκείναις ταῖς ἡμέραις, παμπόλλου
ὄχλου ὄντος, καὶ μὴ ἐχόντων τί φάγωσι, προσκα-
λεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ, λέγει
2 αὐτοῖς· Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον· ὅτι ἤδη ἡμέ-
ρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι.

3 Καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν,
ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς γὰρ αὐτῶν μακρόθεν
ἥκουσι.

Εἴρηται περὶ τούτων ἐπὶ τέλους τοῦ τριακοστοῦ κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

4 Καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Πόθεν τού-
τους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρη-
5 μίας; Καὶ ἐπηρώτα αὐτούς· Πόσους ἔχετε ἄρτους;
6 Οἱ δὲ εἶπον· Ἑπτά. Καὶ παρήγγειλε τῷ ὄχλῳ ἀνα-
πεσεῖν ἐπὶ τῆς γῆς· καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους,
εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς
αὐτοῦ, ἵνα παραθῶσι· καὶ παρέθηκαν τῷ ὄχλῳ.

Διέξεισι καὶ περὶ τούτων τὸ τριακοστὸν πρῶτον κεφάλαιον τοῦ κατὰ Ματθαῖον.

7 Καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ εὐλογήσας, εἶπε πα-
8 ραθεῖναι καὶ αὐτά. Ἔφαγον δὲ, καὶ ἐχορτάσθησαν·
καὶ ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας.
9 Ἦσαν δὲ οἱ φαγόντες, ὡς τετρακισχίλιοι· καὶ ἀπέ-
λυσεν αὐτούς.

Καὶ ταῦτα ἐν ἐκείνῳ ἡρμήνευται.

10 Καὶ εὐθέως ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθη-
11 τῶν αὐτοῦ, ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά. Καὶ
ἐξῆλθον οἱ Φαρισαῖοι, καὶ ἤρξαντο συζητεῖν αὐτῷ,
ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ,
πειράζοντες αὐτόν.

Ἐκεῖ καὶ περὶ τούτων ἐῤῥήθη.

12 Καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ, λέγει· Τί ἡ
γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ;

Ὁμοίως καὶ περὶ τούτων. Τὸ δὲ, *τί σημεῖον*, ἀντὶ τοῦ, ὁποῖ-

ον σημεῖον· ἤ, τί, ἀντὶ τοῦ, διὰ τί. Ἔγνω γὰρ τὴν αἰτίαν, δι' ἣν τοιοῦτον σημεῖον ἐπεζήτουν.

12 Ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ
σημεῖον!

Εἰ *δοθήσεται*, ἀντὶ τοῦ, οὐ δοθήσεται. Ἰδίωμα γὰρ τοῦτο τῆς ἑβραΐδος διαλέκτου.

13 Καὶ ἀφεὶς αὐτοὺς, ἐμβὰς πάλιν εἰς τὸ πλοῖον, ἀ-
πῆλθεν εἰς τὸ πέραν.

Ἔτι καὶ περὶ τούτων ἐν ἐκείνῳ τῷ κεφαλαίῳ διείληπται.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

Περὶ τῆς ζύμης τῶν Φαρισαίων.

14 Καὶ ἐπελάθοντο λαβεῖν ἄρτους, καὶ εἰ μὴ ἕνα ἄρ-
15 τον οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ. Καὶ διε-
στέλλετο αὐτοῖς, λέγων· Ὁρᾶτε, βλέπετε ἀπὸ τῆς
ζύμης τῶν Φαρισαίων, καὶ τῆς ζύμης Ἡρώδου.

Περὶ τούτων εὑρήσεις ἀκριβῶς ἐν τῷ τριακοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

16 Καὶ διελογίζοντο πρὸς ἀλλήλους, λέγοντες· Ὅτι
17 ἄρτους οὐκ ἔχομεν. Καὶ γνοὺς ὁ Ἰησοῦς, λέγει
αὐτοῖς· Τί διαλογίζεσθε, ὅτι ἄρτους οὐκ ἔχετε; Οὔ-
πω νοεῖτε, οὐδὲ συνίετε; ἔτι πεπωρωμένην ἔχετε
18 τὴν καρδίαν ὑμῶν; Ὀφθαλμοὺς ἔχοντες οὐ βλέπε-
τε; καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ μνη-
μονεύετε;

Καὶ περὶ τούτων.

19 Ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντα-
κισχιλίους, πόσους κοφίνους πλήρεις κλασμάτων

20 ἤρατε; Λέγουσιν αὐτῷ· Δώδεκα. Ὅτε δὲ τοὺς ἑπτὰ
εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων πληρώ-
21 ματα κλασμάτων ἤρατε; Οἱ δὲ εἶπον· Ἑπτά. Καὶ
ἔλεγεν αὐτοῖς· Πῶς οὐ συνίετε;

Σαφέστερον ὁ Ματθαῖος τὸ παρὸν κεφάλαιον ἀνέγραψε. Καὶ ζήτησον ἐκεῖ περὶ πάντων.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Περὶ τοῦ τυφλοῦ.

22 Καὶ ἔρχεται εἰς Βηθσαϊδάν· καὶ φέρουσιν αὐτῷ τυ-
φλὸν, καὶ παρακαλοῦσιν αὐτὸν, ἵνα αὐτοῦ ἅψηται.
23 Καὶ ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ, ἐξήγα-
γεν αὐτὸν ἔξω τῆς κώμης·

Οὐ γὰρ ἦσαν οἱ τῆς κώμης ταύτης οἰκήτορες ἄξιοι θεάσασθαι γινόμενον τὸ τοιοῦτον θαῦμα. Πολλὰ γὰρ ἄλλα θεασάμενοι, μεμενήκασιν ἄπιστοι.

23 Καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, ἐπιθεὶς τὰς
χεῖρας αὐτῷ, ἐπηρώτα αὐτὸν, εἴτι βλέπει.

Πτύσματι καὶ χερσὶ τοῦτον ἰᾶται, δεικνὺς, ὅτι συζευγνύμενα λόγος καὶ πρᾶξις, θαύματα ἐργάζεσθαι δύνανται. Σύμβολα γὰρ λόγου μὲν, τὸ πτύσμα· καὶ ἄμφω γὰρ ἀπὸ τοῦ στόματος ἐξέρχονται· πράξεως δὲ, αἱ χεῖρες. Λόγον δὲ λέγω, τὸν ἐπαινετὸν, καὶ πρᾶξιν ὁμοίως.

Εἴρηται δὲ καὶ τρόπον ἕτερον ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ παρόντος εὐαγγελίου.

Ἀτελῶς δὲ τὸν τυφλὸν τοῦτον ἐθεράπευσεν, ὡς ἀτελῶς πιστεύοντα. Διὸ καὶ ἐπηρώτησεν αὐτὸν, *εἴ τι βλέπει*, ἵνα μικρὸν ἀναβλέψας, ἀπὸ τῆς μικρᾶς ὄψεως πιστεύσῃ τελεώτερον, καὶ ἰαθῇ τελεώτερον· σοφὸς γάρ ἐστιν ἰατρός.

24 Καὶ ἀναβλέψας, ἔλεγε· Βλέπω τοὺς ἀνθρώπους·

Ἀμυδρῶς δηλονότι.

24 Ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας.

Διὰ τὴν ἀμυδρότητα τῆς ὄψεως. Τὸ, ὅτι, παρέλκει, καθ' ἑβραϊκὸν ἰδίωμα (1).

25 Εἶτα πάλιν ἐπέθηκε τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς
αὐτοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι· καὶ ἀποκα-
τεστάθη, καὶ ἐνέβλεψε τηλαυγῶς ἅπαντας.

Ἡ ἐπίδοσις τῆς πίστεως, ἐπίδοσιν αὐτῷ τῆς ὑγείας περιεποιήσατο.

26 Καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, λέγων·
Μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς, μηδὲ εἴπῃς τινὶ ἐν
τῇ κώμῃ.

Διὰ τὴν ἀπιστίαν τῶν ἐν αὐτῇ, καὶ ἵνα μὴ διαστρέψωσι τὴν πίστιν αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

Περὶ τῆς ἐν Καισαρείᾳ ἐπερωτήσεως.

27 Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς
τὰς κώμας Καισαρείας τῆς Φιλίππου· καὶ ἐν τῇ
ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων αὐτοῖς·
28 Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; Οἱ δὲ ἀπεκρί-
θησαν· Ἰωάννην τὸν Βαπτιστήν· καὶ ἄλλοι, Ἠλίαν·
ἄλλοι δὲ, ἕνα τῶν προφητῶν·

Εἴρηται περὶ τούτων ἐν τῷ τριακοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

---

(1) Παρὰ τῷ Εὐθυμίῳ γράφεται: Ὅτι ὡς δένδρα ὁρῶ—Διὰ τοῦτο λέγει, ὅτι παρέλκει τὸ, ὅτι. Κοινότερον δὲ ἀναγινώσκεται: Βλέπω τοὺς ἀνθρώπους, ὡς δένδρα, περιπατοῦντας.

29 Καὶ αὐτὸς λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε
εἶναι; Ἀποκριθεὶς δὲ ὁ Πέτρος, λέγει αὐτῷ· Σὺ
30 εἶ ὁ Χριστός. Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ
λέγωσι περὶ αὐτοῦ.

Καὶ ταῦτα ἐν ἐκείνῳ διηρμηνεύθησαν λεπτομερῶς.

31 Καὶ ἤρξατο διδάσκειν αὐτοὺς, ὅτι δεῖ τὸν υἱὸν τοῦ
ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ
τῶν πρεσβυτέρων καὶ τῶν ἀρχιερέων καὶ τῶν γραμ-
ματέων, καὶ ἀποκτανθῆναι· καὶ μετὰ τρεῖς ἡμέρας
ἀναστῆναι.

Ἐκεῖ καὶ περὶ τούτων ἐῤῥήθη.

32 Καὶ παῤῥησίᾳ τὸν λόγον ἐλάλει.

Φανερῶς καὶ ἀπαρακαλύπτως τὸν λόγον τοῦτον ἐλάλει.

32 Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπι-
33 τιμᾷν αὐτῷ. Ὁ δὲ ἐπιστραφεὶς, καὶ ἰδὼν τοὺς μα-
θητὰς αὐτοῦ, ἐπετίμησε τῷ Πέτρῳ, λέγων· Ὕπα-
γε ὀπίσω μου, σατανᾶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ,
ἀλλὰ τὰ τῶν ἀνθρώπων.

Ὁμοίως καὶ περὶ τούτων.

34 Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς
αὐτοῦ, εἶπεν αὐτοῖς· Ὅςτις θέλει ὀπίσω μου ἀκολου-
θεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν
35 αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλῃ τὴν
ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπο-
λέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγ-
γελίου, οὗτος σώσει αὐτήν.

Ἔτι καὶ περὶ τούτων.

36 Τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν κό-

37 σμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί
δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;

Καὶ περὶ τούτων.

38 Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους
ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρ-
τωλῷ, καὶ ὁ υἱός τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται
αὐτὸν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ
μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.

Ὅστις ἐπαισχυνθῇ με ὁμολογῆσαι θεὸν, καὶ τοὺς ἐμοὺς λόγους ὁμολογῆσαι θεοῦ, διὰ τὴν εὐτέλειαν τῆς ἐνανθρωπήσεως, καὶ διὰ τὰ πάθη καὶ τὸν σταυρὸν, κἀγὼ ἐπαισχυνθήσομαι αὐτὸν ὁμολογῆσαι ἐμὸν, ὅταν ἔλθω, οὐκέτι ταπεινὸς, ἀλλ' ἔνδοξος, ὡς ὁ πατήρ μου. Δεῖ γὰρ μὴ μόνον πιστεύειν, ἀλλὰ καὶ παῤῥησίᾳ κηρύσσειν.

Μοιχαλίδα δὲ, τὴν γενεὰν τῶν ἀσεβῶν ὠνόμασεν, ὡς ἀποστᾶσαν μὲν θεοῦ τοῦ σπορέως τῆς εὐσεβείας καὶ ἀληθείας· κολληθεῖσαν δὲ τῷ δαίμονι, τῷ σπορεῖ τῆς ἀσεβείας καὶ κακίας.

ΚΕΦ. IX, 1 Καὶ ἔλεγεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν,
ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ
γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν
τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Καὶ περὶ τούτων ἐν τῷ ῥηθέντι κεφαλαίῳ διασεσάφηται.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Περὶ τῆς μεταμορφώσεως.

2 Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν
Πέτρον, καὶ τὸν Ἰάκωβον, καὶ τὸν Ἰωάννην, καὶ

ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους·
3 καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. Καὶ τὰ ἱμάτια
αὐτοῦ ἐγένοντο στίλβοντα, λευκὰ λίαν ὡς χιὼν,
4 οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι. Καὶ
ὤφθη αὐτοῖς Ἠλίας σὺν Μωσεῖ· καὶ ἦσαν συλλα-
λοῦντες τῷ Ἰησοῦ.

Εἴρηται περὶ τούτων ἐν τῷ τριακοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

5 Καὶ ἀποκριθεὶς ὁ Πέτρος, λέγει τῷ Ἰησοῦ· Ῥαββὶ,
καλὸν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς
τρεῖς, σοὶ μίαν, καὶ Μωσεῖ μίαν, καὶ Ἠλίᾳ μίαν.
6 Οὐ γὰρ ᾔδει τί λαλήσῃ· ἦσαν γὰρ ἔκφοβοι.

Ἔτι καὶ περὶ τούτων ἀκριβῶς.

7 Καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς· καὶ ἦλθε
φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ υἱός
8 μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε. Καὶ ἐξάπινα πε-
ριβλεψάμενοι, οὐκέτι οὐδένα εἶδον, ἀλλὰ τὸν Ἰησοῦν
μόνον μεθ' ἑαυτῶν.

Ὁμοίως καὶ περὶ τούτων. *Ἐξάπινα* δὲ, ἀντὶ τοῦ, ἐξαίφνης.

9 Καταβαινόντων δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους, διεστεί-
λατο αὐτοῖς, ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον, εἰ
μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

Ἔτι καὶ περὶ τούτων.

10 Καὶ τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτούς.

Τὸν λόγον, τὸν περὶ τοῦ ἐκ νεκρῶν ἀναστῆναι αὐτὸν, *ἐκράτησαν πρὸς ἑαυτοὺς*, πρὸς μηδένα ἕτερον τοῦτον ἐξειπόντες.

Ἢ τὸν λόγον, τὸν περὶ τῆς μεταμορφώσεως.

10 Συζητοῦντες τί ἐστι τὸ, ἐκ νεκρῶν ἀναστῆναι.

Μήτε γὰρ ἰδόντες τινὰ ἀναστήσαντα ἑαυτὸν ἐκ νεκρῶν, μήτε μὴν ἀκούσαντες, ᾤοντο παραβολὴν εἶναι καὶ τοῦτο, καὶ συνεζήτουν, τί δηλοῖ;

Εἴρηται δὲ περὶ τούτου καὶ ἐν τῷ τέλει τῆς ἐξηγήσεως τοῦ τριακοστοῦ πέμπτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

11 Καὶ ἐπηρώτων αὐτὸν, λέγοντες· Ὅτι λέγουσιν οἱ
12 γραμματεῖς, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον; Ὁ δὲ
ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ἠλίας μὲν ἐλθὼν πρῶ-
τον, ἀποκαθιστᾷ πάντα·

Ἐῤῥήθη καὶ περὶ τούτων ἐν τῷ προειρημένῳ τριακοστῷ τετάρτῳ κεφαλαίῳ

12 Καὶ πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου,
ἵνα πολλὰ πάθῃ, καὶ ἐξουδενωθῇ.

Τοῦτο εἶπεν ἐμβάλλων εἰς ἀπορίαν ἀπολογίας τοὺς γραμματεῖς· εἰ γὰρ κατ' αὐτοὺς, μήπω ἐλθόντος τοῦ Ἠλιοῦ, οὔπω ἦλθεν ὁ Χριστὸς, *Ἠλίας δὲ ἐλθὼν πρῶτον ἀποκαθιστᾷ πάντα*, τουτέστιν, ἑνοποιεῖ, ἐπιστρέφει πάντα Ἰουδαῖον πρὸς τὸν Χριστὸν, *πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου*, ἤγουν, περὶ τοῦ Χριστοῦ, *ἵνα πολλὰ πάθῃ* παρὰ τῶν Ἰουδαίων; Εἰ γὰρ ἐπιςραφήσονται πρὸς αὐτὸν, πῶς πολλὰ πάθῃ παρ' αὐτῶν; Ὥςε Ἠλίας ὁ Θεσβίτης πρὸ τῆς δευτέρας τοῦ Χριςοῦ παρουσίας ἐλεύσεται, ὅτε οἱ τηνικαῦτα Ἰουδαῖοι ἐπιςραφήσονται πρὸς αὐτόν· νῦν δὲ ἡ πρώτη παρουσία τοῦ Χριστοῦ ἐςιν, ὅτε πολλὰ πάσχει παρὰ τῶν Ἰουδαίων, ἧς πρόδρομος οὐχ ὁ Θεσβίτης, ἀλλ' ὁ Ἰωάννης.

13 Ἀλλὰ λέγω ὑμῖν, ὅτι καὶ Ἠλίας ἐλήλυθε, καὶ ἐποίη-
σαν αὐτῷ ὅσα ἠθέλησαν.

Σαφέστερον ὁ Ματθαῖος εἴρηκε περὶ τούτου, καὶ ζήτησον ἐν τῷ δηλωθέτι τριακοστῷ τετάρτῳ κεφαλαίῳ.

13 Καθὼς γέγραπται ἐπ' αὐτόν.

[Τὸ, *καθὼς γέγραπται* (1), ἐπὶ τοῦ, *ἐλήλυθε*, νόησον. Φησί

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

γὰρ Ἡσαΐας· *Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ*, καὶ τὰ ἑξῆς (α).]

Καθὼς γέγραπται περὶ αὐτοῦ. Προεῖπε γὰρ Ἡσαΐας καὶ περὶ τοῦ πάθους τοῦ Ἰωάννου.

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

Περὶ τοῦ σεληνιαζομένου.

14 Καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς, εἶδεν ὄχλον πολὺν
περὶ αὐτοὺς, καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς.

Μαθητὰς νῦν, τοὺς ἐννέα λέγει, τοὺς μὴ συναναβάντας αὐτῷ εἰς τὸ ὄρος. Τούτους γὰρ εὑρόντες μόνους οἱ γραμματεῖς, περιεῖλκον ταῖς ἐρωτήσεσι, προσδοκήσαντες συμποδίζειν.

15 Καὶ εὐθέως πᾶς ὁ ὄχλος, ἰδὼν αὐτὸν, ἐξεθαμβήθη.

Ἐξεθαμβήθη, ἢ διὰ τὸ καίριον τῆς ἐπιδημίας, οἷα προεγνωκότος τὴν ἐπίθεσιν τῶν γραμματέων, καὶ διὰ τοῦτο ταχέως ἐπιστάντος πρὸς ἐπικουρίαν τῶν μαθητῶν· ἢ διὰ τὴν φαιδρότητα τῆς μορφῆς αὐτοῦ. Καὶ γὰρ εἰκὸς ἐφέλκεσθαί τινα χάριν ἐκ τῆς μεταμορφώσεως.

15 Καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν.

Οἱ τοῦ ὄχλου, ποθοῦντες αὐτὸν, ὡς εὐεργέτην καὶ σωτῆρα· οὐ μὴν οἱ βάσκανοι γαμματεῖς.

16 *Καὶ ἐπηρώτησε* τοὺς γραμματεῖς· Τί συζητεῖτε πρὸς
αὐτούς;

Ἐπερωτήσαντος, οὐδεὶς ἐκείνων ἐτόλμησεν ἀποκριθῆναι.

17 Καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου, εἶπε· Διδάσκαλε,
ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλα-
18 λον· καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτόν· καὶ

(α) Ἡσ. Μ', 3.

ἀφρίζει, καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραί-
νεται.

Ἄλαλον εἶπε τὸ πνεῦμα, ὡς ἐπέχον τὴν λαλιὰν τοῦ υἱοῦ αὐτοῦ. Οὐ μόνον δὲ ταύτην, ἀλλὰ καί τὴν ἀκοὴν αὐτοῦ, καθὼς ἑξῆς δηλωθήσεται. Τὸ μὲν οὖν, *ῥήσσει*, ἀντὶ τοῦ, καταβάλλει εἰς γῆν· τὸ δὲ, *ξηραίνεται*, ἀντὶ τοῦ, ἀναισθητεῖ.

Ματθαῖος δέ φησιν ἐν τῷ τριακοστῷ πέμπτῳ κεφαλαίῳ, εἰπεῖν αὐτόν· *Κύριε, ἐλέησόν μου τὸν υἱὸν, ὅτι σεληνιάζεται, καὶ κακῶς πάσχει* (α). Εἰκὸς δὲ, καὶ τοῦτο κἀκεῖνο εἰπεῖν αὐτόν.

18 Καὶ εἶπον τοῖς μαθηταῖς σου, ἵνα αὐτὸ ἐκβάλωσι,
19 καὶ οὐκ ἴσχυσαν. Ὁ δὲ ἀποκριθεὶς αὐτῷ, λέγει· Ὦ
γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως
πότε ἀνέξομαι ὑμῶν; Φέρετε αὐτὸν πρός με.

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ περὶ τούτων ἐσαφηνίσθη.

20 Καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν· καὶ ἰδὼν αὐτὸν, εὐ-
θέως τὸ πνεῦμα ἐσπάραξεν αὐτόν· καὶ πεσὼν ἐπὶ τῆς
γῆς, ἐκυλίετο ἀφρίζων.

Συνεχώρησε ταῦτα παθεῖν αὐτὸν, ἵνα ἴδωσιν οἱ παρόντες, οἵας ἐπηρείας ἀπαλλάττεσθαι μέλλει, καὶ ἵνα γνοὺς ὁ πατὴρ, ὅτι θορυβεῖται τὸ δαιμόνιον, ἰδὸν τὸν Χριστὸν, εἰς πίστιν τῆς αὐτοῦ δυνάμεως ἐναχθῇ.

21 Καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ· Πόσος χρόνος
ἐστιν, ὡς τοῦτο γέγονεν αὐτῷ; Ὁ δὲ εἶπε· Παιδιό-
22 θεν. Καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε, καὶ
εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν·

Ἐπηρώτησεν, ἵνα, ἀποκριθέντος ἐκείνου, γνοῖεν οἱ ἀκούοντες, ὅτι πάλαι ἂν ἀπώλεσε τοῦτον, εἰ μὴ θεόθεν ἀνεχαιτίζετο.

(α) Ματθ. ΙΖ', 15

22 Ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν, σπλαγχνισθεὶς
ἐφ' ἡμᾶς.

Ορᾶς, πῶς οὐκ εἶχε πίστιν ἀδίστακτον.

23 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Τὸ, εἰ δύνασαι πιστεῦ-
σαι· πάντα δυνατὰ τῷ πιστεύοντι.

Τῇ πίστει αὐτοῦ τὴν δύναμιν ἀνέθηκε· τοῦτο μὲν, προτρεπόμενος αὐτὸν εἰς πίστιν, τοῦτο δὲ, μετριοφρονῶν αὐτός.

24 Καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου, μετὰ
δακρύων ἔλεγε· Πιστεύω, Κύριε· βοήθει μου τῇ
ἀπιστίᾳ·

Τῇ μέχρι νῦν.

25 Ἰδὼν δὲ ὁ Ἰησοῦς, ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετί-
μησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ,

Ταχέως ἀπήλασε τὸ δαιμόνιον, ἵνα μὴ ὑπὸ πλειόνων κροτηθῇ.

25 Λέγων αὐτῷ· Τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν,
ἐγώ σοι ἐπιτάσσω· ἔξελθε ἐξ αὐτοῦ·

Εγώ σοι ἐπιτάσσω, ὃν οἶδας.

25 Καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν.

Τοῦτο εἶπε, προειδὼς, ὅτι καὶ αὖθις ἔμελλεν ἀξίως ἐπιπηδῆσαι αὐτῷ, διὰ τὴν ἀπιστίαν αὐτοῦ. Κωλύει οὖν αὐτὸ, ἵνα μὴ δόξῃ, ὅτι οὐκ ἀπηλάθη πρότερον.

26 Καὶ κράξαν, καὶ πολλὰ σπαράξαν αὐτὸν, ἐξῆλθε·
καὶ ἐγένετο ὡσεὶ νεκρὸς, ὥστε πολλοὺς λέγειν, ὅτι
27 ἀπέθανεν. Ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χει-
ρὸς, ἤγειρεν αὐτόν· καὶ ἀνέστη.

Εκραξε, σημαῖνον, ὅτι βιαίως ἀπελαύνεται

28 Καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον, οἱ μαθηταὶ αὐτοῦ

ἐπηρώτων αὐτὸν κατ' ἰδίαν· Ὅτι ἡμεῖς οὐκ ἠδυνή-
θημεν ἐκβαλεῖν αὐτό;

Τὸ, ὅτι, ἀντὶ τοῦ, διὰ τί; οὕτω γὰρ εἶπεν ὁ Ματθαῖος (α)· ἢ τὸ, *ἐπηρώτων αὐτὸν*, ἀντὶ τοῦ, ἔλεγον αὐτῷ. Πολλαὶ γὰρ τοιαῦται καταχρήσεις παρὰ τῷ Μάρκῳ. Εἴρηται δὲ καὶ περὶ ταύτης τῆς ἐρωτήσεως ἐν τῷ δηλωθέντι κεφαλαίῳ.

29 Καὶ εἶπεν αὐτοῖς· Τοῦτο τὸ γένος ἐν οὐδενὶ δύνα-
ται ἐξελθεῖν, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

Εν οὐδενὶ ἑτέρῳ τρόπῳ. Ἐκεῖ δὲ καὶ περὶ τούτου διείληπται.

30 Καὶ ἐκεῖθεν ἐξελθόντες, παρεπορεύοντο διὰ τῆς Γα-
λιλαίας· καὶ οὐκ ἤθελεν, ἵνα τις γνῷ.

Διὰ τί οὐκ ἤθελε; δηλοῖ τὸ ἐπαγόμενον· ἵνα μηδεὶς ἕτερος μάθῃ, περὶ ὧν τότε διελέγετο.

31 Ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ, καὶ ἔλεγεν
αὐτοῖς· Ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς
χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ ἀπο-
κτανθεὶς, τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

Εἴρηται καὶ περὶ τούτου ἐπὶ τέλους τοῦ ῥηθέντος τριακοστοῦ πέμπτου κεφαλαίου.

32 Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐπε-
ρωτῆσαι.

Ομοίως καὶ περὶ τούτου.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ τῶν διαλογιζομένων, Τίς μείζων.

33 Καὶ ἦλθεν εἰς Καπερναούμ· καὶ ἐν τῇ οἰκίᾳ γενό-

(α) Ματθ. ΙΖ', 19.

μενος, ἐπηρώτα αὐτούς· Τί ἐν τῇ ὁδῷ πρὸς ἑαυ-
34 τοὺς διελογίζεσθε; Οἱ δὲ ἐσιώπων· πρὸς ἀλλήλους
γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ, τίς μείζων.

Ἐσιώπων αἰσχυνθέντες, ὡς ἤδη καταγνωσθέντες. Παρεσημειώθη δὲ περὶ τούτου ἐν τῷ τριακοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

35 Καὶ καθίσας, ἐφώνησε τοὺς δώδεκα, καὶ λέγει αὐ-
τοῖς· Εἴτις θέλει πρῶτος εἶναι, ἔσται πάντων
ἔσχατος, καὶ πάντων διάκονος.

Εἴρηκε τοῦτο καὶ ἐν τῷ τεσσαρακοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον περὶ τὸ μέσον τοῦ τοιούτου κεφαλαίου.

36 Καὶ λαβὼν παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν·
37 καὶ ἐναγκαλισάμενος αὐτὸ, εἶπεν αὐτοῖς· Ὃς ἐὰν
ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί
μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ
δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με.

Πρὸ τούτου καὶ ἕτερα εἶπεν, ἅπερ ὁ Ματθαῖος ἀνέγραψε, περὶ ὧν ὁμοῦ πάντων ἐν τῷ τριακοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ κατ' αὐτὸν εὐαγγελίου λελεπτολόγηται.

38 Ἀπεκρίθη δὲ αὐτῷ ὁ Ἰωάννης, λέγων· Διδάσκαλε,
εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαι-
μόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν· καὶ ἐκωλύσαμεν αὐ-
τὸν, ὅτι οὐκ ἀκολουθεῖ ἡμῖν.

Προσέθηκε καὶ τὴν αἰτίαν τῆς κωλύσεως, ὅτι *Οὐκ ἀκολουθεῖ ἡμῖν*. Τινὲς γὰρ τῶν πιστευσάντων, ἔρωτι δόξης, ἐμιμοῦντο τοὺς ἀποστόλους, καὶ τῇ ἐπικλήσει τοῦ ὀνόματος τοῦ Χριστοῦ δαίμονας ἀπήλαυνον, οὐκ ἀκολούθουν δὲ αὐτοῖς, διὰ τὴν ἐγκράτειαν καὶ σκληραγωγίαν αὐτῶν.

39 Ὁ δὲ Ἰησοῦς εἶπε· Μὴ κωλύετε αὐτόν· οὐδεὶς γάρ
ἐστιν, ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου, καὶ
δυνήσεται ταχὺ κακολογῆσαί με.

Δοξαζόμενος γὰρ διὰ τοῦ ὀνόματός μου, βραδέως ἄν με κακολογήσῃ, τουτέστιν, ἕως ἂν ἐρᾷ δόξης καὶ ποιῇ σημεῖα διὰ τοῦ ὀνόματός μου, οὐκ ἂν βλασφημήσῃ με. Συνεχώρει δὲ καὶ τούτοις θαυματουργεῖν, ἅμα μὲν, εἰς βεβαίωσιν τοῦ κηρύγματος· ἅμα δὲ, καὶ εἰς βελτίωσιν αὐτῶν δὴ τῶν θαυματουργούντων,

Ζήτησον δὲ περὶ τῶν τοιούτων ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, πλησίον τοῦ τέλους, ἔνθα κεῖται τό. *Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν* (α);

40 Ὃς γὰρ οὐκ ἔστι καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστιν.

Αὐτὸ γὰρ τοῦτο, τὸ μὴ ἀντιπίπτειν αὐτὸν ὑμῖν, βοήθεια ὑμῶν ἐστι.

Ἕτερον δὲ ἐστι τό· *Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστιν* (ϐ)· ἐκεῖνο γὰρ περὶ τοῦ δαίμονος εἴρηται, καὶ διάνοιαν ἄλλην ἔχει, καθὼς ἐν τῷ εἰκοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ἐξηγησάμεθα.

41 Ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν τῷ
ὀνόματί μου, ὅτι Χριστοῦ ἐστε, ἀμὴν λέγω ὑμῖν,
οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

Τοῦτο εἶπε καὶ πρὸς τῷ τέλει τοῦ ἐννεακαιδεκάτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

42 Καὶ ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τῶν πιστευ-
όντων εἰς ἐμὲ, καλόν ἐστιν αὐτῷ μᾶλλον εἰ περί-

(α) Ματθ. Ζ', 22. (ϐ) Ματθ. ΙΒ', 30.

κειται λίθος μυλικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ
βέβληται εἰς τὴν θάλασσαν.

Εἴρηται καὶ περὶ τούτου ἐν τῷ τριακοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

43 Καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν·
καλόν σοι ἐστὶ κυλλὸν εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ τὰς
δύο χεῖρας ἔχοντα ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ
44 πῦρ τὸ ἄσβεστον· ὅπου ὁ σκώληξ αὐτῶν οὐ τε-
λευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται.

Καὶ περὶ τούτων ἐν ἐκείνῳ λέλεκται. Σκώληξ δὲ αὐτῶν· τίνων; Δηλαδὴ τῶν ἀπερχομένων εἰς τὴν γέενναν.

Σκώληκα δὲ καὶ *πῦρ*, τινὲς τὴν συνείδησιν τῶν ἁμαρτωλῶν ἐνόησαν, ὡς δάκνουσαν καὶ πιμπρῶσαν αὐτούς, δίκην σκώληκος καὶ πυρός.

45 Καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκοψον αὐτόν·
καλόν ἐστί σοι εἰσελθεῖν εἰς τὴν ζωὴν χωλόν, ἢ
τοὺς δύο πόδας ἔχοντα βληθῆναι εἰς τὴν γέενναν,
46 εἰς τὸ πῦρ τὸ ἄσβεστον· ὅπου ὁ σκώληξ αὐτῶν
οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται.

Ὁμοίως καὶ περὶ τούτων.

47 Καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκβαλε
αὐτόν· καλόν σοι ἐστὶ μονόφθαλμον εἰσελθεῖν εἰς
τὴν βασιλείαν τοῦ θεοῦ, ἢ δύο ὀφθαλμοὺς ἔχοντα
48 βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός· ὅπου ὁ σκώ-
ληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται.

Ἔτι καὶ περὶ τούτων.

49 Πᾶς γὰρ πυρὶ ἁλισθήσεται.

Πᾶς πιστὸς πυρὶ τῆς πρὸς θεὸν πίστεως, ἢ τῆς πρὸς τὸν πλησίον ἀγάπης, ἁλισθήσεται, ἤγουν, τὴν σηπεδόνα τῆς κακίας ἀποβαλεῖ.

Ἢ ἀρτυθήσεται, καὶ ἡδὺς τῷ θεῷ γενήσεται.

49 Καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται.

Πᾶσα *θυσία* πνευματική, εἴτε δι' εὐχῆς, εἴτε δι' ἐλεημοσύνης, εἴτε τρόπον ἕτερον γινομένη, τῷ ἅλατι τῆς πίστεως ἢ τῆς ἀγάπης *ἁλισθήσεται*, εἴτουν, ἁλισθῆναι ὀφείλει. Τοῦτο δὲ ἀπὸ τῆς βίβλου τοῦ Λευϊτικοῦ μετείληπται. Γέγραπται γὰρ ἐν ἐκείνῳ· *Πᾶν δῶρον θυσίας ὑμῶν ἁλισθήσεται* (α).

50 Καλὸν τὸ ἅλας·

Δι' ἣν ἔχει ποιότητα, ἡδύνουσαν μὲν τὰ βρώματα· παρέχουσαν δὲ τοῖς σώμασι τὸ ἄσηπτον.

50 Ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρ-
τύσετε;

Ἐὰν ἀπολέσῃ τὴν ἐπαινετὴν αὐτοῦ ποιότητα.

Ἅλας δὲ ἐνταῦθα, κατὰ ἀναγωγὴν ἡ πίστις ἢ ἡ ἀγάπη. Λουκᾶς δέ φησιν· *Ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται* (β); *ἅλας* ἐκεῖ λέγων, τὸν διδασκαλικὸν λόγον, ὅστις μωραίνεται, ὅταν παραφθαρῇ. Διαφόρως δὲ κατὰ διαφόρους καιροὺς τὸ περὶ τοῦ ἅλατος νόημα ὁ Χριστὸς μετεχειρίσατο. Καὶ γὰρ καὶ παρὰ τῷ Ματθαίῳ τοὺς ἀποστόλους ἅλας ὠνόμασεν, ὡς εὑρήσεις ἐν τῷ πέμπτῳ κεφαλαίῳ αὐτοῦ (γ), μετὰ τοὺς μακαρισμούς, ἔνθα καὶ φανερώτερον ἐξηγησάμεθα τὰ περὶ τοῦ ἅλατος.

50 Ἔχετε ἐν ἑαυτοῖς ἅλας, καὶ εἰρηνεύετε ἐν ἀλλήλοις.

Ἅλας ἀγάπης, συνέχον καὶ συσφίγγον εἰς ὁμόνοιαν.

Λέγεται δὲ ἅλας, καὶ ἡ σύνεσις καὶ χάρις, ὡς Παῦλός φησιν· *Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος* (δ).

(α) Λευϊτ. Β', 13. (β) Λουκ. ΙΔ', 34. (γ) Ματθ. Ε', 13.
(δ) Κολοσ. Δ', 6.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ΄.

Περὶ τῶν ἐπερωτησάντων, Εἰ ἔξεστιν ἀπολῦσαι τὴν γυναῖκα;

ΚΕΦ. X, 1. Κἀκεῖθεν ἀναστὰς ἔρχεται εἰς τὰ ὅρια
τῆς Ἰουδαίας, διὰ τοῦ πέραν τοῦ Ἰορδάνου·

Διὰ τοῦ τόπου τοῦ πέραν τοῦ Ἰορδάνου.

1 Καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν· καί,
2 ὡς εἰώθει, πάλιν ἐδίδασκεν αὐτούς. Καὶ προσελ-
θόντες οἱ Φαρισαῖοι, ἐπηρώτησαν αὐτόν· Εἰ ἔξεστιν
ἀνδρὶ γυναῖκα ἀπολῦσαι; πειράζοντες αὐτόν.

Ζήτησον τὸ τεσσαρακοστὸν κεφάλαιον τοῦ κατὰ Ματθαῖον.

3 Ὁ δὲ ἀποκριθείς, εἶπεν αὐτοῖς· Τί ὑμῖν ἐνετείλατο
4 Μωσῆς; Οἱ δὲ εἶπον· Μωσῆς ἐπέτρεψε βιβλίον
ἀποστασίου γράψαι, καὶ ἀπολῦσαι.

Ἐν ἐκείνῳ καὶ περὶ τούτων εἴρηται.

5 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πρὸς τὴν
σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν
6 ταύτην. Ἀπὸ δὲ ἀρχῆς κτίσεως, ἄρσεν καὶ θῆλυ
ἐποίησεν αὐτοὺς ὁ θεός.

Ὁμοίως καὶ περὶ τούτων.

7 «Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα
αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς
8 τὴν γυναῖκα αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα
9 μίαν.» Ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ μία σάρξ. Ὃ οὖν
ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

Ὡσαύτως καὶ περὶ τούτων.

10 Καὶ ἐν τῇ οἰκίᾳ πάλιν οἱ μαθηταὶ αὐτοῦ περὶ τοῦ
αὐτοῦ ἐπηρώτησαν αὐτόν.

Περὶ τοῦ αὐτοῦ ζητήματος.

11 Καὶ λέγει αὐτοῖς· Ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα
αὐτοῦ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ' αὐτήν.

Μοιχεύει πρὸς αὐτήν, δηλαδή, τὴν ἐπείσακτον.

12 Καὶ ἐὰν γυνὴ ἀπολύσῃ τὸν ἄνδρα αὐτῆς, καὶ γα-
μηθῇ ἄλλῳ, μοιχᾶται.

Ὁ δὲ Ματθαῖος πρὸς τοὺς φαρισαίους ῥηθῆναι καὶ ταῦτά φησι, προσθεὶς καὶ πότε δεῖ ἀπολύειν.

Εἰκὸς δὲ καὶ πρὸς ἐκείνους πρῶτον, καὶ πρὸς τοὺς μαθητὰς ὕστερον εἰπεῖν αὐτά.

13 Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα ἅψηται αὐτῶν·
14 οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν. Ἰδὼν
δὲ ὁ Ἰησοῦς ἠγανάκτησε, καὶ εἶπεν αὐτοῖς· Ἄφετε
τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά·
τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ.

Εἴρηται καὶ περὶ τούτων ἀκριβῶς ἐπὶ τέλους τοῦ δηλωθέντος κεφαλαίου.

15 Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν
τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.

Τοῦτό φησι καὶ Λουκᾶς. *Βασιλείαν* δὲ τοῦ θεοῦ νῦν λέγει, τὸ κήρυγμα τῆς βασιλείας τοῦ θεοῦ, ὃ ἐκήρυσσεν αὐτός. Ὅστις οὖν οὐ δέξεται αὐτό, *ὡς παιδίον*, ἤγουν, μηδὲν διακρινόμενος, μηδὲ ἀμφιβάλλων περὶ αὐτοῦ, *οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν*.

16 Καὶ ἐναγκαλισάμενος αὐτά, τιθεὶς τὰς χεῖρας ἐπ'
αὐτά, ηὐλόγει αὐτά.

Καὶ περὶ τούτων τὸ τέλος τοῦ τοιούτου κεφαλαίου διέξεισι.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄.

Περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν Ἰησοῦν.

17 Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδὸν, προσδραμὼν εἷς, καὶ γονυπετήσας αὐτὸν, ἐπηρώτα αὐτόν· Διδάσκαλε ἀγαθὲ, τί ποιήσω, ἵνα ζωὴν αἰώνιον κληρονομήσω;

Εἴρηται περὶ τούτου ἐν τῷ τεσσαρακοστῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

18 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ θεός.

Ἐν ἐκείνῳ σαφῶς τὰ παρόντα διηκρίβωται.

19 Τὰς ἐντολὰς οἶδας· «Μὴ μοιχεύσῃς· Μὴ φονεύσῃς·
Μὴ κλέψῃς· Μὴ ψευδομαρτυρήσῃς· Μὴ ἀποστερή-
20 σῃς· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα.» Ὁ δὲ
ἀποκριθεὶς, εἶπεν αὐτῷ· Διδάσκαλε, ταῦτα πάντα
ἐφυλαξάμην ἐκ νεότητός μου.

Ὁμοίως καὶ ταῦτα.

21 Ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτόν·

Ἐκεῖ καὶ τοῦτο διασεσάφηται.

21 Καὶ εἶπεν αὐτῷ· Ἓν σοι ὑστερεῖ· ὕπαγε, ὅσα ἔχεις πώλησον, καὶ δὸς τοῖς πτωχοῖς· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι.

Ὡσαύτως καὶ ταῦτα.

21 Ἄρας τὸν σταυρόν.

Τὴν ἀναίρεσιν τοῦ σαρκικοῦ θελήματος, καὶ τὴν ἀποβολὴν τῆς

ἐμπαθοῦς ἡδονῆς, καὶ τὴν αἴσθησιν τῆς ἐναρέτου ὀδύνης, καὶ τὴν ἀπὸ τῶν γηΐνων ὕψωσιν.

22 Ὁ δὲ, στυγνάσας ἐπὶ τῷ λόγῳ, ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά.

Καὶ περὶ τούτων ἐν ἐκείνῳ ζήτησον.

23 Καὶ περιβλεψάμενος ὁ Ἰησοῦς, λέγει τοῖς μαθηταῖς αὐτοῦ· Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελεύσονται.

Τοῦτό φησι καὶ Λουκᾶς.

Ἔστι δὲ τὸ, πῶς, βεβαιωτικὸν, ἀντὶ τοῦ, *ἀληθῶς*. *Οἱ ἔχοντες* δὲ, ἤγουν, οἱ κατέχοντες, οἱ ταμιεύοντες, οὐ μὴν οἱ χρώμενοι· χρήματα γὰρ ὀνομάζονται, διὰ τὴν χρῆσιν, καὶ χρὴ πάντως χρῆσθαι τούτοις εἰς δέον, οὐ μὴν ἀποκλείειν.

24 Οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ.

Διὰ τί *ἐθαμβοῦντο* μετὰ μικρὸν ἐρεῖ.

24 Ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς, λέγει αὐτοῖς· Τέκνα, πῶς δύσκολόν ἐστι, τοὺς πεποιθότας ἐπὶ τοῖς χρήμασιν, εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν.

Ὁμοίως κἀνταῦθα νόει τὸ, *πῶς*.

25 Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τῆς τρυμαλιᾶς τῆς ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν.

Καὶ περὶ τούτων ἐκεῖνο τὸ κεφάλαιον διαλαμβάνει.

26 Οἱ δὲ περισσῶς ἐξεπλήσσοντο, λέγοντες πρὸς ἑαυτούς· Καὶ τίς δύναται σωθῆναι;

Ἰδοὺ καὶ τὴν αἰτίαν προσέθηκε τοῦ θάμβους καὶ τῆς ἐκπλήξεως.

27 Ἐμβλέψας δὲ αὐτοῖς ὁ Ἰησοῦς, λέγει· Παρὰ ἀν-

θρώποις ἀδύνατον, ἀλλ' οὐ παρὰ τῷ θεῷ· πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ θεῷ.

Εἴρηται καὶ περὶ τούτων ἐκεῖ.

28 Καὶ ἤρξατο ὁ Πέτρος λέγειν αὐτῷ· Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι.

Καὶ περὶ τούτων.

29 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν,
οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν, ἢ ἀδελφούς, ἢ ἀδελ-
φάς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ
30 ἀγρούς, ἕνεκεν ἐμοῦ καὶ ἕνεκεν τοῦ εὐαγγελίου, ἐὰν
μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ,
οἰκίας, καὶ ἀδελφούς, καὶ ἀδελφάς, καὶ μητέρας, καὶ
τέκνα, καὶ ἀγρούς, μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι
τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

Ἔτι καὶ περὶ τούτων πάντων ἐκεῖ διηρμήνευται λεπτομερῶς. Τινὰ δὲ παρελείφθησαν νῦν ἐν τῇ δευτέρᾳ ἀπαριθμήσει, συντομίας ἕνεκεν, καὶ ὡς ἐγνωσμένα.

31 Πολλοὶ δὲ ἔσονται πρῶτοι, ἔσχατοι· καὶ ἔσχατοι, πρῶτοι.

Καὶ περὶ τούτων ὁμοίως.

32 Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα· καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς.

Ἦν προπορευόμενος αὐτῶν, δεικνύς, ὅτι ἑκὼν ἄπεισιν ἐπὶ τὸ ἀναιρεθῆναι, διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων.

32 Καὶ ἐθαμβοῦντο.

Ἐφ' οἷς ἔλεγεν, ἢ διότι ηὐτομόλει πρὸς τὸ πάθος.

32 Καὶ ἀκολουθοῦντες ἐφοβοῦντο.

Περὶ τῆς ἀναιρέσεως αὐτοῦ, περὶ ἧς προλαβὼν εἶπεν αὐτοῖς.

32 Καὶ παραλαβὼν πάλιν τοὺς δώδεκα, ἤρξατο αὐτοῖς
33 λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν· Ὅτι ἰδού,
ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώ-
που παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ τοῖς γραμ-
ματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ πα-
34 ραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι· καὶ ἐμπαίξουσιν αὐ-
τῷ, καὶ μαστιγώσουσιν αὐτόν, καὶ ἐμπτύσουσιν
αὐτῷ, καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ τῇ τρίτῃ ἡμέρᾳ
ἀναστήσεται.

Εἴρηται περὶ τούτων πάντων ἐν τῷ τέλει τοῦ τεσσαρακοστοῦ δευτέρου κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

ΚΕΦΑΛΑΙΟΝ Λ΄.

Περὶ τῶν υἱῶν Ζεβεδαίου.

35 Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης, οἱ
υἱοὶ Ζεβεδαίου, λέγοντες· Διδάσκαλε, θέλομεν, ἵνα ὃ
36 ἐὰν αἰτήσωμεν, ποιήσῃς ἡμῖν. Ὁ δὲ εἶπεν αὐτοῖς· Τί
37 θέλετε ποιῆσαί με ὑμῖν; Οἱ δὲ εἶπον αὐτῷ· Δὸς
ἡμῖν, ἵνα εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων
σου καθίσωμεν ἐν τῇ δόξῃ σου.

Περὶ τούτων ἡ ἐξήγησις τοῦ τεσσαρακοστοῦ τρίτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον ἀριδήλως διδάσκει.

38 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐκ οἴδατε τί αἰτεῖ-
σθε. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ
39 τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι; Οἱ
δὲ εἶπον αὐτῷ· Δυνάμεθα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐ-
τοῖς· Τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω, πίεσθε· καὶ τὸ
40 βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε· τὸ δὲ

καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου, οὐκ
ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται.

Ὁμοίως καὶ περὶ τούτων πάντων.

41 Καὶ ἀκούσαντες οἱ δέκα, ἤρξαντο ἀγανακτεῖν περὶ
Ἰακώβου καὶ Ἰωάννου.

Καὶ περὶ τούτων.

42 Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, λέγει αὐ-
τοῖς· Οἴδατε, ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν, κα-
τακυριεύουσιν αὐτῶν· καὶ οἱ μεγάλοι αὐτῶν, κατε
43 ξουσιάζουσιν αὐτῶν. Οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν·
ἀλλ' ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται
44 ὑμῶν διάκονος· καὶ ὃς ἐὰν θέλῃ ὑμῶν γενέσθαι
45 πρῶτος, ἔσται πάντων δοῦλος· καὶ γὰρ ὁ υἱὸς τοῦ
ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι,
καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

Εἴρηται καὶ περὶ τούτων ἐν τῷ τέλει τοῦ ῥηθέντος κεφαλαίου.

ΚΕΦΑΛΑΙΟΝ ΛΑʹ.

Περὶ Βαρτιμαίου.

46 Καὶ ἔρχονται εἰς Ἱεριχώ· καὶ ἐκπορευομένου αὐ-
τοῦ ἀπὸ Ἱεριχῶ, καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ ὄχλου
ἱκανοῦ, υἱὸς Τιμαίου Βαρτίμαιος ὁ τυφλὸς ἐκάθη-
το παρὰ τὴν ὁδὸν προσαιτῶν.

Προσέθηκε τὸ ὄνομα, διὰ τὸ γνώριμον αὐτὸν εἶναι πολλοῖς.

47 Καὶ ἀκούσας, ὅτι Ἰησοῦς ὁ Ναζωραῖός ἐστιν, ἤρ-
ξατο κράζειν, καὶ λέγειν· Ὁ υἱὸς Δαυὶδ, Ἰησοῦ,
48 ἐλέησόν με. Καὶ ἐπετίμων αὐτῷ πολλοὶ, ἵνα σιω-
πήσῃ· ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν· Υἱὲ Δαυὶδ, ἐλέη-

49 σόν με. Καὶ στὰς ὁ Ἰησοῦς, εἶπεν αὐτὸν φωνη-
θῆναι· καὶ φωνοῦσι τὸν τυφλὸν, λέγοντες αὐτῷ·
50 Θάρσει, ἔγειραι· φωνεῖ σε. Ὁ δὲ ἀποβαλὼν τὸ
ἱμάτιον αὐτοῦ, ἀναστὰς ἦλθε πρὸς τὸν Ἰησοῦν.
51 Καὶ ἀποκριθεὶς, λέγει αὐτῷ ὁ Ἰησοῦς· Τί θέλεις
ποιήσω σοι; Ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ· Ῥαββουνὶ, ἵνα
52 ἀναβλέψω. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ὕπαγε· ἡ
πίστις σου σέσωκέ σε. Καὶ εὐθέως ἀνέβλεψε, καὶ
ἠκολούθει τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ.

Ἀνάγνωθι ὅλην τὴν ἐξήγησιν ὅλου τοῦ τεσσαρακοστοῦ τετάρτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

Εἰ γὰρ καὶ περὶ δύο τυφλῶν ἐκεῖνός φησι, ἀλλ' οὖν τἄλλα παραπλήσια τοῖς παροῦσι ῥητοῖς ἀνέγραψε, καὶ ἡ ἐκείνων ἑρμηνεία καὶ ταῦτα σαφηνίζει, καὶ πρόσκειται κατὰ τὸ τέλος αὐτῆς λύσις χαριεστάτη.

ΚΕΦΑΛΑΙΟΝ ΛΒʹ.

Περὶ τοῦ πώλου.

ΚΕΦ. ΧΙ, 1. Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱερουσαλὴμ, εἰς
Βηθφαγὴ καὶ Βηθανίαν, πρὸς τὸ ὄρος τῶν ἐλαιῶν,
2 ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐ-
τοῖς· Ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν·
καὶ εὐθέως εἰσπορευόμενοι εἰς αὐτὴν, εὑρήσετε πῶ-
λον δεδεμένον, ἐφ' ὃν οὐδεὶς ἀνθρώπων κεκάθικε·
3 λύσαντες αὐτὸν ἀγάγετε. Καὶ ἐάν τις ὑμῖν εἴπῃ·
Τί ποιεῖτε τοῦτο; εἴπατε· Ὅτι ὁ Κύριος αὐτοῦ
χρείαν ἔχει· καὶ εὐθέως αὐτὸν ἀποστελεῖ ὧδε.

Εἴρηται περὶ τούτων πάντων ἐν τῷ τεσσαρακοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

4 Ἀπῆλθον δὲ, καὶ εὗρον τὸν πῶλον δεδεμένον πρὸς
τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου, καὶ λύουσιν αὐ-
5 τόν. Καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς·
6 Τί ποιεῖτε λύοντες τὸν πῶλον; Οἱ δὲ εἶπον αὐτοῖς
καθὼς ἐνετείλατο ὁ Ἰησοῦς· καὶ ἀφῆκαν αὐτούς.
7 Καὶ ἤγαγον τὸν πῶλον πρὸς τὸν Ἰησοῦν.

Ὁμοίως καὶ περὶ τούτων.

7 Καὶ ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐτῶν· καὶ ἐκάθι-
8 σεν ἐπ' αὐτῷ. Πολλοὶ δὲ τὰ ἱμάτια αὐτῶν ἔστρω-
σαν εἰς τὴν ὁδόν· ἄλλοι δὲ στοιβάδας ἔκοπτον ἐκ
9 τῶν δένδρων, καὶ ἐστρώννυον εἰς τὴν ὁδόν. Καὶ οἱ
προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγον-
τες· Ὡσαννά· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι
10 Κυρίου· εὐλογημένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόμα-
τι Κυρίου, τοῦ πατρὸς ἡμῶν Δαυΐδ· Ὡσαννὰ ἐν τοῖς
ὑψίστοις.

Καὶ ταῦτα ἐν ἐκείνῳ διασεσάφηται.

11 Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς, καὶ εἰς
τὸ ἱερόν· καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη
οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν
δώδεκα.

Περιεβλέψατο πάντα τὰ ἐν τῷ ἱερῷ, ὡς κύριος τοῦ τοιούτου οἴκου. Καὶ τότε μὲν ἐσίγησε, διδοὺς καιρὸν διορθώσεως τοῖς καταφρονηταῖς· ὕστερον δὲ ἐλθὼν, αὐστηρότερον μετῆλθεν αὐτοὺς, ὡς ἀδιορθώτους.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ΄.

Περὶ τῆς ξηρανθείσης συκῆς.

12 Καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας,

13 ἐπείνασε. Καὶ ἰδὼν συκῆν μακρόθεν, ἔχουσαν φύλ-
λα, ἦλθεν, εἰ ἄρα εὑρήσει τι ἐν αὐτῇ· καὶ ἐλθὼν
ἐπ' αὐτὴν, οὐδὲν εὗρεν εἰμὴ φύλλα· οὐ γὰρ ἦν και-
ρὸς σύκων.

Εἴρηται περὶ ταύτης ἐν τῷ τεσσαρακοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

14 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Μηκέτι ἐκ
σοῦ εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι.

Καὶ περὶ τούτου. *Εἰς τὸν αἰῶνα* δὲ, ἀντὶ τοῦ, ποτὲ, ἤγουν μηδέποτε.

14 Καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ.

Δι' αὐτοὺς γὰρ καὶ τὴν πεῖναν ὑπεκρίνατο, καὶ κατηράσατο τὴν συκῆν, ἵνα γνῶσιν, ὅτι καὶ κολάζειν δυνατός ἐστιν, ὡς ἐν τῷ ῥηθέντι κεφαλαίῳ δεδήλωται κατ' ἀκρίβειαν.

15 Καὶ ἔρχονται εἰς Ἱεροσόλυμα· καὶ εἰσελθὼν ὁ Ἰη-
σοῦς εἰς τὸ ἱερὸν, ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦν-
τας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ· καὶ τὰς τραπέ-
ζας τῶν κολλυβιστῶν, καὶ τὰς καθέδρας τῶν πω-
λούντων τὰς περιστερὰς κατέστρεψε.

Περὶ τούτων διέξεισι τὸ τέλος τοῦ τεσσαρακοστοῦ πέμπτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

16 Καὶ οὐκ ἤφιεν, ἵνα τὶς διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ.

Καταφρόνησις γὰρ καὶ τοῦτο. Ἐπαίδευσε δὲ καὶ διὰ τούτου, ὅτι χρὴ μηδὲν παρορᾷν ἀνάξιον ἐν τοῖς ἱεροῖς.

17 Καὶ ἐδίδασκε, λέγων αὐτοῖς· Οὐ γέγραπται· «Ὅτι
ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς
ἔθνεσιν; ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν.»

Ἐκεῖ καὶ περὶ τούτων διηρμήνευται.

18 Καὶ ἤκουσαν οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσουσιν·

Ηκουσαν, πῶς ἐπαῤῥησιάσθη.

18 Ἐφοβοῦντο γὰρ αὐτὸν, ὅτι πᾶς ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

Εφοβοῦντο αὐτὸν ἀπολέσαι, ὡς ἔτυχε, διὰ τὸν ὄχλον.

19 Καὶ ὅτε ὀψὲ ἐγένετο, ἐξεπορεύετο ἔξω τῆς πόλεως.

Εξεπορεύετο εἰς τὰ προάστεια, διὰ τὴν ἡσυχίαν.

20 Καὶ πρωῒ παραπορευόμενοι, εἶδον τὴν συκῆν ἐξηραμ-
21 μένην ἐκ ῥιζῶν. Καὶ ἀναμνησθεὶς ὁ Πέτρος, λέγει
αὐτῷ· Ῥαββί, ἴδε, ἡ συκῆ ἣν κατηράσω, ἐξήρανται.

Εν τῷ προῤῥηθέντι τεσσαρακοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον καὶ περὶ τούτων διείληπται.

22 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, λέγει αὐτοῖς· Ἔχετε πίστιν θεοῦ.

Κτήσασθε πίστιν εἰς θεόν· πίστιν δὲ καθαρὰν καὶ ἀδίστακτον.

23 Ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ· Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν· καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ, ὅτι ἃ λέγει γίνεται· ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ.

Εν τῷ τοιούτῳ κεφαλαίῳ καὶ περὶ τούτων ἐλέχθη.

[Τὴν (1) ἄμεσον λαχὼν ὁ νοῦς πρὸς τὸν θεὸν ἕνωσιν, τὴν τοῦ νοεῖν κατὰ φύσιν δύναμιν ἔχει σχολάζουσαν παντελῶς· ἡνίκα δὲ ταύτην λύσῃ, νοήσας τι τῶν (2) μετὰ θεόν, διεκρίθη, τεμὼν τὴν ὑπὲρ νόησιν ἕνωσιν, καθ' ἣν, ἕως ἐστὶ τῷ θεῷ συνημμένος,

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις. Εὑρίσκεται δὲ τὸ σημεῖον τοῦτο καὶ εἰς τὴν Ἐνετικὴν ἔκδοσιν τοῦ Θεοφυλάκτου Σελ. 795. Β.

(2) Διαρθωτέον ἴσως: τῶν οὐ κατὰ θεόν.

ὡς ὑπὲρ φύσιν, καὶ τῇ μεθέξει θεὸς γεγενημένος, καθάπερ ὅρος ἀκίνητον ἑαυτοῦ, τὸν τῆς φύσεως μετατίθησι νόμον.]

24 Διὰ τοῦτο λέγω ὑμῖν, πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε· καὶ ἔσται ὑμῖν.

Ομοίως καὶ περὶ τούτων.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Περὶ ἀμνησικακίας.

25 Καὶ ὅταν στήκητε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε
κατά τινος· ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρα-
26 νοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν. Εἰ δὲ ὑμεῖς
οὐκ ἀφίετε, οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς
ἀφήσει τὰ παραπτώματα ὑμῶν.

Εἶπε ταῦτα καὶ πρότερον ὁ Κύριος, ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, μετὰ τὸ διδάξαι τὴν προσευχὴν τό· *Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς*· καὶ ζήτησον ἐκεῖ τὴν τούτων ἐξήγησιν.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Περὶ τῶν ἐπερωτησάντων τὸν Κύριον ἀρχιερέων καὶ πρεσβυτέρων.

27 Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα· καὶ ἐν τῷ
ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ
28 ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι· καὶ
λέγουσιν αὐτῷ· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς
σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν, ἵνα ταῦτα ποιῇς;

Ταῦτα· ποῖα; Τὸ ἐκβάλλειν τοὺς πωλοῦντας καὶ ἀγοράζοντας

ἐν τῷ ἱερῷ, τὸ ἀνατρέπειν τὰς προῤῥηθείσας τραπέζας καὶ καθέδρας, τὸ μὴ ἀφιέναι διενεγκεῖν σκεῦος διὰ τοῦ ἱεροῦ, καὶ τὰ τοιαῦτα.

Ζήτησον τὸ τεσσαρακοστὸν ὄγδοον κεφάλαιον τοῦ κατὰ Ματθαῖον.

29 Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ἐπερω-
τήσω ὑμᾶς κἀγὼ ἕνα λόγον· καὶ ἀποκρίθητέ μοι,
30 καὶ ἐρῶ ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τὸ βά-
πτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων;
ἀποκρίθητέ μοι.

Ἐν ἐκείνῳ καὶ περὶ τούτων εὑρήσεις.

31 Καὶ ἐλογίζοντο πρὸς ἑαυτοὺς, λέγοντες· Ἐὰν εἴ-
πωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ· Διατί οὖν οὐκ ἐπιστεύσατε
32 αὐτῷ; Ἀλλ' ἐὰν εἴπωμεν· Ἐξ ἀνθρώπων·

Λείπει τὸ, *οὐχί*.

32 Ἐφοβοῦντο τὸν λαόν· ἅπαντες γὰρ εἶχον τὸν Ἰω-
άννην, ὅτι ὄντως προφήτης ἦν.

Ε*ἶχον τὸν Ἰωάννην*, ἀντὶ τοῦ, ἐπεπληροφόρηντο περὶ τοῦ Ἰωάννου. Εἴρηται δὲ καὶ περὶ τούτων ἐκεῖ.

33 Καὶ ἀποκριθέντες, λέγουσι τῷ Ἰησοῦ· Οὐκ οἴδαμεν.
Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς, λέγει αὐτοῖς· Οὐδὲ ἐγὼ
λέγω ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

Ὁμοίως καὶ περὶ τούτων ἀκριβέστατα.

ΚΕΦΑΛΑΙΟΝ ΛϚʹ.

Περὶ τοῦ ἀμπελῶνος.

ΚΕΦ. XII, 1. Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέ-
γειν· Ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος, καὶ περιέ-

θηκε φραγμὸν, καὶ ὤρυξεν ὑπολήνιον, καὶ ᾠκοδό-
μησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς· καὶ
ἀπεδήμησε.

Τἄλλα μὲν τῆς παραβολῆς ταύτης ἡρμηνεύθησαν ἐν τῷ πεντηκοστῷ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον· *ὑπολήνιον* δὲ λέγει, τὸ ὑποκάτω τοῦ θυσιαστηρίου, ὃ τὸ αἷμα τῶν θυομένων ζώων ὑπεδέχετο.

2 Καὶ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦ-
λον, ἵνα παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ καρποῦ
τοῦ ἀμπελῶνος.

Ἐν ἐκείνῳ καὶ περὶ τούτων εὑρήσεις. Ὅρα δὲ, πῶς οἱ γεωργοὶ τοὺς καρποὺς ἀπαιτοῦνται, ὡς ἐπιμεληταὶ καὶ φύλακες τοῦ ἀμπελῶνος.

3 Οἱ δὲ, λαβόντες αὐτὸν, ἔδειραν, καὶ ἀπέστειλαν κε-
4 νόν. Καὶ πάλιν ἀπέστειλε πρὸς αὐτοὺς ἄλλον δοῦ-
λον· κἀκεῖνον λιθοβολήσαντες ἐκεφαλαίωσαν, καὶ ἀπέ-
5 στειλαν ἠτιμωμένον. Καὶ πάλιν ἄλλον ἀπέστειλε·
κἀκεῖνον ἀπέκτειναν· καὶ πολλοὺς ἄλλους, τοὺς
μὲν δέροντες, τοὺς δὲ ἀποκτείνοντες.

Καὶ ταῦτα πάντα διηρμηνεύθησαν ὁμοίως ἐκεῖ.

6 Ἔτι οὖν ἕνα υἱὸν ἔχων ἀγαπητὸν αὐτοῦ, ἀπέστει-
λε καὶ αὐτὸν πρὸς αὐτοὺς ἔσχατον, λέγων· Ὅτι
7 ἐντραπήσονται τὸν υἱόν μου. Ἐκεῖνοι δὲ οἱ γεωργοὶ
εἶπον πρὸς ἑαυτούς· Ὅτι οὗτός ἐστιν ὁ κληρονόμος·
δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ ἡμῶν ἔσται ἡ κλη-
8 ρονομία. Καὶ λαβόντες αὐτὸν, ἀπέκτειναν, καὶ ἐξέ-
βαλον ἔξω τοῦ ἀμπελῶνος.

Καὶ ταῦτα παραπλησίως τῆς προσηκούσης ἐκεῖ τετυχήκασιν ἐξηγήσεως.

9 Τί οὖν ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος; Ἐλεύ-
σεται καὶ ἀπολέσει τοὺς γεωργούς, καὶ δώσει τὸν
ἀμπελῶνα ἄλλοις.

Ετι καὶ ταῦτα.

10 Οὐδὲ τὴν γραφὴν ταύτην ἀνέγνωτε; «Λίθον ὃν ἀπε-
δοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κε-
11 φαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη· καὶ ἔστι
θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;»

Ομοίως καὶ ταῦτα.

12 Καὶ ἐζήτουν αὐτὸν κρατῆσαι· καὶ ἐφοβήθησαν τὸν
ὄχλον· ἔγνωσαν γάρ, ὅτι πρὸς αὐτοὺς τὴν παραβο-
λὴν εἶπε·

Πρὸς αὐτούς, ἀντὶ τοῦ, *περὶ αὐτῶν*. Οὕτω γὰρ εἶπεν ὁ Ματθαῖος (α), παρ' ᾧ καὶ τὰ ῥηθέντα πάντα διασεσάφηται.

12 Καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

Ινα μὴ καὶ ἄλλα κατ' αὐτῶν εἴπῃ, καὶ ἵνα συσκευάσωσιν ἐπιβουλὴν κατ' αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ΄.

Περὶ τῶν ἐπερωτησάντων διὰ τὸν κῆνσον.

13 Καὶ ἀποστέλλουσι πρὸς αὐτόν τινας τῶν Φαρισαίων
καὶ τῶν Ἡρωδιανῶν, ἵνα αὐτὸν ἀγρεύσωσι λόγῳ.

Εἴρηται περὶ τούτων ἐν τῷ πεντηκοστῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, εἰς τὸ τέλος.

14 Οἱ δὲ ἐλθόντες λέγουσιν αὐτῷ· Διδάσκαλε, οἴδαμεν,
ὅτι ἀληθὴς εἶ, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ

(α) Ματθ. ΚΑ΄, 45.

γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ' ἐπ' ἀλη-
θείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις·

Επ' ἀληθείας, ἀντὶ τοῦ, ἀληθῶς. Εἴρηται δὲ καὶ περὶ τούτων ἐν ἐκείνῳ.

14 Ἔξεστι κῆνσον Καίσαρι δοῦναι, ἢ οὔ; δῶμεν, ἢ μὴ
15 δῶμεν; Ὁ δέ, εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν, εἶπεν αὐ-
τοῖς· Τί με πειράζετε; φέρετέ μοι δηνάριον, ἵνα
16 ἴδω. Οἱ δὲ ἤνεγκαν. Καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰ-
κὼν αὕτη καὶ ἡ ἐπιγραφή; Οἱ δὲ εἶπον αὐτῷ· Καί-
17 σαρος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς·
Ἀπόδοτε τὰ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ θεοῦ,
τῷ θεῷ. Καὶ ἐθαύμασαν ἐπ' αὐτῷ.

Καὶ περὶ τούτων πάντων ἐκεῖ διηρμήνευται.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ΄.

Περὶ τῶν Σαδδουκαίων.

18 Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτόν, οἵτινες λέ-
γουσιν ἀνάστασιν μὴ εἶναι·

Εἴρηται περὶ τούτων ἐν τῷ πεντηκοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

18 Καὶ ἐπηρώτησαν αὐτόν, λέγοντες· Διδάσκαλε,
19 Μωσῆς ἔγραψεν ἡμῖν, «ὅτι ἐάν τινος ἀδελφὸς ἀπο-
θάνῃ, καὶ καταλίπῃ γυναῖκα, καὶ τέκνα μὴ ἀφῇ,
ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ
ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.»

Εν ἐκείνῳ περὶ τούτων ἐλέχθη.

20 Ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος ἔλαβε γυ-
21 ναῖκα, καὶ ἀποθνήσκων οὐκ ἀφῆκε σπέρμα. Καὶ ὁ

δεύτερος ἔλαβεν αὐτὴν, καὶ ἀπέθανε, καὶ οὐδὲ αὐτὸς
22 ἀφῆκε σπέρμα· καὶ ὁ τρίτος ὡσαύτως. Καὶ ἔλαβον
αὐτὴν οἱ ἑπτὰ, καὶ οὐκ ἀφῆκαν σπέρμα· ἐσχάτη
23 πάντων ἀπέθανε καὶ ἡ γυνή. Ἐν τῇ οὖν ἀναστάσει,
ὅταν ἀναστῶσι, τίνος αὐτῶν ἔσται γυνή; οἱ γὰρ
ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα.

Ὁμοίως καὶ περὶ τούτων πάντων.

24 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Οὐ διὰ
τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν
δύναμιν τοῦ θεοῦ;

Διὰ τοῦτο· ποῖον; Διὰ τὸ οὕτως ἐμπαθῶς ὑπολαμβάνειν περὶ τῆς ἀναστάσεως.

Ἢ διὰ τὸ μὴ εἰδέναι τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ, περὶ ὧν ὁμοίως ἐκεῖ διασεσάφηται.

25 Ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν,
οὔτε γαμίσκονται· ἀλλ' εἰσὶν ὡς ἄγγελοι οἱ ἐν τοῖς
οὐρανοῖς.

Ὅταν ἀναστῶσι πάντες οἱ ἄνθρωποι. Καὶ περὶ τούτων δὲ ζήτησον ἐν ἐκείνῳ τῷ κεφαλαίῳ.

26 Περὶ δὲ τῶν νεκρῶν, ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε
ἐν τῇ βίβλῳ Μωσέως, ἐπὶ τῆς βάτου ὡς εἶπεν
αὐτῷ ὁ θεὸς λέγων· «Ἐγὼ ὁ θεὸς Ἀβραὰμ, καὶ ὁ
27 θεὸς Ἰσαὰκ, καὶ ὁ θεὸς Ἰακώβ;» Οὐκ ἔστιν ὁ θεὸς
νεκρῶν, ἀλλὰ θεὸς ζώντων.

Καὶ ταῦτα πάντα ἐκεῖ λελεπτολόγηται. Χρὴ δὲ γινώσκειν, ὅτι καὶ, ἡ βάτος, καὶ, ὁ βάτος, ἀδιαφόρως λέγονται.

27 Ὑμεῖς οὖν πολὺ πλανᾶσθε.

Οὐχ ἁπλῶς, ἀλλὰ πολύ. Τοῦτο δὲ προσέθηκεν, ὡς προδήλως ἐληλεγμένων ἀνοήτων.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ΄

Περὶ τοῦ γραμματέως.

28 Καὶ προσελθὼν εἷς τῶν γραμματέων, ἀκούσας αὐτῶν
συζητούντων, εἰδὼς ὅτι καλῶς αὐτοῖς ἀπεκρίθη,
ἐπηρώτησεν αὐτόν· Ποία ἐστὶ πρώτη πάντων ἐντολή;

Πρώτη πάντων, τῶν νόμων. Εἴρηται δὲ περὶ τούτου ἐν τῷ πεντηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

29 Ὁ δὲ Ἰησοῦς ἀπεκρίθη αὐτῷ· Ὅτι πρώτη πασῶν
τῶν ἐντολῶν· «Ἄκουε Ἰσραὴλ, Κύριος, ὁ θεὸς
30 ἡμῶν, Κύριος εἷς ἐστι· καὶ ἀγαπήσεις Κύριον τὸν
θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης
τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ
31 ἐξ ὅλης τῆς ἰσχύος σου.» Αὕτη πρώτη ἐντολή. Καὶ
δευτέρα ὁμοία, αὕτη· «Ἀγαπήσεις τὸν πλησίον σου
ὡς σεαυτόν.»

Καὶ περὶ τούτων ἐν ἐκείνῳ διείληπται.

Τὸ δὲ, *Ἄκουε Ἰσραὴλ, Κύριος ὁ θεὸς ἡμῶν, Κύριος εἷς ἐστιν*, οὐκ ἀνέγραψεν ὁ Ματθαῖος, ὡς προοίμιον τῆς πρώτης ἐντολῆς· ἐμφαίνει δὲ τοῦτο τὰς τρεῖς ὑποστάσεις, καὶ τὴν μίαν φύσιν τῆς θεότητος· τὸ μὲν γὰρ, Κύριος, καὶ τὸ, ὁ Θεὸς, καὶ αὖθις τό, Κύριος, τῶν τριῶν προσώπων εἰσὶ δηλωτικά· τὸ δὲ, *εἷς*, τῆς μιᾶς φύσεως.

Καὶ ἑτέρως δὲ, συνήθης Ἑβραίοις ἡ ἀναδίπλωσις τοῦ, Κύριος Κύριος, καὶ, ὁ Θεὸς ὁ Θεὸς, διὰ τὴν ὑπεροχήν.

31 Μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστι.

Τοῦτο ἐπιβεβαίωσίς ἐστι τοῦ, πρώτην καὶ δευτέραν, μόνας ἐκείνας εἶναι.

32 Καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς· Καλῶς, διδάσκαλε,

ἐπ' ἀληθείας εἶπας, ὅτι εἷς ἐστι, καὶ οὐκ ἔστιν
33 ἄλλος πλὴν αὐτοῦ· καὶ τὸ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης
τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς συνέσεως, καὶ ἐξ
ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ τὸ
ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτὸν, πλεῖόν ἐστι πάν-
των τῶν ὁλοκαυτωμάτων καὶ τῶν θυσιῶν.

Ορα, πῶς οἱ τηνικαῦτα Ἰουδαῖοι τὰς θυσίας ἀντὶ κατορθωμάτων ἐνόμιζον, τῶν ἄλλων ἀμελοῦντες ἀρετῶν. *Σύνεσιν* δὲ ὁ γραμματεὺς, τὴν διάνοιαν ὠνόμασεν.

34 Καὶ ὁ Ἰησοῦς, ἰδὼν αὐτὸν, ὅτι νουνεχῶς ἀπεκρίθη,
εἶπεν αὐτῷ· Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ
θεοῦ.

Τὸ τέλος τῆς ἐξηγήσεως τοῦ δηλωθέντος κεφαλαίου περὶ τούτου διδάσκει.

34 Καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι.

Εν τῷ πεντηκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον εἴρηται περὶ τούτου, μετὰ τὸ ἐπερωτηθῆναι παρ' αὐτοῦ τοὺς φαρισαίους.

ΚΕΦΑΛΑΙΟΝ Μ΄.

Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως.

35 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγε, διδάσκων ἐν τῷ
ἱερῷ· Πῶς λέγουσιν οἱ γραμματεῖς, ὅτι ὁ Χριστὸς
36 υἱός ἐστι Δαυΐδ; Αὐτὸς γὰρ Δαυῒδ εἶπεν ἐν τῷ
πνεύματι τῷ ἁγίῳ· «Λέγει ὁ Κύριος τῷ Κυρίῳ μου·
Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
37 ὑποπόδιον τῶν ποδῶν σου.» Αὐτὸς οὖν Δαυῒδ λέγει
αὐτὸν Κύριον· καὶ πόθεν υἱὸς αὐτοῦ ἐστι;

Περὶ τούτων ἐλέχθη σαφῶς ἐν τῷ ῥηθέντι πεντηκοστῷ πέμπτῳ κεφαλαίῳ. Μὴ ξενίσῃ σε δὲ τό· *Λέγει ὁ Κύριος τῷ Κυρίῳ μου·* ἡ γὰρ ἑβραϊκὴ λέξις ἀμφότερα σημαίνει, καὶ τὸ, λέγει, καὶ τὸ, εἶπε. Διὸ καὶ ὁ μὲν ταύτην· ὁ δὲ ἐκείνην λαμβάνει τὴν σημασίαν ἀδιαφόρως. Καὶ πολλὰ τοιαῦτα πολλαχοῦ εὑρήσομεν.

37 Καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως.

Ως ἡδέως διαλεγομένου, καὶ εὐχερῶς αὐτοὺς (1) ἀνατρέποντος, καὶ ὡς (2) αὐτὸς ἀπηλλαγμένος τῆς βασκανίας.

38 Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· Βλέπετε
ἀπὸ τῶν γραμματέων.

Β*λέπετε*, ἀντὶ τοῦ, φυλάττεσθε.

38 Τῶν θελόντων ἐν στολαῖς περιπατεῖν.

Λέγει περὶ αὐτῶν ὁ Ματθαῖος ἐν τῷ πεντηκοστῷ πέμπτῳ κεφαλαίῳ περὶ τὸ μέσον· ὅτι *πλατύνουσι τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν* (α)· ἅπερ νῦν ὁ Μάρκος *στολὰς* ὠνόμασε. Ζήτησον οὖν ἐν ἐκείνῳ τὴν τούτων ἐξήγησιν.

38 Καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθε-
39 δρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν
τοῖς δείπνοις·

Τῶν θελόντων ἔτι καὶ τόδε καὶ τόδε. Εἴρηται δὲ καὶ περὶ τούτων ἐκεῖ.

40 Οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν, καὶ προφά-
σει μακρὰ προσευχόμενοι· οὗτοι λήψονται περισσό-
τερον κρίμα.

Εἴρηται περὶ τούτων ἀκριβῶς ἐν ἀρχῇ τοῦ πεντηκοστοῦ ἕκτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

(1) Τοὺς γραμματεῖς. (2) Ὁ πολὺς ὄχλος. (α) Ματθ. ΚΓ΄, 5.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Περὶ τῆς τὰ δύο λεπτὰ βαλούσης.

41 Καὶ καθίσας ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακί-
ου, ἐθεώρει πῶς ὁ ὄχλος βάλλει χαλκὸν εἰς τὸ
γαζοφυλάκιον.

Τὸ *γαζοφυλάκιον*, θησαυροφυλάκιον ἦν ἐν τῷ ναῷ, εἰς ὃ πάντες οἱ ἔχοντες καὶ θέλοντες ἐνέβαλλον τὸ κατὰ δύναμιν πρὸς ἀποτροφὴν τῶν πενήτων.

41 Καὶ πολλοὶ πλούσιοι ἔβαλλον πολλά. Καὶ ἐλθοῦ-
42 σα μία χήρα πτωχὴ, ἔβαλε λεπτὰ δύο, ὅ ἐστι κο-
δράντης.

Ο, τὸ λεπτὸν δηλονότι, ἔστι παρ᾽ Ἑβραίοις, ἤγουν, λέγεται, *κοδράντης*. *Λεπτὸν* δέ ἐστι παρ᾽ ἡμῖν ὁ ὀβολός.

43 Καὶ προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, λέγει
αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι ἡ χήρα αὕτη ἡ πτω-
χὴ πλεῖον πάντων βέβληκε τῶν βαλόντων εἰς τὸ
44 γαζοφυλάκιον. Πάντες γὰρ ἐκ τοῦ περισσεύοντος
αὐτοῖς ἔβαλον· αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς.

Ὑστέρησις μὲν νοεῖται, ἡ ἔνδεια· νῦν δὲ, τὸ ἀναγκαῖον καὶ χρειῶδες, ὑστέρησιν, ὡς οἶμαι, ὠνόμασε.

44 Πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς.

Εἰ καὶ πτωχὴ τοῖς χρήμασιν ἦν, ἀλλὰ πλουσία τῇ γνώμῃ καθίστατο. Διὸ καὶ ὁ Σωτὴρ, οὐ τὸ δῶρον μετρήσας, ἀλλὰ τὴν προαίρεσιν αὐτῆς, *πλεῖον πάντων βαλεῖν* εἶπε.

Γένοιτο δὲ, καὶ τὴν ἐμὴν ψυχὴν γενέσθαι χήραν, ἀποβαλοῦσαν τὸν διάβολον, ᾧ κεκόλληται, καὶ ᾧ ὑποτέτακται· καὶ βαλεῖν εἰς τὸν τοῦ θεοῦ θησαυρὸν δύο λεπτὰ, τὸ σῶμα καὶ τὸν νοῦν, λεπτυνθέντα, τὸ μὲν, δι᾽ ἐγκρατείας· τὸν δὲ, διὰ ταπεινώσεως.

ΚΕΦ. ΧΙΙΙ, 1 Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱε-
ροῦ, λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ· Διδάσκα-
2 λε, ἴδε, ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί. Καὶ
ὁ Ἰησοῦς ἀποκριθεὶς, εἶπεν αὐτῷ· Βλέπεις ταύτας
τὰς μεγάλας οἰκοδομάς; οὐ μὴ ἀφεθῇ λίθος ἐπὶ λί-
θῳ, ὃς οὐ μὴ καταλυθῇ.

Περὶ τούτων ἐῤῥήθη ἐν τῷ τέλει τοῦ πεντηκοστοῦ ἕκτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Περὶ συντελείας.

3 Καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, κα-
τέναντι τοῦ ἱεροῦ, ἐπηρώτων αὐτὸν κατ᾽ ἰδίαν Πέ-
4 τρος, καὶ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ Ἀνδρέας· Εἰ-
πὲ ἡμῖν πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον, ὅταν
μέλλῃ πάντα ταῦτα συντελεῖσθαι;

Ζήτησον περὶ τούτων ἐν τῷ πεντηκοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

5 Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς αὐτοῖς, ἤρξατο λέγειν·
6 Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. Πολλοὶ γὰρ ἐλεύ-
σονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ὅτι ἐγώ
7 εἰμι· καὶ πολλοὺς πλανήσουσιν. Ὅταν δὲ ἀκού-
σητε πολέμους καὶ ἀκοὰς πολέμων, μὴ θροεῖσθε· δεῖ
8 γὰρ γενέσθαι· ἀλλ᾽ οὔπω τὸ τέλος. Ἐγερθήσεται
γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ
ἔσονται σεισμοὶ κατὰ τόπους, καὶ ἔσονται λιμοὶ καὶ
9 ταραχαί. Ἀρχαὶ ὠδίνων ταῦτα.

Ἐν ἐκείνῳ περὶ πάντων τούτων ἐῤῥήθη.

9 **Βλέπετε** δὲ ὑμεῖς ἑαυτούς·

Φυλάττετε ἑαυτοὺς ἀπὸ τῆς τότε ἀπάτης.

9 **Παραδώσουσι** γὰρ ὑμᾶς εἰς συνέδρια καὶ εἰς συνα-
γωγάς· δαρήσεσθε, καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέ-
ων σταθήσεσθε ἕνεκεν ἐμοῦ.

Ἐκεῖ καὶ περὶ τούτων εὑρήσεις.

9 Εἰς μαρτύριον αὐτοῖς.

Εἰς κατηγορίαν καὶ ἔλεγχον αὐτῶν, ἵνα μὴ δύνωνται λέγειν ἐν καιρῷ τῆς παγκοσμίου κρίσεως, ὅτι οὐκ ἠνωτισάμεθα τὸ κήρυγμα. Τοσοῦτον γὰρ αὐτὸ ἐνωτισθήσονται, ὥστε καὶ τοὺς κήρυκας αὐτοῦ κολάσεσιν ἐσχάταις ὑποβαλεῖν.

10 **Καὶ** εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον κηρυχθῆναι τὸ
εὐαγγέλιον.

Ὁ δὲ Ματθαῖος ἔγραψεν ἐν τῷ δηλωθέντι κεφαλαίῳ· ὅτι *Καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ* (α). Καὶ ζήτησον ἐκεῖ τὴν τούτου διάγνωσιν.

11 Ὅταν δὲ ἀγάγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμε-
ριμνᾶτε τί λαλήσητε, μηδὲ μελετᾶτε· ἀλλ᾽ ὃ ἐὰν
δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε· οὐ γάρ
ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον.

Οἰκονομικῶς τὸ πνεῦμα τὸ ἅγιον τηνικαῦτα λαλεῖ, χρώμενον τοῖς αὐτῶν στόμασιν, ἵνα μὴ ἡ τούτων ἀγροικία δόξῃ τοῖς ἀπίστοις ἧττα τοῦ κηρύγματος. Εἴρηκε δὲ ταῦτα καὶ ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, περὶ τὰ μέσα, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν.

12 **Παραδώσει** δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ
πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς,

(α) Ματθ. ΚΔ', 14.

13 καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι
ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς
τέλος, οὗτος σωθήσεται.

Καὶ ταῦτα πάντα ἐν τῷ ῥηθέντι ἐννεακαιδεκάτῳ κεφαλαίῳ προηρμηνεύθησαν.

14 Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ
ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ὅπου οὐ
δεῖ· (ὁ ἀναγινώσκων νοείτω·)

Εἴρηται περὶ τούτου ἐν τῷ προμνημονευθέντι πεντηκοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

14 Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν εἰς τὰ ὄρη·
15 ὁ δὲ ἐπὶ τοῦ δώματος, μὴ καταβάτω εἰς τὴν οἰκίαν,
16 μηδὲ εἰσελθέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ· καὶ ὁ
εἰς τὸν ἀγρὸν ὢν, μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω,
17 ἆραι τὸ ἱμάτιον αὐτοῦ. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ
ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς
ἡμέραις.

Ἐν ἐκείνῳ καὶ περὶ τούτων διασεσάφηται.

18 **Προσεύχεσθε** δὲ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χει-
19 μῶνος. Ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλίψις, οἵα
οὐ γέγονε τοιαύτη ἀπ᾽ ἀρχῆς κτίσεως, ἧς ἔκτισεν
20 ὁ θεὸς, ἕως τοῦ νῦν, καὶ οὐ μὴ γένηται. **Καὶ** εἰ
μὴ Κύριος ἐκολόβωσε τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη
πᾶσα σάρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς, οὓς ἐξελέξα-
το, ἐκολόβωσε τὰς ἡμέρας.

Ὁμοίως καὶ περὶ τούτων. Τὸ δὲ, *ἔσονται αἱ ἡμέραι ἐκεῖναι*, ἀντὶ τοῦ, κατὰ τὰς ἡμέρας ἐκείνας (1).

(1) Νοεῖται τὸ, ἔσται, ἀπὸ τοῦ, ἔσονται.

21 Καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ· Ἰδοὺ, ὧδε ὁ Χριστός·
22 ἤ· Ἰδοὺ, ἐκεῖ· μὴ πιστεύσητε. Ἐγερθήσονται γὰρ
ψευδόχριστοι καὶ ψευδοπροφῆται· καὶ δώσουσι ση-
μεῖα καὶ τέρατα, πρὸς τὸ ἀποπλανᾷν, εἰ δυνατὸν,
23 καὶ τοὺς ἐκλεκτούς. Ὑμεῖς δὲ βλέπετε· ἰδοὺ, προεί-
ρηκα ὑμῖν πάντα.

Καὶ περὶ τούτων ἐκεῖ διείληπται.

24 Ἀλλ' ἐν ἐκείναις ταῖς ἡμέραις, μετὰ τὴν θλίψιν
ἐκείνην, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ
24 δώσει τὸ φέγγος αὐτῆς· καὶ οἱ ἀστέρες τοῦ οὐρα-
νοῦ ἔσονται ἐκπίπτοντες, καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς
26 οὐρανοῖς σαλευθήσονται. Καὶ τότε ὄψονται τὸν
υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις, μετὰ δυ-
27 νάμεως πολλῆς καὶ δόξης. Καὶ τότε ἀποστελεῖ
τοὺς ἀγγέλους αὐτοῦ, καὶ ἐπισυνάξει τοὺς ἐκλε-
κτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρου
γῆς ἕως ἄκρου οὐρανοῦ.

Καὶ περὶ τούτων ὡσαύτως.

28 Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν
αὐτῆς ἤδη ὁ κλάδος ἁπαλὸς γένηται, καὶ ἐκφύῃ τὰ
29 φύλλα, γινώσκετε, ὅτι ἐγγὺς τὸ θέρος ἐστίν. Οὕτω
καὶ ὑμεῖς, ὅταν ταῦτα ἴδητε γινόμενα, γινώσκετε,
30 ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. Ἀμὴν λέγω ὑμῖν, ὅτι
οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, μέχρις οὗ πάντα
31 ταῦτα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται·
οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.

Ἔτι καὶ περὶ τούτων πάντων κατὰ ῥῆμα ἐν ἐκείνῳ τῷ κεφαλαίῳ λελεπτολόγηται.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ΄.

Περὶ τῆς ἡμέρας καὶ ὥρας.

32 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν,
οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ, οὐδὲ ὁ υἱὸς, εἰ μὴ
ὁ πατήρ.

Εἴρηται περὶ τούτου ἐν τῷ πεντηκοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

33 Βλέπετε, ἀγρυπνεῖτε καὶ προσεύχεσθε· οὐκ οἴδατε
γὰρ πότε ὁ καιρός ἐστιν.

Ἐν ἐκείνῳ καὶ περὶ τούτων παρεσημειώθη.

34 Ὡς ἄνθρωπος ἀπόδημος ἀφεὶς τὴν οἰκίαν αὐτοῦ,
καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν, καὶ
ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ θυρωρῷ ἐνετεί-
λατο, ἵνα γρηγορῇ.

Περὶ τοῦ Χριστοῦ καὶ τῶν χριστιανῶν εἴληπται τουτὶ τὸ παράδειγμα. Ἔστι δὲ ἐλλειπτικόν· ἐλλείπει γὰρ τὸ, *ἔσται*. Φησὶν οὖν, ὅτι ὡς *ἄνθρωπος ἀποδημῶν ἔσται*· *ἄνθρωπον* μὲν, ἑαυτὸν ὑποδηλῶν, ὡς ἐν πολλαῖς εἴρηται παραβολαῖς· *ἀποδημίαν* δὲ, τὴν εἰς οὐρανοὺς ἀνάληψιν· *οἰκίαν* δὲ αὐτοῦ, τὸν παρόντα κόσμον· *δούλους* δὲ αὐτοῦ, τοὺς χριστιανούς· *ἑκάστου δὲ τὸ ἔργον*, τὴν φυλακὴν τῶν ἐντολῶν αὐτοῦ, καὶ ἐργασίαν τῶν ἀρετῶν· *θυρωρὸν* δὲ, τὸν ἑκάστου νοῦν, τὸν ἐπιστατοῦντα ταῖς θυρίσι τῆς ψυχῆς, ἤγουν, τοῖς αἰσθητηρίοις, δι' ὧν ὁ νοητὸς κλέπτης εἰσπηδᾷν εἴωθεν.

35 Γρηγορεῖτε οὖν· οὐκ οἴδατε γὰρ, πότε ὁ κύριος
τῆς οἰκίας ἔρχεται, ὀψὲ, ἢ μεσονυκτίου, ἢ ἀλε-
36 κτοροφωνίας, ἢ πρωΐ· μὴ ἐλθὼν ἐξαίφνης, εὕρῃ
ὑμᾶς καθεύδοντας.

Ὀψὲ μὲν νοεῖται, ἡ τῶν γερόντων ἡλικία· *μεσονύκτιον* δὲ,

ἡ τῶν μέσων· *ἀλεκτοροφωνία* δὲ, ἡ τῶν ἀρξαμένων ἤδη φρονεῖν, ὅτε ἡ φρόνησις, ὥσπερ ἀλέκτωρ, ἐγείρει αὐτοὺς ἀπὸ τῆς ἀναισθησίας· *πρωΐ* δὲ, ἡ τῶν παίδων.

Ζήτησον δὲ ἐν τῷ δηλωθέντι πεντηκοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· *Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι· ὅτι, ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται* (α).

37 Ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω·

Πᾶσι, τοῖς ἄχρι τῆς παγκοσμίου συντελείας χριστιανοῖς.

Ἐντεῦθεν κοινούμενοί τινες ἔφησαν, ὅτι αἱ προῤῥηθεῖσαι ἡλικίαι τοῖς εὑρισκομένοις τότε χριστιανοῖς ἁρμόζουσιν· ἐπ᾽ ἐκείνων γὰρ ἡ δευτέρα παρουσία γενήσεται.

37 Γρηγορεῖτε.

Ἐπεφώνησεν ἔτι τοῦτο διαμαρτυρόμενος.

ΚΕΦ. XIV, 1. Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ
δύο ἡμέρας·

Πάσχα καὶ ἄζυμα, τὸ πάσχα λέγει νῦν ὁ εὐαγγελιστής· διότι κατὰ τὸ πάσχα τοῖς τοῦ ἀμνοῦ κρέασι καὶ ἄζυμα συνησθίοντο, ὡς ἐν τῷ ἑξηκοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον παρασεσημείωται.

Ζήτησον δὲ καὶ περὶ τὰ τελευταῖα τοῦ ἑξηκοστοῦ πρώτου κεφαλαίου τό· *Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Οἴδατε, ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται* (β).

1 Καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, πῶς
2 αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν. Ἔλεγον
δέ· Μὴ ἐν τῇ ἑορτῇ, μήποτε θόρυβος ἔσται τοῦ λαοῦ.

Ἐκεῖ καὶ περὶ τούτων εὑρήσεις.

(α) Ματθ. ΚΔ', 44. (β) Ματθ. ΚϚ', 1. 2.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ.

3 Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ, ἐν τῇ οἰκίᾳ Σίμωνος
τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ, ἦλθε γυνὴ ἔχου-
σα ἀλάβαστρον μύρου, νάρδου πιστικῆς πολυτε-
λοῦς· καὶ συντρίψασα τὸ ἀλάβαστρον, κατέχεεν
αὐτοῦ κατὰ τῆς κεφαλῆς.

Εἴρηται περὶ ταύτης ἐν τῷ ἑξηκοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

4 Ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτοὺς, καὶ
λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέ-
5 γονεν; Ἠδύνατο γὰρ τοῦτο πραθῆναι ἐπάνω τρια-
κοσίων δηναρίων, καὶ δοθῆναι τοῖς πτωχοῖς· καὶ
ἐνεβριμῶντο αὐτῇ.

Ὁμοίως καὶ περὶ τούτων πάντων. *Ἐπάνω δὲ τριακοσίων δηναρίων*, ἀντὶ τοῦ, ἐπέκεινα.

6 Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἄφετε αὐτήν· τί αὐτῇ κό-
πους παρέχετε; καλὸν ἔργον εἰργάσατο ἐν ἐμοί.
7 Πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ᾽ ἑαυτῶν,
καὶ, ὅταν θέλητε, δύνασθε αὐτοὺς εὖ ποιῆσαι·
8 ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Ὃ ἔσχεν αὕτη, ἐποίησε·
προέλαβε μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφια-
9 σμόν. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγ-
γέλιον τοῦτο εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν
αὕτη λαληθήσεται, εἰς μνημόσυνον αὐτῆς.

Ἔτι καὶ περὶ τούτων λεπτομερῶς.

10 Καὶ ὁ Ἰούδας ὁ Ἰσκαριώτης, εἷς τῶν δώδεκα,
ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς, ἵνα παραδῷ αὐτὸν αὐ-

11 τοῖς. Οἱ δὲ ἀκούσαντες ἐχάρησαν· καὶ ἐπηγγείλαν-
το αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐζήτει, πῶς εὐκαίρως
αὐτὸν παραδῷ.

Καὶ περὶ τούτων ἐκεῖ ζήτησον. *Ἐχάρησαν* δὲ, οὐ μόνον, ὅτι χωρὶς θορύβου ἔμελλον αὐτὸν συλλαβεῖν, ὑπὸ τοῦ Ἰούδα παραδιδόμενον εὐκαίρως, ἀλλ' ὅτι καὶ ὑπὸ τῶν μαθητῶν ἤρξατο μισεῖσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ΄.

Περὶ τοῦ πάσχα.

12 Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα
ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ποῦ θέ-
λεις ἀπελθόντες ἑτοιμάσωμεν, ἵνα φάγῃς τὸ πάσχα;
13 Καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέ-
γει αὐτοῖς· Ὑπάγετε εἰς τὴν πόλιν· καὶ ἀπαντήσει
ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκο-
14 λουθήσατε αὐτῷ· καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε τῷ
οἰκοδεσπότῃ· Ὅτι ὁ διδάσκαλος λέγει· Ποῦ ἐστὶ
τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν
15 μου φάγω; Καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγεον μέγα
16 ἐστρωμένον, ἕτοιμον· ἐκεῖ ἑτοιμάσατε ἡμῖν. Καὶ
ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἦλθον εἰς τὴν πό-
λιν, καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς· καὶ ἡτοίμασαν
τὸ πάσχα.

Ἀπὸ τοῦ ἑξηκοστοῦ τρίτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον ταῦτα διαγινώσκεται ῥᾴδιον, ἀκριβῶς ἐκεῖ διαληφθέντα.

ΚΕΦΑΛΑΙΟΝ Μϛ΄.

Περὶ τῆς παραδόσεως προφητεία.

17 Καὶ ὀψίας γενομένης, ἔρχεται μετὰ τῶν δώδεκα.
18 Καὶ ἀνακειμένων αὐτῶν, καὶ ἐσθιόντων, εἶπεν ὁ Ἰη-
σοῦς· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώ-
19 σει με, ὁ ἐσθίων μετ' ἐμοῦ. Οἱ δὲ ἤρξαντο λυπεῖ-
σθαι, καὶ λέγειν αὐτῷ εἷς καθ' εἷς· Μήτι ἐγώ; καὶ
20 ἄλλος· Μήτι ἐγώ; Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς·
Εἷς ἐκ τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς
21 τὸ τρυβλίον. Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει,
καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀν-
θρώπῳ ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδί-
δοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος
ἐκεῖνος.

Ἐκεῖ καὶ ταῦτα ἐσαφηνίσθησαν.

22 Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς ἄρτον, εὐ-
λογήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπε· Λά-
23 βετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου. Καὶ λα-
βὼν τὸ ποτήριον, εὐχαριστήσας ἔδωκεν αὐτοῖς· καὶ
24 ἔπιον ἐξ αὐτοῦ πάντες. Καὶ εἶπεν αὐτοῖς· Τοῦτό
ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ
25 πολλῶν ἐκχυνόμενον. Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκέτι
οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως
τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ
βασιλείᾳ τοῦ θεοῦ.

Περὶ τούτων εἰρήκαμεν ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

26 Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

27 Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ὅτι πάντες σκανδα-
λισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· ὅτι γέγρα-
πται· «Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται
28 τὰ πρόβατα.» Ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με, προάξω
29 ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Ὁ δὲ Πέτρος ἔφη αὐτῷ·
30 Καὶ εἰ πάντες σκανδαλισθήσονται, ἀλλ᾽ οὐκ ἐγώ. Καὶ
λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ὅτι σὺ σήμε-
ρον ἐν τῇ νυκτὶ ταύτῃ, πρὶν ἢ δὶς ἀλέκτορα φω-
31 νῆσαι, τρίς ἀπαρνήσῃ με. Ὁ δὲ ἐκ περισσοῦ ἔλεγε
μᾶλλον· Ἐάν με δέῃ συναποθανεῖν σοι, οὐ μή σε
ἀπαρνήσομαι. Ὡσαύτως δὲ καὶ πάντες ἔλεγον.

Καὶ περὶ τούτων ἐν αὐτῷ κατὰ λόγον ἐῤῥήθη.

32 Καὶ ἔρχονται εἰς χωρίον, οὗ τὸ ὄνομα Γεθσημανῆ·
καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ· Καθίσατε ὧδε, ἕως
33 προσεύξωμαι. Καὶ παραλαμβάνει τὸν Πέτρον, καὶ
Ἰάκωβον, καὶ Ἰωάννην μεθ᾽ ἑαυτοῦ· καὶ ἤρξατο
34 ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν. Καὶ λέγει αὐτοῖς· Πε-
ρίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε
35 ὧδε, καὶ γρηγορεῖτε. Καὶ προελθὼν μικρὸν, ἔπεσεν
ἐπὶ τῆς γῆς· καὶ προσηύχετο, ἵνα, εἰ δυνατόν ἐστι,
36 παρέλθῃ ἀπ᾽ αὐτοῦ ἡ ὥρα. Καὶ ἔλεγεν· Ἀββᾶ ὁ
πατὴρ, πάντα δυνατά σοι· παρένεγκε τὸ ποτήριον
ἀπ᾽ ἐμοῦ τοῦτο· ἀλλ᾽ οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ.

Ὁμοίως καὶ περὶ τούτων.

37 Καὶ ἔρχεται, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας· καὶ
λέγει τῷ Πέτρῳ· Σίμων, καθεύδεις; οὐκ ἴσχυσας
38 μίαν ὥραν γρηγορῆσαι; Γρηγορεῖτε καὶ προσεύχεσθε,
ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρό-
39 θυμον, ἡ δὲ σὰρξ ἀσθενής. Καὶ πάλιν ἀπελθὼν προσ-

40 ηὔξατο, τὸν αὐτὸν λόγον εἰπών. Καὶ ὑποστρέψας,
εὗρεν αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ οἱ ὀφθαλ-
μοὶ αὐτῶν βεβαρημένοι· καὶ οὐκ ᾔδεισαν, τί αὐτῷ
41 ἀποκριθῶσι. Καὶ ἔρχεται τὸ τρίτον, καὶ λέγει αὐ-
τοῖς· Καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε· ἀπέχει·
ἦλθεν ἡ ὥρα· ἰδοὺ, παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώ-
42 που εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν. Ἐγείρεσθε,
ἄγωμεν· ἰδοὺ, ὁ παραδιδούς με ἤγγικε.

Καὶ περὶ τούτων πάντων ἐκεῖνο τὸ κεφάλαιον ἐδίδαξεν.

43 Καὶ εὐθέως, ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται Ἰού-
δας, εἷς ὢν τῶν δώδεκα, καὶ μετ᾽ αὐτοῦ ὄχλος πο-
λὺς μετὰ μαχαιρῶν καὶ ξύλων, παρὰ τῶν ἀρχιερέ-
ων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων.

Εἴρηται περὶ τούτων ἐν τῷ ἑξηκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

44 Δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς,
λέγων· Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐ-
45 τὸν, καὶ ἀπαγάγετε ἀσφαλῶς. Καὶ ἐλθὼν, εὐθέως
προσελθὼν αὐτῷ, λέγει· Ῥαββὶ, ῥαββί· καὶ κατε-
46 φίλησεν αὐτόν. Οἱ δὲ ἐπέβαλον ἐπ᾽ αὐτὸν τὰς χεῖ-
47 ρας αὐτῶν, καὶ ἐκράτησαν αὐτόν. Εἷς δέ τις τῶν
παρεστηκότων, σπασάμενος τὴν μάχαιραν, ἔπαισε
τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ
ὠτίον.

Ὡσαύτως καὶ περὶ τούτων ἀνάγνωθι τὴν ὅλην αὐτῶν ἐξήγησιν, ἀκριβῶς ἐκτεθειμένην ἐκεῖ.

48 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Ὡς ἐπὶ
ληστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλ-
49 λαβεῖν με; Καθ᾽ ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ

ἱερῷ διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με· ἀλλ', ἵνα
50 πληρωθῶσιν αἱ γραφαί. Καὶ ἀφέντες αὐτὸν πάντες
51 ἔφυγον. Καὶ εἷς τις νεανίσκος ἠκολούθει αὐτῷ, πε-
ριβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ· καὶ κρατοῦσιν
52 αὐτὸν οἱ νεανίσκοι. Ὁ δὲ, καταλιπὼν τὴν σινδόνα,
γυμνὸς ἔφυγεν ἀπ' αὐτῶν.

Καὶ περὶ τούτων ὁμοίως ἐν ἐκείνῳ διείληπται.

53 Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα· καὶ
συνέρχονται αὐτῷ πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρε-
54 σβύτεροι καὶ οἱ γραμματεῖς. Καὶ ὁ Πέτρος ἀπὸ
μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν
τοῦ ἀρχιερέως· καὶ ἦν συγκαθήμενος μετὰ τῶν
ὑπηρετῶν, καὶ θερμαινόμενος πρὸς τὸ φῶς.

Πρὸς τὸ φῶς, τὸ ἐκ τῆς πυρκαϊᾶς, ὡς φαίνεσθαι τοῖς συγκαθημένοις καὶ πᾶσι τοῖς ἐν τῇ αὐλῇ. Εἴρηται καὶ περὶ τούτων ἐκεῖ.

55 Οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν
κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν, εἰς τὸ θανατῶσαι αὐτόν·
56 καὶ οὐχ εὕρισκον. Πολλοὶ γὰρ ἐψευδομαρτύρουν
κατ' αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. Καί
57 τινες ἀναστάντες, ἐψευδομαρτύρουν κατ' αὐτοῦ, λέ-
58 γοντες· Ὅτι ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος·
Ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειρο-
ποίητον, καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον
59 οἰκοδομήσω. Καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία
αὐτῶν.

Ἐκεῖ καὶ ταῦτα διηρμηνεύθησαν.

60 Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς τὸ μέσον, ἐπηρώτησε
τὸν Ἰησοῦν, λέγων· Οὐκ ἀποκρίνῃ οὐδέν; τί οὗτοί

61 σου καταμαρτυροῦσιν; Ὁ δὲ ἐσιώπα, καὶ οὐδὲν
ἀπεκρίνατο. Πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν,
καὶ λέγει αὐτῷ· Σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ εὐ-
62 λογητοῦ; Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἐγώ εἰμι· καὶ ὄψε-
σθε τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν καθήμενον
τῆς δυνάμεως, καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν
τοῦ οὐρανοῦ.

Ὁμοίως καὶ ταῦτα. Τὸ δὲ, *μετὰ τῶν νεφελῶν*, ἀντὶ τοῦ, ἐπὶ τῶν νεφελῶν.

63 Ὁ δὲ ἀρχιερεὺς, διαῤῥήξας τοὺς χιτῶνας αὐτοῦ,
64 λέγει· Τί ἔτι χρείαν ἔχομεν μαρτύρων; Ἠκούσατε
τῆς βλασφημίας· τί ὑμῖν φαίνεται; Οἱ δὲ πάντες
65 κατέκριναν αὐτὸν εἶναι ἔνοχον θανάτου. Καὶ ἤρξαντό
τινες ἐμπτύειν αὐτῷ, καὶ περικαλύπτειν τὸ πρό-
σωπον αὐτοῦ, καὶ κολαφίζειν αὐτὸν, καὶ λέγειν
αὐτῷ· Προφήτευσον. Καὶ οἱ ὑπηρέται ῥαπίσμασιν
αὐτὸν ἔβαλλον.

Παραπλησίως καὶ ταῦτα.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

Περὶ τῆς ἀρνήσεως.

66 Καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ κάτω, ἔρχεται
67 μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως· καὶ ἰδοῦσα τὸν
Πέτρον θερμαινόμενον, ἐμβλέψασα αὐτῷ, λέγει·
68 Καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ Ἰησοῦ, ἦσθα. Ὁ δὲ
ἠρνήσατο, λέγων· Οὐκ οἶδα, οὐδὲ ἐπίσταμαι, τί
σὺ λέγεις.

Εἴρηται ἐν τῷ ἑξηκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

68 Καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον· καὶ ἀλέκτωρ
ἐφώνησε.

Ἀνάγνωθι ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· *Πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με* (α).

69 Καὶ ἡ παιδίσκη, ἰδοῦσα αὐτὸν πάλιν, ἤρξατο λέγειν
70 τοῖς παρεστηκόσιν· Ὅτι οὗτος ἐξ αὐτῶν ἐστιν. Ὁ
δὲ πάλιν ἠρνεῖτο. Καὶ μετὰ μικρὸν πάλιν οἱ παρε-
στῶτες ἔλεγον τῷ Πέτρῳ· Ἀληθῶς ἐξ αὐτῶν εἶ·
καὶ γὰρ Γαλιλαῖος εἶ· καὶ ἡ λαλιά σου ὁμοιάζει.
71 Ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύειν· Ὅτι οὐκ
72 οἶδα τὸν ἄνθρωπον τοῦτον, ὃν λέγετε. Καὶ ἐκ δευ-
τέρου ἀλέκτωρ ἐφώνησε.

Περὶ τῆς παιδίσκης καὶ τῶν παρεστώτων εἴρηται λεπτομερῶς ἐν τῷ ἑξηκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ἀνάγνωθι τὴν ἐξήγησιν ἐκεῖ τοῦ· *Καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος* (β). Περὶ δὲ τῶν ἄλλων ἐλέχθη πάλιν ἐν τῷ ἑξηκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ τοιούτου εὐαγγελίου.

72 Καὶ ἀνεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος οὗ εἶπεν
αὐτῷ ὁ Ἰησοῦς· Ὅτι πρὶν ἀλέκτορα φωνῆσαι δὶς,
ἀπαρνήσῃ με τρίς. Καὶ ἐπιβαλὼν, ἔκλαιεν.

Ἐν ἐκείνῳ καὶ περὶ τούτων ἐῤῥήθη. Οὐ μόνον δὲ τούτου τοῦ ῥήματος ἀπὸ τοῦ φόβου καὶ τῆς ἀσθενείας ἐπελάθετο, ἀλλὰ καὶ τοῦ· *Ὅστις δ᾽ ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς* (γ).

ΚΕΦ. XV, 1 Καὶ εὐθέως ἐπὶ τὸ πρωῒ συμβούλιον

(α) Ματθ. ΚϚʹ, 34. (β) Ματθ. ΚϚʹ, 58. (γ) Ματθ. Iʹ, 33.

ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ
γραμματέων, καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν
Ἰησοῦν, ἀπήνεγκαν, καὶ παρέδωκαν τῷ Πιλάτῳ.

Καὶ περὶ τούτων.

2 Καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλάτος· Σὺ εἶ ὁ βασι-
λεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτῷ·
3 Σὺ λέγεις. Καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς
4 πολλά. Ὁ δὲ Πιλάτος πάλιν ἐπηρώτησεν αὐτὸν,
λέγων· Οὐκ ἀποκρίνῃ οὐδὲν; ἴδε, πόσα σου κατα-
5 μαρτυροῦσιν. Ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη·
ὥστε θαυμάζειν τὸν Πιλάτον.

Ζήτησον τὸ ἑξηκοστὸν ἕβδομον κεφάλαιον τοῦ κατὰ Ματθαῖον. Ἐκεῖθεν γὰρ καὶ ταῦτα διαγνῶναι ῥᾴδιον.

6 Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅνπερ
7 ᾐτοῦντο. Ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν
συστασιαστῶν δεδεμένος, οἵτινες ἐν τῇ στάσει φόνον
8 ἐπεποιήκεισαν. Καὶ ἀναβοήσας ὁ ὄχλος, ἤρξατο
9 αἰτεῖσθαι, καθὼς ἀεὶ ἐποίει αὐτοῖς. Ὁ δὲ Πιλάτος
ἀπεκρίθη αὐτοῖς, λέγων· Θέλετε, ἀπολύσω ὑμῖν
10 τὸν βασιλέα τῶν Ἰουδαίων; (Ἐγίνωσκε γὰρ ὅτι
11 διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς.) Οἱ
δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα μᾶλλον τὸν
12 Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. Ὁ δὲ Πιλάτος ἀποκρι-
θεὶς, πάλιν εἶπεν αὐτοῖς· Τί οὖν θέλετε ποιήσω ὃν
13 λέγετε βασιλέα τῶν Ἰουδαίων; Οἱ δὲ πάλιν ἔκραξαν·
14 Σταύρωσον αὐτόν. Ὁ δὲ Πιλάτος ἔλεγεν αὐτοῖς·
Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσοτέρως ἔκρα-
ξαν· Σταύρωσον αὐτόν.

Ταῦτα πάντα ἐν ἐκείνῳ τῷ κεφαλαίῳ κατὰ τὸ εἰκὸς ἡρμηνεύθησαν.

15 Ὁ δὲ Πιλάτος, βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆ-
σαι, ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν· καὶ παρέδωκε
16 τὸν Ἰησοῦν, φραγελλώσας, ἵνα σταυρωθῇ. Οἱ δὲ στρα-
τιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστι
17 πραιτώριον· καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν. Καὶ
ἐνδύουσιν αὐτὸν πορφύραν, καὶ περιτιθέασιν αὐτῷ
18 πλέξαντες ἀκάνθινον στέφανον. Καὶ ἤρξαντο ἀσπά-
19 ζεσθαι αὐτόν· Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων. Καὶ
ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ, καὶ ἐνέπτυον
αὐτῷ· καὶ τιθέντες τὰ γόνατα, προσεκύνουν αὐτῷ.

Σαφέστερον ὁ Ματθαῖος περὶ τούτων ἱστόρησεν ἐν τῷ δηλωθέντι κεφαλαίῳ, ἐν ᾧ καὶ περὶ πάντων ἐῤῥήθη. Τὸ δὲ, *ἀσπάζεσθαι*, νῦν τὸ προσαγορεύειν σημαίνει.

20 Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορ-
φύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια· καὶ
21 ἐξάγουσιν αὐτὸν, ἵνα σταυρώσωσιν αὐτόν. Καὶ ἀγ-
γαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρ-
χόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ
22 Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. Καὶ φέρου-
σιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον· ὅ ἐστι μεθερμηνευό-
23 μενον, κρανίου τόπος. Καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρ-
νισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβε.

Καὶ περὶ τούτων ὁμοίως ἐκεῖ σεσαφήνισται. *Τὸν πατέρα* δὲ εἶπεν *Ἀλεξάνδρου καὶ Ῥούφου*, ὡς ἔτι ζώντων, καὶ ἐγνωσμένων. Τοῖς ἀποστόλοις γὰρ ἀκολουθῆσαι καὶ τούτους λέγουσι, πεπιστευκότας εἰς τὸν Χριστόν.

24 Καὶ σταυρώσαντες αὐτὸν, διαμερίζονται τὰ ἱμάτια
αὐτοῦ, βάλλοντες κλῆρον ἐπ' αὐτὰ, τίς τί ἄρῃ.

Ἔτι καὶ περὶ τούτων.

25 Ἦν δὲ ὥρα τρίτη, καὶ ἐσταύρωσαν αὐτόν.

Καὶ μὴν ἐν ἕκτῃ ὥρᾳ ἐσταυρώθη, καθὼς ὁ Ἰωάννης φησὶ (α). Τί οὖν ἔστιν εἰπεῖν; Ὅτι τὸ, *Ἦν δὲ ὥρα τρίτη*, οὐχ ἕλκεται πρὸς τὸ, *Καὶ ἐσταύρωσαν αὐτόν*· ἀλλὰ πρὸς τὴν ἀρχὴν τῶν παθῶν τοῦ Σωτῆρος ἀναφέρεται. Ἦν δέ, φησιν, *ὥρα τρίτη*, ὅτε δηλονότι ἤρξατο πάσχειν ὑπὸ τῶν στρατιωτῶν τοῦ Πιλάτου. Εἶτα τὸ ἑξῆς ἀναγνωστέον καθ' ἑαυτὸ, *Καὶ ἐσταύρωσαν αὐτὸν*, ἐν ἕκτῃ δηλαδὴ ὥρᾳ. Ὥστε ἡ μὲν τῆς τρίτης ὥρας μνήμη παρὰ τῷ Μάρκῳ τὴν ἀρχὴν ἐμφαίνει τῶν δεσποτικῶν παθημάτων· ἡ δὲ τῆς ἕκτης, παρὰ τῷ Ἰωάννῃ, τὸ τέλος αὐτῶν, ὅπερ ἐστὶν ἡ σταύρωσις.

26 Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμ-
27 μένη· Ὁ ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ. Καὶ σὺν
αὐτῷ σταυροῦσι δύο λῃστάς· ἕνα ἐκ δεξιῶν, καὶ ἕνα
28 ἐξ εὐωνύμων αὐτοῦ. Καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέ-
29 γουσα· «Καὶ μετὰ ἀνόμων ἐλογίσθη.» Καὶ οἱ παρα-
πορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κε-
φαλὰς αὐτῶν, καὶ λέγοντες· Οὐὰ, ὁ καταλύων τὸν
30 ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν· σῶσον σε-
31 αυτὸν, καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως
καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ
τῶν γραμματέων, ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν
32 οὐ δύναται σῶσαι. Ὁ Χριστὸς, ὁ βασιλεὺς τοῦ Ἰσρα-
ὴλ, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ
πιστεύσωμεν. Καὶ οἱ συνεσταυρωμένοι αὐτῷ ὠνεί-
διζον αὐτόν.

Καὶ περὶ τούτων ἐν τῷ προδιαληφθέντι κεφαλαίῳ λέλεκται.

33 Γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ' ὅλην

(α) Ἰωάν. ΙΘ', 14.

34 τὴν γῆν, ἕως ὥρας ἐννάτης. Καὶ τῇ ὥρᾳ τῇ ἐννάτῃ ἐ-
βόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· Ἐλωΐ, Ἐλωΐ·
λαμμᾶ σαβαχθανί; ὅ ἐστι μεθερμηνευόμενον· Ὁ θε-
35 ός μου, ὁ θεός μου· εἰς τί με ἐγκατέλιπες; Καί
τινες τῶν παρεστηκότων ἀκούσαντες, ἔλεγον· Ἰδού,
36 Ἠλίαν φωνεῖ. Δραμὼν δὲ εἷς, καὶ γεμίσας σπόγ-
γον ὄξους, περιθείς τε καλάμῳ, ἐπότιζεν αὐτὸν,
λέγων· Ἄφετε· ἴδωμεν, εἰ ἔρχεται Ἠλίας καθελεῖν
37 αὐτόν. Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην, ἐξέ-
38 πνευσε. Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς
39 δύο, ἀπὸ ἄνωθεν ἕως κάτω. Ἰδὼν δὲ ὁ κεντυρίων, ὁ
παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτω κράξας
ἐξέπνευσεν, εἶπεν· Ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς
ἦν θεοῦ.

Ὡσαύτως καὶ περὶ τούτων πάντων ἐκεῖ διηρμήνευται.

40 Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι·
ἐν αἷς ἦν καὶ Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ
τοῦ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ μήτηρ, καὶ
41 Σαλώμη· αἳ καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, ἠκολού-
θουν αὐτῷ, καὶ διηκόνουν αὐτῷ· καὶ ἄλλαι πολλαὶ
αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα.

Καὶ περὶ τούτων ἐκεῖ ζήτησον.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ΄.

Περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ Κυρίου.

42 Καὶ ἤδη ὀψίας γενομένης, (ἐπεὶ ἦν παρασκευή, ὅ

43 ἐστι προσάββατον,) ἦλθεν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμα-
θαίας, εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς ἦν προσ-
δεχόμενος τὴν βασιλείαν τοῦ θεοῦ.

Ἐν τῷ τέλει τοῦ τοιούτου κεφαλαίου καὶ περὶ τούτου διηκρίβωται. *Προσάββατον* δὲ ἡ παρασκευὴ λέγεται, ὡς πρὸ τοῦ σαββάτου τεταγμένη εὐθύς.

43 Τολμήσας εἰσῆλθε πρὸς Πιλάτον, καὶ ᾐτήσατο τὸ
44 σῶμα τοῦ Ἰησοῦ. Ὁ δὲ Πιλάτος ἐθαύμασεν, εἰ
ἤδη τέθνηκε· καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα,
45 ἐπηρώτησεν αὐτὸν, εἰ πάλαι ἀπέθανε. Καὶ γνοὺς
ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰω-
46 σήφ. Καὶ ἀγοράσας σινδόνα, καὶ καθελὼν αὐτὸν, ἐνεί-
λησε τῇ σινδόνι· καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ, ὃ ἦν
λελατομημένον ἐκ πέτρας· καὶ προσεκύλισε λίθον
ἐπὶ τὴν θύραν τοῦ μνημείου.

Ἐν τῷ ἑξηκοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ταῦτα κατὰ τὸ προσῆκον ἡρμηνεύθησαν.

47 Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία Ἰωσῆ, ἐθεώ-
ρουν, ποῦ τίθεται.

ΚΕΦ. XVI, 1. Καὶ διαγενομένου τοῦ σαββάτου, Μα-
ρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου, καὶ
Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλεί-
ψωσιν αὐτόν.

Ὁμοίως καὶ ταῦτα.

2 Καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται
ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. Καὶ ἔλε-
3 γον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον
4 ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι θεω-

ροῦσιν, ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα.

Ὡσαύτως καὶ ταῦτα.

5 Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον
καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν
6 λευκήν· καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς·
Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν,
τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε, ὁ
7 τόπος, ὅπου ἔθηκαν αὐτόν. Ἀλλ' ὑπάγετε, εἴπατε
τοῖς μαθηταῖς αὐτοῦ, καὶ τῷ Πέτρῳ, ὅτι προάγει
ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς
εἶπεν ὑμῖν.

Καὶ περὶ τούτων ἐκεῖ διασεσάφηται.

8 Καὶ ἐξελθοῦσαι, ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε
δὲ αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν
εἶπον· ἐφοβοῦντο γάρ.

Ἔτι καὶ περὶ τούτων.

Φασὶ (1) δέ τινες τῶν ἐξηγητῶν, ἐνταῦθα συμπληροῦσθαι τὸ κατὰ Μάρκον εὐαγγέλιον· τὰ δὲ ἐφεξῆς, προσθήκην εἶναι μεταγενεστέραν. Χρὴ δὲ καὶ ταύτην ἑρμηνεῦσαι, μηδὲν τῇ ἀληθείᾳ λυμαινομένην.

9 Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον
Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ
δαιμόνια.

Μετὰ τὸ εἰπεῖν, *Ἀναστὰς*, ὑπόστιξον· εἶτα ἀνάγνωθι, *πρωῒ πρώτῃ σαββάτων ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ*.

(1) Τὸ χωρίον τοῦτο ἀναφέρει ὁ Ῥιχάρδος Σίμων ἐκ χειρογράφου τῆς ἐν Παρισίοις βασιλικῆς βιβλιοθήκης ἐν τῇ Histoire critique des principaux commentateurs du N. Testament. p. 120.

Πότε μὲν γὰρ ἀνέστη, ἄδηλον· πότε δὲ ἐφάνη, δῆλον, ὡς καὶ ἐν τῷ ῥηθέντι κεφαλαίῳ προείρηται. Καὶ ὅτι μὲν πρώτη σαββάτων ἡ κυριακὴ λέγεται, καὶ ὅτι πρωῒ ταύτης ὁ Χριστὸς ἐφάνη, ὁμοίως ἐν ἐκείνῳ δεδήλωται.

Ζητητέον δὲ, πῶς ἐνταῦθα γέγραπται· ὅτι *Ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ*. Καὶ γὰρ ἐφάνη πρῶτον, οὐ τῇ Μαγδαληνῇ μόνῃ, ἀλλὰ καὶ τῇ ἄλλῃ, τῇ τοῦ Ἰακώβου καὶ τοῦ Ἰωσῆ, καθὼς ὁ Ματθαῖος ἱστόρησεν (α). Ἔστιν οὖν εἰπεῖν, ὅτι διὰ τῆς Μαγδαληνῆς καὶ τὴν ἄλλην ἐδήλωσεν. Ἔθος γὰρ τοῖς εὐαγγελισταῖς ἐν πολλοῖς διὰ τοῦ ἐπισημοτέρου προσώπου, καὶ τὸ σὺν ἐκείνῳ ἐμφαίνειν· ἐπισημοτέρα δὲ ἡ Μαγδαληνὴ, κατὰ τὸ σπουδάζειν καὶ προπορεύεσθαι ἐπὶ τὸ μνημεῖον· πολλὴν γὰρ εἶχε θέρμην πίστεως εἰς Χριστὸν, μεγάλως εὐεργετηθεῖσα παρ' αὐτοῦ. Ἑπτὰ γὰρ δαιμονίων ταύτην ἀπήλλαξεν.

10 Ἐκείνη πορευθεῖσα ἀπήγγειλε τοῖς μετ' αὐτοῦ
11 γενομένοις, πενθοῦσι καὶ κλαίουσι. Κἀκεῖνοι, ἀκού-
σαντες ὅτι ζῇ, καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν.

Τοῖς μετ' αὐτοῦ ἀναστραφεῖσι, τοῖς αὐτῷ ἀκολουθήσασι μαθηταῖς, οὐ τοῖς ἕνδεκα μόνον, ἀλλὰ καὶ τοῖς τῆς ἑβδομηκοντάδος. Ἀπήγγειλε μὲν οὖν τοῦτο αὐτοῖς αὕτη· ναὶ μὴν καὶ ἡ ἄλλη Μαρία. Ἐπεμαρτύρουν δὲ καὶ αἱ ἕτεραι γυναῖκες, ὡς ὁ Λουκᾶς ἔγραψε (β), περὶ ὧν ζήτησον ἐν τῷ προλεχθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· *Οἱ δὲ λαβόντες τὰ ἀργύρια, ἐποίησαν, ὡς ἐδιδάχθησαν* (γ).

12 Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφα-
νερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν.
13 Κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς·
οὐδὲ ἐκείνοις ἐπίστευσαν.

Οὗτοι οἱ δύο ἐκ τῶν ἑβδομήκοντα μαθητῶν ἦσαν· καὶ τινὲς

(α) Ματθ. ΚΗ', 9. παραβλ. ΚΖ', 56. (β) Λουκ. ΚΔ', 10. (γ) Ματθ. ΚΗ', 15.

μὲν λέγουσιν, εἶναι αὐτοὺς Κλεόπαν καὶ τὸν σὺν ἐκείνῳ πορευόμενον εἰς κώμην, ᾗ ὄνομα Ἐμμαοῦς, περὶ ὧν ὁ Λουκᾶς ἱστόρησεν (α)· δοκεῖ δὲ ὁ λόγος ἀπίθανος. Οὗτοι μὲν γὰρ ἀπαγγείλαντες, ἠπιστήθησαν· ἐκεῖνοι δὲ μᾶλλον εὗρον τοὺς ἀποστόλους λέγοντας, ὅτι *ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι*. Δῆλον οὖν, ὅτι ἕτεροι οὗτοι, καὶ ἕτεροι ἐκεῖνοι. Ἐκ τῶν ἑβδομήκοντα δὲ καὶ οὗτοι κἀκεῖνοι.

Πρῶτον μὲν οὖν ὁ Χριστὸς ἐνεφανίσθη τῇ Μαγδαληνῇ καὶ τῇ ἄλλῃ· εἶτα τῇ δυάδι τούτων· ἔπειτα τῷ Πέτρῳ· μετὰ τοῦτο δὲ, τῇ δυάδι ἐκείνων. Διὸ καὶ οὗτοι μὲν ἠπιστήθησαν· ὁ δὲ Πέτρος, ὡς κορυφαῖος πάντων, ἐπιστεύθη. Καὶ λοιπὸν ἐλθόντες οἱ παρὰ τῷ Λουκᾷ δύο, εὗρον τοὺς ἀποστόλους λέγοντας, ὅτι *ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι* (β). Ἐν αὐτῇ δὲ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως αἱ ὀπτασίαι αὗται πᾶσαι γεγόνασιν.

14 Ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν, καὶ σκληροκαρδίαν· ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν.

Ὕστερον, μετὰ τὸ πληροφορηθῆναι αὐτοὺς παρὰ τοῦ Πέτρου, καὶ ἐλθεῖν τόν τε Κλεόπαν καὶ τὸν σὺν αὐτῷ, καὶ ἐξηγεῖσθαι τὰ ἐν τῇ ὁδῷ, καὶ *ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου*, καθὼς εἴρηκεν ὁ Λουκᾶς (γ). Φησὶ γὰρ ὁ αὐτός· ὅτι *Ταῦτα αὐτῶν λαλούντων, καὶ αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν*, καὶ τὰ ἑξῆς (δ). Ἐν τῇ ἑσπέρᾳ δὲ τῆς αὐτῆς ἡμέρας καὶ τοῦτο γέγονεν· ἔγραψε γὰρ καὶ ὁ Ἰωάννης· ὅτι *Οὔσης ὀψίας, τῇ ἡμέρᾳ ἐκείνῃ, τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι, διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν*

(α) Λουκ. ΚΔ', 13. (β) Λουκ. ΚΔ', 34. (γ) Λουκ. ΚΔ', 35. (δ) Λουκ. ΚΔ', 36.

ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν, καὶ τὰ ἑξῆς (α). Τότε γὰρ *ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν*, εἴτουν, ἀπείθειαν, *ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν*, ἤγουν, τῇ Μαγδαληνῇ καὶ τῇ ἄλλῃ, καὶ τοῖς δυσὶ τούτοις, περὶ ὧν ὁ Μάρκος ἱστόρησεν. Ὁ μὲν οὖν Μάρκος τὸν ῥηθέντα ὀνειδισμὸν ἀνέγραψεν· ὁ δὲ Λουκᾶς καὶ ὁ Ἰωάννης τοῦτον παραδραμόντες, ἑτέρων πραγμάτων ἐμνημόνευσαν τηνικαῦτα γεγενημένων.

15 Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει.

Πάσῃ τῇ οἰκουμένῃ. Εἶπε δὲ αὐτοῖς τὸν λόγον τοῦτον οὐ τότε πάντως, ἀλλ' ὕστερον, ὅτε *ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς*, ὡς ἐπὶ τοῦ τέλους τοῦ κατὰ Ματθαῖον εὐαγγελίου γέγραπται (β).

Τὰ δ' ἐφεξῆς, ὁ μὲν Ματθαῖος παρέλιπε, συντεμὼν τὴν περὶ τούτων διήγησιν· ὁ δὲ Μάρκος ἀπήγγειλε, πλατύνας τὸν περὶ τούτων λόγον.

16 Ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται.

Ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται, εἴγε τὴν πίστιν καὶ τὸ βάπτισμα καθαρὰ καὶ ἄσπιλα συντηρήσει, ἢ καὶ μετὰ τὸ σπιλῶσαι καθαρίσει.

Νοεῖται δὲ καὶ ἑτέρως ὁ λόγος, ὅτι ὁ *πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται*, εἴγε τὰ τῆς πίστεως καὶ τὰ τοῦ βαπτίσματος ἐπιδείξεται. Ταῦτα δέ εἰσιν, ἡ ἐργασία τῶν ἐντολῶν τοῦ Χριστοῦ, καὶ ἡ φυλακὴ ἑαυτοῦ.

Οὐκ εἶπε δὲ, ὅτι ὁ *πιστεύσας* μόνον, οὐδὲ ὅτι ὁ *βαπτισθεὶς* μόνον· ἀλλ' ἀμφότερα συνέζευξε. Θάτερον γὰρ θατέρου χωρὶς, οὐ σώζει τὸν ἄνθρωπον.

(α) Ἰωαν. Κ', 19. (β) Ματθ. ΚΗ', 16.

17 Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει·

Τοῖς *πιστεύσασιν* οὐχ ἁπλῶς, ἀλλ᾽ ὡς εἰρήκαμεν. Εἶτα λέγει καὶ τὰ *σημεῖα*, ἤτοι, θαύματα.

17 Ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς·

Γλώσσαις ξέναις, διαλέκτοις ἀλλοεθνέσιν.

18 Ὄφεις ἀροῦσι·

Ἀφανίσουσιν, ἀνελοῦσιν, ἢ καὶ ἀροῦσιν ἐν χειρὶ ἀκινδύνως.

18 Κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψῃ·

Πολλὰ τοιαῦτα πολλοῖς παρηκολούθησαν ἁγίοις, καὶ ἀεὶ παρακολουθοῦσι τοῖς πιστοῖς μὲν, ἐργάταις δὲ καὶ τῶν εὐαγγελικῶν ἐντολῶν. Πίστις γὰρ, χωρὶς ἔργων, νεκρά ἐστι, κατὰ τὸν μέγαν Ἰάκωβον (α).

18 Ἐπὶ ἀῤῥώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν.

Διὰ τῶν ῥηθέντων σημείων καὶ τὰ παραλελειμμένα ἐνέφηνεν. Εἶπε γὰρ καὶ προλαβών· ὅτι *πάντα δυνατὰ τῷ πιστεύοντι* (β).

19 Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανόν.

Μετὰ τὸ *λαλῆσαι αὐτοῖς* οὐ μόνον τοὺς λόγους τούτους, ἀλλὰ πάντας, ὅσους ἐλάλησε τούτοις, ἀπὸ τῆς ἡμέρας τῆς ἀναστάσεως αὐτοῦ μέχρι συμπληρώσεως τῶν τεσσαράκοντα ἡμερῶν, ἐν *αἷς ἦν ὀπτανόμενος τοῖς μαθηταῖς, καὶ συναυλιζόμενος* (γ).

Εἴρηται δὲ περὶ τῆς ἀναλήψεως αὐτοῦ καὶ ἐν τῷ τέλει τῆς ἐξηγήσεως τοῦ κατὰ Ματθαῖον.

19 Καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ.

Καὶ μὴν ὁ θεὸς καὶ πατὴρ αὐτοῦ, ἀσώματος ὢν, οὐκ ἂν ἔχοι

(α) Ἰακ. Β', 26. (β) Ματθ. Θ', 23. (γ) Πραξ. Α', 3. 4.

δεξιὰ ἢ ἀριστερά· τῶν σωμάτων γὰρ ταῦτα σχήματα. Λοιπὸν οὖν, τὸ μὲν, *καθίσαι*, δηλοῖ ἀνάπαυσιν καὶ ἀπόλαυσιν τῆς θείας βασιλείας· τὸ δὲ, *ἐκ δεξιῶν τοῦ θεοῦ*, οἰκείωσιν καὶ ὁμοτιμίαν πρὸς τὸν πατέρα.

[Οὐ μόνον (1) *καθῆσθαι* ἐν δεξιᾷ τοῦ πατρὸς ὁ υἱὸς, ἀλλὰ καὶ *ἵστασθαι* λέγεται, ὡς ἐν τῇ βίβλῳ τῶν Πράξεων ὁ Στέφανος εἴρηκε (α)· τοῦ μὲν, τὸ καθιδρῦσθαι ἀμεταθέτως· τοῦ δὲ, τὸ βεβηκέναι παγίως τὸ θεῖον ἐν τῷ ἀγαθῷ, δογματίζοντος· καὶ οὐδὲν ἡ τῶν ῥημάτων ἑτερότης περὶ τὸν νοῦν διαφέρεται. Ἄλλως τε, ὁ εἰπὼν ἵστασθαι τὸν υἱὸν, οὐκ εἶπε καθῆσθαι τὸν πατέρα, ἵνα καὶ διαφορὰν νοήσωμεν ἀξιώματος. Λοιπὸν οὖν καὶ συγκάθηται καὶ συνίσταται.]

20 Ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων.

Τὸν λόγον τοῦ κηρύγματος.

Εἴη δὲ καὶ τὸν λόγον τῆς ἡμετέρας διδασκαλίας βεβαιοῦσθαι διὰ τῶν ἐπακολουθεῖν ὀφειλόντων σημείων τῆς ἀρετῆς, ἵνα τέλειοι εὑρεθῶμεν ἐν τῷ τέλει τῆς ἡμετέρας ζωῆς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις. (α) Πραξ. Ζ', 56.

ΤΕΛΟΣ

ΤΟΥ ΚΑΤΑ ΜΑΡΚΟΝ ΕΥΑΓΓΕΛΙΟΥ.

ΤΟ

ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΝ.

ΕΡΜΗΝΕΙΑ

ΤΟΥ

ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΥ.

Ο Μακάριος Λουκᾶς, Ἀντιοχεὺς μὲν ἦν τὸ γένος (1), πᾶσαν δὲ τὴν ἐν λόγοις παίδευσιν μετελθὼν, καὶ τὴν ἰατρικὴν τῶν σωμάτων ἐκμαθὼν, ὕστερον καὶ τὴν ἰατρικὴν τῶν ψυχῶν κατώρθωσε· πρῶτα μὲν τῷ Χριστῷ φοιτήσας, καὶ παρ' αὐτοῦ τὰ σπέρματα τῆς εὐσεβείας ὑποδεξάμενος· ἔπειτα δὲ Παύλῳ τῷ κορυφαίῳ συναρμοσθεὶς καὶ διαφερόντως οἰκειωθεὶς, καὶ γεγονὼς ἀκόλουθος αὐτῷ καὶ συνέκδημος, καθάπερ δὴ καὶ Πέτρου τοῦ κορυφαίου Μάρκος.

Φασὶ δέ τινες, καὶ μᾶλλον Ὠριγένης (2), ὅτι τοῖς ἑβδομήκοντα ἀποστόλοις καὶ Μάρκος καὶ Λουκᾶς, πρὸ τοῦ δεσποτικοῦ ϛαυροῦ, συνηρίθμηντο. Μετὰ δὲ πεντεκαίδεκα χρόνους τῆς τοῦ Σωτῆρος ἀναλήψεως, ἐπιτραπεὶς παρὰ Παύλου, συνέγραψε τὸ εὐαγγέλιον, πρός τινα Θεόφιλον, πιστότατον καὶ θεοφιλέστατον, πολλὰ τῶν τοῖς ἄλλοις εὐαγγελισταῖς σεσιωπημένων αὐτὸς ἀπομνημονεύσας.

ΚΕΦ. Ι, 1. Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων.

Ενέφηνέ τινας ἐπιχειρήσαντας μὲν ἀναγράψασθαι εὐαγγέλιον, πόῤῥω δὲ τῆς ἀληθείας ἀποπλανηθέντας. Οὐ γὰρ περὶ Ματθαί-

(1) Παρόμοια τούτοις ἀναγινώσκονται καὶ παρ' Εὐσεβίῳ ἐν Ἐκκλ. Ἱς. Βιβλ. Γ'. Κεφ. Δ'. (2) Ἀναμφιβόλως ἐν τόμῳ πρώτῳ εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, ὡς δύναται τοῦτο νὰ συναχθῇ ἐκ τῆς Εὐσεβίου Ἐκκλ. Ἱς. Βιβλ. ϛ'. Κεφ. ΚΕ'.

ου καὶ Μάρκου τοῦτό φησιν· οὗτοι γὰρ οὐκ ἐπεχείρησαν, ἀλλ' ἔγραψαν. *Περὶ τῶν πεπληροφορημένων* δὲ, τουτέστι, περὶ τῶν βεβαιωθέντων, *ἐν ἡμῖν*, τοῖς ἀληθέσι μαθηταῖς τοῦ Κυρίου, *πραγμάτων*. Εἰσὶ δὲ ταῦτα, αἴτε πράξεις καὶ οἱ λόγοι αὐτοῦ, τὰ θαύματα καὶ τὰ διδάγματα, καὶ ἁπλῶς εἰπεῖν, ἡ ἔνσαρκος αὐτοῦ πολιτεία.

2 Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου·

Απ' ἀρχῆς τῶν θαυμάτων καὶ τῶν δογμάτων. Τοῦτο δὲ γράψας, ἔδειξεν, ὅτι αὐτὸς ὕστερος ἐκείνων ἐφοίτησεν αὐτῷ· διὸ καὶ παρ' αὐτῶν ἔμαθε ταῦτα, διὰ παντὸς συνόντων τῷ Χριστῷ, καὶ ὁρώντων καὶ ἀκουόντων ἕκαστα· λέγει δὲ τοὺς τῆς δωδεκάδος τῶν μαθητῶν. *Λόγον* δὲ, τὸν Χριστὸν ἐνταῦθά φησιν, ὁραθέντα τούτοις, διὰ τῆς ἐνανθρωπήσεως. *Ὑπηρέτας* δὲ τούτους ὠνόμασεν, ὡς ὑπηκόους, καὶ ὡς ἀποσταλέντας εἰς τὸ κήρυγμα τῆς πίστεως.

3 Ἔδοξε κἀμοὶ, παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι, κράτιστε Θεόφιλε·

Παρακολούθησιν, τὴν γνῶσιν ὑποληπτέον ἐπὶ τοῦ παρόντος ῥητοῦ. *Πᾶσι* δὲ, τοῖς ἔργοις καὶ λόγοις δηλονότι τοῦ Σωτῆρος. *Ἄνωθεν* δὲ, ἀντὶ τοῦ, ἀπ' ἀρχῆς αὐτῶν. Λέγει γοῦν, ὅτι *Ἔδοξε κἀμοὶ*, τουτέστιν, ἀρεστὸν ἐφάνη, γνόντι ἀπ' ἀρχῆς πάντα πρὸς ἀκρίβειαν, *καθεξῆς σοὶ γράψαι*. Εἶτα προστίθησι καὶ τὴν αἰτίαν τῆς γραφῆς.

†† [Οὗτος (1) συγκλητικὸς ἦν, καὶ ἄρχων ἴσως· τὸ γὰρ κράτιστος ἐπὶ τῶν ἀρχόντων καὶ ἡγεμόνων ἐλέγετο· ὡς καὶ ὁ Παῦλός φησι πρὸς τὸν ἡγεμόνα Φῆστον, *Κράτιστε Φῆστε* (α).

(1) Ταῦτα παρ' οὐδετέρῳ τῶν δύο χειρογράφων· παρέλαβε δὲ αὐτὰ ὁ Ἐντέκιος ἐκ τοῦ περιθωρίου τοῦ ἑαυτοῦ χειρογράφου. Ἐπανελήφθησαν δὲ ἐκ τοῦ Θεοφυλάκτου Σελ. 293. C. (α) Πράξ. Κϛ', 25.

Καὶ πᾶς δὲ ἄνθρωπος θεοφιλὴς, καὶ κράτος κατὰ τῶν παθῶν ἀναδεξάμενος, Θεόφιλός ἐστι κράτιστος, ὃς καὶ ἄξιος τῷ ὄντι ἐστὶν ἀκούειν τοῦ εὐαγγελίου.]

4 Ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν.

Ἵνα ἐπιγνῷς, ἵνα πλέον κατάσχῃς *τὴν ἀσφάλειαν τῶν λόγων* τῆς πίστεως, *περὶ ὧν κατηχήθης*, ἤγουν, περὶ ὧν ἐδιδάχθης, ὥστε μὴ σφάλλεσθαί σε τῇ διηγήσει, ἣν πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι, καθὼς ἀνωτέρω δεδήλωται.

5 Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως τῆς Ἰουδαίας, ἱερεύς τις ὀνόματι Ζαχαρίας.

Τὸν πατέρα λέγει τοῦ Βαπτιστοῦ. Προεκτίθεται δὲ τὰ κατὰ τὴν σύλληψιν καὶ γέννησιν τοῦ Προδρόμου παράδοξα, παριστῶν, ὅτι εὐθὺς ἐκ προοιμίων τῆς ζωῆς ἀξιόπιστος ἦν, καταγγέλλων καὶ ὑποδεικνύων τὸν Χριστὸν τῷ λαῷ.

Ἐπεὶ δὲ περὶ τῶν παρὰ τοῖς Ἰουδαίοις γεγενημένων διηγήσασθαι μέλλει, παρασημειοῦται τὸν καιρὸν τῆς Ἡρώδου βασιλείας εἰκότως, ἵνα γένηται δῆλος καὶ ὁ χρόνος αὐτῶν. Ἡρώδην δὲ νόει, τὸν βρεφοκτόνον, τὸν πατέρα Ἡρώδου, τοῦ ἀνελόντος τὸν Πρόδρομον.

5 Ἐξ ἐφημερίας Ἀβιά·

Ἐφημερίαν ἐκάλουν, τὴν ἑβδομαδιαίαν λειτουργίαν. Δύο γὰρ ἦσαν τότε ἱερεῖς τοῦ ναοῦ, ἀλλήλων διάδοχοι, Ἀβιὰ καὶ Ζαχαρίας. *Ἐξ ἐφημερίας* οὖν *Ἀβιὰ*, ἤγουν, μετὰ τὴν ἐφημερίαν Ἀβιὰ, τουτέστι, διάδοχος τοῦ Ἀβιά (1).

5 Καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρών.

Ἐκ τῶν ἀπογόνων τοῦ Ἀαρών. Ἔδειξεν οὖν, ὅτι ὁ Πρόδρομος ἐκ τῆς ἱερατικῆς κατήγετο φυλῆς, οὐ κατὰ τὸν πατέρα μόνον, ἀλλὰ καὶ κατὰ τὴν μητέρα, καὶ ἀμφοτέρωθεν ἱερατικὸς ἦν.

(1) Ἴδε περὶ τούτου τὸ Περὶ Ζαχαρίου, υἱοῦ Βαραχίου, ἡμέτερον πονημάτιον. Σελ. 64. 65.

5 Καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ.

Προσέθηκε καὶ τοῦτο, χάριν ἀκριβείας.

6 Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ θεοῦ.

Δικαίους δὲ νῦν, τοὺς ἐναρέτους λέγει. Ἦσαν δὲ *δίκαιοι*, οὐκ ἐνώπιον τῶν ἀνθρώπων, *ἀλλ' ἐνώπιον τοῦ θεοῦ*, τοῦτον ἔχοντες ἔφορον τῆς δικαιοσύνης αὐτῶν. Αὕτη γὰρ ἀληθὴς δικαιοσύνη.

6 Πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώ-
μασι τοῦ Κυρίου ἄμεμπτοι.

Τὰς νομικὰς ἐντολὰς ὠνόμασε καὶ *δικαιώματα*, ὡς δικαιοσύνης μεστὰς, καὶ ὡς δικαιούσας τοὺς μετιόντας αὐτάς.

7 Καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν
στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέ-
ραις αὐτῶν ἦσαν.

Προβεβηκότες, ἤτοι γεγηρακότες.

†† Αἱ (1) τῶν δικαίων γυναῖκες, καὶ αἱ δίκαιαι, πολλάκις ἄτεκνοι, ἵνα σὺ μάθῃς, ὅτι ὁ νόμος οὐκ ἀπαιτεῖ πολυτεκνίαν σωματικὴν, ἀλλὰ πνευματικήν.

8 Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει
9 τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ θεοῦ, κατὰ τὸ ἔθος
τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, εἰσελθὼν εἰς
10 τὸν ναὸν τοῦ Κυρίου. Καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ
ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος.
11 Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν
τοῦ θυσιαστηρίου τοῦ θυμιάματος.

[*Ἔλαχεν*. Οὗτος (2) ὁ καιρὸς, ἡ δεκάτη τοῦ ἑβδόμου μηνὸς ἦν, ὡς ὁ νόμος ἐκέλευεν. *Ἐν τῷ μηνὶ γάρ*, φησι, *τῷ ἑβδόμῳ τῇ δεκάτῃ τοῦ μηνὸς, ταπεινώσατε τὰς ψυχὰς ὑμῶν*, καὶ τὰ ἑξῆς (α), ὅσα περὶ τῆς ἅπαξ τοῦ ἐνιαυτοῦ γενομένης εἰς τὰ ἅγια τῶν ἁγίων εἰσόδου τοῦ ἀρχιερέως ἐκεῖ διηγόρευται. Ἕβδομος δὲ παρ' Ἑβραίοις, ὁ παρ' ἡμῖν Σεπτέμβριος, καθ' ὃν καὶ ἡ Ἐλισάβετ συνέλαβε τὸν Πρόδρομον.]

(1) Καὶ τὸ παρὰ τῷ Ἐντεγίῳ σχόλιον τοῦτο δὲν εὑρίσκεται παρ' οὐδετέρῳ τῶν δύο χειρογράφων· ἐλήφθη δὲ καὶ αὐτὸ ἐκ τοῦ Θεοφυλάκτου Σελ. 299. Ε.

(2) Τὸ σχόλιον τοῦτο ἀναγινώσκεται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

Ἔσω μὲν ἦν τὸ θυσιαστήριον τοῦ θυμιάματος· ἔξω δὲ τὸ θυσιαστήριον τῶν προσφερομένων ζώων, καὶ τῶν ἄλλων καρπωμάτων. Ἐκ δεξιῶν δὲ ἵστατο, ὡς δεξιὰ καὶ ἀγαθὰ μέλλων ἀπαγγεῖλαι.

12 Καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν
ἐπ' αὐτόν.

Ἐταράχθη, ὑποπτεύσας ἤδη ἀποθανεῖν.

13 Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· Μὴ φοβοῦ, Ζαχαρία·

Πρῶτον ἐκβάλλει τὸν φόβον τῆς ψυχῆς αὐτοῦ, ἵνα χωρὶς ταραχῆς ἀκούσῃ, καὶ προσέξῃ τοῖς αὐτοῦ λόγοις. Εἰπὼν δὲ, ὅτι *μὴ φοβοῦ*, ἐνέφηνεν, ὅτι χαῖρε. Εἶτα λέγει καὶ τὴν αἰτίαν τῆς χαρᾶς.

13 Διότι εἰσηκούσθη ἡ δέησίς σου·

Ἡ ὑπὲρ τῆς σωτηρίας τοῦ λαοῦ· ὑπὲρ ταύτης γὰρ καθ' ἑκάστην οἱ ἱερεῖς ἐδέοντο. *Εἰσηκούσθη* δὲ, ὡς μέλλοντος ἤδη τοῦ Σωτῆρος ἐνανθρωπῆσαι, καὶ σῶσαι τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Εἰς ἀπόδειξιν δὲ καὶ βεβαίωσιν τοῦ εἰσακουσθῆναι τὴν δέησιν αὐτοῦ, φησίν·

13 Καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι·

Χρησιμεύοντα καὶ τοῦτον πρὸς τὴν σωτηρίαν τοῦ λαοῦ· ἔμελλε γὰρ ὑποδεῖξαι τῷ λαῷ τὸν Σωτῆρα. Καὶ ἐπείπερ ἡ μετάνοια προηγεῖται τῆς σωτηρίας, ἔδει τὸν κήρυκα τῆς μετανοίας προδραμεῖν τοῦ δωρουμένου τὴν σωτηρίαν. Διὸ καὶ γεννᾶται πρῶτον ὁ Πρόδρομος.

(α) Λευϊτ. Ιϛ', 29.

13 Καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην.

Ὡς κεχαρισμένον ἐκ κοιλίας μητρὸς, ἤτουν, πεφιλημένον θεῷ, ἢ ὡς χαρᾶς αἴτιον τοῖς τε γεννήτορσι καὶ ἄλλοις πολλοῖς, ὡς ἐφεξῆς γενήσεται δῆλον. *Ἰωάννης* γὰρ ἑβραϊκὸν μέν ἐστιν ὄνομα, μεθερμηνευόμενον δὲ πρὸς τὴν ἑλληνίδα φωνὴν, σημαίνει *χάριν* ἢ *χαρὰν* [*θεοῦ*].

14 Καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις·

Γεγονότι πατρὶ τοιούτου παιδὸς, οὗ καὶ ἡ σύλληψις καὶ τὰ ἑξῆς ὑπερφυῆ καὶ παράδοξα, καθὼς εὑρήσομεν προϊόντες.

14 Καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρίσονται.

Οὐ μόνον συγγενεῖς καὶ οἰκεῖοι, ἀλλὰ καὶ ὅσοις ἀπεκαλύφθη θεόθεν, ἣν ἔμελλεν ἀνύειν διακονίαν.

15 Ἔσται γὰρ μέγας ἐνώπιον τοῦ Κυρίου·

Μέγας παρὰ θεῷ, ὡς μέγας ταῖς ἀρεταῖς.

15 Καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ·

Σίκερα ἐκαλεῖτο, πᾶν τὸ παρὰ τὸν οἶνον μέθυσμα, μάλιστα δὲ τὸ ἐκ φοινίκων ἐσκευασμένον.

15 Καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ.

Διὰ τῆς ἀποχῆς τοῦ οἴνου καὶ τοῦ σίκερα προμηνύσας τὴν ἀποχὴν τῶν ἡδέων, καὶ παραστήσας ἐντεῦθεν τὴν σκληραγωγίαν τῆς διαίτης αὐτοῦ, καὶ διδάξας, ὅτι μέγας ἔσται κατὰ θεὸν, λοιπὸν εἰς πληροφορίαν λέγει καὶ τὸ μεῖζον, ὅτι ἐκ βρέφους ἐνδύσεται τὴν ἐξ ὕψους δύναμιν, προειδότος τοῦ θεοῦ τὴν πολιτείαν, ᾗ χρήσεται, καὶ οἷον ἀποβήσεται σκεῦος.

16 Καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν θεὸν αὐτῶν.

Ὅσοι πεισθέντες αὐτῷ προσέδραμον τῷ Χριστῷ. Τοῦτον γὰρ ἐνταῦθα καλεῖ Κύριον καὶ Θεόν.

17 Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ.

Προδραμεῖται ἔμπροσθεν αὐτοῦ, κηρύσσων μετάνοιαν, καὶ καταγγέλλων τὴν παρουσίαν αὐτοῦ.

17 Ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ.

Πνεῦμα μὲν ὠνόμασε, τὸ πνευματικὸν χάρισμα· *δύναμιν* δὲ, τὴν ἐνέργειαν. Λέγει γοῦν, ὅτι καὶ τὸ χάρισμα καὶ τὴν ἐνέργειαν ἕξει τοῦ Ἠλιοῦ, ἅπερ Ἠλίας ἕξει, προτρέχων τῆς δευτέρας παρουσίας Χριστοῦ· καὶ ποιήσει οὗτος νῦν, ἅπερ Ἠλίας ὕστερον. Προστίθησι δὲ καὶ, τίς ἐστιν ἡ δύναμις αὕτη.

17 Ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα.

Προεφήτευσε τοῦτο καὶ Μαλαχίας, καὶ ἡρμηνεύθη σαφῶς ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἔνθα κεῖται τό· *Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι* (α).

17 Καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων.

Τοὺς αὐτοὺς λέγει καὶ *ἀπειθεῖς*, ὡς ἄχρι τότε μὴ πεισθέντας. *Ἐπιστρέψει* οὖν αὐτοὺς, εἰς φρόνησιν ἐναρέτων, εἰς σύνεσιν τελείων.

17 Ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον.

Κατεσκευασμένον τῇ μετανοίᾳ, ἢ κατεσκευασμένον εἰς ὑποδοχὴν σωτηρίας.

18 Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον· Κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς.

Πρὸς τὸ γῆρας καὶ τὴν ἀσθένειαν τῆς φύσεως, ἀλλ' οὐ πρὸς τὴν δύναμιν τοῦ θεοῦ βλέψας, οὐκ εὐχερῶς παρεδέξατο τὴν ἐπαγγελίαν τῆς γονῆς.

(α) Ματθ. ΙΑ΄, 14.

19 Καὶ ἀποκριθεὶς ὁ ἄγγελος, εἶπεν αὐτῷ· Ἐγώ εἰμὶ
Γαβριὴλ, ὁ παρεστηκὼς ἐνώπιον τοῦ θεοῦ· καὶ ἀπε-
στάλην λαλῆσαι πρός σε, καὶ εὐαγγελίσασθαί σοι
20 ταῦτα. Καὶ ἰδοὺ, ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος
λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα·

Ποίας; Ἡ γέννησις, δηλαδὴ, καὶ ἡ κλῆσις τοῦ ὀνόματος.

20 Ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου.

Τοῖς περὶ τούτων,

20 Οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν.

Εἰς τὸν καιρὸν τῆς γεννήσεως καὶ τῆς κλήσεως. Ὅρα δὲ, ὅτι διὰ τὴν φωνὴν τῆς ἀπιστίας ἐπεσχέθη τὴν φωνήν.

21 Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν·

Απεκδεχόμενος.

21 Καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ ναῷ.
22 Ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέ-
γνωσαν, ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ· καὶ αὐτὸς
ἦν διανεύων αὐτοῖς· καὶ διέμενε κωφός.

Οὐ μόνον γὰρ ἐπεσχέθη τὴν φωνὴν, ἀλλὰ καὶ τὴν ἀκοὴν, ὡς μετὰ ἀπιστίας καὶ ἀκούσας καὶ φωνήσας. Προεμήνυε δὲ ἡ τοῦ γηραιοῦ ἱερέως σιγὴ, τὴν τῆς παλαιᾶς ἱερωσύνης καὶ λατρείας σιγήν.

23 Καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λει-
τουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.
24 Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ
ἡ γυνὴ αὐτοῦ·

Χρὴ γὰρ τὸν ἱερέα παντελῶς ἀπέχεσθαι τῆς ἑαυτοῦ γυναικὸς ἐν ταῖς ἡμέραις τῆς λειτουργίας αὐτοῦ· τοῦτο γὰρ καὶ ὁ θεῖος ὑπαγορεύει θεσμός. Πληρώσας δὲ ταύτας ὁ Ζαχαρίας, λοιπὸν συνῆλθε τῇ γαμετῇ αὐτοῦ, διὰ τὴν ἐπαγγελίαν τῆς γονῆς, παιδευθεὶς τῇ πληγῇ τῆς σιωπῆς πιστεύειν τοῖς τοῦ ἀγγέλου ῥήμασιν.

24 Καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε.

Αἰδουμένη τὴν γηραιὰν καὶ ἔξωρον κυοφορίαν, ἕως οὗ καὶ ἡ Παρθένος συνέλαβε.

25 Λέγουσα· Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν
ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀν-
θρώποις.

Ὅτε ηὐδόκησεν ἀφελεῖν τὸ ἐν ἀνθρώποις ὄνειδός μου, τὸ ἐπὶ τῇ ἀτεκνίᾳ. Παρ' Ἑβραίοις μὲν μὰρ ὄνειδος ἦν ἡ ἀκαρπία τοῦ σώματος, οἷα σωματικωτέροις· παρὰ δὲ χριστιανοῖς, ὄνειδος ἡ ἀκαρπία τῆς ψυχῆς, οἷα πνευματικωτέροις.

26 Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβρι-
ὴλ ὑπὸ τοῦ θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα
27 Ναζαρὲτ, πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ
ὄνομα Ἰωσὴφ, ἐξ οἴκου Δαυΐδ· καὶ τὸ ὄνομα τῆς
παρθένου, Μαριάμ.

[Γρηγορίου Νύσσης (1). Ἐν ἐκείνῳ τῷ καιρῷ ὁ εὐαγγελισμὸς τῆς παρουσίας τοῦ Σωτῆρος γέγονε, καθ' ὃν ἡ νὺξ ἐπὶ τὸ ἀκρότατον μῆκος προελθοῦσα, μειοῦσθαι καὶ ὑποῤῥέειν ἄρχεται, τῆς ἡμέρας λοιπὸν αὐξανομένης καὶ προκοπτούσης, ἵνα μάθῃς, ὅτι καὶ τὸ σκότος τῆς ἀσεβείας καὶ τῆς ἁμαρτίας ἄχρι τότε φθάσαν εἰς μέγεθος κακίας καὶ κορυφωθὲν, ἔκτοτε ἀνεκόπη, καὶ πρὸς ἔκλειψιν καὶ ἀφανισμὸν ἠλαύνετο, τοῦ φωτὸς ἤδη τῆς εὐσεβείας καὶ ἀρετῆς νικῶντος καὶ πλεονάζοντος.]

Ἐν τῷ μηνὶ τῷ ἕκτῳ τῆς κυοφορίας, ὅτε ἡ γαστὴρ ὠγκώθη τῆς Ἐλισάβετ.

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

Μεμνηστευμένη δὲ ἦν ἡ Παρθένος, ἵνα λάθῃ τὸν διάβολον ἡ γέννησις τοῦ Χριστοῦ. Καὶ γὰρ ἤκουε τῶν προφητῶν καταγγελλόντων, ὅτι ἐκ παρθένου γεννηθῆναι μέλλει· καὶ διὰ τοῦτο παρετήρει τὰς παρθένους, ἵνα οἵαν ἴδῃ κυοφοροῦσαν, περὶ ταύτην παγίδας καταπήξῃ τῆς κακοτεχνίας αὐτοῦ. Λοιπὸν οὖν ὁ θεὸς ηὐδόκησε μνηστευθῆναι ἀνδρὶ τὴν ἀφορισθεῖσαν εἰς κατοικητήριον αὐτοῦ παρθένον, ἵνα ταύτης ὁ πονηρὸς ἀποστὰς, τὰς ἀμνηστεύτους παρατηρῇ. Εἴρηται δὲ περὶ τοῦ μνηστῆρος τῆς Θεομήτορος ἐν προοιμίοις τοῦ κατὰ Ματθαῖον εὐαγγελίου.

Τὸ δὲ, *ἐξ οἴκου Δαυὶδ*, νοεῖται καὶ περὶ τῆς Παρθένου, καὶ περὶ τοῦ Ἰωσήφ. Καὶ αὕτη γὰρ κἀκεῖνος ἐκ γένους τοῦ Δαυὶδ κατήγοντο.

28 Καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν, εἶπε· Χαῖρε, κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ·

Αὕτη ἡ χαρὰ τὴν ἀρὰν ἔλυσε τῆς Εὔας· ἐκείνη μὲν γὰρ ἐκελεύσθη λύπην ἔχειν· αὕτη δὲ χαρὰν, τῆς λύπης ἀντίπαλον. *Χαῖρέ*, φησιν, ὡς ἐκλεγεῖσα παρὰ πάσας τὰς παρθένους εἰς μητέρα θεοῦ. *Κεχαριτωμένην* δὲ αὐτὴν ὠνόμασεν, ὡς χάριτος ἀξιωθεῖσαν ὑπερφυοῦς. Τὸ δὲ, *Ὁ Κύριος μετὰ σοῦ*, ἀντὶ τοῦ, ὁ θεὸς ἐν σοί.

28 Εὐλογημένη σὺ ἐν γυναιξίν.

Εὐφημητὴ, μακαρία.

29 Ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ·

Ἐφοβήθη, μήποτε δολερός ἐστι.

29 Καὶ διελογίζετο, ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος.

Πότερον θεῖος, ἢ δαιμόνιος. *Ἀσπασμὸν* δὲ λέγει, τὴν προσηγορίαν.

30 Καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ.

Εὐμένειαν, οἰκείωσιν.

31 Καὶ ἰδοὺ, συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱόν· καὶ
32 καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας.

Μέγας, διὰ τὸ μέγεθος τῶν ἔργων καὶ λόγων αὐτοῦ.

32 Καὶ υἱὸς ὑψίστου κληθήσεται·

Ἦν μὲν υἱὸς ὑψίστου· ἐκλήθη δὲ τοῦτο καὶ ὕστερον, παρὰ τῶν πιστευσάντων εἰς αὐτόν.

32 Καὶ δώσει αὐτῷ Κύριος ὁ θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ.

Τὸν *θρόνον*, ἤτοι, τὴν βασιλείαν, τὴν ἐπὶ τοὺς Ἑβραίους ἐξουσίαν.

33 Καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.

Ὁ λαὸς τοῦ θεοῦ, ποτὲ μὲν Ἰσραὴλ καλεῖται, ποτὲ δὲ Ἰακώβ· ὁ αὐτὸς γὰρ ἦν καὶ Ἰσραὴλ καὶ Ἰακώβ. Καὶ φύσει μὲν Ἰακὼβ ἦν, ὁ παλαιὸς λαὸς, ὡς ἐξ Ἰακὼβ, κατὰ τὴν ἐξ αἵματος συγγένειαν· θέσει δὲ Ἰακὼβ, ὁ νέος λαὸς, κατὰ τὴν ἐξ ἀρετῆς συγγένειαν· ἀντεισήχθη γὰρ ὁ νέος τοῦ παλαιοῦ. Λοιπὸν οὖν ἐπὶ τοῦτον τὸν λαὸν βασιλεύσει *εἰς τοὺς αἰῶνας*, ἤγουν, ἀεὶ, ἔκ τε τῶν ἔργων καὶ τῶν λόγων ἐπιγνόντα αὐτὸν, καὶ ἑκουσίως ὑποτεταγμένον αὐτῷ. Ὁ γὰρ Χριστὸς ἦν μὲν βασιλεὺς καὶ ὡς θεός· *ἡ βασιλεία* γάρ, φησιν, *ἡ ἐμὴ, οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου* (α)· ἦν δὲ καὶ ὡς ἄνθρωπος· εἶχε γὰρ ἔργα βασιλέως, τὸ νομοθετεῖν τοῖς ὑπηκόοις αὐτοῦ, τὸ ῥυθμίζειν, τὸ περιέπειν, τὸ ὑπεραποθνήσκειν αὐτῶν, ἃ μάλιστα χαρακτηρίζουσι τὸν ἀληθῶς βασιλέα.

Εἴρηται δὲ ταῦτα καὶ ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἔνθα κεῖται τό· *Ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραὴλ* (β).

(α) Ἰωαν. ΙΗ΄, 36. (β) Ματθ. Β΄, 6.

34 **Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· Πῶς ἔσται τοῦ-
το, ἐπεὶ ἄνδρα οὐ γινώσκω;**

Πῶς *ἔσται τοῦτο*, δηλαδὴ, τὸ συλλαβεῖν ἐν γαστρὶ, καὶ τεκεῖν υἱόν; Ἠπίστησε μὲν οὖν καὶ αὕτη, καθάπερ ὁ Ζαχαρίας· οὐχ ὑπεβλήθη δὲ τῆς ἀπιστίας ἐπιτιμίῳ· διότι ἐκεῖνος μὲν εἶχε παραδείγματα πολλὰ τῆς ἐν γήρει παιδοποιΐας, τὴν Σάῤῥαν, τὴν Ῥεβέκκαν, τὴν Ῥαχὴλ, τὴν Ἄνναν· ἡ δὲ Παρθένος οὐδὲ ἕν. Οὐδεμία γὰρ παρθένος ἕως αὐτῆς ἄνευ ἀνδρὸς συνέλαβε καὶ ἔτεκεν.

35 **Καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· Πνεῦμα ἅγι-
ον ἐπελεύσεται ἐπὶ σέ.**

[**Π***νεῦμα ἅγιον* (1). Πνεῦμα μὲν ἅγιον, καθαῖρον ἐπὶ πλέον, καὶ ἁγιάζον· *δύναμις* δὲ *ὑψίστου*, παρασκευάζουσα δεκτικὴν τοῦ λόγου καὶ θεοῦ, καὶ παρέχουσα γεννητικὴν δύναμιν.]

Ἐνεργοῦν ἀποῤῥήτως καὶ τὴν ἄνανδρον σύλληψιν καὶ τὸν ὑπερφυῆ τόκον.

35 **Καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι·**

Τὸ αὐτὸ δηλοῖ καὶ οὗτος ὁ λόγος, Δύναμις θεοῦ σκεπάσει σε, δυναμοῦσά σε πρὸς ὑπουργίαν τοῦ τοιούτου πράγματος.

35 **Διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, κληθήσεται
υἱὸς θεοῦ.**

Δ*ιὸ καὶ τὸ ἅγιον* βρέφος, *τὸ γεννώμενον ἐκ σοῦ, κληθήσεται υἱὸς θεοῦ*, παρὰ τῶν πιστῶν, διὰ τὰ θεοπρεπῆ ἔργα τῆς ἡνωμένης αὐτῷ θεότητος.

Τινὲς δὲ ἀναγινώσκοντες, τὸ *γεννώμενον*, ὑποστίζουσι, λέγοντες, ὅτι διὰ τὸ ἐπελθεῖν πνεῦμα ἅγιον, καὶ ἐπισκιάσαι δύναμιν ὑψίστου, τὸ γεννώμενον ἔσται ἅγιον, ἤτοι, θεῖον. Εἶτα τὰ ἑξῆς ἀπολύτως ἀναγινώσκουσι.

---

(1) Τὰ ἐνταῦθα παρεντεθειμένα ἀναγινώσκονται παρὰ μὲν τῷ B εὐθὺς μετὰ τὰς λέξεις, ὑπερφυῆ τόκον, παρὰ δὲ τῷ A, ἐν τῷ περισελιδίῳ.

36 **Καὶ ἰδοὺ, Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συν-
ειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς· καὶ οὗτος μὴν ἕκτος
37 ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ. Ὅτι οὐκ ἀδυνα-
τήσει παρὰ τῷ θεῷ πᾶν ῥῆμα.**

Πρὸς πληροφορίαν αὐτῆς παράδειγμα τίθησι τὴν Ἐλισάβετ, διδάσκων, ὅτι ὁ δοὺς καρπὸν τῇ ἀκάρπῳ κοιλίᾳ τῆς στείρας, αὐτὸς καὶ ἐν σοὶ ποιήσει, ὃ δι᾽ ἐμοῦ σοὶ λελάληκε. *Πᾶν* δὲ *ῥῆμα*, ἀντὶ τοῦ, πᾶν, ὃ λέγει, πᾶν, ὃ ἐπαγγέλεται, ἢ πᾶν, ὃ λέγει τις.

Ἀλλὰ πῶς ἦν ἡ Ἐλισάβετ συγγενὴς τῆς Μαρίας; Ἐκείνη μὲν γὰρ ἐκ τῆς Λευϊτικῆς, εἴτουν, ἱερατικῆς κατήγετο φυλῆς· αὕτη δὲ ἐκ τῆς ἰουδαϊκῆς, ἤγουν, βασιλικῆς. Διάφοροι γεγόνασιν ἐπιγαμβρεῖαι τῶν δύο τούτων φυλῶν. Ἀαρὼν γὰρ πρότερον, καὶ Ἰωδαὲ ὕστερον, ἀρχιερεῖς ἀμφότεροι ὄντες, ἐκ τῆς βασιλικῆς φυλῆς γυναῖκας ἠγάγαντο, καὶ μετ᾽ αὐτοὺς ἕτεροι. Λοιπὸν οὖν ἐκ τοιαύτης ἐπιπλοκῆς ἦσαν συγγενεῖς ἀλλήλων καὶ αὗται. Ἐπεὶ γὰρ ἐν μὲν θείοις πράγμασι πρωτεύει τὸ ἱερατικὸν γένος, ἐν δὲ ἀνθρωπίνοις, τὸ βασιλικὸν, εἰκότως συνεπλάκησαν, ἵνα καὶ ὁ ἱερεὺς βασιλικὸς εἴη, καὶ ὁ βασιλεὺς ἱερατικός.

38 **Εἶπε δὲ Μαριάμ· Ἰδοὺ, ἡ δούλη Κυρίου· γένοιτό
μοι κατὰ τὸ ῥῆμά σου.**

Λοιπὸν, οὐ μόνον ἐπίστευσεν· ἀλλὰ καὶ ηὔξατο, γενέσθαι αὐτῇ, καθὼς ὁ ἄγγελος εἴρηκε.

38 **Καὶ ἀπῆλθεν ἀπ᾽ αὐτῆς ὁ ἄγγελος.**

Ηδη συλλαβούσης ἅμα τῷ λόγῳ αὐτοῦ.

39 **Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις, ἐπο-
ρεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν
Ἰούδα.**

Η *ὀρεινὴ*, πόλις ἦν τῆς Ἰουδαίας, ἐν ᾗ ᾤκει ἡ Ἐλισάβετ.

Ἀπῆλθε δὲ ἐκεῖ, θείῳ πνεύματι κινηθεῖσα, ἵνα σκιρτήσαντος μὲν τοῦ βρέφους ἐν τῇ κοιλίᾳ τῆς Ἐλισάβετ, προφητευσάσης δὲ καὶ αὐτῆς, δέξηται πλείονα πληροφορίαν.

40 Καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ.

Προσηγόρευσεν, ὡς ἔθος.

41 Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς·

Ο μὲν Χριστὸς ἐφθέγξατο διὰ τοῦ στόματος τῆς ἰδίας μητρός· ὁ δὲ Ἰωάννης ἤκουσε διὰ τῶν ὤτων τῆς οἰκείας μητρός· καὶ ἐπιγνοὺς ὑπερφυῶς τὸν ἑαυτοῦ δεσπότην, ἀνεκήρυξεν αὐτὸν τῷ σκιρτήματι. Τὸ γὰρ ἐν τῇ κοιλίᾳ τῆς Παρθένου βρέφος αὐτίκα προφητικὴν χάριν ἐδωρήσατο τῷ ἐν τῇ κοιλίᾳ τῆς στείρας βρέφει.

41 Καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ Ἐλισάβετ· καὶ
42 ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου.

Παρὰ μὲν τοῦ ἐν τῇ στείρᾳ βρέφους ἀνακηρύττεται τὸ ἐν τῇ Παρθένῳ βρέφος· παρὰ δὲ τῆς στείρας, ἡ Παρθένος. Καὶ γὰρ τοῦ ἐγκεκρυμμένου τῇ νηδύϊ τῆς Ἐλισάβετ πλησθέντος πνεύματος ἁγίου, πίμπλαται καὶ αὐτὴ, καὶ προφήτην ἐν γαστρὶ βαστάζουσα, προφητεύει, καὶ εὐφημεῖ καὶ τὴν Παρθένον, καὶ τὸν καρπὸν τῆς κοιλίας τῆς Παρθένου.

43 Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με;

Πόθεν *μοι τοῦτο* τὸ παράδοξον; Ὥσπερ δὲ ὕστερον ὁ υἱὸς τῆς Ἐλισάβετ, ἐλθόντος τοῦ Χριστοῦ πρὸς αὐτὸν, ἀνάξιον ἑαυτὸν τῆς τοιαύτης ἐπιδημίας τοῦ δεσπότου ἔλεγεν· οὕτω καὶ νῦν ἡ μήτηρ αὐτοῦ, ἀναξίαν ἑαυτὴν τῆς τοιαύτης ἐπιδημίας τῆς

δεσποίνης ὁμολογεῖ. *Μητέρα* δὲ ταύτην ὠνόμασε καὶ πρὸ τοῦ
τόκου, καὶ Κύριον τὸν ἐξ αὐτῆς γεννηθῆναι μέλλοντα, μαρτυ-
ροῦσα τοῖς τοῦ ἀγγέλου λόγοις, καὶ βεβαιοτέραν αὐτῇ πίστιν
παρέχουσα.

44 Ἰδοὺ γὰρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου.

Ἐν *ἀγαλλιάσει*, ὡς αἰσθόμενον ἤδη τῆς σωτηρίας τῶν ἀν-
θρώπων, καὶ ἀγαλλιώμενον ἐπ' αὐτῇ.

45 Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου.

Μακαρίζει τὴν Μαρίαν, ὡς *πιστεύσασαν τοῖς λελαλημένοις*
αὐτῇ παρὰ Κυρίου διὰ τοῦ ἀγγέλου. Προέγνω γὰρ ἡ Ἐλισά-
βετ καὶ τὰ λελαλημένα, καὶ ὅτι πεπίστευκεν αὐτοῖς ἡ Παρ-
θένος. Στεῖραι μὲν οὖν καὶ ἄλλαι γεγεννήκασι· βρέφος δὲ οὐδέ-
ποτε προφητικοῦ χαρίσματος ἠξιώθη, ἔτι ἐν κοιλίᾳ μητρὸς
αὐτοῦ φερόμενον. Γεγόνασιν οὖν τὰ κατὰ τὴν στεῖραν ταύτην
παράδοξα, ἵνα πιστευθῶσι καὶ τὰ κατὰ τὴν Παρθένον ταύτην
ὑπερφυέστατα.

46 Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον·

Μ*εγαλύνει ἡ ψυχή μου*, τουτέστιν, εὐφημεῖ, δοξάζει. Πι-
στευούσης δὲ ὁ λόγος οὗτος, εὐχαριστήριος ὤν.

47 Καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου·

Π*νεῦμα*, τὴν ψυχὴν πάλιν νόησον. Ἐχάρη, φησὶν, ἡ ψυχή
μου ἐπὶ τῷ θεῷ τῷ σώσαντί με. Σέσωσμαι γὰρ ἤδη, ἀξιωθεῖ-
σα γενέσθαι μήτηρ θεοῦ. Εἶτα λέγει καὶ τὴν αἰτίαν τῆς εὐ-
χαριστίας.

48 Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Ἐπὶ τὴν εὐτέλειαν. Ταπεινοῖ γὰρ ἑαυτὴν, ὡς ἀναξίαν τηλι-

κούτου πράγματος· ἢ καὶ διὰ τὴν ταπείνωσιν τῆς ἀνθρωπίνης φύσεως, ὡς πρὸς τὸ ὕψος τῆς θείας.

48 Ἰδοὺ γὰρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί·

Αἱ τῶν πιστευόντων δηλονότι.

49 Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός·

Ὅτι ἐποίησεν εἰς ἐμὲ μεγάλα καὶ ὑπερφυῆ θαυμάσια, ὁ δυνατὸς ποιεῖν τοιαῦτα.

49 Καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ.

Ἐξαίρετον, μέγα.

50 Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὸ, *εἰς γενεὰν καὶ γενεὰν*, καὶ τὸ, *εἰς γενεὰς γενεῶν*, καὶ τὰ τοιαῦτα, τὸ, *ἀεὶ*, σημαίνουσι παρ' Ἑβραίοις. Λέγει τοίνυν, ὅτι καὶ τὸ ἔλεος αὐτοῦ ἀεὶ ἔστιν ἐν τοῖς φοβουμένοις αὐτὸν, ὅμοια λέγουσα τῷ Δαυῒδ, εἰρηκότι· *Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν* (α). Εἶτα καταλέγει καὶ ἄλλας δυνάμεις τοῦ θεοῦ, ὡς ἔθος τοῖς εὐχαριστοῦσιν.

51 Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ·

Ἐποίησε μεγαλεῖον, ἐποίησε νίκην, ἐν δυνάμει αὐτοῦ. *Ὁ βραχίων* γὰρ ἐνταῦθα τὴν δύναμιν σημαίνει· διότι οἱ ἀγωνιζόμενοι, ἐν τῷ βραχίονι τὴν δύναμιν ἔχουσι.

51 Διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τοὺς ὑπερηφάνους ἐν τῇ διανοίᾳ τῆς καρδίας αὐτῶν, τοὺς ὑπερηφάνους ἐν ἑαυτοῖς.

52 Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπει-

(α) Ψαλμ. ΡΒ', 17.

53 νούς. Πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Ὅμοια ταῦτα τῶν τῆς Ἄννης, μητρὸς τοῦ Σαμουὴλ, εἰπούσης· *Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ* (α). Λοιπὸν οὖν προφητεύει καὶ περὶ τοῦ ἐλέους τοῦ εἰς τοὺς χριστιανούς. Λέγει γάρ·

54 Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ.

Ἐπεσκέψατο τὸν Ἰσραηλιτικὸν λαὸν, τὸν δοῦλον αὐτοῦ. *Παῖδα* γὰρ νῦν, τὸν δοῦλον λέγει.

55 Μνησθῆναι ἐλέους, (καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν,) τῷ Ἀβραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ, εἰς τὸν αἰῶνα.

Ἀντελάβετο δὲ καὶ ἐπεσκέψατο, *ἐν τῷ μνησθῆναι ἐλέους εἰς τὸν αἰῶνα*, ἤγουν, ἐλέους αἰωνίου, ἐλέους διηνεκοῦς. *Καθὼς ἐλάλησε*· καθὼς ἐπηγγείλατο *πρὸς τοὺς πατέρας ἡμῶν*. Εἶτα λέγει καὶ τίσιν ἐλάλησε περὶ τοῦ τοιούτου ἐλέους, ὅτι τῷ *Ἀβραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ*, ἤγουν, τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ, ναὶ μὴν καὶ τῷ Δαυῒδ. Τούτοις γὰρ, ὡς ἐπισημοτάτοις, αἰνιγματωδῶς ἐπηγγείλατο περὶ τούτου. *Ἔλεος* δὲ *εἰς τὸν αἰῶνα*, ἡ θεία ἐνανθρώπησις, ὡς δι' ἔλεον τῶν ἀνθρώπων γεγενημένη, ἐκ σπέρματος Ἀβραὰμ καὶ τῶν εἰρημένων υἱῶν καὶ ἐγκόνων αὐτοῦ, κατὰ τὴν πρὸς αὐτοὺς ἐπαγγελίαν.

Ἀπορήσει δέ τις, πῶς ἀντελάβετο τοῦ Ἰσραηλιτικοῦ λαοῦ ὁ θεὸς, ἐν τῷ μνησθῆναι τοῦ ῥηθέντος ἐλέους; Τῶν χριστιανῶν γὰρ μᾶλλον ἀντελάβετο, καὶ οὐ τῶν Ἰουδαίων. Πρὸς ὃν ἀποκρινόμεθα, ὅτι παλαιὸς μὲν Ἰσραὴλ, ὁ παλαιὸς λαός· νέος δὲ Ἰσραὴλ, ὁ νέος λαὸς, ὁ ἀντεισαχθεὶς ἐκείνου, τουτέστιν, ὁ χριστιανικὸς, ὁ ἐκ παντὸς ἔθνους συγκείμενος. Τοῦτον οὖν τὸν Ἰσραὴλ ἐνταῦθα νόησον. Εἰ δὲ καὶ τὸν παλαιὸν νοήσῃς, σώ-

(α) Α' Βασιλ. Β', 7.

ζεται καὶ οὕτως ὁ λόγος. Δι' αὐτὸν γὰρ μᾶλλον ἐνηνθρώπησεν· ἐπεὶ καὶ ἐξ αὐτῶν ἐξελέξατο μητέρα, καὶ συγγενὴς αὐτῶν ἐχρημάτισε, καὶ παρ' αὐτοῖς ἐδίδασκε, καὶ ἐθαυματούργει. Διὸ καὶ ἔλεγεν· ὅτι *Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ* (α) Ἐπεὶ δὲ *εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον* (β), λοιπὸν τὰ ἔθνη τοῦ ἐλέους ἠξιώθησαν.

56 Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς·

Μετὰ γνώμης δηλονότι τοῦ μνηστῆρος. Ἐγίνωσκε γὰρ ὁ Ἰωσὴφ καὶ τὸν Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ ἁγίους, καὶ περιχαρῶς αὐτοῖς κατεπίστευσε τὴν παρθένον, οὐ μόνον ὡς συγγενέσιν αὐτῆς, ἀλλὰ καὶ ὡς ἀνεπιλήπτοις. Ἔμεινε δὲ μέχρι τοῦ τοκετοῦ τῆς Ἐλισάβετ παρ' αὐτῇ, ὡς γινωσκούσῃ τὸ κατ' αὐτὴν μυστήριον, καὶ διὰ τοῦτο φιλούσῃ ταύτην, καὶ φιλουμένη.

56 Καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Εὐλαβουμένη τοὺς διὰ τὸ τικτόμενον ὀφείλοντας συντρέχειν ἐπὶ τὸν οἶκον τοῦ Ζαχαρίου. Ἦν δὲ καὶ ἔθος ὑποχωρεῖν τὰς παρθένους, ὅτε μέλλοι τίκτειν ἡ ἔγκυος.

57 Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐ-
58 τήν· καὶ ἐγέννησεν υἱόν. Καὶ ἤκουσαν οἱ περίοικοι
καὶ οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνε Κύριος τὸ
59 ἔλεος αὐτοῦ μετ' αὐτῆς· καὶ συνέχαιρον αὐτῇ. Καὶ
ἐγένετο, ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ
παιδίον·

Κατὰ τὸν νόμον.

59 Καὶ ἐκάλουν αὐτὸ, ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν.

Πολλοὶ γὰρ υἱοὶ τοῖς τῶν πατέρων ὀνόμασιν ἐκλήθησαν.

(α) Ματθ. ΙΕ', 24. (β) Ἰωαν. Α, 11.

60 Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ, εἶπεν· Οὐχί· ἀλλὰ κληθήσεται Ἰωάννης.

Εκ πνεύματος ἁγίου καὶ αὐτὴ τὸ ὄνομα τοῦ παιδὸς μεμάθηκε. Διὸ καὶ ἰσχυρίσατο Ἰωάννην ὀνομασθῆναι αὐτόν.

61 Καὶ εἶπον πρὸς αὐτήν· Ὅτι οὐδείς ἐστιν ἐν τῇ συγ-
62 γενείᾳ σου, ὃς καλεῖται τῷ ὀνόματι τούτῳ. Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτόν.

Διὰ νεύματος ἠρώτων, ὡς μηδ' ἀκούειν δυναμένου, καθὼς ἀνωτέρω δεδήλωται. Φασὶ γὰρ, ἑνί τινι νεύρῳ συνδεδέσθαι τὰς τοῦ ἀκούειν καὶ τοῦ λαλεῖν δυνάμεις· διὸ καὶ τοὺς ἐκ γενετῆς ἀλάλους μηδὲ ἀκούειν. Οὕτω γοῦν ἐσβέσθη τὸ φθέγμα Ζαχαρίας, ὡς οἱ ἐκ γενετῆς.

63 Καὶ αἰτήσας πινακίδιον, ἔγραψε, λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ.

Αἰτήσας, οὐ διὰ φωνῆς· ἀλλ' ὁμοίως διὰ νεύματος.

63 Καὶ ἐθαύμασαν πάντες.

Εθαύμασαν, πῶς μήτε ἀκοῦσαι τοῦτο παρὰ τῆς Ἐλισάβετ, μήτε εἰπεῖν αὐτῇ τοῦτο δυνάμενος, συνεφώνησεν. Εἰκὸς γὰρ, τὴν Ἐλισάβετ πληροφορεῖν τούτους, ὡς οὐ διὰ γραφῆς τοῦτο ἢ εἶπεν, ἢ ἤκουσεν.

64 Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ· καὶ ἐλάλει εὐλογῶν τὸν θεόν.

Ανεῴχθη, ἀντὶ τοῦ, ἀπελύθη εἰς φωνήν. Δῆλον δὲ, ὅτι καὶ ἡ ἀκοὴ συναπελύθη. Ὥσπερ γὰρ συνεπεσχέθη, οὕτως ἄρα καὶ συναπελύθη.

65 Καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς·

Φόβος, ἐκ τοῦ θαύματος.

65 Καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα.

Τὰ περὶ τῶν γεγονότων θαυμάτων ἐπὶ τῇ κλήσει τοῦ παιδίου, πῶς τε παραδόξως συνεφώνησαν οἱ γεννήτορες ἐπὶ ταύτῃ, καὶ πῶς θαυμασίως ἀπελύθη τῆς ἀφωνίας ὁ Ζαχαρίας· ἢ καὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους.

66 Καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν·

Ἔβαλον ταῦτα, ὡς ἀξιόλογα.

66 Λέγοντες· Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται;

Λέγοντες ἐπαπορητικῶς, ἢ λογιζόμενοι.

Ἄξιον δὲ ζητῆσαι, διὰ τί οὐκ ἀπελύθη τῆς ἀφωνίας ὁ Ζαχαρίας, ὅτε τὸ παιδίον ἐγεννήθη, ἀλλὰ μᾶλλον, ὅτε τὴν κλῆσιν τοῦ ὀνόματος ἔλαβε; Λέγομεν δὲ, ὅτι διὰ τὴν τοῦ ἀγγέλου πρόῤῥησιν· εἶπε γὰρ αὐτῷ· *Ἰδοὺ, ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα* (α). Εἰπὼν γὰρ, ὅτι *ταῦτα*, τὰ δύο πάντως δεδήλωκε, τήν τε γέννησιν καὶ τὴν κλῆσιν τοῦ ὀνόματος· ἀλλ' οὐ μόνην τὴν γέννησιν· ἵνα καὶ τὸ θαῦμα γένηται τῆς ἐπὶ τῷ ὀνόματι συμφωνίας.

66 Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτοῦ.

Δύναμις, χάρις θεοῦ.

67 Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος
68 ἁγίου· καὶ προεφήτευσε, λέγων· Εὐλογητὸς Κύριος,
ὁ θεὸς τοῦ Ἰσραήλ· ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε
λύτρωσιν τῷ λαῷ αὐτοῦ.

Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ ταῦτα προεφήτευσε. Διὰ ταύτης γὰρ ἐπεσκέψατο καὶ ἐλυτρώσατο τὸν λαὸν αὐτοῦ ἐκ τῆς

(α) Λουκ. Α', 20.

τυραννίδος, οὐ μόνον τῶν ἀοράτων ἐχθρῶν, ἀλλὰ καὶ τῶν ὁρατῶν, ὡς μὴ δυναμένων περιγενέσθαι τῆς πίστεως αὐτοῦ. *Λαὸν* δὲ *αὐτοῦ*, προηγουμένως μὲν τὸν παλαιόν· ἐκείνου δὲ ἀπειθήσαντος, τὸν νέον λοιπόν. Ὡς γεγενημένα δὲ λέγει τὰ γενησόμενα, νόμῳ προφητείας.

Ἀλλὰ πῶς λέγεται *θεὸς τοῦ Ἰσραὴλ* μόνον; καὶ γὰρ οὐ τῶν Ἰσραηλιτῶν μόνον ἐστὶ θεὸς, ἀλλὰ καὶ πάντων τῶν ἀνθρώπων, ὡς πάντων ποιητής. Διότι τῶν μὲν ἄλλων πάντων ἀνθρώπων, ἀκόντων ἐστὶ θεός· τῶν Ἰσραηλιτῶν δὲ μόνων ἑκόντων, καὶ κατ' ἐπίγνωσιν. Μὴ θορυβηθῇς δὲ ἐπὶ τῇ δυσχερείᾳ τῶν τοῦ Ζαχαρίου ῥητῶν· τοιαῦτα γὰρ τὰ προφητικά. Πειρασόμεθα δὲ σαφηνίσαι ταῦτα, κατὰ τὴν ἐπιχορηγουμένην ἡμῖν γνῶσιν.

69 Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαυὶδ
70 τοῦ παιδὸς αὐτοῦ· (καθὼς ἐλάλησε διὰ στόματος
τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ·)

Τὸ *κέρας* ἐνταῦθα, ἢ βασιλείαν δηλοῖ· διότι ἐν κέρατι οἱ βασιλεῖς ἐχρίοντο καὶ προεχειρίζοντο· ἢ δύναμιν σημαίνει· διότι ἐν κέρατι τὴν δύναμιν ἔχουσι πάντα τὰ κερασφόρα ζῶα.

Κέρας δὲ οὐχ ἁπλῶς, ἀλλὰ *σωτηρίας*, ἤγουν, σωτήριον. Βασιλείαν δὲ καὶ δύναμιν σωτήριον, λέγει τὸν Χριστὸν, ὡς βασιλέα τῶν βασιλευόντων καὶ δύναμιν τοῦ πατρὸς, καὶ σωτῆρα τῶν πιστευόντων εἰς αὐτόν. *Οἶκον* δὲ νόει, τὸ γένος τοῦ Δαυΐδ. Φησὶν οὖν, ὅτι ἀνέστησεν ἡμῖν, τῷ λαῷ αὐτοῦ, βασιλείαν ἢ δύναμιν σωτήριον, ἐκ γένους Δαυΐδ, τοῦ δούλου αὐτοῦ· ἐκ σπέρματος γὰρ Δαυΐδ ἦν ἡ Παρθένος, ἀφ' ἧς ὁ Χριστὸς γεγέννηται. Τοῦτο δὲ πεποίηκεν, ὡς ἐπηγγείλατο *διὰ στόματος τῶν ἁγίων*, δηλαδὴ, τῶν ἔκπαλαι προφητῶν. Δι' αὐτῶν γὰρ ἐπηγγείλατο ἀναστήσειν βασιλέα δυνατὸν ἐν οἴκῳ Δαυΐδ, σωτῆρα τοῦ Ἰσραήλ. Καὶ τοῦτο διδάσκουσι ψαλμοὶ πολλοὶ τοῦ Δαυΐδ.

71 Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς·

Ἤγειρε δὲ τὸ κέρας τοῦτο, *σωτηρίαν* ἡμῖν καὶ λύτρωσιν *ἐξ ἐχθρῶν ἡμῶν*, ἀοράτων καὶ ὁρατῶν.

72 Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ·

Ἐν τῷ *ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν*, ἤγουν, ἐν τῷ ἐλεῆσαι τοὺς πατέρας ἡμῶν, πρὸς οὓς ἡ ἐπαγγελία τῆς σωτηρίας ἡμῶν, καὶ δι' ἐκείνους μνησθῆναι ταύτης. *Διαθήκην* γὰρ λέγει, τὴν ἐπαγγελίαν· *μνήμην* δὲ αὐτῆς, τὴν περάτωσιν.

73 Ὅρκον, ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν.

Καὶ ἐν τῷ μνησθῆναι *τὸν ὅρκον, ὃν ὤμοσε*, τουτέστι τὴν βεβαίωσιν, ἣν ἐβεβαίωσε, *πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν*. Ὅρκος γὰρ ἐπὶ θεοῦ καὶ ὅμοσμα, ἡ βεβαίωσις. Ἀδιαφόρως δὲ τὸ *μνησθῆναι*, ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Σύνηθες γὰρ τοῦτο τοῖς προφητικοῖς, ὥσπερ καὶ ἡ γριφότης (1). Εἶτα λέγει, τίνος χάριν ἡ τοιαύτη διαθήκη καὶ ἡ βεβαίωσις.

74 Τοῦ δοῦναι ἡμῖν, ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν
75 ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Καθ' ὑπερβατὸν ἡ σύνταξις ἡ τῶν ῥητῶν τούτων, οἷον· *Ὑπὲρ τοῦ δοῦναι ἡμῖν, ἀφόβως λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν*· εἶτα τὸ ἐν μέσῳ· *Ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας*. *Ὁσιότητα* μὲν οὖν λέγει, τὴν εὐσέβειαν· *δικαιοσύνην* δὲ, τὴν τελειότητα τῶν ἄλλων ἀρετῶν. Ἔπειτα μεταβαίνει τῇ προφητείᾳ καὶ πρὸς τὸν ἑαυτοῦ παῖδα Ἰωάννην, καὶ φησίν·

(1) Τουτέστι, τὸ αἰνιγματῶδες.

76 Καὶ σὺ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ·

Καὶ ὄντως πάντες προφήτην αὐτὸν ὠνόμαζον.

76 Προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Κύριον ἐνταῦθα τὸν Χριστὸν ὀνομάζει, οὗ προτρέχων ὁ Ἰωάννης, ὡς αὐτοῦ πρόδρομος καὶ κήρυξ, ὅτε παρεγένετο ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, ἡτοίμαζε τὰς ὁδοὺς αὐτοῦ.

Τίνες δὲ *αἱ ὁδοὶ αὐτοῦ*, εἰρήκαμεν ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἔνθα κεῖται τό· *Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου* (α).

77 Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ,

Προπορεύσῃ, φησὶ, *πρὸ προσώπου Κυρίου*, καὶ τὰ ἑξῆς, *ὑπὲρ τοῦ δοῦναι τῷ λαῷ αὐτοῦ γνῶσιν σωτηρίας*, τουτέστιν, ὑπὲρ τοῦ γνωρίσαι καὶ ὑποδεῖξαι τοῖς Ἰουδαίοις τὸν Χριστόν. Οὗτος γάρ ἐστι σωτηρία αὐτῶν.

77 Ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν·

Σωτηρίας δὲ, τῆς *ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν*, ἤγουν, τῆς γινομένης ἐν τῷ ἀφεθῆναι καὶ λυθῆναι τὰς ἁμαρτίας αὐτῶν. Οὕτω γὰρ καὶ ὁ ἄγγελος εἶπε πρὸς τὸν Ἰωσὴφ, ἑρμηνεύων τὸ ὄνομα τοῦ Χριστοῦ· *Αὐτὸς γάρ*, φησι, *σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν* (β).

78 Διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν.

Ἐν ἀφέσει δὲ ἁμαρτιῶν, τῇ *διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν*, ἤτοι, τῇ διδομένῃ διὰ τὴν συμπάθειαν τοῦ ἐλέους αὐτοῦ, καὶ οὐ διὰ τὰ ἔργα αὐτῶν..

78 Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους·

Ἐν οἷς, σπλάγχνοις ἐλέους, δι' ἃ σπλάγχνα ἐλέους, *ἐπεσκέψατο ἡμᾶς*, εἴτουν, ἐπεφοίτησεν, *ἀνατολὴ* τοῦ νοητοῦ ἡλίου,

(α) Ματθ. Γ', 3. (β) Ματθ. Α', 21.

ἐξ ὕψους τῆς θεότητος. Λέγει δὲ, τὴν ὅσον οὔπω ἐπιφάνειαν τοῦ Χριστοῦ.

79 Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις.

Επεσκέψατό, φησιν, *ἡμᾶς διὰ τὸ ἐπιφᾶναι*, τουτέστιν, ἐπιλάμψαι φῶς ἀληθείας, *τοῖς ἐν σκότει* τῆς πλάνης *καθημένοις*. *Σκιὰ δὲ θανάτου* ἡ ἁμαρτία· εἰκονίζει γὰρ καὶ αὕτη τὸν θάνατον. Ὥσπερ γὰρ οὗτος ψυχῆς ἐστὶ χωρισμός· οὕτω καὶ αὕτη πνεύματος ἁγίου ἐστὶ χωρισμός.

79 Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Υπὲρ τοῦ κατευθῦναι τὴν πορείαν τῆς πολιτείας ἡμῶν *εἰς ὁδὸν εἰρήνης*, τῆς κατὰ θεόν.

80 Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι·

Πνεύματι θείῳ.

80 Καὶ ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

Εως ἡμέρας ἀναδείξεως αὐτοῦ, τῆς πρὸς τοὺς Ἰσραηλίτας, ὅτε ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας. Ἔδει γὰρ αὐτὸν ἐξ ἁπαλῶν ὀνύχων ἀσκῆσαι τὴν ἀρετὴν, ἵνα καὶ μετὰ παῤῥησίας ἐλέγχῃ, καὶ ἀξιόπιστος εἴη μάρτυς τοῦ ὑπ' αὐτοῦ καταγγελλομένου Χριστοῦ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῆς ἀπογραφῆς.

ΚΕΦ. II, 1. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην.

Ἀπογράφεσθαι αὐτὴν εἰς τὸ τελεῖν κῆνσον, εἰς τὸ παρέχειν

φόρον, ὑποτεταγμένην ἤδη τῇ Ῥωμαίων ἐξουσίᾳ, ὧν ἦρχε Καῖσαρ.

Προετύπου δὲ ἡ πρὸς τὸν Καίσαρα ὑποταγὴ πάσης τῆς οἰκουμένης καὶ ἡ ἀπογραφὴ, τὴν πρὸς τὸν Χριστὸν ὑποταγὴν πάσης τῆς οἰκουμένης καὶ τὴν ἀπογραφὴν τῶν ἀπογραφομένων εἰς οὐρανούς. Γέγονε δὲ ἡ τοιαύτη ἀπογραφὴ, μέλλοντος γεννηθῆναι τοῦ Χριστοῦ, ἵνα πάντων ἐν ταῖς ἰδίαις μητροπόλεσιν ἀπογραφομένων, ἀπέλθῃ καὶ ἡ Παρθένος πρὸς τὴν Βηθλεὲμ, καὶ ἐν αὐτῇ τοῦτον γεννήσῃ, ἵνα πληρωθῇ ἡ προφητεία, ἡ λέγουσα· *Καὶ σὺ Βηθλεὲμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. Ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ* (α)· περὶ ἧς εἴρηται σαφῶς ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

2 (Αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο.

Μέχρι τότε μὴ γενομένη.

2 Ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου.)

Τὴν ἡγεμονίαν ἱστόρησε τοῦ Κυρηνίου, σημαίνων, ὅτι αὐτὸς ἐποιεῖτο τὴν ἀπογραφὴν τῆς Συρίας, ὑφ' ἣν ἡ Παλαιστίνη.

3 Καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν.

Εἰς τὴν τῆς ἰδίας φυλῆς μητρόπολιν, ἵνα γνώριμον γένηται τὸ πλῆθος ἑκάστης φυλῆς.

4 Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρὲτ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαυὶδ, ἥτις καλεῖται Βηθλεὲμ, (διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴ-
5 κου καὶ πατριᾶς Δαυὶδ,) ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικί,

Τὴν Βηθλεὲμ ὁ Δαυὶδ κοσμήσας, οἰκείαν ὠνόμασε. Συναπεγρά-

(α) Μιχ. Ε΄, 2. Ματθ. Β΄, 6.

φῃ δὲ καὶ ὁ Χριστὸς, ἵνα τοὺς ἀπογραφέντας εἰς δουλείαν τοῦ αὐτοκράτορος Καίσαρος ἐλευθερώσῃ τῆς δουλείας τοῦ κοσμοκράτορος διαβόλου.

5 Οὔσῃ ἐγκύῳ.

Ἐκ πνεύματος ἁγίου, δηλονότι, καθὼς προείρηται.

6 Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν
7 αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν. Καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον.

Περὶ τῆς σημασίας τοῦ πρωτοτόκου διελάβομεν ἐν τῷ τέλει τοῦ προοιμίου τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, ἔνθα κεῖται τό· *Καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον* (α).

7 Καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ· διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.

Κατάλυμα λέγεται τὸ καταγώγιον, ἐν ᾧ, μὴ ὄντος τόπου, διὰ στενοχωρίαν, ἀνέκλινεν αὐτὸν εἰς τὴν οὖσαν ἐκεῖ φάτνην τῶν ἀλόγων. Ἔμελλε γὰρ, λόγος ὢν, λόγῳ θρέψαι ἡμᾶς, τῷ τοῦ εὐαγγελίου, καὶ τῆς ἀλογίας τῶν παθῶν ἀπαλλάξαι καὶ κτηνωδίας.

Ζήτησον δὲ καὶ ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον (β) τὴν ἐξήγησιν τοῦ· *Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον* (1).

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν ἀγραυλούντων ποιμένων.

8 Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦν-

(α) Ματθ. Α', 25. (β) Ματθ. Β', 11. (1) Τὸ σχόλιον τοῦτο εὕρηται μόνον ἐν τῷ χειρογράφῳ τοῦ Ἐντενίου ἐν τῷ παρασελιδίῳ.

τες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν.

Ἀγραυλεῖν, οἱ μὲν ἑρμηνεύουσι τὸ *ἐν ἀγρῷ αὐλεῖν*, εἴτουν, σύριγγι χρῆσθαι· οἱ δὲ, τὸ *ἐν ἀγρῷ αὐλίζεσθαι*, ἤγουν, διανυκτερεύειν (1).

9 Καὶ ἰδοὺ, ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς, καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς·

Δόξαν Κυρίου νῦν, θεῖον φῶς νόησον· *περιέλαμψε δὲ αὐτοὺς*, ἵνα γνῶσιν, ὅτι ἄγγελος Θεοῦ ἐστιν ὁ ἐπιστὰς αὐτοῖς.

9 Καὶ ἐφοβήθησαν φόβον μέγαν.

Διὰ τὸ παράδοξον τοῦ θεάματος.

10 Καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος· Μὴ φοβεῖσθε· ἰδοὺ γὰρ, εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ·

Τί δὲ τὸ εὐαγγέλιον τῆς χαρᾶς, ἄκουσον·

11 Ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαυΐδ.

Ἐτέχθη ὑμῖν σήμερον ἐν πόλει Δαυΐδ Σωτὴρ, ὅς ἐστι Χριστὸς μὲν, ὡς τῆς ἀνθρωπότητος αὐτοῦ χρισθείσης τῇ θεότητι· *Κύριος* δὲ, ὡς θεός. Οὐκ εὐηγγελίσατο δὲ τοῖς γραμματεῦσι καὶ φαρισαίοις τὴν χαρὰν ταύτην· διότι οὐκ ἔμελλον πιστεῦσαι, πονηροὶ καὶ φθονεροὶ τυγχάνοντες· ἀλλὰ ποιμέσιν ἀπονήροις καὶ ἀκάκοις, καὶ τὴν παλαιὰν πολιτείαν ἐζηλωκόσι τῶν πατριαρχῶν. Ἐπεὶ δὲ καὶ ποιμὴν ἐγεννήθη τοῦ λαοῦ, ποιμέσι τὰ περὶ αὐτοῦ γνωρίζεται πρῶτον.

(1) Οὕτω καὶ ὁ Θεοφύλακτος Σελ. 315 D. « Ἀγραυλοῦντες· τουτέστιν, » ἀγροτικὸν αὐλοῦντες, ἢ ἐν τῷ ἀγρῷ αὐλιζόμενοι καὶ διάγοντες. » Καὶ Σελ. 316. D. λέγει περὶ τῶν πνευματικῶν ποιμένων κατ' ἀλληγορικὴν ἑρμηνείαν « Δεῖ οὖν τοὺς ἀρχιερεῖς φυλάσσειν τὴν ποίμνην αὐτῶν καὶ ἀγραυλεῖν, τουτέστιν, ᾄδειν πνευματικά τινα, καὶ διδάσκειν τὸν λαόν. »

Δηλοῦται δὲ καὶ ἕτερον, ὅτι τοῖς ποιμέσι τῶν λογικῶν προβάτων τὰ θεῖα μυστήρια πρὸ τῶν ἄλλων ἀποκαλύπτονται.

12 **Καὶ** τοῦτο ὑμῖν τὸ σημεῖον·

Τοῦτο ὑμῖν τὸ τεκμήριον τοῦ ἀληθεύειν με.

12 Εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν φάτνῃ.

Ε*δέθη μὲν σπαργάνοις, ἵνα λύσῃ τὰ σπάργανα τῶν ἁμαρτιῶν ἡμῶν· ἔκειτο δὲ, ἵνα ἀναστήσῃ τοὺς πεπτωκότας εἰς ἁμαρτίαν.*

13 **Καὶ** ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου.

Ε*γένετο σὺν τῷ ἀγγέλῳ*, ἤγουν, συνῆλθε τῷ ἀγγέλῳ ἐκείνῳ.

13 Αἰνούντων τὸν θεόν, καὶ λεγόντων·

Τῶν ἀγγέλων ὑμνούντων τὴν μίαν θεότητα τῆς ἁγίας Τριάδος, διὰ τὴν οἰκονομηθεῖσαν σωτηρίαν τῶν ἀνθρώπων.

14 Δόξα ἐν ὑψίστοις θεῷ.

Ὕμνος ἐν οὐρανοῖς τῷ θεῷ.

14 **Καὶ** ἐπὶ γῆς εἰρήνη.

Τοῦτο *αἰτία* τοῦ ὕμνου, διότι καὶ ἐπὶ γῆς εἰρήνη γέγονεν, ἡ ἐν οὐρανοῖς πολιτευομένη, εἰρηνευόντων ἤδη καὶ τῶν ἀνθρώπων πρὸς τὸν θεόν.

Ἢ διότι καὶ ἐπὶ γῆς ὤφθη ὁ υἱὸς τοῦ θεοῦ, ὅς ἐστιν εἰρήνη τοῦ κόσμου· μεσίτης γὰρ θεοῦ καὶ ἀνθρώπων γενόμενος, εἰρήνευσε τὰ ἐπίγεια πρὸς τὰ οὐράνια, τὰ διεστῶτα συνάψας, καὶ τὰ ἐκπεπολεμωμένα καταλλάξας.

Ἢ, *καὶ ἐπὶ γῆς εἰρήνη*· διότι τοῦ παντοκράτορος Χριστοῦ τικτομένου, πᾶς πόλεμος κατελύθη, πάντων ὁμοῦ τῶν ἐθνῶν τῷ κράτει τῶν Ῥωμαίων ὑποταγέντων.

14 Ἐν ἀνθρώποις εὐδοκία.

Εν ἀνθρώποις νῦν ἡ πάλαι εὐδοκία τοῦ πατρός. Αὕτη δέ ἐστι,

τὸ ἐνανθρωπῆσαι τὸν υἱὸν, καὶ σῶσαι τὸν ἀπολωλότα ἄνθρωπον. Νῦν γὰρ πεπλήρωται, ὃ πάλαι *εὐδόκησεν*, εἴτουν, ὥρισεν, ἠθέλησεν.

15 **Καὶ** ἐγένετο, ὡς ἀπῆλθον ἀπ᾿ αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους· Διέλθωμεν δὴ ἕως Βηθλεὲμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς, ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν.

Ι*δωμεν τὸ ῥῆμα*, τουτέστιν, ἐξετάσωμεν τὸ ῥῆμα, τὸ περὶ τοῦ τεχθῆναι ἡμῖν Σωτῆρα σήμερον· ἐξετάσωμεν δὲ τοῦτο, διὰ τοῦ δοθέντος ἡμῖν σημείου.

16 **Καὶ** ἦλθον σπεύσαντες, καὶ ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ, καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ.

17 Ἰδόντες δὲ, διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου.

Δ*ιεγνώρισαν*, ἤγουν, ἐπληροφορήθησαν, *περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου*, ὅτι ἐτέχθη τῷ λαῷ Σωτήρ.

18 **Καὶ** πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς.

Ανήγγειλαν γὰρ αὐτίκα τῷ Ἰωσὴφ καὶ τῇ μητρὶ τοῦ παιδίου πάντα, ὅσα ἤκουσαν παρὰ τοῦ ἀγγέλου, καὶ τὰ περὶ τοῦ πλήθους τῆς οὐρανίου στρατιᾶς. Καὶ οὐ μόνον τούτοις, ἀλλὰ καὶ πᾶσιν, οἷς ἐνετύγχανον, οἳ καὶ ἀκούσαντες ἐθαύμασαν περὶ ὧν ἤκουσαν.

19 Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα.

Τὰ παρὰ τῶν ποιμένων λαληθέντα *συνετήρει δὲ ταῦτα* παρ᾿ ἑαυτῇ.

19 Συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς.

Παρεξετάζουσα ταῦτα καθ' ἑαυτὴν πρός τε τὸν ἐξ ἀρχῆς εὐαγγελισμὸν τοῦ Γαβριὴλ, καὶ τὴν ἄσπορον σύλληψιν, καὶ τὴν ἀνώδινον κύησιν, καὶ τὸν ἄφθορον τόκον, καὶ τελειωτέραν ἠρέμα δεχομένη πληροφορίαν.

20 Καὶ ὑπέστρεψαν οἱ ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς.

Ὑπέστρεψαν εἰς τὴν ποίμνην αὐτῶν.

21 Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν αὐτὸν, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ.

Ὥσπερ οἱ παρ' ἡμῖν ἱερεῖς, ὅτε βαπτίζουσι, τότε καὶ ὀνομάζουσιν· οὕτω καὶ οἱ παρ' Ἑβραίοις, ὅτε περιτέμνουσι, τότε καὶ τὴν κλῆσιν ἐπιτιθέασιν.

Ἀπορήσει δέ τις, ὅτι, ἐπειδὴ παύειν τὴν περιτομὴν ἔμελλεν ὁ Χριστὸς, διὰ τί περιετμήθη; Πρὸς ὃν ἀπολογητέον, ὅτι κατ' οἰκονομίαν. Εἰ μὴ περιετμήθη γὰρ, οὐκ ἂν ὅλως παρεδέχθη διδάσκων, ἀλλ' ἀπεπέμφθη ἂν, ὡς ἀλλόφυλος· οὐδ' ἂν ἐπίστευσέ τις, ὅτι αὐτός ἐστιν ὁ προσδοκώμενος Χριστὸς ἐκ σπέρματος Ἀβραάμ. Οἱ γὰρ ἐξ Ἀβραὰμ ἅπαντες, σφραγίδα καὶ σημεῖον τὴν περιτομὴν εἶχον, διαστέλλουσαν αὐτοὺς ἀπὸ τῶν ἄλλων ἐθνῶν. Περιετμήθη μὲν οὖν διὰ τοῦτο, πληρῶν κἀνταῦθα τὸν νόμον, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις νομικοῖς παραγγέλμασιν, ἵνα μὴ δόξῃ τοῦ νόμου παραβάτης. Ἔπαυσε δὲ ταύτην, καὶ πάνυ εὐλόγως. Ἡ γὰρ περιτομὴ τῶν Ἑβραίων, τὸ βάπτισμα τῶν χριστιανῶν ἐτύπου καὶ προεσήμαινεν. Ὥσπερ γὰρ ἐκείνη τοὺς ἐξ Ἀβραὰμ ἐσφράγιζε καὶ διέστελλεν ἀπὸ παντὸς ἔθνους· οὕτω καὶ τοῦτο τοὺς χριστιανούς.

Καὶ καθάπερ ἐκείνη περιττὸν ἀποτέμνει τοῦ σώματος μέρος· οὕτω καὶ τοῦτο τὴν ἁμαρτίαν ἀποτέμνει, περιττὴν ὑπάρχουσαν. Ἔδει δὲ παυθῆναι τὸν τύπον, ἐλθόντος τοῦ πρωτοτύπου, καὶ σιγῆσαι τὸ μηνύον, ἐπιστάντος τοῦ μηνυομένου. Τὸ γὰρ ἑαυτοῦ πεπλήρωκε, καὶ περιττόν ἐστι τοῦ λοιποῦ.

22 Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωσέως.

Ὁ νόμος, τοῦ Θεοῦ μὲν ἦν, ὡς παρ' αὐτοῦ ὑφηγηθείς· ἐλέγετο δὲ καὶ τοῦ Μωϋσέως, ὡς παρ' αὐτοῦ γραφείς. Ἐκέλευε δὲ, τὴν σπερματισθεῖσαν καὶ τεκοῦσαν ἄρσεν, ἀκάθαρτον νομίζεσθαι μέχρι τεσσαράκοντα ἡμερῶν (α). Τοῦτο δὲ προσέταττεν εἰς ἀνάπαυσιν τῆς μήτρας, ἵνα μὴ εὐθὺς οἱ ἄνδρες τεκούσαις ταῖς γαμεταῖς ἑαυτῶν συμπλέκωνται, μήπω τὴν ἀπὸ τοῦ τεκεῖν ταλαιπωρίαν θεραπευσάσαις. Ἀλλ' ἡ Θεοτόκος, οὐχ ὑπέκειτο μὲν τῷ νόμῳ τούτῳ, διὰ τὸ μὴ σπερματισθῆναι· ἐπειθάρχησε δὲ αὐτῷ, ἵνα μὴ δόξῃ παραβαίνειν τὸν νόμον. *Τοῦ καθαρισμοῦ* δὲ αὐτῶν (1), ἤτοι, τῆς μητρὸς τοῦ παιδίου καὶ τοῦ μνηστῆρος αὐτῆς· ᾠκειοῦντο γὰρ οἱ ἄνδρες τὸν καθαρισμὸν τῶν γυναικῶν αὐτῶν.

22 Ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ
23 Κυρίῳ, (καθὼς γέγραπται ἐν νόμῳ Κυρίου· «Ὅτι
πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ
κληθήσεται·»)

Παραστῆσαι, εἴτουν, ἀποκομίσαι τῷ Κυρίῳ εἰς τὸν ἐν Ἱεροσολύμοις ναόν. Ἐγέγραπτο γὰρ ἐν τῷ νόμῳ· ὅτι *Πᾶν ἄρσεν διανοῖγον μήτραν*, πρῶτον δηλονότι, τουτέστι, πρωτότοκον, *ἅγιον τῷ Κυρίῳ κληθήσεται* (β), ἤγουν ἀφωρισμένον τῷ Θεῷ κληθήσεται. Ἀφιεροῦντο δὲ τὰ πρωτότοκα τῶν Ἑβραίων τῷ

(α) Λευϊτ. ΙΒ', 2. (1) Ἀντὶ τοῦ, αὐτῶν, ὡς ἀνέγνωσε καὶ ὁ Εὐθύμιος, εὕρηται καὶ γράφεται κοινότερον, αὐτῆς. (β) Ἐξοδ. ΙΓ', 2.

θεῷ· διότι πάλαι (1) τὰ πρωτότοκα τῶν Αἰγυπτίων ἐθανάτωσεν ὑπὲρ ἐλευθερίας τῶν Ἑβραίων.

Ἀλλὰ τὰ μὲν ἄλλα πρωτότοκα προδιανοιγεῖσαν διανοίγουσι τὴν μήτραν· προδιανοίγεται γὰρ τῇ συνουσίᾳ τοῦ ἀνδρός, ὅτε τὸ σπέρμα εἰσακοντίζεται· μόνος δὲ ὁ Χριστὸς μήπω διανοιγεῖσαν διήνοιξεν ὑπερφυῶς, καὶ κεκλεισμένην κατὰ φύσιν ἐτήρησεν· ἐπεὶ καὶ μόνος οὗτος ἅγιος τῷ Κυρίῳ κυρίως· κατὰ τὴν θεότητα μέν, ὡς υἱὸς αὐτοῦ· κατὰ δὲ τὴν ἀνθρωπότητα, ὡς ἡνωμένος τῷ υἱῷ αὐτοῦ. Ὥστε, εἰ καὶ διὰ τὴν ῥηθεῖσαν αἰτίαν περὶ πάντων τῶν πρωτοτόκων ἐνομοθετήθη τὸ παρὸν ῥητόν, ἀλλά γε πρὸς τὸν Χριστὸν μόνον ὀρθῶς ἀπέβλεπεν.

[Ἀμφιλοχίου Ἰκονίου (2). Πρὸς μὲν τὴν παρθενικὴν φύσιν, οὐδόλως αἱ παρθενικαὶ πύλαι ἀνεῴχθησαν, βουλήσει τοῦ ἀρτίως κυοφορηθέντος, κατὰ τὸ φάσκον περὶ αὐτοῦ ῥητόν (α)· *Αὕτη ἡ πύλη τοῦ Κυρίου, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ ἔσται ἡ πύλη κεκλεισμένη* (3)· ὡς δὲ πρὸς τὴν δύναμιν τοῦ τεχθέντος δεσπότου, οὐδὲν κέκλεισται τῷ Κυρίῳ, ἀλλὰ πάντα ἠνέῳκται.]

24 Καὶ τοῦ δοῦναι θυσίαν, κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν.

Ἀνήγαγον αὐτόν, φησι, *ὑπὲρ τοῦ παραστῆσαι τῷ Κυρίῳ*, καθὼς εἴρηται, *καὶ ὑπὲρ τοῦ δοῦναι θυσίαν ὑπὲρ αὐτοῦ* τὰ ῥηθέντα. Ἐπέταττε γὰρ ὁ νόμος (6), διδόναι ζεῦγος τρυγόνων, ὑπὲρ σωφροσύνης τοῦ παιδός· σωφρονέστατον γὰρ ἡ τρυγών· ἢ δύο νεοσσοὺς περιστερῶν, ὑπὲρ τεκνογονίας αὐτοῦ· γονιμώτατον γὰρ ἡ περιστερά. Διττὰ δὲ καὶ ταῦτα, κἀκεῖνα, ἵνα τὸ

(1) Ἐξοδ. ΙΓ', 15. (2) Ταῦτα ἐν τῷ περισελιδίῳ παρὰ χειρὸς νεωτέρας παρὰ τῷ Α. Ἴδ. Ἀμφιλοχ. Σελ. 26. D. (α) Ἰεζεκ. ΜΔ', 2. (3) Παρὰ τῷ Ἀμφιλοχίῳ προστίθεται ἐνταῦθα καὶ τό: «Ὡς πρὸς τὴν παρθενικὴν τοίνυν φύσιν, οὐδόλως ἠνεῴχθησαν αἱ παρθενικαὶ πύλαι.» (6) Λευϊτ. ΙΒ') 6—8.

μὲν εἴη εἰς ἐξίλασμα· τὸ δέ, εἰς ὁλοκάρπωμα. Ὥσπερ δὲ ἡ μήτηρ τοῦ Χριστοῦ οὐχ ὑπέκειτο τῷ προῤῥηθέντι νόμῳ· οὕτως οὐδὲ αὐτὸς τῷ παρόντι.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Περὶ τοῦ Συμεών.

25 Καὶ ἰδού, ἦν ἄνθρωπος ἐν Ἱερουσαλήμ, ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ·

Ἀνάκλησιν, λύτρωσιν τοῦ ἰσραηλιτικοῦ λαοῦ, ἀπὸ τῆς δουλείας. Προσεδόκα δὲ ταύτην ἐξ ἀναγνώσεως τῶν προφητικῶν βίβλων, αἳ κατήγγελλον τὸν Χριστόν, ὅς ἐστιν ἀνάκλησις τοῦ νέου ἰσραηλιτικοῦ λαοῦ, ἀνακαλούμενος αὐτὸν ἀπὸ τῆς δουλείας τῆς πλάνης.

25 Καὶ πνεῦμα ἅγιον ἦν ἐπ' αὐτόν.

Πνεῦμα ἅγιον, προφητείας. Οὐκ ἦν δὲ ἱερεὺς ὁ Συμεών, ὡς ἐμοὶ τέως δοκεῖ· ἢ γὰρ ἂν ἐδήλωσε καὶ τοῦτο πάντως ὁ εὐαγγελιστής, ὡς ἀξίωμα τοῦ ἀνδρός.

26 Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου.

Ἀναγινώσκων γάρ ποτε τὰς περὶ Χριστοῦ προφητείας, καὶ εὑρών, ὅτι θεὸς ὢν ἐνανθρωπῆσαι μέλλει, πρὸς τὸ ὑπερφυὲς τοῦ μυστηρίου, ὡς ἄνθρωπος, ἐλιγγίασε. Διὸ καὶ χρησμῳδίαν ἔλαβεν, εἴτουν, ἀπόφασιν, ὡς οὐκ ἀποθανεῖται μέχρις ἂν ἴδῃ αὐτὸν τὸν Χριστὸν τοῖς αὐτοῦ ὀφθαλμοῖς (1). *Τὸν Χριστὸν*

(1) *Παρὰ τῷ Β: τοῖς τοῦ σώματος ὀφθαλμοῖς.*

δὲ *Κυρίου* εἶπε, διὰ τὴν πρὸς τὸν πατέρα οἰκείωσιν. *Κύριον* γὰρ νόει τὸν πατέρα (1).

[Εὗρον (2) κἀγὼ ἔν τισι τῶν ἀντιγράφων περὶ τοῦ δικαίου τούτου ἀνδρός, ὡς ἐκ τῶν ἑβδομήκοντα ἑρμηνευτῶν, τῶν Ἑβραίων, ἦν, ἐν ταῖς ἡμέραις Πτολεμαίου τοῦ Φιλαδέλφου. Μεθερμηνεύοντες γὰρ ἐκεῖνοι πάντες τὴν πρόῤῥησιν Ἡσαΐου τοῦ προφήτου, τό· *Ἰδού, ἡ παρθένος ἐν γαστρὶ ἕξει* (α)· τοῦτο μόνος ὁ Συμεὼν ἠπίστει τῷ προφήτῃ, ὃν τὴν...ἐκεῖνο χρηματισθεὶς (3) ὑπὸ θείου ἀγγέλου, μὴ ἰδεῖν θάνατον, ἕως ἂν τὸν Χριστὸν Κυρίου δέξηται ἐν ταῖς ἑαυτοῦ χερσίν.]

27 Καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν·

Τῷ πνεύματι τῷ ἁγίῳ κινηθείς.

27 Καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ
28 νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ·

Διέγνω γὰρ αὐτὸ παρευθὺς τοῖς διορατικοῖς ὀφθαλμοῖς.

28 Καὶ εὐλόγησε τὸν θεόν·

Τὸν ἐνανθρωπήσαντα.

29 Καὶ εἶπε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου.

Νῦν ἀπολύεις με, τοῦ βίου πάντως, καθὼς εἴρηκάς μοι, πάλαι διαπορoῦντι περὶ τοῦ μυστηρίου τῆς σῆς ἐνανθρωπήσεως.

29 Ἐν εἰρήνῃ·

Ἐν εἰρήνῃ λογισμῶν. Νῦν γὰρ οἱ ταράττοντές με λογισμοὶ

(1) Παρὰ τῷ Β: Κύριον γὰρ νῦν τὸν πατέρα νόει. (2) Ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α παρὰ χειρὸς πάντῃ νέας. (α) Ἡσ. Ζ', 14. (3) Τὸ ἐνταῦθα διεφθαρμένον διορθοῦμεν ἐν τῷ μεταξὺ οὕτω «τῷ προφήτῃ. Ὅθεν καὶ ἐχρηματίσθη...» Ἰδ. καὶ Κεδρηνὸν Τομ. Α'. Σελ. 186. Ἐκδ. Παρισίων.

περὶ τῆς θείας ἐνανθρωπήσεως εἰρήνευσαν. Ἢ, *ἐν εἰρήνῃ* ἀφοβίας, μηκέτι φοβούμενον τὸν θάνατον, διὰ τὸ βαθύ μου γῆρας. Ἢ, *ἐν εἰρήνῃ* χαρᾶς, μηκέτι λυπούμενον ὑπὲρ τῆς ἐλευθερίας τοῦ Ἰσραήλ· εἶδον γὰρ ἤδη τὸν ἐλευθερωτήν.

30 Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου·

Νῦν ἀπολύεις με, φησιν, ὅτι *εἶδον* τὴν ἐνανθρώπησίν σου. Ταύτην γὰρ καλεῖ *σωτήριον*, ὡς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων γεγενημένην.

31 Ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν·

Ὅπερ σωτήριον ᾠκονόμησας ἐνώπιον πάντων, ἵνα πᾶσιν εἴη φανερόν, οὐ μόνον Ἰουδαίοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἔθνεσιν.

32 Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Φῶς ὄν, εἰς ἀνάβλεψιν μὲν ἐθνῶν, τῶν τετυφλωμένων τῇ πλάνῃ· *ἀποκάλυψιν* γὰρ λέγει, τὴν ἀνάβλεψιν· *εἰς δόξαν* δὲ καὶ εὔκλειαν *λαοῦ σου* τοῦ ἰσραηλιτικοῦ. Δόξα γὰρ αὐτοῖς, τὸ βλαστῆσαί σε ἐξ αὐτῶν κατὰ τὸ ἀνθρώπινον. Καὶ ὄντως ἡ σωτήριος ἐνανθρώπησις αὐτοῦ, ἐφώτισε μὲν τὰ ἔθνη, φωτισμὸν θεογνωσίας καὶ ἀρετῆς· ἐδόξασε δὲ τοὺς Ἰουδαίους, ὅτι συγγενὴς αὐτῶν γενέσθαι κατηξίωσεν.

[Φῶς (1). Ὦ φῶς ἀληθινὸν καὶ ὂν καὶ καλούμενον, *εἰς ἀποκάλυψιν ἐθνῶν*, εἰς φανέρωσιν τῶν παθῶν, εἰς ἔλεγχον τῶν δαιμονίων, καὶ *δόξαν λαοῦ σου Ἰσραήλ*, τοῦ νέου δηλονότι, οὗ δόξα διὰ σοῦ, ἡ ἀπόκτησις τῶν παρὰ φύσιν κακῶν, καὶ κτῆσις τῶν κατὰ φύσιν καλῶν, καὶ ἐπίκτησις τῶν ὑπὲρ φύσιν ἀγαθῶν· ἢ ἡ ἀρετή, καὶ ἡ γνῶσις, καὶ ἡ θέωσις.]

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α. Παρὰ δὲ τῷ Β, ἀναγινώσκονται ἐνταῦθα, καὶ κατὰ τοῦτον τὸν τρόπον: Ἑτέρως δέ· Φῶς. Ὦ φῶς ἀληθινὸν κ. τ. λ.

33 Καὶ ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ.

Ἐθαύμαζον, οὐχ ὡς τότε πρῶτον περὶ αὐτοῦ μανθάνοντες, ἀλλ' ὡς, ἐφ' οἷς προμεμαθήκεσαν, ἔτι παραδοξότερα προσενωτιζόμενοι.

34 Καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ· Ἰδοὺ, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ.

Εἰς πτῶσιν μὲν, τῶν προσκοπτόντων τοῖς ἀνθρωποπρεπέσιν αὐτοῦ, καὶ πιπτόντων εἰς ἀπιστίαν τῆς θεότητος αὐτοῦ· *ἀνάστασιν* δὲ, τῶν προσεχόντων τοῖς θεοπρεπέσιν αὐτοῦ, καὶ ἀνισταμένων πρὸς πίστιν τῆς θεότητος αὐτοῦ. *Κεῖται* δὲ, ὡς λίθος ἀκρογωνιαῖος, συνδέων ἐφ' ἑαυτῷ τοὺς δύο λαοὺς, τόν τε παλαιὸν καὶ τὸν νέον. Ἐπεὶ καὶ διὰ Ἡσαΐου προανεφώνησεν ὁ θεός· ὅτι *Ἰδοὺ, τίθημι ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου* (α).

[*Εἰς πτῶσιν* μὲν σαρκὸς (1), ἤτοι, τοῦ σαρκικοῦ φρονήματος καὶ παθῶν, καὶ λογισμῶν πονηρῶν καὶ δαιμόνων, καὶ τοῦ κατὰ τὸ γράμμα νόμου· *ἀνάστασιν* δὲ πνεύματος, ἤγουν, πνευματικοῦ φρονήματος καὶ φυσικῶν δυνάμεων, καὶ ἀρετῆς καὶ γνώσεως, καὶ τοῦ κατὰ τὸ πνεῦμα νόμου.]

34 Καὶ εἰς σημεῖον ἀντιλεγόμενον·

Καὶ *εἰς θαῦμα ἀντιλεγόμενον* τοῖς ἀπίστοις, εἴτουν, ἀντιλογίαν ὑφιστάμενον. Θαῦμα γὰρ ἦν, ὡς μήτε ἄνθρωπος μόνον ὢν, μήτε θεὸς μόνον, ἀλλὰ θεάνθρωπος. Διὸ καὶ, ὡς ὑπερφυοῦς ὄντος, ἀντιλέγουσι, πάντα κατὰ φύσιν ἐξετάζοντες, καὶ μηδὲν ὑπερφυὲς ἐννοεῖν δυνάμενοι.

Τινὲς δὲ, *σημεῖον ἀντιλεγόμενον*, τὴν σταύρωσιν λέγουσι· *σημεῖον* μὲν, ὡς σύμβολον φιλανθρωπίας· διὰ τοὺς ἀνθρώπους γὰρ ταύτην ὑπέμεινεν· *ἀντιλεγόμενον* δὲ, ὡς ὀνειδιζομένην ὑπὸ τῶν ἀπίστων.

(α) Ἡσ. ΚΗ', 16. Η', 14. Ῥωμ. Θ', 33. (1) Παρὰ τῷ Β: Η πάλιν· Εἰς κ.τ.λ. Παρὰ δὲ τῷ Α ἀναγινώσκονται ταῦτα ἐν τῷ περισελιδίῳ.

35 (Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία·)

Ῥομφαίαν δὲ ὠνόμασε, τὴν τμητικωτάτην καὶ ὀξεῖαν ὀδύνην, ἥτις διῆλθε τὴν καρδίαν τῆς Θεομήτορος, ὅτε ὁ υἱὸς αὐτῆς προσηλώθη τῷ σταυρῷ. Περὶ ταύτης γὰρ τῆς ἀλγηδόνος προεφήτευσεν.

35 Ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.

Τῶν ὑποπτευόντων, ὅτι οὐκ ἔστιν αὕτη μήτηρ αὐτοῦ. Ὥσπερ γὰρ πολλοὶ, ἀποβλέποντες εἰς τὰ ἀνθρωποπρεπῆ αὐτοῦ, ἔλεγον, ὅτι ἄνθρωπος μόνον ἐστὶν, υἱὸς τῆς Μαρίας· οὕτως ἄλλοι πάλιν, ἀποβλέποντες εἰς τὰ θεοπρεπῆ αὐτοῦ, ὑπώπτευον, ὅτι θεὸς μόνον ἐστὶ, καὶ οὐκ ἔστιν αὕτη μήτηρ αὐτοῦ. Τότε δὲ, θεασάμενοι ταύτην πικρῶς ὀδυνωμένην, καὶ σφοδρῶς ὀδυρομένην, καὶ ἡττωμένην τῆς φύσεως, ἐπίστευσαν, ὅτι μήτηρ αὐτοῦ ἐστὶ, καὶ *ἀπεκάλυψαν*, εἴτουν, ἐξηγόρευσαν, τοὺς διαλογισμοὺς τῶν καρδιῶν αὐτῶν, τοὺς τῆς ὑποψίας.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ Ἄννης τῆς προφήτιδος.

36 Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουὴλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς.

Προβεβηκυῖα, εἴτουν, γραῦς.

36 Ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθε-
37 νίας αὐτῆς. Καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοήκοντα
τεσσάρων, ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νη-

στείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν.

Διὰ τοῦτο γὰρ καὶ προφητικοῦ χαρίσματος ἠξιώθη, διότι οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, ἐν νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτωρ καὶ μεθ' ἡμέραν τῷ θεῷ. *Λατρείαν* δὲ, τὴν δουλείαν καὶ θεραπείαν νόει.

38 Καὶ αὕτη, αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο
τῷ Κυρίῳ·

Ηὐχαρίστει τῷ θεῷ, τῷ ἐνανθρωπήσαντι.

38 Καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις
λύτρωσιν ἐν Ἱερουσαλήμ.

Ελάλει περὶ αὐτοῦ, ὅτι οὗτός ἐστιν ὁ λυτρωτής. Ἀλλ' ὁ μὲν Συμεὼν, τύπος ἦν τῆς παλαιᾶς Διαθήκης· ἡ δ' Ἄννα, τῆς νέας, ὧν μέσος ὁ Χριστὸς κείμενος, τὴν μὲν ἀπέλυσε, τὴν δὲ παρακατέσχεν, ἐμφαίνων, ὅτι ἡ μὲν Παλαιὰ, πέπαυται, ἡ δὲ Νέα, ζῇ.

39 Καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον Κυρίου,
ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν Ναζαρέτ.

Απαντα, τὰ περὶ τῆς παραστάσεως τοῦ παιδίου, καὶ τὰ περὶ τῆς θυσίας, περὶ ὧν ὁ νόμος ἐκέλευε.

Ζήτησον δὲ καὶ ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· *Ἰδοὺ, ἄγγελος Κυρίου φαίνεται κατ' ὄναρ τῷ Ἰωσὴφ, λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον* (α).

40 Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι,
πληρούμενον σοφίας· καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτό.

Κατὰ τὸ ἀνθρώπινον ταῦτα πάντα νόησον. Ὡς παιδίον γὰρ ηὔξανε μὲν, εἰς ἡλικίαν, ἐκραταιοῦτο δὲ, κατὰ τῆς κακίας, πνεύματι, ἤγουν, τῇ ἡνωμένῃ αὐτῷ θεότητι· πνεῦμα γὰρ

(α) Ματθ. Β', 13.

καλεῖται καὶ ἡ θεότης· καὶ ἐπληροῦτο μὲν σοφίας, ὡς ἡνωμένον τῇ σοφίᾳ· χάρις δὲ τοῦ ἡνωμένου αὐτῷ θεοῦ ἦν ἐπ' αὐτὸ, παιδαγωγοῦσα τοῦτο καὶ ῥυθμίζουσα καὶ κατακοσμοῦσα.

Ἢ καὶ ἑτέρως. *Ἐκραταιοῦτο* μὲν *πνεύματι*, ἤτοι, τῷ ἁγίῳ· *χάρις* δὲ *θεοῦ*, ἤγουν, τοῦ πατρὸς, *ἦν ἐπ' αὐτό*. Ὥσπερ γὰρ ἐσαρκώθη, πατρὸς εὐδοκίᾳ, καὶ πνεύματος ἁγίου ἐπελεύσει· οὕτω καὶ ἐπολιτεύετο, καὶ ἐνήργει, εὐδοκίᾳ μὲν τοῦ πατρὸς, συνεργίᾳ δὲ τοῦ ἁγίου πνεύματος.

41 Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱε-
42 ρουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα. Καὶ ὅτε ἐγένετο ἐτῶν
δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα, κατὰ
43 τὸ ἔθος τῆς ἑορτῆς· καὶ τελειωσάντων τὰς ἡμέρας,
ἐν τῷ ὑποστρέφειν αὐτοὺς, ὑπέμεινεν Ἰησοῦς ὁ
παῖς ἐν Ἱερουσαλήμ·

Τ*ελειωσάντων τὰς ἡμέρας* τὰς τῆς ἑορτῆς τοῦ πάσχα καὶ τῆς ἑορτῆς τῶν ἀζύμων. *Ὑπέμεινε* δὲ, εἴτουν, ὑπελείφθη ἐν Ἱερουσαλὴμ, βουλόμενος συμμίξαι τοῖς διδασκάλοις.

43 Καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ.

Κατὰ θείαν οἰκονομίαν, ἵνα μὴ κωλύσωσιν αὐτὸν, ὡς παῖδα καὶ ἀγράμματον.

44 Νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον
ἡμέρας ὁδόν· καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγε-
45 νέσι καὶ ἐν τοῖς γνωστοῖς. Καὶ μὴ εὑρόντες αὐτὸν,
ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, ζητοῦντες αὐτόν.
46 Καὶ ἐγένετο, μεθ' ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ
ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων.

Μίαν μὲν ἡμέραν ἀνάλωσαν, ὅτε ἦλθον ἡμέρας ὁδὸν, καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς· ἑτέραν δὲ, ὅτε μὴ εὑρόντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, ζητοῦντες αὐτόν· κατὰ τὴν τρίτην δὲ λοιπὸν εὗρον αὐτόν. *Ἐν*

τῷ ἱερῷ δὲ εὑρίσκεται ὁ Χριστὸς, ἤγουν, ἐν τῷ ἱερῷ τόπῳ, καὶ ἐν τῷ ἱερῷ πράγματι, καὶ ἐν τῷ ἱερῷ ἀνθρώπῳ.

46 Καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς.

Ἀκούοντα καὶ ἐπερωτῶντα περὶ τῶν νομίμων, ἵνα ἐκ νεότητος ἡ σύνεσις αὐτοῦ γνωρισθῇ. Φοβηθῶμεν οὖν οἱ διδάσκαλοι, γινώσκοντες, ὅτι ἐν μέσῳ ἡμῶν ἐστὶν ὁ Χριστὸς, πῶς διδάσκομεν.

47 Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ.

Ἔδει γὰρ τοῦτο γενέσθαι, ἵνα ὕστερον διδάσκων εὐπαράδεκτος αὐτοῖς εἴη.

48 Καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν·

Ὁ Ἰωσὴφ, δηλονότι, καὶ ἡ μήτηρ αὐτοῦ. *Ἐξεπλάγησαν* δὲ, οὐ μόνον διὰ τὴν σύνεσιν καὶ τὰς ἀποκρίσεις αὐτοῦ, ἀλλὰ καὶ διὰ τὴν τόλμαν.

48 Καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε· Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ, ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε.

Πατέρα αὐτοῦ, τὸν Ἰωσὴφ ὠνόμασεν, ὡς μνηστῆρα ἑαυτῆς, καὶ ὡς τροφὸν αὐτοῦ. *Ὀδυνώμενοι* δὲ *ἐζήτουν αὐτὸν*, διὰ τὴν σχέσιν. Καὶ εἴ τις δὲ ἐκ πόθου ὀδυνώμενος ζητήσει αὐτὸν, εὑρήσει αὐτόν.

49 Καὶ εἶπε πρὸς αὐτούς· Τί ὅτι ἐζητεῖτέ με;

Ὡς πλανώμενον, δηλαδή. Θεὸς οὐ πλανᾶται.

49 Οὐκ ᾔδειτε, ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με;

Ἐν τῷ οἴκῳ τοῦ πατρός μου. Ἔλεγε δὲ περὶ τοῦ ἱεροῦ, ὃ τῷ θεῷ καὶ πατρὶ αὐτοῦ ὁ Σολομὼν ᾠκοδόμησεν. Ἀλλ' ἡ μὲν μήτηρ αὐτοῦ, περὶ τοῦ θέσει πατρὸς αὐτοῦ εἶπεν· αὐτὸς δὲ ταύτῃ τὸν φύσει πατέρα αὐτοῦ ἐγνώρισε.

50 Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα, ὃ ἐλάλησεν αὐτοῖς·

Τὸ περὶ τοῦ ἱεροῦ.

51 Καὶ κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ· καὶ ἦν ὑποτασσόμενος αὐτοῖς.

Παιδεύων ὑποτάττεσθαι, μὴ μόνον τοῖς φύσει γονεῦσιν, ἀλλὰ καὶ τοῖς θέσει.

51 Καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς.

Τὰ περὶ τοῦ ἱεροῦ, καὶ τὰ τοιαῦτα, ὡς ῥήματα, οὐχ ἁπλῶς παιδὸς, ἀλλὰ καὶ υἱοῦ τοῦ Θεοῦ. *Διετήρει* δὲ *ταῦτα*, ἐξετάζουσα καθ' ἑαυτὴν, ὡς μὴ ἁπλῶς εἰρημένα.

52 Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ, καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ θεῷ καὶ ἀνθρώποις.

Ὡς παιδίον, νόμῳ φύσεως ἀνθρωπίνης, *προέκοπτεν* εἰς ταῦτα κατὰ μικρόν· ὡς γὰρ θεὸς, παντέλειος ἦν.

[Γρηγορίου τοῦ Θεολόγου (1). *Προέκοπτέ*, φησιν, ὥσπερ ἡλικίᾳ, οὕτω καὶ σοφίᾳ καὶ χάριτι· οὐ τῷ ταῦτα λαμβάνειν αὔξησιν· τί γὰρ τοῦ ἀπ' ἀρχῆς τελείου γένοιτ' ἂν τελεώτερον; ἀλλὰ τῷ κατὰ μικρὸν ταῦτα παραγυμνοῦσθαι καὶ παρεκφαίνεσθαι.]

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ τοῦ γενομένου ῥήματος πρὸς Ἰωάννην.

ΚΕΦ. III, 1 Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος.

Μετὰ τὸν προῤῥηθέντα Αὔγουστον, ὁ Τιβέριος γέγονε *Καῖσαρ*

(1) Ταῦτα παρὰ μὲν τῷ Α, ἐν τῷ περισελιδίῳ· παρὰ δὲ τῷ Β, ἐν τῷ κειμένῳ.—Γρηγ. Ναζ. Σελ. 86.

τῶν Ῥωμαίων, τουτέστιν, αὐτοκράτωρ· τότε μὲν γὰρ ὁ Καῖσαρ μείζων ἦν τοῦ βασιλέως· ὕστερον δὲ τὸ τοῦ Καίσαρος ὑπεβιβάσθη ἀξίωμα. Παρασημειοῦται δὲ τὸν καιρὸν τοῦ τε τηνικαῦτα Καίσαρος καὶ τῶν ἡγεμόνων ὁ εὐαγγελιστὴς, νόμῳ ἱστορίας· ἔθος γὰρ τοῦτο τοῖς ἱστορικοῖς.

1 Ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος.

Εἴρηται περὶ τούτων ἀκριβῶς ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἔνθα κεῖται περὶ τοῦ Ἰωσὴφ τό· «Ἀκούσας δὲ, ὅτι Ἀρχέλαος βασιλεύει τῆς Ἰουδαίας, ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν (α).»

2 Ἐπὶ ἀρχιερέων Ἄννα καὶ Καϊάφα.

Καὶ μὴν κατὰ τὸν καιρὸν ἐκεῖνον μόνος ὁ Ἄννας ἦν ἀρχιερεύς· ὁ γὰρ Καϊάφας ὕστερον γέγονεν ἀρχιερεὺς, κατὰ τὸν ἐνιαυτὸν τῆς τοῦ Σωτῆρος σταυρώσεως· ἀλλ' ὁ εὐαγγελιστὴς συμπαρέλαβε καὶ τὸν Καϊάφαν, ὡς συμπράκτορα τοῦ Ἄννα· ἦν γὰρ γαμβρὸς αὐτοῦ, καὶ κοινὴν αὐτῷ τὴν κατοικίαν εἶχεν, ὡς εἰρήκαμεν ἐν τῷ ἑξηκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἔνθα κεῖται περὶ τοῦ Πέτρου· ὅτι Καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν (β). Καὶ γὰρ ὁ (1) Ἄννας ὕστερον συνέπραττε τῷ Καϊάφᾳ ἐν τῇ ἀρχιερωσύνῃ αὐτοῦ.

2 Ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην, τὸν τοῦ Ζαχαρίου
3 υἱὸν, ἐν τῇ ἐρήμῳ. Καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου.

Ζήτησον ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, τό· «Ἐν

(α) Ματθ. Β', 22 (β) Ματθ. Κς', 58. (1) Καὶ γὰρ καὶ ὁ — παρὰ τῷ Β.

δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας (α)·» καὶ ἀνάγνωθι τὴν ἐξήγησιν ὅλην τοῦ τοιούτου ῥητοῦ.

3 Κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν·

Εἴρηται περὶ τούτου σαφῶς ἐν τῷ προοιμίῳ τοῦ κατὰ Μάρκον, ἔνθα κεῖται τό· Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν (β).

4 Ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου, λέγοντος· «Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.

Ταυτὶ τὰ προφητικὰ διηρμηνεύθησαν ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον· τὰ δὲ ἐφεξῆς, προφητεία ἐστὶ διδάσκουσα, ὅτι ἐξισώσει τὴν ἀνωμαλίαν τοῦ κόσμου ὁ Χριστὸς, τὰς σκολιότητας καὶ τραχύτητας τῶν ἀνθρώπων εὐθύνων καὶ λεαίνων τῷ ἀρότρῳ τῶν εὐαγγελικῶν ἐντολῶν. Ἄκουε γάρ· Πᾶσα φάραγξ κ. τ. λ.

[Τοῦ ἁγίου Μαξίμου (1). *Ἔρημός*, ἐστιν ὁ κόσμος οὗτος, ἢ ἡ ἀνθρωπίνη φύσις, ἢ ἡ ἑκάστου ψυχὴ, διὰ τὴν ἐκ τῆς ἀρχαίας παραβάσεως ἀκαρπίαν τῶν ἀγαθῶν· *φωνὴ* δὲ *βοῶντος*, λέγεται (2) ἡ κατὰ συνείδησιν ἐπὶ τοῖς ἑκάστῳ πλημμεληθεῖσι συναίσθησις, οἱονεὶ βοῶσα τὸν ἔλεγχον κατὰ τὸ κρυπτὸν τῆς καρδίας, καὶ παραινοῦσα μετανοεῖν καὶ ἑτοιμάσαι τὴν ὁδὸν Κυρίου· *ἑτοιμασία* δὲ, ἡ τῶν τρόπων καὶ τῶν λογισμῶν ἐπὶ τὸ κρεῖττον μεταβολή· *ὁδὸς* δὲ *Κυρίου*, ὁ κατὰ θεὸν ἐνάρετος βίος· *τρίβοι* δὲ *αὐτοῦ*, τὰ διάφορα κατὰ θεὸν ἐπιτηδεύματα, ἃς εὐθύνουσιν οἱ ὀρθῶς καὶ ἀμέμπτως τὴν ἀρετὴν ἐπιτη-

(α) Ματθ. Γ', 1. (β) Μαρκ. Α', 4. (1) Ταῦτα παρὰ μὲν τῷ Α, ἐν τῷ περισελιδίῳ, παρὰ δὲ τῷ Β, ἐν τῷ κειμένῳ. (2) λόγου, ἀντὶ τοῦ, λέγεται, παρὰ τῷ Β.

δεύοντες. Οὐ καλὸν γάρ, φησι, τὸ καλὸν, ὅταν μὴ καλῶς γίνηται.]

5 **Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται·**

[Τοῦ αὐτοῦ (1). Φάραγξ ἐστὶν, ἡ ἑκάστου σάρξ, ἡ τῷ πολλῷ καὶ σφοδρῷ ῥεύματι τῶν παθῶν ἐκχαραδρωθεῖσα, καὶ τὴν πρὸς τὴν ψυχὴν, κατὰ τὸν τοῦ συνδήσαντος θεοῦ νόμον, πνευματικὴν συνέχειαν καὶ συνάφειαν διατμηθεῖσα. Δυνατὸν δὲ, καὶ τὴν ψυχὴν νοηθῆναι *φάραγγα*, τὴν τῇ συχνῇ καὶ ὀξείᾳ πονηρῶν λογισμῶν ἐπιῤῥοῇ κοιλανθεῖσαν, καὶ τῆς πνευματικῆς ὁμαλότητος τὸ κάλλος διὰ τῆς κακίας ἀποβαλοῦσαν. *Πᾶσα* τοίνυν τοιαύτη *φάραγξ* τῶν ἑτοιμασάντων τὴν ὁδὸν Κυρίου *πληρωθήσεται*, τουτέστιν, εἰς τὴν ὀφειλομένην ἥξει κατάστασιν, διὰ τῆς ἀποβολῆς τῆς κακίας καὶ τῆς ἀγνοίας, καὶ τῆς ἐπιβολῆς τῆς ἀρετῆς καὶ τῆς γνώσεως, καὶ ἀπολήψεται τὴν εὐπρέπειαν τῶν κατὰ φύσιν δυνάμεων.

Ὄρος μέν ἐστι, πᾶσα γνῶσις ψευδώνυμος, ἐπαιρομένη κατὰ τῆς ἀληθοῦς γνώσεως τοῦ θεοῦ· *βουνὸς* δὲ, πᾶσα κακία κατεξανισταμένη τῆς ἀρετῆς.

Ἢ *ὄρος* μὲν, τὰ ἐνεργητικὰ τῆς ψευδοῦς γνώσεως πνεύματα· *βουνὸς* δὲ, τὰ ποιητικὰ τῆς κακίας, ἃ πάντα ταπεινωθήσεται καταβαλλόμενα καὶ κατασκαπτόμενα καὶ ἀποῤῥιπτόμενα διά τε τῆς ἀντιθέτου γνώσεως καὶ τῆς ἀντικειμένης ἀρετῆς.

Καὶ καθ' ἕτερον δὲ λόγον, ὁ μεταγαγὼν τὴν ἕξιν τῆς ψευδοῦς γνώσεως εἰς τὴν τῆς ἀληθοῦς, καὶ τὴν ἐνέργειαν τῆς κακίας εἰς τὴν τῆς ἀρετῆς, οὗτος διὰ τῆς καθαιρέσεως τῶν ὀρέων καὶ τῶν βουνῶν ἀναπληροῖ τὰς τῶν φαράγγων κοιλότητας.

(1) Καὶ ταῦτα παρὰ μὲν τῷ A, ἐν τῷ περισελιδίῳ, παρὰ δὲ τῷ B, ἐν τῷ κειμένῳ.

Σκολιὰ μὲν, τὰ παρὰ φύσιν κινήματα τῶν αἰσθήσεων· *εὐθεῖαι* δὲ, τὰ κατὰ φύσιν. Καὶ πάλιν· *τραχεῖαι* μὲν, αἱ τῶν ἀκουσίων πειρασμῶν προσβολαί· *ὁδοὶ* δὲ *λεῖαι*, αἱ διὰ τούτων μεθ' ὑπομονῆς καὶ εὐχαριστίας ἀγωγαί· ὁμαλίζει γὰρ καὶ μεταβάλλει τὸ τραχὺ καὶ ἐπίπονον αὐτῶν (1) ἡ μεθ' ὑπομονῆς εὐχαριστία. *Σκολιὰ* δὲ, σαφέστερον εἰπεῖν, οἱ δι' ἡδονῆς ἑκούσιοι πειρασμοί· πολύτροπος γὰρ ἡ ἡδονή· ὥσπερ καὶ τραχεῖαι οἱ δι' ὀδύνης ἀκούσιοι.]

Καὶ ἡ φάραγξ καὶ τὸ ὄρος καὶ ὁ βουνὸς, ἀνώμαλα καὶ δυσπρόσιτα· αἰνίττεται δὲ διὰ τῆς φάραγγος μὲν, τοὺς ἀποτόμους καὶ ἑλκυστικοὺς εἰς κακίαν· ἀπότομος γὰρ καὶ ἀπόκρημνος ἡ φάραγξ· διὰ τοῦ ὄρους δὲ καὶ βουνοῦ, τοὺς ἐπηρμένους καὶ σκληροὺς καὶ ἀκάρπους εἰς ἀρετήν. Καὶ πληροῦται μὲν πᾶσα φάραγξ, ἐπιβαλλομένου τοῦ λείποντος, ἤγουν, τῆς εὐσεβείας καὶ ἀρετῆς· ταπεινοῦται δὲ πᾶν ὄρος καὶ βουνὸς, ἀποτεμνομένου τοῦ περιττεύοντος, ἤτοι, τῆς ἀσεβείας καὶ κακίας.

Τὸ δὲ, *πᾶς*, εἰ καὶ καθολικόν ἐστιν, ἀλλ' οὖν παρ' Ἑβραίοις πολλάκις οὐ σημαίνει τὸ καθόλου, ἀλλὰ πλῆθος ἁπλῶς. Εἴη δ' ἂν καὶ ἑτέρως φάραγξ μὲν, οἱ καταῤῥαγέντες εἰς βάθος ἀπωλείας ἄνθρωποι, οἵτινες ἐπληρώθησαν τοῦ εὐαγγελικοῦ κηρύγματος· ὄρος δὲ καὶ βουνὸς, οἱ ἐπηρμένοι δαίμονες, οἵτινες ἐταπεινώθησαν καὶ κατέπεσον ὑπὸ τοῦ Χριστοῦ.

5 **Καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας·**

Τὰ σκολιὰ ἤθη τῶν διεστραμμένων ἀνθρώπων, καὶ αἱ τραχεῖαι γνῶμαι αὐτῶν εὐθυνθήσονται καὶ λεανθήσονται, ὥστε ὁδεύειν ἐπ' αὐτῶν ὁμαλῶς τὸν Χριστόν. Ἢ καὶ ἡ σκολιότης καὶ τραχύτης τῆς κακίας, εἰς εὐθύτητα καὶ λειότητα ἀρετῆς μεταστήσεται.

Ἢ καὶ ἑτέρως. Ἡ σκολιότης καὶ ἡ τραχύτης τοῦ παλαιοῦ

(1) Τῶν πειρασμῶν.

νόμου, εἰς εὐθύτητα καὶ λειότητα τοῦ εὐαγγελίου μεταβληθήσεται. Τοῦ δὲ παλαιοῦ νόμου σκολιότης μέν, ἡ ἀσάφεια καὶ ποικιλία· τραχύτης δέ, τὸ αὐστηρὸν καὶ ἀσυμπαθές. Καὶ τοῦ εὐαγγελίου πάλιν εὐθύτης μέν, ἡ σαφήνεια καὶ ἁπλότης· λειότης δέ, ἡ πρᾳότης καὶ συμπάθεια.

6 **Καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ.»**

Τὸ *σωτήριον* φῶς τοῦ εὐαγγελίου, ἢ τὴν σωτήριον ἐνανθρώπησιν, ἃ καὶ ἄμφω ἡτοίμασεν ὁ θεὸς κατὰ πρόσωπον πάντων τῶν λαῶν.

7 **Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ· Γεννήματα ἐχιδνῶν! τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;**

Ταῦτα καὶ ὁ Ματθαῖος ἀνέγραψεν ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ εὐαγγελίου αὐτοῦ, καὶ ἡρμηνεύθησαν ἐν ἐκείνῳ.

8 **Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας· καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.**

Ὁμοίως καὶ ταῦτα.

9 **Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.**

Παραπλησίως καὶ ταῦτα, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν πάντων.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τῶν ἐπερωτησάντων τὸν Ἰωάννην.

10 **Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες· Τί οὖν ποιήσομεν;**

Κελευσθέντες ποιεῖν καρποὺς ἀξίους τῆς μετανοίας, ἐπερωτῶσιν.

11 **Ἀποκριθεὶς δὲ λέγει αὐτοῖς· Ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι·**

Μεταδότω τῷ μηδόλως ἔχοντι, ἢ τῷ ἔχοντι μέν, ἄχρηστον δέ.

11 **Καὶ ὁ ἔχων βρώματα, ὁμοίως ποιείτω.**

Διὰ τῆς μεταδόσεως τοῦ ἐνδύματος καὶ τῆς τροφῆς εἰσηγεῖται τούτοις τὴν ἀντίληψιν τῶν πενήτων, καὶ τὸ κοινωνικὸν καὶ φιλάλληλον. Οὐδὲν οὖν βαρύτερον, τό γε νῦν ἔχον, ἐπιτάττει αὐτοῖς, εἰδώς, ὅτι ὁ Χριστὸς οὐκ εἰς μακρὰν νομοθετήσει τὰς εὐαγγελικὰς ἐντολάς.

12 **Ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι, καὶ εἶπον πρὸς**
13 **αὐτόν· Διδάσκαλε, τί ποιήσομεν; Ὁ δὲ εἶπε πρὸς αὐτούς· Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε.**

Διάταγμα γὰρ εἶχον ἐπὶ ταῖς ἀπαιτήσεσι περὶ ποσότητος καὶ ποιότητος τῶν ἀπαιτουμένων.

14 **Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες· Καὶ ἡμεῖς τί ποιήσομεν; Καὶ εἶπε πρὸς αὐτούς· Μηδένα διασείσητε, μηδὲ συκοφαντήσητε.**

Διέσειον γὰρ καὶ ἐσυκοφάντουν πολλούς, ὡς ἀποστάτας ἢ ἐπιβούλους τοῦ Καίσαρος, δι' αἰσχροκέρδειαν.

14 **Καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.**

Τοῖς σιτηρεσίοις. Καταλλήλως οὖν πᾶσι παρήνεσε, τὴν τελεωτέραν διδασκαλίαν ἀπολελοιπὼς τῷ Χριστῷ.

15 Προσδοκῶντος δὲ τοῦ λαοῦ.

Ὑπολαμβάνοντος. Εἶτα ἑρμηνεύει τὸν λόγον.

15 Καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐ-
τῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χρι-
16 στός· ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασι·

Διαλογιζομένων πάντων, μήποτε αὐτὸς εἴη ὁ Χριστὸς, ὃν οἱ προφῆται καταγγέλλουσιν. Ἐξέπληττε γὰρ αὐτοὺς ὁ λόγος καὶ ἡ πολιτεία αὐτοῦ. Γνοὺς δὲ ὁ Ἰωάννης τὴν τοιαύτην αὐτῶν ὑπόληψιν τῷ διορατικῷ πνεύματι, ἀπεκρίνατο διορθούμενος αὐτήν.

16 Λέγων· Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ
ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν
ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ·

Εἴρηται καὶ περὶ τούτων ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐκεῖ. Ἀνάγνωθι δὲ καὶ ἐν τῷ προοιμίῳ τοῦ κατὰ Μάρκον τὴν ἐξήγησιν τοῦ· Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου (α).

†† Ὁ Ἰωάννης (1) φησίν, *Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ*, κατὰ μὲν τὴν προφανῆ ἔννοιαν δηλοῖ, ὅτι οὐδὲ ἔσχατος δοῦλος αὐτοῦ εἰμὶ ἄξιος τάττεσθαι· κατὰ δὲ τὸ κρυφιώτερον, δύο ὑποδήματα εἰσὶ τοῦ Κυρίου, ἥ τε ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπιδημία, καὶ ἡ ἐκ γῆς ἐπὶ τὸν ᾅδην. Τούτων οὖν τῶν δύο ἐπιδημιῶν τοὺς τρόπους οὐ δύναταί τις λῦσαι, οὐδὲ εἰ κατὰ Ἰωάννην ἐστί. Τίς γὰρ δύναται εἰπεῖν, ἢ πῶς ἐσαρκώθη, ἢ πῶς κατῆλθεν εἰς ᾅδην;

16 Αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ, καὶ πυρί·

Ἐν τῷ δηλωθέντι τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον εὑρήσεις καὶ περὶ τούτου.

(α) Μαρκ. Ά, 7. (1) Τὸ σχόλιον τοῦτο εὕρηκεν ὁ Ἐντένιος ἐν τῷ περισελιδίῳ τοῦ ἑαυτοῦ χειρογράφου· ἀλλ' οὔτε παρὰ τῷ Α οὔτε παρὰ τῷ Β εὑρίσκεται, καὶ μετηνέχθη ἐνταῦθα ἐκ τοῦ Θεοφυλάκτου Σελ. 325. Ε.

[Βαπτίζει (1) Χριστὸς ἐν Πνεύματι μὲν ἁγίῳ, τοὺς πιστούς, ἐν πυρὶ δέ, τοὺς ἀπίστους· καὶ τὸ μέν, ἐν τῷ παρόντι βίῳ· τὸ δέ, ἐν τῷ μέλλοντι.]

17 Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν
ἅλωνα αὐτοῦ· καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθή-
κην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.

Ταῦτα καὶ ὁ Ματθαῖος ἀνέγραψε, καὶ διηρμηνεύθησαν ὁμοίως ἐν τῷ τρίτῳ κεφαλαίῳ αὐτοῦ.

18 Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζε-
το τὸν λαόν.

Πολλὰ καὶ ἕτερα περὶ τοῦ Χριστοῦ εὐηγγελίζετο τῷ λαῷ, παρακαλῶν προσδραμεῖν καὶ πιστεῦσαι αὐτῷ, ἐρχομένῳ ἤδη· ἢ πολλὰ περὶ σωτηρίας αὐτῶν, παρακαλῶν μετανοῆσαι αὐτούς.

19 Ὁ δὲ Ἡρώδης ὁ τετράρχης, ἐλεγχόμενος ὑπ' αὐ-
τοῦ περὶ Ἡρωδιάδος τῆς γυναικὸς Φιλίππου τοῦ
ἀδελφοῦ αὐτοῦ, καὶ περὶ πάντων ὧν ἐποίησε πο-
20 νηρῶν ὁ Ἡρώδης, προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι,
καὶ κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ.

Μετὰ τὸ βαπτισθῆναι τὸν Χριστόν, δηλονότι. Εἴρηται δὲ περὶ τῆς φρουρᾶς τοῦ Ἰωάννου ἐν τῷ εἰκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

21 Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαόν,
καὶ Ἰησοῦ βαπτισθέντος, καὶ προσευχομένου, ἀνεω-
22 χθῆναι τὸν οὐρανόν, καὶ καταβῆναι τὸ πνεῦμα τὸ
ἅγιον σωματικῷ εἴδει, ὡσεὶ περιστερὰν, ἐπ' αὐτόν·
καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι, λέγουσαν· Σὺ εἶ
ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ ηὐδόκησα.

Βαπτισθεὶς προσηύχετο, διδάσκων, ὅτι χρὴ τοὺς βαπτισθέν-

---

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

τας προσεύχεσθαι. *Τὸ Πνεῦμα δὲ τὸ ἅγιον σωματικῷ εἴδει* κατῆλθεν, ἵνα θεαθῇ τοῖς σωματικοῖς ὀφθαλμοῖς τῶν ἀνθρώπων, καὶ εἰς τιμὴν τοῦ σώματος τοῦ Χριστοῦ. Περὶ δὲ τοῦ βαπτίσματος αὐτοῦ πλατύτερον ἔγραψεν ὁ Ματθαῖος ἐν τῷ τρίτῳ κεφαλαίῳ, καὶ ἡρμηνεύθησαν ἐν ἐκείνῳ πάντα κατὰ ῥῆμα.

23 Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα.

Περὶ τούτων εἴρηται καλῶς ἐν ἀρχῇ τοῦ ῥηθέντος τρίτου κεφαλαίου, ἔνθα κεῖται τό· Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ Βαπτιστὴς, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας (α).

[Ὁ τριάκοντα (1) οὗτος ἀριθμὸς χρόνου τε καὶ φύσεως αἰσθητῆς καὶ φύσεως νοητῆς δημιουργὸν καὶ προνοητὴν εἰσάγει τὸν Κύριον· χρόνου μὲν, διὰ τοῦ ἑπτά· ἑβδομαδικὸς γὰρ ὁ χρόνος· φύσεως δὲ αἰσθητῆς, διὰ τοῦ πέντε· πενταδικὴ γὰρ ἡ αἴσθησις· φύσεως δὲ νοητῆς, διὰ τοῦ ὀκτώ· ὑπὲρ γὰρ τὸν χρόνον ἡ τῶν νοητῶν γένεσις. Προνοητὴν δὲ (2), διὰ τοῦ δέκα, διά τε τὴν δεκάδα τῶν ἐντολῶν τὴν εἰς τὸ εὖ εἶναι τοὺς ἀνθρώπους ἐνάγουσαν, καὶ διὰ τὸ ἀρχὴν εἶναι τῆς ἀνθρωπίνης τοῦ Κυρίου προσηγορίας τὸ ἰῶτα. Συνθεὶς οὖν τὸν ἑπτὰ καὶ τὸν πέντε, καὶ τὸν ὀκτὼ καὶ τὸν δέκα (3), τὸν τριάκοντα πληρώσεις, μυστικῶς τὰ δηλωθέντα ὑπαινιττόμενον.]

23 Ἀρχόμενος.

Ἀρχόμενος τῆς εἰς τὸν λαὸν ἀναδείξεως αὐτοῦ, τῆς φανερᾶς πολιτείας αὐτοῦ (4), ἤτοι, τῶν σημείων καὶ τῆς διδασκαλίας.

23 Ὢν, ὡς ἐνομίζετο, υἱὸς Ἰωσήφ.

Ὡς ἐδόκει τοῖς Ἰουδαίοις· ὡς γὰρ ἡ ἀλήθεια εἶχεν, οὐκ ἦν υἱὸς αὐτοῦ. Εἰπὼν δὲ περὶ τοῦ Ἰωσὴφ, ἀναβαίνει καὶ ἐπὶ τὸν πατέρα τοῦ Ἰωσὴφ, εἶτα καὶ ἐπὶ τὸν πάππον αὐτοῦ, καὶ ἐπὶ

(α) Ματθ. Γ', 1. (1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περιθωρίῳ. (2) Νόει τὸ, εἰσάγει. (3) Ἀριθμόν. (4) Ἡ ἑρμηνεία αὕτη ἄριστα δύναται νὰ ἐφαρμοσθῇ εἰς τὴν λέξιν, ἀναδείξεως, Λουκ. Α', 80.

τὸν πρόπαππον,, καὶ ἐπὶ τὸν ἐπίπαππον, καὶ οὕτω λοιπὸν ἀναποδίζων, ἄνεισιν ἄχρι τοῦ Ἀδάμ.

Εἴρηται δὲ περὶ τῆς τοιαύτης γενεαλογίας ἐν τῷ προοιμίῳ τῆς παρὰ τῷ Ματθαίῳ γενεαλογίας, ἔνθα κεῖται τό· Υἱοῦ Δαυῒδ, υἱοῦ Ἀβραάμ (α). Καὶ ζήτησον ἐκεῖ τὴν αἰτίαν.

23 Τοῦ Ἠλεί.

Ἰωσὴφ, *τοῦ υἱοῦ τοῦ Ἡλεί*. Ἀλλὰ πῶς ὁ μὲν Ματθαῖος υἱὸν τοῦ Ἰακὼβ εἶπε τὸν Ἰωσήφ· ὁ δὲ Λουκᾶς νῦν, υἱὸν τοῦ Ἡλεί; Διότι, τοῦ Ἡλεὶ τετελευτηκότος ἄπαιδος, ὁ ὁμομήτριος ἀδελφὸς αὐτοῦ Ἰακὼβ, λαβὼν τὴν ἐκείνου γυναῖκα κατὰ τὸν νόμον, γεγέννηκε τὸν Ἰωσὴφ, καὶ γέγονεν ὁ Ἰωσὴφ νόμῳ μὲν, υἱὸς τοῦ Ἡλεί· φύσει δὲ, υἱὸς τοῦ Ἰακώβ. Καὶ λοιπὸν Ματθαῖος μὲν, τὸν φύσει πατέρα αὐτοῦ ἀνέγραψε· Λουκᾶς δὲ, τὸν νόμῳ. Καὶ ἀμφοτέρωθεν γὰρ ὁ Ἰωσὴφ εὑρίσκεται τὴν ἀναφορὰν τοῦ γένους ἔχων ἐπὶ τὸν Δαυΐδ.

24 Τοῦ Ματθάν.

Τοῦ Ἠλεὶ, τοῦ υἱοῦ τοῦ Ματθάν. Ἀλλὰ πάλιν, πῶς τὸν Ματθὰν ὁ μὲν Ματθαῖος πατέρα λέγει τοῦ Ἰακώβ· ὁ δὲ Λουκᾶς νῦν, πατέρα τοῦ Ἠλεί; Διότι ἄλλος οὗτος ὁ Ματθὰν καὶ ἄλλος ἐκεῖνος. Τὴν γὰρ μητέρα τοῦ Ἠλεὶ καὶ τοῦ Ἰακὼβ, πρῶτα μὲν ἔγημεν ὁ παρὰ τῷ Λουκᾷ Ματθὰν οὗτος, καὶ ἐγέννησε τὸν Ἠλεί· εἶτα, ἀποθανόντος ἐκείνου, χήραν οὖσαν ἠγάγετο ταύτην ὁ παρὰ τῷ Ματθαίῳ Ματθὰν ἐκεῖνος, τῆς αὐτῆς μὲν φυλῆς ὢν, ἑτέρας δὲ συγγενείας, καὶ ἐγέννησε τὸν Ἰακώβ. Λοιπὸν οὖν, Ἠλεὶ καὶ Ἰακὼβ ὁμομήτριοι μὲν, ἑτεροπάτριοι δέ· ἀνάγουσι δὲ τὸ γένος, ὁ μὲν τοῦ Ἠλεὶ πατὴρ, ἐπὶ Ῥησὰ, τὸν υἱὸν τοῦ Ζοροβάβελ· ὁ δὲ τοῦ Ἰακὼβ πατὴρ, ἐπὶ Ἀβιοὺδ, τὸν υἱὸν ὁμοίως τοῦ Ζοροβάβελ, καὶ ἀμφότεροι δὲ ἐπὶ τὸν Ζοροβάβελ, ἀφ' οὗ τὰ δύο γένη ταῦτα ἐσχίσθησαν. Καὶ ἄλλα δὲ τοιαῦτά εἰσιν ἐν ταῖς τῶν εὐαγγελιστῶν γενεαλογίαις.

(α) Ματθ. Α', 1.

24 Τοῦ Λευὶ, τοῦ Μελχὶ, τοῦ Ἰαννὰ, τοῦ Ἰωσὴφ,
25 τοῦ Ματταθίου, τοῦ Ἀμὼς, τοῦ Ναοὺμ, τοῦ Ἐσλὶ,
26 τοῦ Ναγγαὶ, τοῦ Μαὰθ, τοῦ Ματταθίου, τοῦ Σε-
27 μεῒ, τοῦ Ἰωσὴφ, τοῦ Ἰούδα, τοῦ Ἰωαννᾶ, τοῦ Ῥη-
σὰ, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιὴλ, τοῦ Νηρί.

Τὸν Σαλαθιὴλ ὁ μὲν Ματθαῖος, υἱὸν τοῦ Ἰεχονίου ὠνόμασεν, ὡς κατὰ φύσιν υἱὸν αὐτοῦ· ὁ δὲ Λουκᾶς νῦν, υἱὸν τοῦ Νηρὶ, ὡς κατὰ νόμον. Ἀνάγουσι δὲ καὶ οὗτοι τὸ γένος, ὁ μὲν Νηρὶ, ἐπὶ Νάθαν, τὸν υἱὸν τοῦ Δαυὶδ· ὁ δὲ Ἰεχονίας, ἐπὶ Σολομῶντα, τὸν υἱὸν ὁμοίως τοῦ Δαυὶδ, καὶ ἀμφότεροι δὲ πάλιν ἐπὶ τὸν Δαυίδ.

28 Τοῦ Μελχὶ, τοῦ Ἀδδὶ, τοῦ Κωσὰμ, τοῦ Ἐλμω-
29 δὰμ, τοῦ Ἢρ, τοῦ Ἰωσὴ, τοῦ Ἐλιέζερ, τοῦ Ἰω-
30 ρεὶμ, τοῦ Ματθὰτ, τοῦ Λευὶ, τοῦ Συμεὼν, τοῦ
Ἰούδα, τοῦ Ἰωσὴφ, τοῦ Ἰωνὰν, τοῦ Ἐλιακεὶμ,
31 τοῦ Μελεᾶ, τοῦ Μαϊνὰν, τοῦ Ματταθὰ, τοῦ Να-
32 θὰν, τοῦ Δαυὶδ, τοῦ Ἰεσσαὶ, τοῦ Ὠβὴδ, τοῦ Βοὸζ,
33 τοῦ Σαλμὼν, τοῦ Ναασσὼν, τοῦ Ἀμιναδὰβ, τοῦ
34 Ἀρὰμ, τοῦ Ἐσρὼμ, τοῦ Φαρὲς, τοῦ Ἰούδα, τοῦ
Ἰακὼβ, τοῦ Ἰσαὰκ, τοῦ Ἀβραὰμ, τοῦ Θάρα, τοῦ
35 Ναχὼρ, τοῦ Σεροὺχ, τοῦ Ῥαγαῦ, τοῦ Φαλὲκ, τοῦ
36 Ἐβὲρ, τοῦ Σαλὰ, τοῦ Καϊνὰν, τοῦ Ἀρφαξὰδ, τοῦ
37 Σὴμ, τοῦ Νῶε, τοῦ Λάμεχ, τοῦ Μαθουσάλα, τοῦ
Ἐνὼχ, τοῦ Ἰαρὲδ, τοῦ Μαλελεὴλ, τοῦ Καϊνὰν,
38 τοῦ Ἐνὼς, τοῦ Σὴθ, τοῦ Ἀδάμ.

Ἀπὸ τοῦ νέου Ἀδὰμ ἀρξάμενος, ἀνῆλθε γενεαλογῶν ἄχρι τοῦ παλαιοῦ Ἀδάμ. Τὴν αἰτίαν δὲ μεμάθηκας ἐν τῷ προοιμίῳ τῆς παρὰ τῷ Ματθαίῳ γενεαλογίας, ἔνθα κεῖται τό· Υἱοῦ Δαυὶδ, υἱοῦ Ἀβραάμ (α).

(α) Ματθ. Α', 1.

38 Τοῦ θεοῦ.

Τοῦ Ἀδὰμ, τοῦ ἐκ τοῦ θεοῦ. Τοῦ Ἀδὰμ γὰρ οὐκ ἔστι πατὴρ ἄνθρωπος, ἀλλ' ὁ θεὸς ἔπλασεν αὐτόν. Ὅρα δὲ, ὅτι ἀπὸ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ ἀρξάμενος, εἰς τὴν θεότητα αὐτοῦ τὸν λόγον τῆς γενεαλογίας ἀνήγαγε, δείξας τὸν Χριστὸν ἠργμένον μὲν, ὡς ἄνθρωπον· ἄναρχον δὲ, ὡς θεόν.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ πειρασμοῦ τοῦ Σωτῆρος.

ΚΕΦ. IV, 1 Ἰησοῦς δὲ πνεύματος ἁγίου πλήρης
ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου· καὶ ἤγετο ἐν τῷ
2 πνεύματι εἰς τὴν ἔρημον, ἡμέρας τεσσαράκοντα
πειραζόμενος ὑπὸ τοῦ διαβόλου.

Π*λήρης Πνεύματος ἁγίου*, ἵνα μάθωμεν, ὅτι Πνεῦμα ἅγιον λαμβάνομεν ἀπὸ τοῦ θείου βαπτίσματος. Ἀνάγνωθι δὲ καὶ ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου (α).

Χρὴ δὲ γινώσκειν, ὅτι ἡ ἀνθρωπότης τοῦ Σωτῆρος, ὥσπερ διδάσκαλον εἶχε τὸ Πνεῦμα τὸ ἅγιον, οὐχ ὡς τῆς ἡνωμένης αὐτῷ θεότητος οὐκ ἀρκούσης· ἀλλὰ, καθάπερ εὐδοκίᾳ τοῦ πατρὸς ἐνηνθρώπησεν, οὕτω καὶ συνεργίᾳ τοῦ ἁγίου Πνεύματος ἐτελειοῦτο, ἵνα τὸ ὁμοφυὲς αὐτῶν δειχθῇ καὶ φανεράλληλον (1).

2 Καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις·
3 καὶ συντελεσθεισῶν αὐτῶν, ὕστερον ἐπείνασε. Καὶ

(α) Ματθ. Δ', 1. (1) καὶ φεράλληλον. Β. Τοῦτο μὲν παρὰ τὸ, φέρειν, ἐκεῖνο δὲ παρὰ τὸ, φανεροῦν. Ἐὰν τὸ, φεράλληλον, κριθῇ ὡς ὀρθὸν, τὸ, φέρειν, ἐκληπτέον ὡς Ἑβρ. Α. 3.: Ἡ ἁγία Τριὰς φέρει ἑαυτὴν, τ. ε. ἐπαρκὴς, αὐτάρκης ἐστὶν αὐτὴ ἑαυτῇ. Ἐὰν δὲ τὸ, φανεράλληλον: Ἡ ἁγία Τριὰς αὐτὴ ἑαυτὴν φανεροῖ τοῖς ἀνθρώποις.

εἶπεν αὐτῷ ὁ διάβολος· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ
4 τῷ λίθῳ τούτῳ, ἵνα γένηται ἄρτος. Καὶ ἀπεκρίθη
Ἰησοῦς πρὸς αὐτὸν, λέγων· Γέγραπται· «Ὅτι οὐκ
ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐπὶ παν-
τὶ ῥήματι Θεοῦ.»

Ἐκεῖ καὶ ταῦτα πάντα κατὰ λόγον ἡρμηνεύθησαν.

5 Καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν,
ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης
6 ἐν στιγμῇ χρόνου. Καὶ εἶπεν αὐτῷ ὁ διάβολος·
Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν, καὶ τὴν
δόξαν αὐτῶν· ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέ-
7 λω, δίδωμι αὐτήν. Σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώ-
8 πιόν μου, ἔσται σου πᾶσα. Καὶ ἀποκριθεὶς αὐτῷ,
εἶπεν ὁ Ἰησοῦς· Ὕπαγε ὀπίσω μου, σατανᾶ· γέ-
γραπται γάρ· «Προσκυνήσεις Κύριον τὸν Θεόν σου,
καὶ αὐτῷ μόνῳ λατρεύσεις.»

Καὶ περὶ τούτων πάντων ἐν ἐκείνῳ τῷ κεφαλαίῳ σαφέστατα εἴρηται, ἔνθα κεῖται τό· Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν (α).

9 Καὶ ἤγαγεν αὐτὸν εἰς Ἱερουσαλὴμ, καὶ ἔστησεν
αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ· καὶ εἶπεν αὐτῷ·
Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κά-
10 τω· γέγραπται γάρ· «Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐν-
11 τελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε· καὶ ἐπὶ
χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν
12 πόδα σου.» Καὶ ἀποκριθεὶς, εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ὅτι
εἴρηται· «Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.»

Ὁμοίως καὶ ταῦτα ἐν τῷ τοιούτῳ κεφαλαίῳ προσηκόντως

(α) Ματθ. Δ', 8.

ἐσαφηνίσθησαν, ὅπου τό· Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν (α).

13 Καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος,
ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ.

Ἐῤῥήθη καὶ περὶ τούτου ἐν αὐτῷ, καὶ ζήτησον τό· Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος (β).

14 Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύ-
ματος εἰς τὴν Γαλιλαίαν·

Ἐν τῇ δυνάμει τῆς ἡνωμένης αὐτῷ θεότητος, ἢ καὶ τοῦ ἁγίου πνεύματος, ἵνα μάθωμεν, ὅτι ὁ νικήσας τὸν διάβολον, λοιπὸν ἐνδυναμοῦται τῷ θείῳ πνεύματι πρὸς τὸ ποιεῖν σημεῖα.

14 Καὶ φήμη ἐξῆλθε καθ' ὅλης τῆς περιχώρου περὶ
15 αὐτοῦ. Καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς
αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων.

Εὐφημούμενος ὑπὸ τῶν ἀπονήρων ὄχλων.

16 Καὶ ἦλθεν εἰς τὴν Ναζαρὲτ, οὗ ἦν τεθραμμένος·

Εἴρηται περὶ ταύτης ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, μετὰ τὸ τέλος τῶν παραβολῶν.

16 Καὶ εἰσῆλθε, κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῶν
σαββάτων, εἰς τὴν συναγωγήν· καὶ ἀνέστη ἀναγνῶναι.

Προτραπεὶς ὑπὸ τῶν διδασκάλων τοῦ λαοῦ, ὡς καὶ αὐτὸς διδάσκαλος· ἢ ἵνα γνοῖεν, εἰ δύναται ἀναγινώσκειν, μὴ μαθὼν γράμματα.

17 Καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου·
καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον, οὗ ἦν
18 γεγραμμένον· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ·

Κατ' οἰκονομίαν εὗρεν εὐθὺς τὰ περὶ τῆς θεότητος αὐτοῦ

(α) Ματθ. Δ', 5. (β) Ματθ. Δ', 11.

ῥητά· διὰ τοῦ προφήτου γὰρ αὐτὸς ταῦτα προανεφώνησεν. Ὡς ἄνθρωπος δέ φησιν, ὅτι Θεότης Κυρίου, ἤτοι, τοῦ υἱοῦ, ἐπ' ἐμὲ τὸν Ἰησοῦν, τουτέστιν, Ὁ θεὸς ἥνωταί μοι· πνεῦμα γὰρ, τὴν θεότητα τοῦ υἱοῦ νόησον κἀνταῦθα. *Πνεῦμα δὲ Κυρίου ἐπ' ἐμὲ*, διὰ τὸ σωθῆναι τοὺς ἀνθρώπους· τοῦτο γὰρ ἐλλεῖπον συνεξακούεται, καὶ δῆλον ἀπὸ τοῦ ἐφεξῆς ῥητοῦ·

18 Οὗ εἵνεκεν ἔχρισέ με·

Οὗ *εἵνεκεν*, οὗ χάριν, *ἔχρισέ με* τὸν ἄνθρωπον ὁ θεός· ἔχρισε δέ με, οὐκ ἐλαίῳ, καθάπερ τοὺς βασιλεῖς ἔχριον, ἀλλὰ τῇ θεότητι.

18 Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με·

Ὁ πατὴρ, δηλονότι. *Πτωχοὺς* δὲ λέγει, τοὺς ἐξ ἐθνῶν, ὡς μὴ ἔχοντας τὸν πλοῦτον τῆς εὐσεβείας, καὶ γυμνοὺς παντὸς ἀγαθοῦ.

Ἢ καὶ τοὺς Ἰουδαίους, πτωχοὺς ὄντας ἐν ἀρετῇ, οἷς ὁμοῦ πᾶσιν εὐηγγελίσατο τὴν εὐσέβειαν, καὶ τὴν ἐνάρετον πολιτείαν, διὰ τοῦ εὐαγγελίου.

18 Ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν·

Τοὺς αὐτοὺς, ὧν ἡ καρδία συνετρίβη τῷ βάρει τῆς ἁμαρτίας.

19 Κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν·

Αἰχμαλώτοις μὲν, τοῖς αἰχμαλωτισθεῖσι τὴν ψυχὴν ὑπὸ τοῦ διαβόλου· *τυφλοῖς* δὲ, τοῖς τυφλωθεῖσι τὸν νοῦν ὑπὸ τῶν παθῶν. Ἐκήρυττε δὲ τοῖς μὲν, ἐλευθερίαν· τοῖς δὲ, σύνεσιν, ὅτε παρεδίδου τὰς εὐαγγελικὰς ἐντολάς. Αὗται γάρ εἰσι τὸ τὸ κήρυγμα τοῦ Σωτῆρος.

19 Ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει·

Ἀπολῦσαι ἐν ἐλευθερίᾳ τοὺς τεθραυσμένους τῇ τυραννίδι τῶν δαιμόνων.

19 Κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν.»

Ἐνιαυτὸν μὲν εἶπε, τὸν καιρὸν, καθ' ὃν ἐδίδασκε καὶ ἐθαυματούργει· *δεκτὸν* δὲ αὐτὸν ὠνόμασεν, ὡς εὐαπόδεκτον τῷ πατρὶ ὑπὲρ πάντα ἐνιαυτόν. Ἐν αὐτῷ γὰρ τῷ καιρῷ ἡ σωτηρία πάντων τῶν ἀνθρώπων ἐβλάστησεν, ἤτοι, τὸ σωτήριον εὐαγγέλιον. Ἐκήρυττε δὲ τὸν ἐνιαυτὸν τοῦτον, μετὰ τὸ πειρασθῆναι καὶ νικῆσαι τὸν πειραστὴν, καὶ ὑποστρέψαι. *Ἀπὸ τότε γάρ*, φησιν, *ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, καὶ λέγειν· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν* (α). Τὸ γὰρ, *ἤγγικε*, καιροῦ σημαντικόν ἐστι.

20 Καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε·

Τῷ ὑπηρέτῃ τῶν διδασκάλων.

20 Καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ.

Ἵνα ἀκούσωσι, πῶς ἑρμηνεύει τὰ ἀναγνωσθέντα ῥητά.

21 Ἤρξατο δὲ λέγειν πρὸς αὐτούς· Ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.

Ἡ *γραφὴ αὕτη*, ἡ ἐν τοῖς ὠσὶν ὑμῶν· τὸ δὲ, *σήμερον*, ἀντὶ τοῦ, ἐν ταύταις ταῖς ἡμέραις. Τοῦτο δὲ εἰπὼν, ἐδήλωσεν, ὅτι αὐτός ἐστι, περὶ οὗ τὰ ἀναγνωσθέντα.

22 Καὶ πάντες ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ·

Εἶπε γὰρ καὶ ἄλλα θαυμαστὰ, ἐφ' οἷς ἐθαύμαζον, καὶ ἐμαρτύρουν αὐτῷ χάριν θείαν.

(α) Ματθ. Δ', 17.

22 **Καὶ** ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ;

Ζήτησον ἐν τῷ δηλωθέντι εἰκοστῷ τετάρτῳ κεφαλαίῳ καὶ περὶ τούτου, πλατύτερον ἐκεῖσε κειμένου.

23 *Καὶ* εἶπε πρὸς αὐτούς· **Πάντως** ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· Ἰατρὲ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναοὺμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου.

Παραβολὴν ἐνταῦθα, τὴν παροιμίαν ὠνόμασε· παροιμία γὰρ ἦν λεγομένη ἐπὶ τῶν νοσούντων ἰατρῶν, *Ἰατρὲ, θεράπευσον σεαυτόν*. Εἶπε δὲ τοῦτο, γνοὺς αὐτοὺς θέλοντας ἰδεῖν σημεῖα. Φησὶν οὖν· *Πάντως ἐρεῖτέ μοι· Ἰατρὲ, θεράπευσον σεαυτὸν*, ἤγουν, τὴν πατρίδα σου, νοσοῦσαν οὐ μόνον ταῖς καχεξίαις τοῦ σώματος, ἀλλὰ καὶ τῇ ἀπιστίᾳ τῆς ψυχῆς, καὶ μὴ δυναμένην πιστεύειν, οἷς ἀκούει γινομένοις παρὰ σοῦ σημείοις, εἰ μὴ καὶ δι᾽ ὄψεως τοιαῦτα θεάσηται.

24 Εἶπε δέ· Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ.

Ἐν τῷ προῤῥηθέντι εἰκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ἀκριβῶς ἐῤῥήθη καὶ περὶ τούτου.

25 **Ἐπ᾽** ἀληθείας δὲ λέγω ὑμῖν· πολλαὶ χῆραι ἦσαν
ἐν ταῖς ἡμέραις Ἠλιοῦ ἐν τῷ Ἰσραὴλ, ὅτε ἐκλεί-
σθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἓξ, ὡς ἐγέ-
26 νετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· καὶ πρὸς
οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας, εἰ μὴ εἰς Σάρε-
πτα τῆς Σιδῶνος, πρὸς γυναῖκα χήραν.

Ἐμφαίνει διὰ τοῦ παραδείγματος, ὅτι οὐκ εἰσὶν ἄξιοι σημείων, διὰ τὴν ἀνίατον ἀπιστίαν αὐτῶν. Ὥσπερ γὰρ ὁ Ἠλίας τότε, πολλῶν χηρῶν οὐσῶν ἐν τοῖς Ἰσραηλίταις, πρὸς οὐδεμίαν δὲ αὐτῶν ἐπέμφθη παρὰ θεοῦ, ὡς ἀναξίων τῆς ἐπιδημίας αὐτοῦ,

πρὸς μόνην δὲ τὴν οἰκοῦσαν ἐν Σάρεπτα (1), πόλει τῆς Σιδῶνος χώρας, ἦλθε, διὰ τὸ σεμνὸν αὐτῆς, καὶ πρὸς ἀρετὴν ἕτοιμον, καίτοι ἀλλόφυλον οὖσαν, καὶ ἐθαυματούργησε παρ᾽ αὐτῇ, ὡς ἡ τρίτη τῶν Βασιλειῶν διέξεισιν (α)· οὕτω καὶ αὐτὸς πρὸς οὐδένα μὲν τῶν ἀναξίων ἔρχεται, ποιήσων σημεῖον, διὰ τὸ μὴ μόνον ἀκερδὲς, ἀλλὰ καὶ βλασφημίας παραίτιον, πρὸς μόνους δὲ τοὺς μεταβληθησομένους καὶ ὠφεληθησομένους.

[Οὐκοῦν (2) αὕτη ἡ χήρα ἀλλόφυλος, ὡς σὺ εἴρηκας; ἀλλὰ μᾶλλον ἐκ τῆς λευϊτικῆς φυλῆς ἦν, καὶ μήτηρ τοῦ προφήτου Ἰωνᾶ, ἣν λαβὼν μετὰ τὸν καιρὸν τῆς αὐτοῦ προφητείας, κατῴκησεν (3) ἐν γῇ ἀλλοφύλων, αἰσχυνόμενος τοὺς αὐτοῦ ὁμοφύλους, ἐν τῷ διαψευσθῆναι τὴν αὐτοῦ προφητείαν, ἣν προείρηκε περὶ τῆς Νινευῒ, ὡς ἡ τρίτη τῶν Βασιλειῶν διέξεισιν.]

27 Καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίου τοῦ προφήτου ἐν τῷ Ἰσραήλ· καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη, εἰ μὴ Νεεμὰν ὁ Σύρος.

Τὸ αὐτὸ καὶ διὰ τοῦ παρόντος ἐνέφηνε παραδείγματος.

28 Καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ,
29 ἀκούοντες ταῦτα. Καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν
ἔξω τῆς πόλεως· καὶ ἤγαγον αὐτὸν ἕως ὀφρύος
τοῦ ὄρους, ἐφ᾽ οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς
τὸ κατακρημνίσαι αὐτόν.

Ἔδειξαν ἐντεῦθεν ἀναξίους σημείων ἑαυτοὺς, καὶ τὸν περὶ τούτου λόγον τοῦ Σωτῆρος ἐβεβαίωσαν, ἀφ᾽ ὧν ἐπεχείρησαν.

30 Αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν, ἐπορεύετο.

Φρουρούμενος τῇ ἡνωμένῃ αὐτῷ θεότητι.

31 Καὶ κατῆλθεν εἰς Καπερναοὺμ, πόλιν τῆς Γαλιλαίας·

---

(1) Σαρεφθά. Β. (α) Γ′ Βασιλ. ΙΖ′, 9. καὶ ἑξ. (2) Ταῦτα παρὰ χειρὸς πάντη νεωτέρας παρὰ τῷ Α· διορθοῦται δὲ δι᾽ αὐτῶν τὸ προηγούμενον σχόλιον. (3) Νόει τὸ, μετ᾽ αὐτῆς.

32 καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι. Καὶ
ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ὅτι ἐν ἐξουσίᾳ
ἦν ὁ λόγος αὐτοῦ.

Ἔγραψε τοῦτο καὶ Ματθαῖος ἐν τῷ τέλει τοῦ πέμπτου κεφαλαίου, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Περὶ τοῦ ἔχοντος πνεῦμα δαιμονίου.

33 Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα
δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκραξε φωνῇ μεγάλῃ,
34 λέγων· Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες
ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ.

Ταῦτα καὶ Μάρκος ἱστόρησεν ἐν τῷ πρώτῳ κεφαλαίῳ, καὶ ἡρμηνεύθησαν ἐν ἐκείνῳ κατὰ λόγον.

35 Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων· Φιμώθητι,
καὶ ἔξελθε ἐξ αὐτοῦ. Καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς
μέσον, ἐξῆλθεν ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν.

Ὁμοίως καὶ ταῦτα.

36 Καὶ ἐγένετο θάμβος ἐπὶ πάντας· καὶ συνελάλουν
πρὸς ἀλήλλους, λέγοντες· Τίς ὁ λόγος οὗτος, ὅτι
ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις
πνεύμασι, καὶ ἐξέρχονται;

Παραπλησίως καὶ ταῦτα.

37 Καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τό-
πον τῆς περιχώρου.

Εἴρηται περὶ τούτου ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Περὶ τῆς πενθερᾶς Πέτρου.

38 Ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς, εἰσῆλθεν εἰς τὴν
οἰκίαν Σίμωνος· ἡ πενθερὰ δὲ τοῦ Σίμωνος ἦν
συνεχομένη πυρετῷ μεγάλῳ· καὶ ἠρώτησαν αὐτὸν
39 περὶ αὐτῆς. Καὶ ἐπιστὰς ἐπάνω αὐτῆς, ἐπετίμησε
τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν· παραχρῆμα δὲ ἀνα-
στᾶσα διηκόνει αὐτοῖς.

Ἠρώτησαν μέν, ἀντὶ τοῦ, παρεκάλεσαν· ἐπετίμησε δέ, ἀντὶ τοῦ, ἐπέταξε.

Τὰ δὲ περὶ τῆς πενθερᾶς τοῦ Πέτρου σαφῶς ἡρμηνεύθησαν ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.

40 Δύνοντος δὲ τοῦ ἡλίου, πάντες ὅσοι εἶχον ἀσθε-
νοῦντας νόσοις ποικίλαις, ἤγαγον αὐτοὺς πρὸς αὐ-
τόν· ὁ δέ, ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθείς,
ἐθεράπευσεν αὐτούς.

Εἴρηται περὶ τούτου ἐν ἀρχῇ τοῦ ἐννάτου κεφαλαίου (1) τοῦ κατὰ Ματθαῖον.

41 Ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν, κράζοντα
καὶ λέγοντα· Ὅτι σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ
Θεοῦ. Καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδει-
σαν τὸν Χριστὸν αὐτὸν εἶναι.

Ἐπιτιμῶν, ἀντὶ τοῦ, ἐπιστομίζων. Ἀνάγνωθι δὲ ἐν τῷ τρίτῳ

(1) Ἐν τῷ ἐννάτῳ κεφαλαίῳ, παρὰ τῷ Β.

κεφαλαίῳ τοῦ κατὰ Μάρκον τὴν ἐξήγησιν τοῦ· Καὶ ἐπιτιμῶν οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια (α).

42 Γενομένης δὲ ἡμέρας, ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον
τόπον·

Εἴρηται καὶ περὶ τούτου ἐν αὐτῷ.

42 Καὶ οἱ ὄχλοι ἐπεζήτουν αὐτὸν, καὶ ἦλθον ἕως αὐτοῦ·
καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν.

Ἐν ἐκείνῳ καὶ περὶ τούτων ἐῤῥήθη.

43 Ὁ δὲ εἶπε πρὸς αὐτούς· Ὅτι καὶ ταῖς ἑτέραις πό-
λεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ Θεοῦ·
44 ὅτι εἰς τοῦτο ἀπέσταλμαι. Καὶ ἦν κηρύσσων ἐν ταῖς
συναγωγαῖς τῆς Γαλιλαίας.

Ὁμοίως καὶ περὶ τούτων πάντων.

ΚΕΦ. V, 1 Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι
αὐτῷ τοῦ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς ἦν
2 ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ· καὶ εἶδε δύο
πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην·

Τὸ μὲν Σίμωνος καὶ Ἀνδρέου· τὸ δὲ Ἰακώβου καὶ Ἰωάννου. Κοινωνοὶ γὰρ ἦσαν τῆς ἁλείας, ὡς προϊόντες εὑρήσομεν.

2 Οἱ δὲ ἁλιεῖς, ἀποβάντες ἀπ' αὐτῶν, ἀπέπλυναν τὰ
δίκτυα.

Σίμων, καὶ Ἀνδρέας, καὶ Ἰάκωβος, καὶ Ἰωάννης. Καὶ μὴν ὁ Ματθαῖος ἐν ἀρχῇ τοῦ κηρύγματός φησιν αὐτοὺς καταλιπεῖν τὰ ἁλιευτικὰ πάντα, καὶ ἀκολουθῆσαι τῷ Χριστῷ. Ἀλλὰ τὴν μὲν ἡμέραν ἠκολούθουν αὐτῷ· τὴν δὲ νύκτα τῇ ἁλείᾳ ἐσχόλαζον, οὔπω γνησιώτερον οἰκειωθέντες διὰ τὸ αἰσχυντηλὸν αὐ-

(α) Μαρκ. Α', 34, Τὸ δὲ, ἐπιτιμῶν, οὔτε παρὰ τῷ Μάρκῳ ἀναγινώσκεται, οὔτε ὁ Ἐντένιος εὕρηκεν αὐτὸ ἐν τῷ χειρογράφῳ αὐτοῦ.

τῶν. Εἰκὸς δὲ, μίαν ἢ καὶ δύο νύκτας τοῦτο ποιῆσαι, καὶ μὴ περαιτέρω.

3 Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος,
ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον·

Ἠρώτησεν, ἀντὶ τοῦ, προσέταξε.

3 Καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους.

Ἐδίδασκεν ἐκ τοῦ πλοίου, ἵνα μὴ ἐπιπίπτοιεν αὐτῷ διδάσκοντι, καὶ ἵνα πάντας ὁρᾷ, κατὰ πρόσωπον ἑστῶτας. Τοῦτο δὲ καὶ πάλιν πεποίηκεν, ὡς εἶπε Ματθαῖος ἐν τῷ τέλει τοῦ εἰκοστοῦ τρίτου κεφαλαίου.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς ἄγρας τῶν ἰχθύων.

4 Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα·
Ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα
ὑμῶν εἰς ἄγραν.

Γινώσκων, ὅτι δι' ὅλης τῆς νυκτὸς οὐδὲν ἤγρευσαν, ἐπιτρέπει τούτοις, χαλάσαι τὰ δίκτυα νῦν, ἵνα γνόντες τὴν δύναμιν αὐτοῦ βεβαιότερον, πλείονα πίστιν αὐτοῦ προσλάβοιεν, καὶ λοιπὸν ἀποστάντες τέλεον τῆς ἁλείας, διηνεκῶς ἀκολουθῶσιν αὐτῷ.

5 Καὶ ἀποκριθεὶς ὁ Σίμων, εἶπεν αὐτῷ· Ἐπιστάτα, δι'
ὅλης τῆς νυκτὸς κοπιάσαντες, οὐδὲν ἐλάβομεν· ἐπὶ
δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον.

Ἐπιστάτης λέγεται ὁ διδάσκαλος.

6 Καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν πλῆθος ἰχθύων
7 πολύ· διεῤῥήγνυτο δὲ τὸ δίκτυον αὐτῶν. Καὶ κατέ-
νευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ

ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον, καὶ ἔπλη-
σαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά.

Διὰ νεύματος προσεκαλέσαντο αὐτούς, μὴ δυνάμενοι λαλῆσαι ἀπὸ τῆς ἐκπλήξεως καὶ τοῦ φόβου. *Μετόχους* δὲ λέγει, τοὺς κοινωνούς.

8 Ἰδὼν δὲ Σίμων Πέτρος, προσέπεσε τοῖς γόνασι
τοῦ Ἰησοῦ, λέγων· Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ
ἁμαρτωλός εἰμι, Κύριε.

Συνῆκεν, ὅτι τὸ πρόσταγμα αὐτοῦ παραδόξως ἐνήργησε, καὶ ὅτι θεῖός ἐστι καὶ ὑπερφυὴς ἄνθρωπος, καὶ λοιπὸν ἀνάξιον ἑαυτὸν λογισάμενος, ὑπὸ πολλῆς μάλα τῆς εὐλαβείας καὶ συστολῆς, παρῃτεῖτο τὴν παρουσίαν αὐτοῦ, φοβηθείς, μήποτε κινδυνεύσῃ, τολμήσας ὑποδέξασθαι τοιοῦτος τοιοῦτον.

9 Θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν
αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων, ᾗ συνέλαβον·

Εἰκὸς γάρ, ἔχειν σὺν αὐτῷ μὴ μόνον τὸν ἀδελφὸν Ἀνδρέαν, ἀλλὰ καὶ μισθωτούς, ὡς καὶ Ἰάκωβος καὶ Ἰωάννης, καθὼς ὁ Μάρκος ἐδίδαξε πρὸς τῷ τέλει τοῦ προοιμίου αὐτοῦ.

10 Ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβε-
δαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. Καὶ εἶπε πρὸς
τὸν Σίμωνα ὁ Ἰησοῦς· Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀν-
θρώπους ἔσῃ ζωγρῶν.

Η γὰρ δαψιλὴς ἄγρα τῶν ἰχθύων τύπος ἦν τῆς δαψιλοῦς ἄγρας τῶν ἀνθρώπων, καὶ προμήνυμα τοῦ πολλοῦ πλήθους τῶν μελλόντων σαγηνευθῆναι παρὰ των ἀποστόλων, ὧν τὴν αἰσθητὴν ἁλείαν, εἰς νοητὴν μετέθηκεν ὁ Χριςός. *Ἀπὸ τοῦ νῦν γάρ*, φησι, μεταβληθείσης σοι τῆς ἁλιευτικῆς, *ἀνθρώπους ἔσῃ θηρεύων*. Θεωρητέον δὲ καὶ κατὰ ἀναγωγὴν τὰ τῆς παρούσης ὑποθέσεως. Πρὸ μὲν τῆς ἐπιδημίας τοῦ Χριστοῦ, νὺξ ἦν πλάνης καὶ ἀγνοίας τῆς ὀρθῆς πίστεως, ἐν ᾗ οἱ προφῆται κοπιάσαντες,

οὐδένα ἔλαβον πειθήνιον, κακούργων ὄντων τῶν λογικῶν ἐκείνων ἰχθύων καὶ φευγόντων· ὅτε δὲ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, ὁ φωτίζων τὰς ψυχὰς τῶν ἀνθρώπων, τότε παρὰ τῶν ἀποστόλων ἐχαλάσθη τὰ δίκτυα τῆς διδασκαλίας τοῦ εὐαγγελικοῦ κηρύγματος, καὶ συνεκλείσθη πλῆθος λογικῶν ἰχθύων πολύ, ἀγέλαι ἐθνῶν. Μέτοχοι δὲ καὶ κοινωνοὶ τῆς ἀποστολικῆς ἄγρας, οἱ ἐπίσκοποι καὶ διδάσκαλοι τῶν κατὰ τόπους ἐκκλησιῶν, οἳ συλλαμβάνονται τοῦ πόνου τοῖς ἀποστόλοις.

11 Καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες
ἅπαντα, ἠκολούθησαν αὐτῷ.

Νῦν ὁλοτελῶς ἠκολούθησαν αὐτῷ.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τοῦ λεπροῦ.

12 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων,
καὶ ἰδού, ἀνὴρ πλήρης λέπρας· καὶ ἰδὼν τὸν Ἰη-
σοῦν, πεσὼν ἐπὶ πρόσωπον, ἐδεήθη αὐτοῦ, λέγων·
Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

Εἴρηται περὶ τούτου ἐν τῷ ἕκτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

13 Καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, εἰπών· Θέ-
λω, καθαρίσθητι. Καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν
14 ἀπ' αὐτοῦ. Καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ
εἰπεῖν·

Ἐκεῖ καὶ ταῦτα διηρμηνεύθησαν.

14 Ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσ-
ένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προσ-
έταξε Μωσῆς.

Ἀλλ' ἀπελθών, φησι, καὶ τὰ ἑξῆς. Λείπει γὰρ τό, *φησί*,

ἔξωθεν λαμβανόμενον. Εὑρήσεις δὲ καὶ τὴν τούτων ἐξήγησιν ἐν τῷ ῥηθέντι κεφαλαίῳ.

14 Εἰς μαρτύριον αὐτοῖς.

Ὁμοίως καὶ τὴν τοῦ παρόντος ῥητοῦ.

15 Διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ· καὶ συνήρ-
χοντο ὄχλοι πολλοὶ ἀκούειν, καὶ θεραπεύεσθαι ὑπ'
16 αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν. Αὐτὸς δὲ ἦν ὑπο-
χωρῶν ἐν ταῖς ἐρήμοις καὶ προσευχόμενος.

Χρὴ γὰρ καὶ ἡμᾶς κατορθοῦντάς τι, φεύγειν μὲν, ὑπὲρ τοῦ μὴ παρὰ τῶν ἀνθρώπων εὐφημεῖσθαι· προσεύχεσθαι δὲ, ὑπὲρ τοῦ διαφυλαχθῆναι ἡμῖν τὸ χάρισμα.

17 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν
διδάσκων·

Πρὸ τοῦ, *Καὶ αὐτὸς ἦν διδάσκων*, περιττόν ἐστι τὸ, *Καί*· τῇ γὰρ τῶν Ἑβραίων διαλέκτῳ καὶ τοῦτο σύνηθες· πολλαχοῦ δὲ τοῦτο παρὰ τῷ Λουκᾷ. Μάρκος δὲ προσέθηκε, καὶ ποῦ ἦν διδάσκων τότε, ὅτι *ἐν οἰκίᾳ* (α).

17 Καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκα-
λοι, οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς
Γαλιλαίας, καὶ Ἰουδαίας, καὶ Ἱερουσαλήμ·

Πανταχόθεν ἐλθόντες, διὰ τὴν φήμην αὐτοῦ.

17 Καὶ δύναμις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς.

Δύναμις θεοῦ ἦν παρ' αὐτῷ, εἰς τὸ ἰᾶσθαι τοὺς ὄχλους. *Δύναμιν* δὲ *Κυρίου* εἶπεν αὐτὴν, διὰ τὸ συνεχὲς καὶ ἐξουσιαστικὸν τῆς ἰάσεως.

(α) Μάρκ. Β', 1.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τοῦ παραλυτικοῦ.

18 Καὶ ἰδοὺ, ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον,
ὃς ἦν παραλελυμένος· καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν,
καὶ θεῖναι ἐνώπιον αὐτοῦ.

Εἴρηται περὶ τούτου σαφῶς ἐν τῷ τρισκαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

19 Καὶ μὴ εὑρόντες ποίας εἰσενέγκωσιν αὐτὸν, διὰ
τὸν ὄχλον·

Ποίας ὁδοῦ, διὰ ποίας εἰσόδου.

19 Ἀναβάντες ἐπὶ τὸ δῶμα, διὰ τῶν κεράμων καθῆκαν
αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν
20 τοῦ Ἰησοῦ. Καὶ ἰδὼν τὴν πίστιν αὐτῶν, εἶπεν αὐτῷ·
Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

Ἐν ἐκείνῳ καὶ περὶ τούτων ἐῤῥήθη.

21 Καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ
Φαρισαῖοι, λέγοντες· Τίς ἐστιν οὗτος, ὃς λαλεῖ
βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰμὴ
μόνος ὁ θεός;

Ὁμοίως καὶ καὶ περὶ τούτων.

22 Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν,
ἀποκριθεὶς εἶπε πρὸς αὐτούς· Τί διαλογίζεσθε ἐν
23 ταῖς καρδίαις ὑμῶν; Τί ἐστιν εὐκοπώτερον; εἰπεῖν·
Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· ἢ εἰπεῖν· Ἔγειραι,
καὶ περιπάτει;

Παραπλησίως καὶ περὶ τούτων.

24 Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώ-

που ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, (εἶπε τῷ πα-
ραλελυμένῳ·) Σοὶ λέγω· Ἔγειραι, καὶ ἄρας τὸ κλι-
25 νίδιόν σου, πορεύου εἰς τὸν οἶκόν σου. Καὶ παρα-
χρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἄρας ἐφ' ᾧ κατέ-
κειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, δοξάζων τὸν
26 θεόν. Καὶ ἔκστασις ἔλαβεν ἅπαντας, καὶ ἐδόξαζον
τὸν θεόν·

Ἐκεῖ καὶ ταῦτα πάντα διηκριβώθη.

26 Καὶ ἐπλήσθησαν φόβου, λέγοντες· Ὅτι εἴδομεν πα-
ράδοξα σήμερον.

Τὰ παράδοξα γὰρ εἰώθασι φόβον ἐμποιεῖν τοῖς ἁμαρτωλοῖς, μή που τι δεινὸν πάθωσι, διὰ τὰς ἁμαρτίας αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ Λευῒ τοῦ τελώνου.

27 Καὶ μετὰ ταῦτα ἐξῆλθε, καὶ ἐθεάσατο τελώνην, ὀνό-
ματι Λευὶν, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν
28 αὐτῷ· Ἀκολούθει μοι. Καὶ καταλιπὼν ἅπαντα,
ἀναστὰς ἠκολούθησεν αὐτῷ.

Εἴρηται περὶ τούτου ἐν τῷ τεσσαρεσκαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

29 Καὶ ἐποίησε δοχὴν μεγάλην ὁ Λευῒς αὐτῷ ἐν τῇ
οἰκίᾳ αὐτοῦ· καὶ ἦν ὄχλος τελωνῶν πολὺς, καὶ ἄλ-
λων, οἳ ἦσαν μετ' αὐτῶν κατακείμενοι.

Ἐν ἐκείνῳ καὶ ταῦτα διασεσάφηται. *Δοχὴν* δὲ λέγει, τὴν ὑποδοχὴν, τὴν ἑστίασιν.

30 Καὶ ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν καὶ οἱ Φα-

ρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες· Διατί
μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε;

Ἐκεῖ καὶ περὶ τούτων διείληπται.

51 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτούς· Οὐ
χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κα-
32 κῶς ἔχοντες. Οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ
ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Ἔτι καὶ περὶ τούτων πάντων.

33 Οἱ δὲ εἶπον πρὸς αὐτόν· Διατί οἱ μαθηταὶ Ἰωάννου
νηστεύουσι πυκνὰ, καὶ δεήσεις ποιοῦνται, ὁμοίως
καὶ οἱ τῶν Φαρισαίων· οἱ δὲ σοὶ ἐσθίουσι καὶ πί-
νουσιν;

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καὶ ταῦτα τετυχήκασιν ἐξηγήσεως.

34 Ὁ δὲ εἶπε πρὸς αὐτούς· Μὴ δύνασθε τοὺς υἱοὺς
τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστὶ,
ποιῆσαι νηστεύειν;

Κατ' ἐρώτησιν ἀναγνωστέον. Εἴρηται δὲ καὶ περὶ τούτου ἐν ἐκείνῳ. Τὸ δὲ, *ἐν ᾧ*, ἀντὶ τοῦ, ἐφ' ὅσον.

35 Ἐλεύσονται δὲ ἡμέραι, καὶ ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ
νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.

Ὁμοίως καὶ περὶ τούτων.

36 Ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτούς· Ὅτι οὐδεὶς
ἐπίβλημα ἱματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον
παλαιόν· εἰ δὲ μήγε, καὶ τὸ καινὸν σχίζει, καὶ τῷ
παλαιῷ οὐ συμφωνεῖ ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ.

Καὶ ταῦτα ἐκεῖθεν διαγινώσκεται ῥᾴδιον. Οὐ σχίζεται δὲ τὸ καινὸν, ἀλλ' αὐτὸ μᾶλλον σχίζει τὸ παλαιόν· *καινὸν* δὲ λέγει, τὸ νέον.

37 Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς·
εἰ δὲ μήγε, ῥήξει ὁ νέος οἶνος τοὺς ἀσκούς, καὶ
38 αὐτὸς ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται. Ἀλλὰ
οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον· καὶ ἀμφό-
τεροι συντηροῦνται.

Ὡσαύτως καὶ ταῦτα πάντα.

39 Καὶ οὐδεὶς πιὼν παλαιόν, εὐθέως θέλει νέον· λέ-
γει γάρ· Ὁ παλαιὸς χρηστότερός ἐστιν.

Δείκνυσιν ἐντεῦθεν, ὡς ὁ τῇ παλαιότητι τοῦ νόμου συνεθισθεὶς, οὐκ εὐθὺς δύναται τὴν καινότητα τοῦ εὐαγγελίου βαστάζειν. Οἴεται γὰρ χρηστότερον ἐκεῖνον, διὰ τὴν συνήθειαν.

ΚΕΦ. VI, 1 Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ
διαπορεύεσθαι αὐτὸν διὰ τῶν σπορίμων·

Σάββατον ἁπλῶς, πᾶσαν ἑορτὴν ὀνομάζουσιν Ἑβραῖοι, διὰ τὴν ἀνάπαυσιν· νῦν δὲ λέγει τὴν ἑορτὴν τῶν ἀζύμων (1). Τοῦτο δὲ τὸ σάββατον ἐκαλεῖτο *δευτερόπρωτον*, ὡς δεύτερον μὲν τοῦ πάσχα· πρῶτον δὲ τῶν ἀζύμων. Μετὰ γὰρ τὴν ἑορτὴν τοῦ πάσχα, τὴν ἑορτὴν τῶν ἀζύμων ἐπετέλουν, ἥτις ἦν πρώτη τῶν ἑπτὰ ἡμερῶν, ἐν αἷς ἠσθίοντο τὰ ἄζυμα.

1 Καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας, καὶ
ἤσθιον, ψώχοντες ταῖς χερσί.

Ζήτησον ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον (α) τὴν ἐξήγησιν τοῦ· *Ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων*. Χρὴ δὲ περὶ τοῦ καιροῦ μὴ ἀμφιβάλλειν. Θερμότατος γὰρ ὢν ὁ τόπος τῆς Παλαιστίνης, πρωΐμους δίδωσι τοὺς καρπούς.

2 Τινὲς δὲ τῶν Φαρισαίων εἶπον αὐτοῖς· Τί ποιεῖτε,

---

(1) Ἰδ. Χρυσοσ. Τομ. Ζ΄. Σελ. 431. D. καὶ παρβ. Θεόφυλ. Σελ. 341. E
(α) Ματθ. ΙΒ΄, 1,

3 ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι; Καὶ ἀποκρι-
θεὶς πρὸς αὐτούς, εἶπεν ὁ Ἰησοῦς· Οὐδὲ τοῦτο
ἀνέγνωτε, ὃ ἐποίησε Δαυΐδ, ὁπότε ἐπείνασεν αὐτός,
4 καὶ οἱ μετ' αὐτοῦ ὄντες; Ὡς εἰσῆλθεν εἰς τὸν οἶκον
τοῦ θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβε, καὶ
ἔφαγε, καὶ ἔδωκε καὶ τοῖς μετ' αὐτοῦ· οὓς οὐκ ἔξεστι
φαγεῖν, εἰ μὴ μόνους τοὺς ἱερεῖς;

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καὶ περὶ τούτων πάντων εὑρήσεις.

5 Καὶ ἔλεγεν αὐτοῖς· Ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ
ἀνθρώπου καὶ τοῦ σαββάτου.

Ἐκεῖ μετ' ὀλίγα καὶ τοῦτο κεῖται.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Περὶ τοῦ ξηρὰν ἔχοντος τὴν χεῖρα.

6 Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν
εἰς τὴν συναγωγήν, καὶ διδάσκειν· καὶ ἦν ἐκεῖ ἄνθρω-
7 πος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. Παρετή-
ρουν δὲ αὐτὸν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, εἰ
ἐν τῷ σαββάτῳ θεραπεύσει, ἵνα εὕρωσι κατηγο-
ρίαν αὐτοῦ.

Εἴρηται καὶ περὶ τούτου ἐν τῷ εἰκοστῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

8 Αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν· καὶ εἶπε
τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα· Ἔγειραι,
9 καὶ στῆθι εἰς τὸ μέσον. Ὁ δὲ ἀναστὰς ἔστη. Εἶπεν
οὖν ὁ Ἰησοῦς πρὸς αὐτούς· Ἐπερωτήσω ὑμᾶς· Τί
ἔξεστι τοῖς σάββασιν; ἀγαθοποιῆσαι, ἢ κακοποιῆ-
σαι; ψυχὴν σῶσαι, ἢ ἀπολέσαι; Καὶ περιβλεψά-

10 μενος πάντας αὐτοὺς, εἶπεν αὐτῷ· Ἔκτεινον
τὴν χεῖρά σου. Ὁ δὲ ἐποίησεν οὕτω· καὶ ἀπε-
κατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς, ὡς ἡ ἄλλη.

Ἐν ἐκείνῳ καὶ περὶ τούτων πάντων ἀκριβῶς εἰρήκαμεν. Ψυχὴν δὲ νόει τὸν ἄνθρωπον, ἀπὸ μέρους, ὅλον.

11 Αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας· καὶ διελάλουν πρὸς
ἀλλήλους, τί ἂν ποιήσειαν τῷ Ἰησοῦ.

Ἐκεῖ καὶ περὶ τούτων ἐῤῥήθη, ἐν τῇ ἐξηγήσει τοῦ· Οἱ δὲ Φαρισαῖοι συμβούλιον ἔλαβον κατ' αὐτοῦ (α).

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς.

12 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, ἐξῆλθεν εἰς
τὸ ὄρος προσεύξασθαι· καὶ ἦν διανυκτερεύων ἐν τῇ
13 προσευχῇ τοῦ θεοῦ. Καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώ-
νησε τοὺς μαθητὰς αὐτοῦ·

Ζήτησον ἐν τῷ κατὰ Μάρκον τὴν ἐξήγησιν τῆς ἀρχῆς τοῦ ὀγδόου κεφαλαίου καλῶς τε καὶ ἀνελλιπῶς ἔχουσαν.

13 Καὶ ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, οὓς καὶ ἀπο-
14 στόλους ὠνόμασε· (Σίμωνα, ὃν καὶ ὠνόμασε Πέτρον,
καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ
15 Ἰωάννην, Φίλιππον καὶ Βαρθολομαῖον· Ματθαῖον
καὶ Θωμᾶν, Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Σί-
16 μωνα τὸν καλούμενον Ζηλωτήν· Ἰούδαν Ἰακώβου,
καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ ἐγένετο προδότης·)

Ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον εὑρήσεις

(α) Ματθ. ΙΒ', 14.

περὶ τῆς τάξεως τῶν ἀποστολικῶν ὀνομάτων, ἔνθα κεῖται τό· *Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα* (α).

17 Καὶ καταβὰς μετ' αὐτῶν, ἔστη ἐπὶ τόπου πεδινοῦ·
καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ
λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας, καὶ Ἱερουσαλὴμ,
καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον
ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν·
18 καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων· καὶ
ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι
19 αὐτοῦ· ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο
πάντας.

Δύναμις ἀπ' αὐτοῦ ἐξήρχετο θεία, ἰωμένη τοὺς μόνον ἁπτομένους αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τῶν μακαρισμῶν.

20 Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς
μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί· ὅτι
ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ.

Ἕτεροί εἰσιν οἱ μακαρισμοὶ οὗτοι παρὰ τοὺς ἀναγεγραμμένους ἐν τῷ κατὰ Ματθαῖον. Ἐκείνους μὲν γὰρ, ἀναβὰς εἰς τὸ ὄρος καὶ καθίσας, εἴρηκε· τούτους δὲ, καταβὰς, καὶ στὰς ἐπὶ τόπου πεδινοῦ· κἀκεῖ μὲν, τοὺς πτωχοὺς τῷ πνεύματι ἐμακάρισεν, ἤτοι τοὺς ταπεινόφρονας· ἐνταῦθα δὲ, τοὺς πτωχοὺς ἁπλῶς, ἤγουν, τοὺς ἀφιλοπλούτους, τοὺς ἑκουσίως πτωχούς.

21 Μακάριοι οἱ πεινῶντες νῦν· ὅτι χορτασθήσεσθε.

Ὁμοίως ἐκεῖ μὲν τοὺς πεινῶντας καὶ διψῶντας τὴν δικαιο-

(α) Ματθ. Ι', 2.

σύνην ἐμακάρισεν, ἤτοι, τοὺς σφοδρῶς ὀρεγομένους τῆς δικαιοσύνης· ἐνταῦθα δὲ τοὺς πεινῶντας ἁπλῶς, ἤγουν, τοὺς πεινῶντας δι' ἑκούσιον πτωχείαν, καὶ ὑπομένοντας εὐχαρίστως, οἳ χορτασθήσονται τρυφῆς αἰωνίου.

21 Μακάριοι οἱ κλαίοντες νῦν· ὅτι γελάσετε.

Οἱ κλαίοντες, οὐχ ἁπλῶς, ἀλλ' ἢ ἐπὶ τοῖς ἑαυτῶν ἁμαρτήμασιν, ἢ ἐπὶ ταῖς ἑτέρων κακοπαθείαις, καὶ συνελόντι εἰπεῖν, οἱ κλαίοντες κατὰ θεὸν, οἳ γελάσουσι κατὰ τὸν μέλλοντα αἰῶνα, τουτέστιν, εὐφρανθήσονται πνευματικῶς. Σύμβολον γὰρ εὐφροσύνης, ὁ γέλως.

22 Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

Ὅταν τὰ εἰρημένα ποιήσωσιν ὑμῖν, μὴ διά τινα κακίαν ὑμῶν, ἀλλ' ἕνεκεν ἐμοῦ, διὰ τὸ εἶναι ὑμᾶς ἐμούς.

23 Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ, ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ·

Ἀγαλλιάσθητε πνευματικῶς.

23 Κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν.

Κατὰ τὰ ῥηθέντα, τουτέστι, μισοῦντες καὶ ἀφορίζοντες, ἤτοι, χωρίζοντες ἑαυτῶν, καὶ τὰ ἑξῆς. *Οἱ πατέρες δὲ αὐτῶν*, δηλαδὴ τῶν μελλόντων ὑμῖν ταῦτα ποιῆσαι Ἰουδαίων.

24 Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις· ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν.

Μακαρίσας τοὺς πτωχοὺς, καὶ τοὺς πεινῶντας, καὶ τοὺς κλαίοντας, καὶ τοὺς μισουμένους, καὶ ἀφοριζομένους, καὶ ὀνειδιζομένους, καὶ λοιδορουμένους δι' αὐτὸν, λοιπὸν ταλανίζει τοὺς ἐναντίως ἔχοντας, ἵνα διὰ μὲν τοῦ μακαρισμοῦ προτρέψῃ πρὸς

ἐκεῖνα, διὰ δὲ τοῦ ταλανισμοῦ ἀποτρέψῃ ἀπὸ τούτων. *Πλουσίους* δὲ νῦν λέγει, τοὺς ἀμεταδότους, τοὺς προστετηκότας τῷ πλούτῳ, τοὺς κακῶς πλουτοῦντας. *Ἀπέχετε* δὲ, ἀντὶ τοῦ, ἀπ' ἐντεῦθεν ἔχετε.

25 Οὐαὶ ὑμῖν, οἱ ἐμπεπλησμένοι· ὅτι πεινάσετε.

Οἱ κεκορεσμένοι, κατὰ τὸν παρόντα βίον, ὅτι πεινάσετε, κατὰ τὸν μέλλοντα, μηδεμιᾶς ἐκεῖ παρηγορίας ἀπολαύοντες.

25 Οὐαὶ ὑμῖν, οἱ γελῶντες νῦν· ὅτι πενθήσετε καὶ κλαύσετε.

Οἱ γελῶντες νῦν ἀκολάστως, ὅτι κλαύσετε τότε κολαζόμενοι· ἐπίτασις δὲ τοῦ πένθους ὁ κλαυθμός· ἢ πένθος μὲν, ὁ καθ' ἡσυχίαν θρῆνος· κλαυθμὸς δὲ, ὁ ἐξάκουστος.

26 Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι·

Κακοὺς ὄντας· Οὐαὶ ὑμῖν, φησὶν, ὅταν εὐφημήσωσιν ὑμᾶς, ὡς ἀρέσκοντας αὐτοῖς, καὶ οὐ τῷ θεῷ. Ὥσπερ γὰρ μακάριος ὁ ἀδίκως ὑβριζόμενος, οὕτω πάλιν ἄθλιος ὁ ἀδίκως εὐφημούμενος.

26 Κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν.

Κατὰ ταῦτα, εἴτουν, ὡσαύτως, εὐφημοῦντες αὐτοὺς, ὡς πρὸς ἀρέσκειαν αὐτῶν προφητεύοντας.

27 Ἀλλ' ὑμῖν λέγω τοῖς ἀκούουσιν·

Τοῖς πειθομένοις μοι.

27 Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν·

Εἶπε τοῦτο καὶ ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἔνθα κεῖται τό· *Ἠκούσατε, ὅτι ἐῤῥέθη· Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου* (α).

28 Καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. Εὐλογεῖτε

(α) Ματθ. Ε', 43.

τοὺς καταρωμένους ὑμῖν· προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς.

Ἐκεῖ καὶ ταῦτα εἴρηκεν.

29 Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην· καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσῃς.

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ ζήτησον καὶ τὴν τούτων ἐξήγησιν, πρὸ τῶν εἰρημένων, ἔνθα κεῖται τό· *Ἠκούσατε, ὅτι ἐῤῥέθη· Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος* (α).

30 Παντὶ δὲ τῷ αἰτοῦντί σε, δίδου·

Ὁμοίως καὶ τὴν τούτου.

30 Καὶ ἀπὸ τοῦ αἴροντος τὰ σά, μὴ ἀπαίτει.

Τοῦτο σαφές.

31 Καὶ καθὼς θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.

Ἐν ἐκείνῳ πάλιν τῷ κεφαλαίῳ ζήτησον τὴν ἑρμηνείαν τοῦ· *Πάντα οὖν, ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς* (β).

32 Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι.

Ἐκεῖ καὶ τοῦτο εὑρήσεις.

33 Καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι;

Ἀμοιβὴ γὰρ τοῦτο, καὶ οὐκ εὐεργεσία.

(α) Ματθ. Ε', 38. (β) Ματθ. Ζ', 12.

34 Καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα.

Καὶ τοῦτο πρόδηλον.

35 Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε μηδὲν ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς.

Μηδὲν ἀπ' αὐτῶν ἐλπίζοντες λαβεῖν. Ἐπανέλαβε δὲ τὸν λόγον, βεβαιῶν μάλιστα τὴν τοιαύτην ἐντολήν.

[Καὶ ποῖον (1) τοῦτο δάνειον, ᾧ τῆς ἀπολήψεως ἐλπὶς οὐ συνέζευκται; Πρὸς μὲν τὸν δανειζόμενον, δῶρόν ἐστι, διὰ τὴν ἀνελπιστίαν τῆς ἀπολήψεως· πρὸς δὲ τὸν Θεόν, δάνειον, διὰ τὴν ἐλπίδα τῆς ἀποδόσεως. *Ὁ ἐλεῶν γάρ, φησι, πένητα, δανείζει Θεῷ* (α).

35 Καὶ ἔσεσθε υἱοὶ ὑψίστου· ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς.

Ἀγαθός ἐστιν ἐπὶ πάντας ὁμοῦ. Ἐν δὲ τῷ ῥηθέντι κεφαλαίῳ φησίν· Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν, τοῦ ἐν οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους (β).

36 Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί.

Καὶ τοῦτο σαφές.

37 Καὶ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε· ἀπολύετε, καὶ ἀπολυθήσεσθε.

Εἴρηται καὶ τό, *Μὴ κρίνετε*, ἐν τῷ προειρημένῳ κεφαλαίῳ (γ).

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ. (α) Παροιμ. ΙΘ', 17. (β) Ματθ. Ε', 45. (γ) Ματθ. Ζ', 1.

38 Δίδοτε, καὶ δοθήσεται ὑμῖν·

Δίδοτε εὐεργεσίαν κατὰ πάντα τρόπον.

38 Μέτρον καλὸν, πεπιεσμένον καὶ σεσαλευμένον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν·

Μεταφορικός ἐστιν ὁ λόγος. Εἰώθασι γὰρ οἱ καλῶς μετροῦντες τὸν σῖτον, ἐπιτιθέντες τῷ μοδίῳ τὰς χεῖρας, πιέζειν αὐτὸν ἐπὶ τὸ κάτω, καὶ λακτίζοντες σαλεύειν, ἵνα συμπέσῃ, καὶ ἐπιβάλλειν, ἄχρις ἂν ὑπερεκχυθῇ. Ἀποδώσουσι δὲ τὸ τοιοῦτον μέτρον τῆς εὐεργεσίας, τίνες; Οἱ εὐεργετηθέντες πάντως. Τοῦ Θεοῦ γὰρ ἀποδιδόντος ὑπὲρ αὐτῶν, αὐτοὶ δοκοῦσιν ἀποδιδόναι. Ἀποδώσουσι δὲ τοῦτο, τοῖς οὕτω φιλοτίμως δανείσασιν αὐτοῖς.

38 Τῷ γὰρ αὐτῷ μέτρῳ, ᾧ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.

Τῷ αὐτῷ μέτρῳ τῆς εὐεργεσίας, μεθ' οὗ μετρεῖτε δανείζοντες αὐτὴν τοῖς χρήζουσιν.

39 Εἶπε δὲ παραβολὴν αὐτοῖς· Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται;

Εἶπε τοῦτο καὶ ἐν τῷ εἰκοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἀλλὰ περὶ τῶν Φαρισαίων· ἐνταῦθα δὲ λέγει περὶ πάντων ἁπλῶς τῶν ἐσκοτισμένων μὲν τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς· ἐπιχειρούντων δὲ διδάσκειν τοὺς ὁμοίως αὐτοῖς ἔχοντας. Χρὴ γὰρ πρῶτον ἀναβλέψαι, εἶτα ὁδηγεῖν.

40 Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ·

Καὶ τοῦτο πάλιν ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον περὶ ἑαυτοῦ εἴρηκεν· ἐνταῦθα δὲ, περὶ τῶν μαθητῶν τοῦτό φησιν, οὓς διδασκάλους ἐποίησεν, ἵνα μηδεὶς αὐτῶν κατεπαρθῇ, δοκῶν ὑπερβῆναι τὴν ἀρετὴν αὐτῶν.

40 Κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ.

Εἶπε γὰρ καὶ ἐν τῷ δηλωθέντι ἐννεακαιδεκάτῳ κεφαλαίῳ, ὅτι *Ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ* (α).

41 Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ
ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλ-
42 μῷ οὐ κατανοεῖς; Ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελ-
φῷ σου· Ἀδελφὲ, ἄφες, ἐκβάλω τὸ κάρφος τὸ ἐν
τῷ ὀφθαλμῷ σου· αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου
δοκὸν οὐ βλέπων; Ὑποκριτὰ! ἔκβαλε πρῶτον τὴν
δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις
ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελ-
φοῦ σου.

Εἴρηται ταῦτα πάντα καὶ ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐκεῖ τὴν τούτων ἐξήγησιν.

43 Οὐ γάρ ἐστι δένδρον καλὸν, ποιοῦν καρπὸν σαπρόν·
44 οὐδὲ δένδρον σαπρὸν, ποιοῦν καρπὸν καλόν. Ἕκα-
στον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται·

Ὁμοίως καὶ ταῦτα. Πλὴν ἐκεῖ μὲν περὶ τῶν πλάνων· ἐνταῦθα δὲ, περί τε τῶν κεκαθαρμένων καὶ καθαιρόντων ἑτέρους, καὶ περὶ τῶν ἀκαθάρτων καὶ καθαίρειν ἄλλους πειρωμένων. Παραβολικῶς δὲ τούτους μὲν ὠνόμασε *δένδρα*· *καρποὺς* δὲ, τὰς πράξεις αὐτῶν, καὶ παραινεῖ προσέχειν ταῖς πράξεσι τούτων, αἵ εἰσι καρπὸς, καὶ μὴ τοῖς λόγοις, οἵ εἰσι φύλλα.

44 Οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσι σῦκα, οὐδὲ ἐκ βάτου τρυγῶσι σταφυλήν.

Οὐ συλλέγουσιν, οὐδὲ τρυγῶσι τοιαῦτα ἐκ τοιούτων οἱ ἄν-

(α) Ματθ. Ι', 25.

θρωποι. Πάλιν δὲ παραδειγματικῶς βεβαιοῖ τὸν λόγον. Ὥσπερ γὰρ τοῦτο παρὰ φύσιν καὶ ἀνένδεκτον· οὕτως ἄρα κἀκεῖνο.

45 Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ ἀγαθόν· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ πονηρόν· ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ.

Περὶ τῶν εὐλογούντων ἢ κακολογούντων τοὺς ἀδελφοὺς λέγει νῦν· εἶπε δὲ ταῦτα καὶ ἐν τῷ εἰκοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον περὶ τούτων ἐκεῖ.

46 Τί δέ με καλεῖτε, Κύριε, Κύριε· καὶ οὐ ποιεῖτε ἃ λέγω;

Ζήτησον ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς (α).

47 Πᾶς ὁ ἐρχόμενος πρός με, καὶ ἀκούων μου τῶν
λόγων, καὶ ποιῶν αὐτούς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν
48 ὅμοιος. Ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν,
ὃς ἔσκαψε καὶ ἐβάθυνε, καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν
πέτραν· πλημμύρας δὲ γενομένης, προσέῤῥηξεν ὁ
ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἴσχυσε σαλεῦσαι
αὐτήν· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.

Ταῦτα εἴρηκε καὶ πρὸς τῷ τέλει τοῦ πέμπτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον, καὶ ἀνάγνωθι ἐν αὐτῷ τὴν ἑρμηνείαν τοῦ· *Πᾶς οὖν, ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτοὺς* (β). Ἀλλ' ἐκεῖ μὲν ἐπιτόμως εἴρηται· ὅτι *Ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν*· ἐνταῦθα δὲ

(α) Ματθ. Ζ', 21. (β) Ματθ, Ζ', 24.

πλατύτερον· ὅτι *Ὃς ἔσκαψε καὶ ἐβάθυνε*, ἃ προηγοῦνται τοῦ θεμελιώματος. Ἐλήφθησαν δὲ ταῦτα πρὸς μόνην ἔμφασιν ἀκριβοῦς θεμελιώματος. *Πλημμύρα* δὲ τοῦ ποταμοῦ, τὸ πλῆθος καὶ ἡ σφοδρότης τῶν πειρασμῶν.

49 Ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου· ᾗ προσέῤῥηξεν ὁ ποταμός· καὶ εὐθέως ἔπεσε, καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα.

Καὶ ταῦτα ἐκεῖ διασεσάφηται. *Ῥῆγμα* δὲ, ἡ διάῤῥηξις, ἡ διάλυσις.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τοῦ ἑκατοντάρχου.

ΚΕΦ. VII, 1 Ἐπεὶ δὲ ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καπερναούμ.

Πάντα τὰ ῥήματα αὐτοῦ, τὰ ῥηθέντα, δηλονότι. Φησὶ γὰρ ὁ Ματθαῖος· *Καὶ ἐγένετο, ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους* (α).

2 Ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων, ἤμελλε
3 τελευτᾷν, ὃς ἦν αὐτῷ ἔντιμος. Ἀκούσας δὲ περὶ
τοῦ Ἰησοῦ, ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους
τῶν Ἰουδαίων, ἐρωτῶν αὐτόν, ὅπως ἐλθὼν διασώσῃ
τὸν δοῦλον αὐτοῦ.

Ἐρωτῶν, ἀντὶ τοῦ, παρακαλῶν. Εἴρηται δὲ περὶ τούτου ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ἀνάγνωθι τὴν ὅλην

(α) Ματθ. Ζ', 28.

ἐξήγησιν τοῦ ὅλου κεφαλαίου ἐκείνου, καὶ μᾶλλον τὴν ἐν τῷ τέλει, ἵνα σαφῶς γνῷς, ὅτι οὐ διαφωνοῦσιν, εἰ καὶ δοκοῦσιν.

4 Οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν, παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες· Ὅτι ἄξιός ἐστιν, ᾧ παρέξει τοῦτο·

Τοῦτο· ποῖον; τὸ ἐλθεῖν καὶ διασῶσαι τὸν δοῦλον αὐτοῦ.

5 Ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν.

Η συναγωγὴ αὕτη, οἴκημα ἦν, ἐν ᾧ συνήγοντο κατὰ τὰς ἐκ νόμου τεταγμένας ἡμέρας.

6 Ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς. Ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος φίλους, λέγων αὐτῷ. Κύριε, μὴ σκύλλου·

Μὴ περισπῶ, μὴ περικόπτου.

6 Οὐ γάρ εἰμι ἱκανὸς, ἵνα ὑπὸ τὴν στέγην μου εἰσέλ-
7 θῃς· διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρός σε ἐλθεῖν· ἀλλά
εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου.

Ταῦτα εἶπε καὶ ὁ Ματθαῖος· καὶ ἡρμηνεύθησαν ἐν τῷ ῥηθέντι κεφαλαίῳ.

8 Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας· καὶ λέγω τούτῳ· Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ· Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου· Ποίησον τοῦτο, καὶ ποιεῖ.

Ὁμοίως καὶ ταῦτα.

9 Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, ἐθαύμασεν αὐτόν· καὶ στραφεὶς, τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπε· Λέγω

ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.

Ὡσαύτως καὶ ταῦτα.

10 Καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον, εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα.

Περὶ τούτου πάλιν εὑρήσεις ἐν τῷ τέλει τῆς ἐξηγήσεως, τῆς ἐν τῷ τέλει τοῦ λεχθέντος κεφαλαίου.

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

Περὶ τοῦ υἱοῦ τῆς χήρας.

11 Καὶ ἐγένετο ἐν τῇ ἑξῆς, ἐπορεύετο εἰς πόλιν κα-
λουμένην Ναΐν· καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθη-
12 ταὶ αὐτοῦ ἱκανοὶ, καὶ ὄχλος πολύς. Ὡς δὲ ἤγγισε
τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ, ἐξεκομίζετο τεθνη-
κὼς, υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὕτη χήρα·
καὶ ὄχλος τῆς πόλεως ἱκανὸς ἦν σὺν αὐτῇ.

Συνήλγουν γὰρ αὐτῇ, ὡς ἀποβαλούσῃ μὴ τὸν ἄνδρα μόνον, ἀλλ᾽ ἤδη καὶ τὸν υἱὸν, καὶ τοῦτον μονογενῆ.

13 Καὶ ἰδὼν αὐτὴν ὁ Κύριος, ἐσπλαγχνίσθη ἐπ᾽ αὐτῇ·

Ἰδὼν αὐτὴν ἀπαρηγόρητα κλαίουσαν. Εἰ γὰρ ὁ ὄχλος ἠλέει αὐτὴν, πολλῷ μᾶλλον αὐτὸς, ἡ τοῦ ἐλέους πηγή.

14 Καὶ εἶπεν αὐτῇ· Μὴ κλαῖε. Καὶ προσελθὼν ἥψατο τῆς σοροῦ·

Τοῦ κιβωτίου, ἐν ᾧ ἔκειτο ὁ νεκρός.

14 Οἱ δὲ βαστάζοντες ἔστησαν· καὶ εἶπε· Νεανίσκε,
15 σοὶ λέγω, ἐγέρθητι. Καὶ ἀνεκάθισεν ὁ νεκρὸς, καὶ
ἤρξατο λαλεῖν· καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ.

Ὥσπερ ὁ σίδηρος, ὁμιλήσας τῷ πυρὶ, τὰ τοῦ πυρὸς ἐνεργεῖ· οὕτω καὶ ἡ ἁγία σὰρξ αὐτοῦ, ἑνωθεῖσα τῇ θεότητι, τὰ τῆς θεό-

τητος ἐνεργεῖ. Διὸ ἡ χεὶρ μὲν αὐτοῦ τὸ νεκρὸν καὶ παρειμένον σῶμα συνέσφιγξεν· ἡ δὲ φωνὴ τὴν οἰχομένην ψυχὴν ἐπέστρεψεν.

16 Ἔλαβε δὲ φόβος ἅπαντας, καὶ ἐδόξαζον τὸν θεὸν,
λέγοντες· Ὅτι προφήτης μέγας ἐγήγερται ἐν ἡμῖν,
καὶ ὅτι ἐπεσκέψατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ.

Πάλαι μὲν γὰρ καὶ ὁ προφήτης Ἡλίας ἀνέστησε τὸν υἱὸν τῆς Σαρεφθίας, ἀλλ' ἀποδυράμενος πρὸς θεὸν, καὶ ἱκετεύσας αὐτόν. Καὶ ὁ προφήτης Ἐλισσαῖος τὸν υἱὸν τῆς Σωμανίτιδος (α), ἀλλ' ἐπιπλακεὶς αὐτῷ ὅλος δι' ὅλου. Οὗτος δὲ, ἀψάμενος μόνον καὶ προστάξας, εὐθέως ἤγειρε. Καὶ διὰ τοῦτο λοιπὸν ἔλεγον, ὅτι *προφήτης μέγας*, ἀλλ' ὕστερον οἱ ἀγνώμονες ἀνεῖλον αὐτόν.

17 Καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ
αὐτοῦ, καὶ ἐν πάσῃ τῇ περιχώρῳ.

Ὁ λόγος τοῦ θαύματος, ἢ ὅτι προφήτης μέγας ἐγήγερται.

ΚΕΦΑΛΑΙΟΝ Κʹ.

Περὶ τῶν ἀποσταλέντων παρὰ Ἰωάννου.

18 Καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ
19 πάντων τούτων. Καὶ προσκαλεσάμενος δύο τινὰς
τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης, ἔπεμψε πρὸς τὸν
Ἰησοῦν, λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσ-
δοκῶμεν;

Εἴρηται περὶ τούτων ἀκριβῶς ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

20 Παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες, εἶπον·
Ἰωάννης ὁ βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρός σε,
λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν;

(α) Δʹ. Βασιλ. Δʹ. Παρὰ τοῖς Οʹ, Σουναμίτις.

21 Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων
καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν· καὶ τυφλοῖς
22 ἐχαρίσατο τὸ βλέπειν. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς,
εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ
εἴδετε καὶ ἠκούσατε· ὅτι τυφλοὶ ἀναβλέπουσι, χω-
λοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκού-
ουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται·
23 καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.

Καὶ περὶ τούτων πάντων ἐν ἐκείνῳ διασεσάφηται. *Μάστιγας* δὲ, τοὺς πόνους ὑποληπτέον. Εἰσὶ γάρ τινες νόσοι χωρὶς πόνων, ὡς ἡ τυφλότης, καὶ ἡ κωφότης, καὶ ἡ ἀφωνία, καὶ πολλαὶ τοιαῦται.

24 Ἀπελθόντων δὲ τῶν ἀγγέλων Ἰωάννου, ἤρξατο
λέγειν πρὸς τοὺς ὄχλους περὶ Ἰωάννου·

Ἀγγέλων, τῶν ἀγγελίαν φερόντων (1), τῶν μηνυτῶν.

24 Τί ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι; κάλα-
25 μον ὑπὸ ἀνέμου σαλευόμενον; Ἀλλὰ τί ἐξεληλύ-
θατε ἰδεῖν, ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιε-
σμένον; Ἰδοὺ, οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ
26 ὑπάρχοντες, ἐν τοῖς βασιλείοις εἰσίν. Ἀλλὰ τί ἐξ-
εληλύθατε ἰδεῖν; προφήτην; Ναὶ, λέγω ὑμῖν, καὶ
27 περισσότερον προφήτου. Οὗτός ἐστι, περὶ οὗ γέ-
γραπται· «Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου
πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου
ἔμπροσθέν σου·»

Ὁμοίως καὶ περὶ τούτων πάντων ἐκεῖ διείληπται κατὰ ῥητόν.

28 Λέγω γὰρ ὑμῖν, μείζων ἐν γεννητοῖς γυναικῶν προ-
φήτης Ἰωάννου τοῦ βαπτιστοῦ οὐδείς ἐστιν· ὁ δὲ μι-

(1) Παρὰ τῷ Β, τῶν ἀγγελιαφόρων, ὅπερ τὸ αὐτό·

κρότερος ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, μείζων αὐτοῦ ἐστι.

Καὶ ταῦτα καλλίστην ἔχουσιν ἐκεῖ τὴν ἐξήγησιν.

29 Καὶ πᾶς ὁ λαὸς ἀκούσας, καὶ οἱ τελῶναι, ἐδικαίω-
σαν τὸν θεὸν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου.

Ἐδικαίωσαν, εἶπουν, ηὐχαρίστησαν, ἀποστείλαντι αὐτοῖς τὸν Βαπτιστὴν ἐπὶ προνοίᾳ τῆς σωτηρίας αὐτῶν. Τοῦ Χριστοῦ δὲ καὶ οὗτος ὁ λόγος, ὥσπερ καὶ τὸ ἑξῆς ῥητόν.

30 Οἱ δὲ Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ θεοῦ
ἠθέτησαν εἰς ἑαυτοὺς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ.

Βουλὴν τοῦ θεοῦ, τὸ βάπτισμα λέγει, ὡς κατ' ἐντολὴν τοῦ θεοῦ γινόμενον. «Ἐγένετο γάρ, φησι, ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην, τὸν Ζαχαρίου υἱὸν, ἐν τῇ ἐρήμῳ. Καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν (α).» *Εἰς ἑαυτοὺς δὲ*, ἀντὶ τοῦ, ἐν ἑαυτοῖς.

31 Τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύ-
32 της; καὶ τίνι εἰσὶν ὅμοιοι; Ὅμοιοί εἰσι παιδίοις
τοῖς ἐν ἀγορᾷ καθημένοις, καὶ προσφωνοῦσιν ἀλ-
λήλοις, καὶ λέγουσιν· Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ
ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκλαύσατε.
33 Ἐλήλυθε γὰρ Ἰωάννης ὁ βαπτιστὴς, μήτε ἄρτον
ἐσθίων, μήτε οἶνον πίνων· καὶ λέγετε· Δαιμόνιον
34 ἔχει. Ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου, ἐσθίων καὶ
πίνων· καὶ λέγετε· Ἰδοὺ, ἄνθρωπος φάγος καὶ οἰ-
35 νοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν. Καὶ ἐδι-
καιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς πάντων.

Ἐν τῷ εἰρημένῳ εἰκοστῷ κεφαλαίῳ περὶ πάντων τούτων εὑρήσεις λεπτομερῶς.

(α) Λουκ. Γ', 2. 3.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ.

36 Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων, ἵνα φάγῃ μετ'
αὐτοῦ·

Κἀνταῦθα τὸ, *ἠρώτα*, ἀντὶ τοῦ, παρεκάλει. Ὡς προφήτην δὲ αὐτὸν ἐκάλει πρὸς ἑστίασιν.

36 Καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου, ἀνεκλίθη.

Οὐ παρῃτήσατο τοῦτον, ἵνα μὴ δῷ πρόφασιν, ὡς τελώναις μὲν καὶ ἁμαρτωλοῖς συνεσθίων· τοὺς φαρισαίους δὲ βδελυσσόμενος.

37 Καὶ ἰδοὺ, γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλὸς,
ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου,
38 κομίσασα ἀλάβαστρον μύρου· καὶ στᾶσα παρὰ τοὺς
πόδας αὐτοῦ ὀπίσω, κλαίουσα, ἤρξατο βρέχειν τοὺς
πόδας αὐτοῦ τοῖς δάκρυσι.

Ζήτησον ἐν τῷ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ ἑξηκοστοῦ δευτέρου κεφαλαίου. Αὕτη δὲ ἡ γυνὴ, τὰ μὲν ἰδοῦσα τῶν θαυμάτων τοῦ Χριστοῦ· τὰ δὲ μαθοῦσα παρὰ τῶν ἰδόντων, ἐπίστευσεν, ὅτι θεός ἐστιν ὁ ταῦτα τελεσιουργῶν· διὸ καὶ πρόσεισιν, ἐλπίζουσα λαβεῖν ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῆς.

Ὅρα δὲ τὴν πολλὴν ταύτης εὐλάβειαν! Ἔστη γὰρ παρὰ τὰ ἔσχατα μέρη τοῦ σώματος αὐτοῦ, ὡς ἐσχάτη· καὶ ὀπίσω, ὡς ἀπαῤῥησίαστος· καὶ ἔκλαιε μὲν, διὰ τὰς ἁμαρτίας αὐτῆς· ἔβρεχε δὲ τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσιν, ὡς ἐπικεκυφυῖα αὐτοῖς.

38 Καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε.

Ἐσπόγγιζεν αὐτοὺς διαβρόχους γινομένους. Ὁ δὲ Χριστὸς, εἰδὼς τὴν αἰτίαν, ἠνείχετο, ἵνα καὶ ἡ πίστις αὐτῆς φανῇ,

καὶ ἡ θερμότης τῆς μετανοίας, καὶ ἵνα ἀξίως τούτων λάβῃ τὸ ζητούμενον.

38 Καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ.

Κατεφίλει μὲν αὐτοὺς, ὡς δυναμένου πληρῶσαι τὴν αἴτησιν αὐτῆς, εἶτουν, ὡς θεοῦ· ἤλειφε δὲ τῷ μύρῳ, τιμῶσα τοῦτον ὑπὲρ ἄνθρωπον, ὡς ὄντα ὑπὲρ ἄνθρωπον.

39 Ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ, λέγων· Οὗτος, εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν, τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι.

Σκανδαλισθεὶς ἔλεγε ταῦτα, μὴ γινώσκων, ὅτι θεὸς ὢν, διὰ τοὺς ἁμαρτωλοὺς ἐνηνθρώπησεν. Οὔτε δὲ ὁ Ἰούδας ἐνταῦθα ἐγόγγυσεν, οὔτε μὴν οἱ ἄλλοι μαθηταί· ὁ μὲν γὰρ, οὔπω τῷ νοσήματι τῆς φιλαργυρίας ἑάλωκεν· οἱ δὲ, οὔπω τοὺς ὑπὲρ τῶν πτωχῶν λόγους ἐμπεπηγότας εἶχον.

40 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτόν· Σίμων, ἔχω σοι τὶ εἰπεῖν. Ὁ δέ φησι· Διδάσκαλε, εἰπέ.

Ο μὲν φαρισαῖος ἐσκανδαλίσθη καθ' ἑαυτὸν ἐπ' αὐτῷ, ὡς προσιεμένῳ τὴν πόρνην, καὶ μὴ προγνόντι, ὅτι ἁμαρτωλός ἐστίν· αὐτὸς δὲ τοῦτο γνοὺς, μεῖζον προφήτου ποιεῖ, ἀνακαλύπτων αὐτῷ τὸν ἀπόῤῥητον διαλογισμὸν αὐτοῦ. Καὶ λοιπὸν ἀποδεικνύει διὰ παραδείγματος, ὅτι καὶ γινώσκει ταύτην, καὶ δικαίως αὐτὴν προσίεται, διὰ τὴν εἰς αὐτὸν πολλὴν ἀγάπην αὐτῆς, ἥτις ἦν ἐκ πίστεως καὶ μετανοίας.

41 Δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι· ὁ εἷς ὤφειλε
42 δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πετήκοντα. Μὴ
ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο.
43 Τίς οὖν αὐτῶν, εἰπὲ, πλεῖον αὐτὸν ἀγαπήσει; Ἀποκριθεὶς δὲ ὁ Σίμων, εἶπεν· Ὑπολαμβάνω, ὅτι ᾧ τὸ

πλεῖον ἐχαρίσατο. Ὁ δὲ εἶπεν αὐτῷ· Ὀρθῶς ἔκρινας.

Δέδωκεν ἐντεῦθεν νοεῖν, ὅτι ὥσπερ ἔχει τὸ παράδειγμα, οὕτως ἄρα σὺ μὲν, ὡς ὀλίγαις τιμωρίαις ὑπόχρεως ὢν, ὀλίγον με ἠγάπησας· αὕτη δὲ, ὡς πολλαῖς, πολὺ, ἵνα πολὺ αὐτῇ ἀφεθῇ· διὸ καὶ ὡς πολὺ ἀγαπήσασαν προσηκάμην, ἵνα πολὺ ἀφήσω. *Πολὺ* δὲ νῦν, τὸ πᾶν νόησον.

44 Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη·
Βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν
οἰκίαν· ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη
δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, καὶ ταῖς
45 θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε. Φίλημά μοι οὐκ
ἔδωκας· αὕτη δὲ, ἀφ' ἧς εἰσῆλθον, οὐ διέλιπε κα-
46 ταφιλοῦσά μου τοὺς πόδας. Ἐλαίῳ τὴν κεφαλήν μου
οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας.

Σὺ μὲν τὰ εὐχερῆ πεποίηκας· αὕτη δὲ τὰ δυσχερῆ διεπράξατο. Ὅρα δὲ, ὅτι, ἐξ ὧν πρότερον ἐθήρευε τὴν ἀπώλειαν ἑαυτῆς, ἐκ τούτων ἀρτίως ἐθήρευσε τὴν σωτηρίαν. Δάκρυσι γὰρ ἐρωτικοῖς, καὶ θριξὶ περιεργότερον διαπεπλεγμέναις, καὶ μύρῳ τοὺς ἀκολάστους κατεγοήτευσε· καὶ τὰ πρὶν ὄργανα τῆς ἁμαρτίας, ὄργανα νῦν πεποίηκεν ἀρετῆς.

47 Οὗ χάριν, λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαὶ, ὅτι ἠγάπησε πολύ·

Αἱ πολλαὶ μὲν, πᾶσαι δέ.

47 Ὧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ.

Τοῦτο εἴρηκε, καθαπτόμενος τοῦ Σίμωνος.

48 Εἶπε δὲ αὐτῇ· Ἀφέωνταί σου αἱ ἁμαρτίαι.

Εἶπεν αὐτῇ τοῦτο, ἵνα πληροφορηθῇ, καὶ δίδωσι τῇ δεομένῃ τὸ αἰτούμενον.

49 Καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς·
Τίς οὗτός ἐστιν, ὃς καὶ ἁμαρτίας ἀφίησιν;

Εἶπον τοῦτο καὶ ἕτεροι, ὅτε τὸν παραλυτικὸν ἐθεράπευσεν.

50 Εἶπε δὲ πρὸς τὴν γυναῖκα· Ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην.

Ἔφησεν οὕτω καὶ πρὸς τὴν αἱμοῤῥοοῦσαν, ὡς εὑρήσεις ἐν τῷ εἰκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ παρόντος εὐαγγελίου.

Γένοιτο δὲ καὶ τὴν ἐμὴν πόρνην, ἤτοι τὴν φιλήδονόν μου ψυχὴν, μετανοῆσαι, καὶ δάκρυσιν ἀπολούσασθαι τὴν δυσωδίαν τοῦ βορβόρου τῆς ἁμαρτίας, καὶ προσαγαγεῖν τῷ θεῷ εὐωδίαν μύρου ἀρετῆς!

ΚΕΦ. VIII, 1 Καὶ ἐγένετο ἐν τῷ καθεξῆς, καὶ αὐτὸς διώδευε κατὰ πόλιν καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ θεοῦ·

Καταγγέλλων τὴν ἀπόλαυσιν τὴν θείαν, τὴν ἀνάπαυσιν τὴν ἀΐδιον, ὅτι δεδώρηται τοῖς πιστεύουσιν εἰς αὐτόν.

1 Καὶ οἱ δώδεκα σὺν αὐτῷ.

Συνῆσαν αὐτῷ.

2 Καὶ γυναῖκές τινες, αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ
πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν· Μαρία ἡ κα-
λουμένη Μαγδαληνὴ, ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει,
3 καὶ Ἰωάννα, γυνὴ Χουζᾶ, ἐπιτρόπου Ἡρώ-
δου, καὶ Σουσάννα, καὶ ἕτεραι πολλαὶ, αἵτινες
διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς.

Εὐεργετηθεῖσαι γὰρ, οὐκ ἀπέστησαν ἀπ' αὐτοῦ. *Δαιμόνια δὲ ἑπτὰ*, τινὲς ἡρμήνευσαν, ἀντὶ τοῦ, πολλά. Σύνηθες γὰρ Ἑβραίοις, ἑπτὰ λέγειν, τὰ πολλά. Ἐπίτροπον δὲ Ἡρώδου νόει τὸν ἐπιμελητὴν καὶ οἰκονόμον τῶν πραγμάτων αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τῆς παραβολῆς τοῦ σπόρου.

4 Συνιόντος δὲ ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν ἐπι-
5 πορευομένων πρὸς αὐτὸν, εἶπε διὰ παραβολῆς· Ἐξῆλ-
θεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ· καὶ
ἐν τῷ σπείρειν αὐτὸν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν,
καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ
6 κατέφαγεν αὐτό. Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέ-
τραν· καὶ φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα.
7 Καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν· καὶ συμ-
8 φυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό. Καὶ ἕτερον
ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν· καὶ φυὲν ἐποίησε
καρπὸν ἑκατονταπλασίονα.

Περὶ ταύτης τῆς παραβολῆς τοῦ σπόρου πλατύτερον ὁ Ματθαῖος ἱστόρησεν ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ αὐτοῦ. Καὶ ζήτησον ἐν ἐκείνῳ περὶ τούτων πάντων.

8 Ταῦτα λέγων, ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Ἐν ἐκείνῳ καὶ περὶ τούτου εἴρηται.

9 Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες,
10 τίς εἴη ἡ παραβολὴ αὕτη. Ὁ δὲ εἶπεν· Ὑμῖν δέδοται
γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ·

Ὁμοίως καὶ περὶ τούτων.

10 Τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς·

Ὁ δὲ Μάρκος ἔγραψε σαφέστερον, λέγων· *Ἐκείνοις δὲ τοῖς ἔξω ἐν παραβολαῖς τὰ πάντα γίνεται* (α). Καὶ ζήτησον τὴν τούτων ἐξήγησιν ἐν τῷ ἐννάτῳ κεφαλαίῳ αὐτοῦ.

(α) Μαρκ. Δ', 11.

10 Ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν.

Εν τῷ τοιούτῳ κεφαλαίῳ τοῦ Μάρκου καὶ ταῦτα διηρμηνεύθησαν.

11 Ἔστι δὲ αὕτη ἡ παραβολή·

Αὕτη, ἀντὶ τοῦ, τοιαύτη, κατὰ τὴν ἑρμηνείαν.

11 Ὁ σπόρος, ἐστὶν ὁ λόγος τοῦ θεοῦ.

Ο τῆς πίστεως, ὁ εὐαγγελικός.

12 Οἱ δὲ παρὰ τὴν ὁδὸν, εἰσὶν οἱ ἀκούοντες· εἶτα ἔρχεται ὁ διάβολος καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν.

Εν τῷ ῥηθέντι εἰκοστῷ τετάρτῳ κεφαλαίῳ φησὶν ὁ Ματθαῖος· ὅτι *Παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας, καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς, καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ. Οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς* (α). Καὶ ἀνάγνωθι τὴν ὅλην τούτων ἐξήγησιν, ἀφ' ἧς ῥᾴδιον καὶ τὰ παρόντα διαγνῶναι.

13 Οἱ δὲ ἐπὶ τῆς πέτρας.

Οἱ δὲ κατὰ τὴν πέτραν, εἰσὶν οὗτοι, δηλονότι, περὶ ὧν ἐρεῖ.

13 Οἳ, ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται.

Εν τῷ τοιούτῳ κεφαλαίῳ καὶ περὶ τῶν τοιούτων εὑρήσεις.

14 Τὸ δὲ εἰς τὰς ἀκάνθας πεσὸν, οὗτοί εἰσιν.

Αντὶ τοῦ, *ἐν τούτοις ἐστί*. Ποίοις τούτοις; Ἄκουσον.

14 Οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ

(α) Ματθ. ΙΓ', 19.

ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσιν.

Υπὸ *μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν*· ἀντὶ τοῦ, μετὰ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν πορευόμενοι, εἴτουν, πολιτευόμενοι. Ἐν ἐκείνῳ δὲ καὶ περὶ τούτων ἐῤῥήθη.

15 Τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν, οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ, ἀκούσαντες τὸν λόγον, κατέχουσι, καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ.

Ομοίως καὶ περὶ τούτων.

16 Οὐδεὶς δὲ λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν· ἀλλ' ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς.

Ταῦτα κατὰ τὸ εἰκὸς ἡρμηνεύθησαν ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, μετὰ τοὺς μακαρισμοὺς, ἔνθα κεῖται τό· *Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου* (α)· πρὸς τοὺς ἀποστόλους γὰρ ἐῤῥήθησαν, εἰ καὶ κοινὰ δοκοῦσι πρὸς πάντας.

17 Οὐ γάρ ἐστι κρυπτὸν, ὃ οὐ φανερὸν γενήσεται· οὐδὲ ἀπόκρυφον, ὃ οὐ γνωσθήσεται, καὶ εἰς φανερὸν ἔλθῃ.

Εν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ φησὶ Ματθαῖος· ὅτι *Οὐδέν ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν, ὃ οὐ γνωσθήσεται* (β). Καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτῶν. Εἰκὸς δὲ κατὰ διαφόρους καιροὺς τὰ τοιαῦτα τὸν Χριστὸν εἰπεῖν· διὸ καὶ ἐν διαφόροις τόποις τῶν εὐαγγελίων ἐτέθησαν.

Τινὲς δέ φασι, τὸν λόγον τοῦτον εἶναι περὶ τῆς κρυπτῆς ἀρετῆς, ὅτι φανεροῦται πάντως ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως· πολλάκις δὲ καὶ κατὰ τὴν ἐνταῦθα ζωὴν τοῦ ταύτην ἐργαζομένου.

18 Βλέπετε οὖν, πῶς ἀκούετε·

Προσέχετε, πῶς ἐνωτίζεσθε τὰ λεγόμενα παρ' ἐμοῦ. Χρὴ

(α) Ματθ. Ε', 14. (β) Ματθ. Ι', 26.

γὰρ σπουδαίως καὶ ἐπιμελῶς αὐτῶν ἀκροᾶσθαι, συμβολικῶν ὄντων καὶ ὑψηλῶν, καὶ οὐχ, ὡς ἔτυχε, λεγομένων.

18 Ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ·

Ος ἂν ἔχῃ σπουδὴν καὶ ἐπιμέλειαν, δοθήσεται αὐτῷ γνῶσις τούτων.

18 Καὶ ὃς ἂν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ᾿ αὐτοῦ.

Εν τῷ ἐννάτῳ κεφαλαίῳ φησὶν ὁ Μάρκος· ὅτι « Ὃς ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ᾿ αὐτοῦ (α). » Καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτῶν.

19 Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον.

Εἴρηται περὶ τούτων ἐπὶ τέλους τοῦ εἰκοστοῦ τρίτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

20 Καὶ ἀπηγγέλη αὐτῷ, λεγόντων· Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες.

Λεγόντων, τῶν ἀπαγγελλόντων.

21 Ὁ δὲ ἀποκριθεὶς, εἶπε πρὸς αὐτούς· Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν, οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες, καὶ ποιοῦντες αὐτόν.

Εκεῖ περὶ πάντων ἀκριβῶς διελάβομεν.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.

22 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἀνέβη

(α) Μαρκ. Δ΄, 25.

εἰς πλοῖον, καὶ οἱ μαθηταὶ αὐτοῦ· καὶ εἶπε πρὸς αὐτούς· Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης. Καὶ

23 ἀνήχθησαν. Πλεόντων δὲ αὐτῶν, ἀφύπνωσε· καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην· καὶ συνεπληροῦντο, καὶ ἐκινδύνευον.

Τὴν ἑρμηνείαν τούτων ζήτησον ἐν τῇ ἐξηγήσει τοῦ ἑνδεκάτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον. *Συνεπληροῦντο* δὲ, ὕδατος δηλονότι.

24 Προσελθόντες δὲ διήγειραν αὐτὸν, λέγοντες· Ἐπιστάτα, ἐπιστάτα, ἀπολλύμεθα. Ὁ δὲ ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος· καὶ ἐπαύσαντο, καὶ ἐγένετο γαλήνη.

Πάντα ἐν ἐκείνῳ τῷ κεφαλαίῳ προσηκόντως ἐσαφηνίσθησαν.

25 Εἶπε δὲ αὐτοῖς· Ποῦ ἐστιν ἡ πίστις ὑμῶν;

Η περὶ τοῦ, ὅτι σωτήρ εἰμι τῶν κινδυνευόντων, καὶ ὅτι ἀδύνατον κινδυνεῦσαι τοὺς ἔχοντας τὸν Σωτῆρα.

25 Φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς ἀλλήλους· Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει, καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ;

Καὶ περὶ τούτων ὁμοίως ἐκεῖ διείληπται.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

Περὶ τοῦ ἔχοντος τὸν λεγεῶνα.

26 Καὶ κατέπλευσαν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν,
27 ἥτις ἐστὶν ἀντιπέραν τῆς Γαλιλαίας. Ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν,

καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο, καὶ ἐν οἰκίᾳ οὐκ ἔμε-
28 νεν, ἀλλ' ἐν τοῖς μνήμασιν. Ἰδὼν δὲ τὸν Ἰησοῦν,
καὶ ἀνακράξας, προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ
εἶπε· Τί ἐμοὶ καὶ σοὶ, Ἰησοῦ, υἱὲ τοῦ θεοῦ τοῦ ὑψί-
στου; δέομαί σου, μή με βασανίσῃς.

Ἐν τῇ ἐξηγήσει τοῦ δωδεκάτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον εἴρηται περὶ τούτου σαφῶς. Τὸ πλῆθος δὲ τῶν ἐνοικούντων δαιμονίων, ὡς ἓν, διὰ τὴν κοινωνίαν, ἐδέετο, χρώμενον τῷ στόματι τοῦ ἀνθρώπου.

29 Παρήγγειλε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελ-
θεῖν ἀπὸ τοῦ ἀνθρώπου·

Ὡς ἑνὶ τοῖς πολλοῖς ἐπέταττε δαίμοσι, διὰ τὴν ἀσθένειαν αὐτῶν· ἢ καὶ διὰ τὸ πάντας ὁμοῦ λεγεῶνα καλεῖσθαι· ἢ καὶ διὰ τὸ ἕνα τινὰ ἐξάρχειν τῶν ἄλλων, ὃς καὶ ἐδέετο, καὶ ᾧ ὁ Χριστὸς ἐπέταττεν, ὡς τῶν ἄλλων ἑπομένων ἐκείνῳ.

29 Πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτόν· καὶ ἐδε-
σμεῖτο ἁλύσεσι καὶ πέδαις, φυλασσόμενος· καὶ διαῤ-
ῥήσσων τὰ δεσμὰ, ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς
τὰς ἐρήμους.

Ὑπὸ τοῦ δαίμονος, τοῦ ἐξάρχου τῶν σὺν αὐτῷ.

30 Ἐπηρώτησε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων· Τί σοί ἐστιν
ὄνομα; Ὁ δὲ εἶπε· Λεγεών· ὅτι δαιμόνια πολλὰ εἰσ-
31 ῆλθεν εἰς αὐτόν. Καὶ παρεκάλει αὐτὸν, ἵνα μὴ ἐπι-
τάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν.

Ταῦτα καὶ ὁ Μάρκος ἀνέγραψε, καὶ ζήτησον τὴν τούτων ἐξήγησιν ἐν τῷ ἑνδεκάτῳ κεφαλαίῳ αὐτοῦ.

32 Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ
ὄρει· καὶ παρεκάλουν αὐτὸν, ἵνα ἐπιτρέψῃ αὐτοῖς
33 εἰς ἐκείνους εἰσελθεῖν· καὶ ἐπέτρεψεν αὐτοῖς. Ἐξελ-

θόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου, εἰσῆλθον
εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ
κρημνοῦ εἰς τὴν λίμνην, καὶ ἀπεπνίγη.

Ἐν τῷ ῥηθέντι δωδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον περὶ τούτων πάντων εὑρήσεις.

[Οἶμαι (1) τῶν ὁμοχώρων ἀλλοφύλων εἶναι τοὺς χοίρους. Εἰκὸς δὲ, καὶ τοὺς Ἰουδαίους διατρέφειν χοίρους ἐπὶ τῷ ἀπεμπολεῖν αὐτοὺς, ἢ καὶ ἐπὶ διατροφῇ τῶν φυλασσόντων τὰς πόλεις αὐτῶν στρατιωτῶν Ῥωμαίων.]

34 Ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγενημένον, ἔφυγον·
καὶ ἀπελθόντες ἀπήγγειλαν εἰς τὴν πόλιν, καὶ εἰς
τοὺς ἀγρούς.

Ὁμοίως καὶ περὶ τούτων.

35 Ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός· καὶ ἦλθον πρὸς τὸν
Ἰησοῦν, καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον, ἀφ' οὗ
τὰ δαιμόνια ἐξεληλύθει, ἱματισμένον καὶ σωφρο-
νοῦντα, παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ· καὶ ἐφοβήθησαν.

Ματθαῖος μὲν εἶπεν· ὅτι *ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ* (α)· ἤρχετο γὰρ αὐτὸς ἐπὶ τὴν πόλιν· Λουκᾶς δὲ νῦν ἐμφαίνει, μὴ ὁδεύειν αὐτόν· εἰ γὰρ ἐβάδιζεν, οὐκ ἂν ὁ τοῦ λεγεῶνος ἀπαλλαγεὶς, ἐκάθητο παρὰ τοὺς πόδας αὐτοῦ. Δῆλον οὖν, ὅτι ἐρχόμενος ἐπὶ τὴν πόλιν, ἔστη καὶ ἐδίδασκεν· ὁ δὲ θεραπευθεὶς, ἅτε τῇ τυραννίδι τῶν δαιμόνων τεταλαιπωρηκὼς, ἐκάθισε κελευσθείς.

36 Ἀπήγγειλαν δὲ αὐτοῖς καὶ οἱ ἰδόντες, πῶς ἐσώθη
ὁ δαιμονισθείς.

Πῶς ὑγίανε.

---

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περιθωρίῳ.

(α) Ματθ. Η', 34.

37 Καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περι-
χώρου τῶν Γαδαρηνῶν, ἀπελθεῖν ἀπ' αὐτῶν, ὅτι
φόβῳ μεγάλῳ συνείχοντο·

Ἐν τῷ δωδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον καὶ ταῦτα καλῶς ἡρμηνεύθησαν.

37 Αὐτὸς δὲ ἐμβὰς εἰς τὸ πλοῖον, ὑπέστρεψεν. Ἐδέετο
38 δὲ αὐτοῦ ὁ ἀνὴρ, ἀφ' οὗ ἐξεληλύθει τὰ δαιμόνια,
εἶναι σὺν αὐτῷ· ἀπέλυσε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων·
39 Ὑπόστρεφε εἰς τὸν οἶκόν σου, καὶ διηγοῦ ὅσα
ἐποίησέ σοι ὁ θεός. Καὶ ἀπῆλθε, καθ' ὅλην τὴν
πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς.

Περὶ τούτων καὶ ὁ Μάρκος ἱστόρησεν ἐν τῷ ἑνδεκάτῳ κεφαλαίῳ αὐτοῦ (α), καὶ εὑρήσεις ἐν ἐκείνῳ, διὰ τί μὲν ὁ ἀνὴρ ἐδέετο εἶναι σὺν αὐτῷ, διὰ τί δὲ ὁ Ἰησοῦς ἀπέλυσεν αὐτὸν, καὶ περὶ τῶν ἄλλων ἀκριβῶς.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου.

40 Ἐγένετο δὲ ἐν τῷ ὑποστρέψαι τὸν Ἰησοῦν, ἀπε-
δέξατο αὐτὸν ὁ ὄχλος· ἦσαν γὰρ πάντες προσδο-
κῶντες αὐτόν.

Ὡς εὐεργέτην καὶ σωτῆρα.

41 Καὶ ἰδοὺ, ἦλθεν ἀνὴρ, ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς
ἄρχων τῆς συναγωγῆς ὑπῆρχε· καὶ πεσὼν παρὰ
τοὺς πόδας τοῦ Ἰησοῦ, παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς

(α) Μαρκ. Ε΄, 18. 19.

42 τὸν οἶκον αὐτοῦ· ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ
ὡς ἐτῶν δώδεκα, καὶ αὕτη ἀπέθνησκεν.

Εἴρηται κάλλιστα περὶ τούτων ἐν τῷ πεντεκαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

42 Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν, οἱ ὄχλοι συνέπνιγον αὐτόν.

Συνέσφιγγον, ὠθιζόμενοι περὶ αὐτόν.

ΚΕΦΑΛΑΙΟΝ ΚϚ΄.

Περὶ τῆς αἱμοῤῥοούσης.

43 Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα,
ἥτις ἰατροῖς προσαναλώσασα ὅλον τὸν βίον,
44 οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς θεραπευθῆναι· προσελθοῦσα
ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ·
καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς.

Ἀπὸ ἐτῶν δώδεκα, ἀντὶ τοῦ, ἐν ἔτεσι δώδεκα· τοῦτο γὰρ ἐδήλωσαν οἱ προλαβόντες εὐαγγελισταί. Μάρκος δὲ προσέθηκεν (α)· ὅτι οὐ μόνον οὐδὲν ὠφελήθη παρὰ τῶν ἰατρῶν, *ἀλλὰ καὶ μᾶλλον εἰς τὸ χεῖρον ἦλθε*. Τί δέ ἐστι *κράσπεδον*, εἴρηται ἐν τῷ ἑξκαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον. Ἔτι δέ φησιν ὁ Μάρκος, ἐλθεῖν αὐτὴν *ἐν τῷ ὄχλῳ ὄπισθεν* (β), τουτέστιν, ἀναμιγῆναι τῷ ὄχλῳ, μηχανωμένην λαθεῖν.

Διὰ τί δὲ οὐχ ἥψατο φανερῶς; Διότι ἀκάθαρτον ἑαυτὴν ἐγίνωσκε, καὶ ἐφοβεῖτο φανερῶς ἅψασθαι τοῦ καθαροῦ, κωλυομένη παρὰ τοῦ νόμου. Καὶ διὰ τί μὴ πόῤῥω στᾶσα τὴν ὑγείαν ᾐτήσατο; Διότι ᾐσχύνετο δημοσιεῦσαι τοιοῦτον πάθος· ἅμα δὲ καὶ ὑπώπτευε, μήποτε διαγνωσθεῖσα ἀπελαθῇ παρὰ τοῦ ὄχλου, διὰ τὴν ἀκαθαρσίαν αὐτῆς.

(α) Μαρκ. Ε΄, 26. (β) Μαρκ. Ε΄, 27.

45 Καὶ εἶπεν ὁ Ἰησοῦς· Τίς ὁ ἁψάμενός μου;

Ἠρώτησεν, οὐκ ἀγνοῶν, ἀλλ' ἵνα γνοῦσα, ὅτι οὐκ ἔλαθεν, ὡς ἤλπιζεν, οὐδ' ἔκλεψε τὴν ὑγείαν, ἀλλὰ παρ' ἑκόντος αὐτοῦ ταύτην ἐκομίσατο, ἀνομολογήσῃ τὰ καθ' ἑαυτὴν, καὶ γνωρισθῇ τοῖς ἀκολουθοῦσι, ταύτης μὲν ἡ πίστις, αὐτοῦ δὲ ἡ δύναμις καὶ τὸ ἀλάθητον, καὶ μιμήσωνται μὲν πολλοὶ τὴν πίστιν αὐτῆς, φοβηθῶσι δὲ τὸ παντοδύναμον αὐτοῦ καὶ πανεπίσκοπον· καὶ ἵνα καὶ ὁ ἀρχισυνάγωγος πλείονα λάβῃ πίστιν ἀπὸ τοῦ παρόντος θαύματος.

45 Ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ Πέτρος, καὶ οἱ μετ' αὐτοῦ· Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι· καὶ λέγεις· Τίς ὁ ἁψάμενός μου;

Ὁ Πέτρος μὲν ᾤετο περὶ ἁπλῆς ἐπαφῆς λέγειν τὸν Χριστὸν, καθ' ἣν πάντες οἱ ἀκολουθοῦντες ἥπτοντο αὐτοῦ, περὶ αὐτὸν ὠθιζόμενοι καὶ *ἀποθλίβοντες*, εἴτουν ἀποσφίγγοντες αὐτόν· αὐτὸς δὲ οὐ περὶ τοιαύτης ἔλεγεν, ἀλλὰ περὶ τῆς γενομένης ἐκ πίστεως. Πολλῶν δὲ τηνικαῦτα κατὰ τύχην ἁπτομένων αὐτοῦ διὰ τὸν συνωθισμὸν, μόνης ᾔσθετο τῆς ἐπαφῆς ταύτης, γενομένης ἐκ πίστεως.

46 Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἥψατό μου τίς·

Ἐπεὶ οὔπω διωμολόγησεν ἡ γυνὴ, φοβουμένη πάντως, αὐτὸς ἐπιμένει λέγων· *Ἥψατό μου τίς*, ἵνα βλέπουσα τὴν ἔνστασιν αὐτοῦ, αὐτόματος ὁμολογήσῃ τὸ γεγονὸς, καὶ αὐτὴ τὸ θαῦμα ἀνακηρύξῃ.

46 Ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ.

Δύναμιν, θεραπευτικὴν δηλονότι, ἣν εἵλκυσεν ἡ πίστις τῆς γυναικός. Εἶπε δὲ τοῦτο πρὸς πλείονα βεβαίωσιν τοῦ μὴ ἀγνοεῖν τὴν ἁψαμένην. Ὁ δὲ Μάρκος εἶπεν· ὅτι *Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν* (α).

(α) Μαρκ. Ε', 32.

47 Ἰδοῦσα δὲ ἡ γυνὴ, ὅτι οὐκ ἔλαθε, τρέμουσα ἦλθε·

Τρέμουσα, ἅμα μὲν καὶ διὰ τὴν δύναμιν αὐτοῦ· ἅμα δὲ, καὶ διὰ τὸν νόμον, ὅτι ἀκάθαρτος οὖσα, ἥψατο τοῦ καθαροῦ.

47 Καὶ προσπεσοῦσα αὐτῷ, δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ, ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα.

Καθ' ὑπερβατόν ἐστιν ἡ σύνταξις τῶν ῥητῶν, ὅτι Προσπεσοῦσα αὐτῷ, ἀνήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ, *δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ*, δηλαδὴ, λεληθότως· ταύτην δὲ τὴν αἰτίαν προειρήκαμεν ἀνωτέρω.

48 Ὁ δὲ εἶπεν αὐτῇ· Θάρσει, θύγατερ· ἡ πίστις σου σέσωκέ σε·

Μὴ φοβοῦ, μήτε ἐμὲ, μήτε τὸν νόμον. Ἐκ πίστεως γὰρ, οὐκ ἐκ καταφρονήσεως ἥψω, καὶ λοιπὸν ἡ πίστις σου παρ' ἐμοῦ μὲν, προεξένησέ σοι τὴν ὑγείαν· παρὰ δὲ τοῦ νόμου, τὴν ἄφεσιν. Τῇ πίστει δὲ αὐτῆς τὸ πᾶν ἐπεγράψατο, ἵνα καὶ ἄλλοι πρὸς πίστιν ἐφελκυσθῶσιν, ὡς εἰρήκαμεν. Ἔδειξε δὲ κἀνταῦθα ὁ Χριστὸς, ὅτι οὐδεὶς ἀκούσιον ἔχων πάθος, ἀκάθαρτός ἐστι παρὰ τῷ θεῷ. *Θυγατέρα* δὲ αὐτὴν ἐκάλεσεν, ὡς υἱοθετηθεῖσαν αὐτῷ διὰ πίστεως, καὶ ἅμα διὰ τῆς προσηγορίας ταύτης παντελῶς τὸν φόβον αὐτῆς ἐκβάλλων καὶ οἰκειούμενος αὐτήν.

48 Πορεύου εἰς εἰρήνην.

Τὴν ἀπὸ τοῦ μηκέτι πολεμεῖσθαι ὑπὸ τοῦ πάθους. Κατὰ δὲ ἀναγωγὴν, εἴη ἂν αἱμόῤῥους ἡ φύσις τῶν ἀνθρώπων, ἥτις πρὸ τοῦ ἐλθεῖν τὸν Χριστὸν, ἐπήγαζε τὴν ἀκαθαρσίαν τῆς ἁμαρτίας, φοινικὴν οὖσαν, ἤτοι, φονικήν· οὐδὲν δὲ ὠφελήθη παρὰ τῶν ψυχικῶν ἰατρῶν αὐτῆς, λέγω δὴ, τῶν φιλοσόφων· ἀλλὰ καὶ μᾶλλον ἐβλάβη ταῖς ἀλλοκότοις διδασκαλίαις αὐτῶν· ἁψαμένη δὲ τοῦ ἱματίου αὐτοῦ, τουτέστι, τῆς σαρκώσεως αὐτοῦ, διὰ πίστεως, αὐτίκα ἰάθη. Καὶ γὰρ ἅπτεται τοῦ ἱματίου

αὐτοῦ διὰ πίστεως, πᾶς ὁ πιστεύων τῇ ἐνανθρωπήσει αὐτοῦ.

49 Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ τοῦ
ἀρχισυναγώγου, λέγων αὐτῷ· Ὅτι τέθνηκεν ἡ θυ-
50 γάτηρ σου· μὴ σκύλλε τὸν διδάσκαλον. Ὁ δὲ Ἰη-
σοῦς ἀκούσας, ἀπεκρίθη αὐτῷ, λέγων· Μὴ φοβοῦ·
μόνον πίστευε, καὶ σωθήσεται.

Ταῦτα καὶ ὁ Μάρκος ἔγραψεν ἐν τῷ τρισκαιδεκάτῳ κεφαλαίῳ, καὶ ζήτησον ἐκ ἐκείνῳ τὴν ἑρμηνείαν.

51 Εἰσελθὼν δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν
οὐδένα, εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην,
52 καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα. Ἔκλαιον
δὲ πάντες, καὶ ἐκόπτοντο αὐτήν. Ὁ δὲ εἶπε· Μὴ
53 κλαίετε· οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. Καὶ κατε-
γέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν.

Ὁμοίως καὶ περὶ τούτων πάντων ἐν ἐκείνῳ σεσαφήνισται. *Ἐκόπτοντο δὲ αὐτήν*, ἀντὶ τοῦ, ἐθρήνουν αὐτήν.

54 Αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας, καὶ κρατήσας τῆς
χειρὸς αὐτῆς, ἐφώνησε, λέγων· Ἡ παῖς, ἐγείρου.
55 Καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παρα-
56 χρῆμα· καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν. Καὶ
ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς
μηδενὶ εἰπεῖν τὸ γεγονός.

Ἔτι καὶ περὶ τούτων ἀπαραλείπτως εὑρήσεις ἐν ἐκείνῳ.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ τῆς ἀποστολῆς τῶν δώδεκα.

ΚΕΦ. ΙΧ, 1 Συγκαλεσάμενος δὲ τοὺς δώδεκα μα-

θητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν
ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν.

Εἴρηται περὶ τούτου ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

2 Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν
τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας.

Ἐν ἐκείνῳ διείληπται καὶ περὶ τούτων, ἔνθα κεῖται τό· *Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν* (α)

3 Καὶ εἶπε πρὸς αὐτούς· Μηδὲν αἴρετε εἰς τὴν ὁδὸν,
μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύ-
ριον· μήτε ἀνὰ δύο χιτῶνας ἔχειν.

Ὁμοίως καὶ περὶ τούτων.

4 Καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε, καὶ
ἐκεῖθεν ἐξέρχεσθε.

Καὶ περὶ τούτων πλατύτερον ὁ Ματθαῖος ἐκεῖ ἱστόρησε.

5 Καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ
τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῶν
ποδῶν ὑμῶν ἀποτινάξατε, εἰς μαρτύριον ἐπ' αὐτούς.

Παραπλησίως καὶ περὶ τούτων.

6 Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας, εὐαγ-
γελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

Κατὰ τὴν ἐντολὴν τοῦ ἀποστείλαντος αὐτούς.

7 Ἤκουσε δὲ Ἡρώδης ὁ τετράρχης τὰ γινόμενα ὑπ'
αὐτοῦ πάντα· καὶ διηπόρει, διὰ τὸ λέγεσθαι ὑπό
8 τινων, ὅτι Ἰωάννης ἐγήγερται ἐκ νεκρῶν· ὑπό

(α) Ματθ. Ι', 7.

τινῶν δὲ, ὅτι Ἠλίας ἐφάνη· ἄλλων δὲ, ὅτι προ-
9 φήτης εἷς τῶν ἀρχαίων ἀνέστη. Καὶ εἶπεν ὁ
Ἡρώδης· Ἰωάννην ἐγὼ ἀπεκεφάλισα· τίς δέ ἐστιν
οὗτος, περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα; Καὶ ἐζήτει ἰδεῖν
αὐτόν.

Περὶ τούτων ἠκριβολόγηται καλῶς ἐν τῷ εἰκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

10 Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι, διηγήσαντο αὐτῷ
ὅσα ἐποίησαν· καὶ παραλαβὼν αὐτοὺς, ὑπεχώρησε
κατ᾽ ἰδίαν εἰς τόπον ἔρημον πόλεως καλουμένης
11 Βηθσαϊδά. Οἱ δὲ ὄχλοι γνόντες, ἠκολούθησαν αὐτῷ·

Ἐν τῷ πεντεκαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Μάρκον εἴρηται περὶ τούτων πλατύτερον, ἔνθα κεῖται τό· *Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν* (α).

11 Καὶ δεξάμενος αὐτοὺς, ἐλάλει αὐτοῖς περὶ τῆς
βασιλείας τοῦ θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θε-
ραπείας ἰᾶτο.

Περὶ τούτων ἐν τῷ εἰκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ἐπιμελῶς διελάβομεν, ὅπου κεῖται τό· *Καὶ ἐξελθὼν ὁ Ἰησοῦς, εἶδε πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοῖς* (β).

ΚΕΦΑΛΑΙΟΝ ΚΗ΄.

Περὶ τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων.

12 Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν· προσελθόντες δὲ οἱ
δώδεκα, εἶπον αὐτῷ· Ἀπόλυσον τὸν ὄχλον, ἵνα
ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας καὶ τοὺς ἀγροὺς,

(α) Μαρκ. ϛ΄, 30. (β) Ματθ. ΙΔ΄, 14.

καταλύσωσι, καὶ εὕρωσιν ἐπισιτισμόν· ὅτι ὧδε ἐν
ἐρήμῳ τόπῳ ἐσμέν.

Ἐν τῷ δηλωθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον καὶ περὶ τούτων ἐσαφηνίσθη. *Κατάλυσιν* δὲ λέγει νῦν, τὴν κατασκήνωσιν.

13 Εἶπε δὲ πρὸς αὐτούς· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν.
Οἱ δὲ εἶπον· Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι
καὶ δύο ἰχθύες, εἰ μή τι πορευθέντες ἡμεῖς ἀγορά-
14 σωμεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα. Ἦσαν
γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι.

Ὁμοίως καὶ περὶ τούτων.

14 Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Κατακλίνατε
15 αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα. Καὶ ἐποίησαν
οὕτω· καὶ ἀνέκλιναν ἅπαντας.

Ὡσαύτως καὶ περὶ τούτων.

16 Λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας,
ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησεν αὐτούς· καὶ
κατέκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, παρατιθέναι τῷ
17 ὄχλῳ. Καὶ ἔφαγον, καὶ ἐχορτάσθησαν πάντες· καὶ
ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων, κόφινοι
δώδεκα.

Ἔτι καὶ περὶ τούτων.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄.

Περὶ τῆς τῶν μαθητῶν ἐπερωτήσεως.

18 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον
καταμόνας, συνῆσαν αὐτῷ οἱ μαθηταί· καὶ ἐπηρώ-
τησεν αὐτοὺς, λέγων· Τίνα με λέγουσιν οἱ ὄχλοι
19 εἶναι; Οἱ δὲ ἀποκριθέντες, εἶπον· Ἰωάννην τὸν

βαπτιστήν· ἄλλοι δὲ, Ἠλίαν· ἄλλοι δὲ, ὅτι προφή-
20 της τις τῶν ἀρχαίων ἀνέστη. Εἶπε δὲ αὐτοῖς· Ὑμεῖς
δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ ὁ Πέτρος,
εἶπε· Τὸν Χριστὸν τοῦ θεοῦ.

Τούτων πάντων τὴν ἑρμηνείαν εὑρήσεις ἐν τῷ τριακοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

21 Ὁ δὲ ἐπιτιμήσας αὐτοῖς, παρήγγειλε μηδενὶ εἰπεῖν
τοῦτο·

Ἀνάγνωθι τὴν ὅλην ἐξήγησιν τῶν ἐν ἐκείνῳ ῥητῶν ἄχρι τοῦ· *Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ* (α)· καὶ λήψῃ πάντων ὁμοῦ διάγνωσιν ἀκριβεστάτην.

22 Εἰπών· Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ
παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων
καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι,
καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.

Καθεξῆς ἐκεῖ καὶ περὶ τούτων διείληπται.

23 Ἔλεγε δὲ πρὸς πάντας· Εἴ τις θέλει ὀπίσω μου
ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυ-
ρὸν αὐτοῦ καθ' ἡμέραν (1), καὶ ἀκολουθείτω μοι.

Ἀλλὰ καὶ περὶ τούτων ἐν ἐκείνῳ μετ' ὀλίγα πάντα εὑρήσεις.

24 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει
αὐτήν·

Ὃς ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ διασῶσαι ἀπὸ τοῦ θανάτου, ἐν καιρῷ μαρτυρίου γινόμενος φιλόψυχος, ἀλλ' οὐ φιλόχριστος, ἀπολέσει αὐτὴν ἐν τῷ μέλλοντι αἰῶνι, τουτέστιν εἰς κόλασιν ἐμβαλεῖ. Εἴρηκε δὲ ταῦτά τε καὶ τὰ ἑξῆς καὶ ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

(α) Ματθ. Ιϛ', 21. (1) Ἴδε Ματθ. Ιϛ', 25.

24 Ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ,
οὗτος σώσει αὐτήν.

Ὃς ἂν ἀφαιρεθῇ αὐτὴν διὰ μαρτυρίου, οὗτος σώσει αὐτὴν ἐν τῷ μέλλοντι αἰῶνι.

25 Τί γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον
ὅλον, ἑαυτὸν δὲ ἀπολέσας, ἢ ζημιωθείς;

Τοῦτο καὶ ὁ Ματθαῖος ἔγραψεν ἐπὶ τέλους τοῦ τριακοστοῦ τρίτου κεφαλαίου, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν. Τὸ δὲ, *ἢ ζημιωθείς*, ἐφερμηνευτικόν ἐστι τοῦ, *ἀπολέσας*. *Ἀπώλειαν* δὲ καὶ *ζημίαν* ὀνομάζει, τὴν αἰώνιον καταδίκην καὶ κόλασιν·

26 Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους,
τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν
ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, καὶ τοῦ πατρὸς, καὶ τῶν
ἁγίων ἀγγέλων.

Τούτων ἐμνημόνευσε καὶ ὁ Μάρκος ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ, καὶ ἐν ἐκείνῳ διηρμηνεύθησαν. Ἀλλὰ πῶς εἶπεν, ὅτι *Καὶ τοῦ πατρὸς, καὶ τῶν ἁγίων ἀγγέλων*; Διότι καὶ ἡ δόξα τοῦ πατρὸς, δόξα αὐτοῦ ἔσται· υἱὸς γὰρ αὐτοῦ ἐστι· καὶ ἡ δόξα τῶν ἁγίων ἀγγέλων, δόξα αὐτοῦ ἔσται· δεσπότης γὰρ αὐτῶν ἐστι.

27 Λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν ὧδε ἑστώ-
των, οἳ οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι
τὴν βασιλείαν τοῦ θεοῦ.

Εἴρηται περὶ τούτων ἐν τῷ τέλει τοῦ τριακοστοῦ τρίτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον.

ΚΕΦΑΛΑΙΟΝ Λ.

Περὶ τῆς μεταμορφώσεως τοῦ Ἰησοῦ.

28 Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους, ὡσεὶ ἡμέ-
ραι ὀκτώ·

Διῆλθον, δηλονότι.

28 Καὶ παραλαβὼν Πέτρον, καὶ Ἰωάννην, καὶ Ἰά-
29 κωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ ἐγέ-
νετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος τοῦ
προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ
30 λευκὸς ἐξαστράπτων. Καὶ ἰδοὺ, ἄνδρες δύο συν-
31 ελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς καὶ Ἠλίας· οἱ
ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν
ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ.

Περὶ τῆς μεταμορφώσεως ταύτης φανερώτερον ἔγραψεν ὁ Ματθαῖος ἐν τῷ τριακοστῷ τετάρτῳ κεφαλαίῳ αὐτοῦ, ἐν ᾧ καὶ ταῦτα κατὰ λόγον ἡρμηνεύθησαν. Προσευχόμενος δὲ μετεμορφώθη, ἵνα μάθωμεν, ὅτι ἡ προσευχὴ μεταμορφοῖ καὶ λαμπρύνει τὸν ἄνθρωπον, ὡς χρὴ γινομένη.

32 Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι
ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ,
καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ.

Ἐκεῖ καὶ περὶ τούτων ἐῤῥήθη. *Δόξαν* δὲ νόει, τὴν λαμπρότητα.

33 Καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ' αὐτοῦ,
εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· Ἐπιστάτα, κα-
λόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς
τρεῖς, μίαν σοὶ, καὶ μίαν Μωσεῖ, καὶ μίαν Ἠλίᾳ·
34 μὴ εἰδὼς ὃ λέγει. Ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγέ-

νετο νεφέλη, καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν
δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην.

Μωϋσῆς μὲν καὶ Ἠλίας εἰσῆλθον εἰς τὸ πάχος τῆς νεφέλης, ἀπαχθησόμενοι πάντως εἰς τοὺς ἀφωρισμένους αὐτοῖς τόπους· οἱ μαθηταὶ δὲ, ὄντες μὲν ἔκφοβοι καὶ διὰ τὴν μεταμόρφωσιν τοῦ δεσπότου, καθὼς εἶπε Μάρκος (α)· θεασάμενοι δὲ καὶ τούτους οὕτως ὑπερφυῶς ἀναλαμβανομένους, ἐφοβήθησαν μᾶλλον.

35 Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός
36 ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε. Καὶ
ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ Ἰησοῦς μόνος·

Ἐν τῷ δηλωθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον καὶ περὶ τούτων ἐξηγήθη λεπτομερῶς. Ἃ μὲν οὖν παρῆκεν ὁ Ματθαῖος, ἐξεῖπεν ὁ Λουκᾶς· ἃ δὲ παρέδραμεν ὁ Λουκᾶς, ἱστόρησεν ὁ Ματθαῖος.

36 Καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκεί-
ναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασιν.

Εἶπε γὰρ ὁ Ματθαῖος (β)· ὅτι *Καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων· Μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ·* καὶ ἀνάγνωθι τὴν τούτων ἑρμηνείαν ἐκεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄.

Περὶ τοῦ σεληνιαζομένου.

37 Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ, κατελθόντων αὐτῶν
38 ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς. Καὶ
ἰδοὺ, ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε, λέγων· Διδάσκα-
λε, δέομαί σου, ἐπίβλεψον ἐπὶ τὸν υἱόν μου, ὅτι μο-

(α) Μαρκ. Θ', 6. (β) Ματθ. ΙΖ', 9.

39 νογενής ἐστί μοι· καὶ ἰδοὺ, πνεῦμα λαμβάνει αὐτὸν,
καὶ ἐξαίφνης κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ
ἀφροῦ, καὶ μόγις ἀποχωρεῖ ἀπ' αὐτοῦ, συντρίβον
40 αὐτόν. Καὶ ἐδεήθην τῶν μαθητῶν σου, ἵνα ἐκβά-
λωσιν αὐτὸ, καὶ οὐκ ἠδυνήθησαν.

Τὸν παῖδα τοῦτον σεληνιάζεσθαι Ματθαῖος ἔγραψεν ἐν τῷ τριακοστῷ πέμπτῳ κεφαλαίῳ, καὶ εἴρηται περὶ τούτων πάντων ἐκεῖ.

41 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ὦ γενεὰ ἄπιστος
καὶ διεστραμμένη! ἕως πότε ἔσομαι πρὸς ὑμᾶς, καὶ
ἀνέξομαι ὑμῶν; Προσάγαγε τὸν υἱόν σου ὧδε.

Ἐν ἐκείνῳ τὰς λύσεις τούτων ὅλων εὑρήσεις.

42 Ἔτι δὲ προσερχομένου αὐτοῦ, ἔῤῥηξεν αὐτὸν τὸ
δαιμόνιον, καὶ συνεσπάραξεν·

Ταῦτα πλατύτερον ὁ Μάρκος ἱστόρησεν ἐν τῷ εἰκοστῷ ἕκτῳ κεφαλαίῳ, καὶ ζήτησον ἐν ἐκείνῳ τὴν τούτων ἐξήγησιν.

42 Ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ,
καὶ ἰάσατο τὸν παῖδα· καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ
αὐτοῦ.

Ἐν τῷ προῤῥηθέντι τριακοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ἐῤῥήθη περὶ τούτων.

43 Ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι
τοῦ θεοῦ.

Ὤιοντο γὰρ, οὐκ ἐξ ἰδίας δυνάμεως, ἀλλ' ἐκ θεοῦ ταῦτα τερατουργεῖν αὐτόν.

43 Πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν ὁ
44 Ἰησοῦς, εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ· Θέσθε
ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους·

Οὓς εἶπεν ἐν τῷ εἰκοστῷ ἐννάτῳ κεφαλαίῳ τοῦ παρόντος εὐαγ-

γελίου, περί τε τοῦ πάθους, καὶ τῆς ἀναιρέσεως, καὶ τῆς ἀναστάσεως αὐτοῦ. Διὸ καὶ ἐναρξάμενος αὐτῶν, ὥστε δηλῶσαι, περὶ ὧν λέγει, τὰ λοιπὰ καταλέλοιπεν, ὡς ἤδη νοούμενα.

44 Ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι
45 εἰς χεῖρας ἀνθρώπων. Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο,
καὶ ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν, ἵνα μὴ αἴσθων-
ται αὐτό· καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ
ῥήματος τούτου.

Τὸ ῥῆμα, οὐ τὸ περὶ τοῦ πάθους καὶ τῆς ἀναιρέσεως, ἀλλὰ τὸ περὶ τῆς ἀναστάσεως. Εἴρηται δὲ περὶ τούτου ἐν τῷ τέλει τῆς ἐξηγήσεως τοῦ τριακοστοῦ πέμπτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον, καὶ ἀνάγνωθι τὰ ἐκεῖ ῥηθέντα.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Περὶ τῶν διαλογιζομένων· Τίς μείζων.

46 Εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ, τίς ἂν εἴη
47 μείζων αὐτῶν. Ὁ δὲ Ἰησοῦς, ἰδὼν τὸν διαλογισμὸν
τῆς καρδίας αὐτῶν, ἐπιλαβόμενος παιδίου, ἔστη-
σεν αὐτὸ παρ' ἑαυτῷ·

Ὁ δὲ Ματθαῖος ἐν τῷ τριακοστῷ ἑβδόμῳ κεφαλαίῳ φησίν· ὅτι προσελθόντες οἱ μαθηταὶ, ἠρώτησαν αὐτὸν περὶ τούτου (α). Εἰκὸς δὲ, γνόντος αὐτοῦ τὸν διαλογισμὸν αὐτῶν, καὶ ἐπερωτήσαντος αὐτοὺς, Τί ἐν τῇ ὁδῷ πρὸς ἑαυτοὺς διελογίζοντο, ὡς εἶπεν ὁ Μάρκος (β), λοιπὸν καὶ αὐτοὺς, ὡς ἤδη γνωσθέντος τοῦ διαλογισμοῦ, ἐρωτῆσαι περὶ αὐτοῦ, εἶτα τὸν Ἰησοῦν ἐπιλαβέσθαι παιδίου παριόντος, καὶ στῆσαι αὐτὸ παρ' ἑαυτῷ, καὶ εἰπεῖν τὰ ἑξῆς. Λοιπὸν οὖν ὁ μὲν Ματθαῖος ἔγραψεν, ὅτι ἠρώτησαν οἱ μαθηταί· Μάρκος δὲ καὶ Λουκᾶς, τοῦτο παραλι-

(α) Ματθ. ΙΗ', 1. (β) Μαρκ. Θ', 33.

πόντες, ἱστόρησαν, ὅτι ἔγνω τὸν διαλογισμὸν αὐτῶν· καὶ ὁ μὲν τὰ ὕστερον εἶπεν, οἱ δὲ, τὰ πρότερον. Ἀνάγνωθι δὲ ἐν τῷ ῥηθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ὅλην ἐξήγησιν, ἀναγκαιοτάτην οὖσαν.

48 Καὶ εἶπεν αὐτοῖς· Ὃς ἐὰν δέξηται τοῦτο τὸ παι-
δίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν
ἐμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά με·

Καὶ ἄλλα πρὸ τούτων εἴρηκεν, ἅπερ ἀνέγραψεν ὁ Ματθαῖος, ἀφ' ὧν εὐχερῶς καὶ ταῦτα διαγινώσκονται, καὶ ζήτησον αὐτά. Διὰ τοῦ παιδίου δὲ, τὴν ταπείνωσιν καὶ εὐτέλειαν ὑπεδήλωσεν.

48 Ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτος
ἔσται μέγας.

Τοῦτο πέρας τοῦ σκοποῦ, δι' ὃν ἔστησε τὸ παιδίον παρ' ἑαυτῷ· *μικρότερον* δὲ λέγει, τὸν ταπεινότερον. Εἶπε δὲ τοιαῦτα καὶ ἐν τῷ τεσσαρακοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον περὶ τὸ μέσον τοῦ τοιούτου κεφαλαίου.

49 Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης, εἶπεν· Ἐπιστάτα, εἴ-
δομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμό-
νια, καὶ ἐκωλύσαμεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ μεθ'
50 ἡμῶν. Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς· Μὴ κωλύετε·
ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν.

Ταῦτα καὶ ὁ Μάρκος ἔγραψεν ἐν τῷ εἰκοστῷ ἑβδόμῳ κεφαλαίῳ, καὶ ἀνάγνωθι ἐκεῖ τὴν τούτων σαφήνειαν.

51 Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς
ἀναλήψεως αὐτοῦ, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ
ἐστήριξε τοῦ πορεύεσθαι εἰς Ἱερουσαλήμ.

Ἡμέρας *τῆς ἀναλήψεως αὐτοῦ* λέγει, τὸν καιρὸν τὸν ἀφορισθέντα μέχρι τῆς ἀναλήψεως αὐτοῦ, τῆς ἀπὸ γῆς εἰς οὐρανόν· ἤγγιζε γὰρ ἤδη καὶ ἡ ἀναίρεσις αὐτοῦ, καὶ ἡ ἀνάστασις, καὶ

ἡ ἀνάληψις. *Ἐστήριξε* δὲ *τὸ πρόσωπον αὐτοῦ*, ἀντὶ τοῦ, ἀπηύθυνεν, *ὥστε πορεύεσθαι εἰς Ἱερουσαλὴμ* ἀμεταστρεπτὶ, ἐπειγόμενος πρὸς τὸ πάθος. Γέγραπται γὰρ ἐν τῇ βίβλῳ τῶν ψαλμῶν· *Ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου* (α), εἴτουν, ἀπερείσω, ἀπευθυνῶ, ἀκλινῶς βλέψω.

52 Καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ·

Μηνυτάς.

52 Καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν.

Κατὰ πάροδον αὐτοῦ κειμένην.

52 Ὥστε ἑτοιμάσαι αὐτῷ.

Ὑποδοχὴν, δηλονότι, πρὸς καταγωγὴν αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ.

53 Καὶ οὐκ ἐδέξαντο αὐτὸν, ὅτι τὸ πρόσωπον αὐτοῦ
ἦν πορευόμενον εἰς Ἱερουσαλήμ.

Τὸ *πρόσωπον αὐτοῦ*, ἀντὶ τοῦ, αὐτὸς, ἀπὸ μέρους τὸ ὅλον. *Οὐκ ἐδέξαντό*, φησιν, *αὐτὸν*, διότι ἦν πορευόμενος εἰς Ἱερουσαλήμ, ἐπὶ τοὺς ἐχθροὺς αὐτῶν. Ἐναντίως γὰρ οἱ Σαμαρεῖται πρὸς τοὺς Ἱεροσολυμίτας διέκειντο.

54 Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωάν-
νης, εἶπον· Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι
ἀπὸ τοῦ οὐρανοῦ, καὶ ἀναλῶσαι αὐτοὺς, ὡς καὶ
55 Ἠλίας ἐποίησε; Στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς,
καὶ εἶπεν· Οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς.
56 Ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώ-
πων ἀπολέσαι, ἀλλὰ σῶσαι.

Ὑπολαμβάνω, τούτους εἶναι τοὺς ἀποσταλέντας. Ὠργίσθησαν μὲν οὖν, ὡς ἀτιμασθέντος τοῦ διδασκάλου· ἠρώτησαν δὲ, εἰ χρὴ τοὺς ἀτιμάσαντας ἀμύνασθαι, ὡς μιμούμενοι Ἠλίαν τὸν

(α) Ψαλμ. ΛΑ΄, 8.

ζηλωτήν. *Ἐπετίμησε δὲ αὐτοῖς* ὁ Χριςὸς, ὡς ἀνεξίκακος, παιδεύων αὐτοὺς, μακροθύμως φέρειν τὰς ἀτιμίας τῶν ἀπειθούντων. Ἐγίνωσκε μὲν γὰρ, ὅτι οὐ παραδέξονται αὐτὸν οἱ Σαμαρεῖται· ἀπέστειλε δὲ μαθητὰς, ἵνα, ἀπειθησάντων μὲν ἐκείνων, ὀργισθέντων δὲ τούτων, ἐπιπλήξῃ καὶ διδάξῃ αὐτοὺς, μὴ ἐπεξέρχεσθαι τοῖς καταφρονοῦσιν. Ἔμελλον γὰρ, τὸ κήρυγμα καταγγέλλοντες, ὑπὸ πολλῶν ἀποπέμπεσθαι. Οὐχ ἑαυτοῖς δὲ, ἀλλὰ τῇ αὐτοῦ δυνάμει θαῤῥοῦντες, εἶπον, ὅτι *εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ.*

[Εἰ καὶ (1) παρῆκεν ὁ Χρυσόστομος (2) ἐνταῦθα, τό· *Οὐκ οἴδατε, οἵου πνεύματός ἐστε·* ἀλλ' οὖν ἐν ἑτέροις λόγοις δεσποτικὸν εἶναι λέγει καὶ τουτὶ τὸ ῥητόν. Λοιπὸν τοίνυν *πνεῦμα* νόει μοι, τὸ ἅγιον Πνεῦμα. Τοῦτο γὰρ ἀγαθόν ἐστι καὶ ἀνεξίκακον, ὥσπερ καὶ τὰ λοιπὰ πρόσωπα τῆς μιᾶς θεότητος.]

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ τοῦ μὴ ἐπιτρεπομένου ἀκολουθεῖν.

57 Καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην. Ἐγένετο δὲ,
πορευομένων αὐτῶν, ἐν τῇ ὁδῷ εἶπέ τις πρὸς αὐτόν·
58 Ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ, Κύριε. Καὶ
εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι,
καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις. (2) Ἐν τῷ κειμένῳ τοῦ Εὐθυμίου παρελείποντο τὰ ἀπὸ στίχου 55 «καὶ εἶπεν...» ἕως τοῦ στίχου 56 «.. ἀλλὰ σῶσαι.» Ἐν δὲ τῷ εἰς τὸ περισελίδιον σχολίῳ λέγεται «Εἰ καὶ παρῆκεν ὁ Χρυσόστομος κ. τ. λ.» Ἀλλ' ὁ Χρυσόστομος ἔχει τό· Οὐκ οἴδατε, οἵου πνεύματός ἐστε ὑμεῖς. Τομ. Ζ'. Σελ. 346. Α. Σελ. 567. Τομ. Η'. Σελ. 300. Ε. Ποῦ λοιπὸν παρῆκε τοῦτο ὁ Χρυσόστομος; Ἴσως εἰς ὁμιλίαν τινὰ εἰς Λουκ. Κεφ. Θ', 55. 56. Εὑρεθὲν δὲ καὶ αὐτὸ ἐν ἑτέροις λόγοις αὐτοῦ, ὡς ἀνωτέρω, ἡρμηνεύθη ὕστερον ἐν τῷ περισελιδίῳ.

υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει, ποῦ τὴν κεφαλὴν κλίνῃ.

Ἔγραψε περὶ τούτου καὶ ὁ Ματθαῖος ἐν τῷ δεκάτῳ κεφαλαίῳ, καὶ ἡρμηνεύθησαν ἐκεῖ.

59 Εἶπε δὲ πρὸς ἕτερον· Ἀκολούθει μοι. Ὁ δὲ εἶπε·
Κύριε, ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν
60 πατέρα μου. Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Ἄφες τοὺς
νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀπελθὼν
διάγγελλε τὴν βασιλείαν τοῦ θεοῦ.

Ἐκεῖ καὶ περὶ τούτου σαφῶς διείληπται· ἐκάλεσε δὲ τοῦτον ὁ Χριστὸς, εἰδὼς αὐτὸν ἄξιον.

61 Εἶπε δὲ καὶ ἕτερος· Ἀκολουθήσω σοι, Κύριε·
πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν
62 οἶκόν μου. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς· Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ βλέπων εἰς
τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.

Ὁ ἐπιχειρήσας ἀροτριᾷν, *καὶ βλέπων εἰς τὰ ὀπίσω*, φθείρει τὸ πρόθυμον τῆς ἐπιχειρήσεως τῇ ῥαθυμίᾳ τοῦ βλέπειν εἰς τὰ ὀπίσω. Παραβολικῶς τοίνυν ὁ Σωτὴρ *ἄροτρον* ὠνόμασε, τὸ ἀκολουθεῖν αὐτῷ, λέγων· ὅτι Οὐδεὶς ἐπιχειρήσας ἀκολουθεῖν μοι, *καὶ βλέπων εἰς τὰ ὀπίσω*, τουτέστι, τὸν νοῦν ἔτι ἔχων εἰς τὰ βιωτικὰ, ἐπιτήδειός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Χρὴ γὰρ, τὸν ἑλόμενον τὸ ἀκολουθεῖν τῷ Χριστῷ, πάντων εὐθέως ὑπεριδεῖν, καὶ ἀμεταστρεπτὶ τούτῳ ἕπεσθαι, μήποτε τῇ σχέσει τῶν ὀπίσω κατασχεθῇ. Τί γὰρ θεοῦ ποθεινότερόν τε καὶ προτιμότερον;

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Περὶ τῶν ἀναδειχθέντων ἑβδομήκοντα.

ΚΕΦ. Χ, 1 Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα.

Ἀποστόλους, δηλονότι. Πολλοὶ γὰρ ἔμελλον πιστεύειν, καὶ χρεία κηρύκων πλειόνων ἦν. Δώδεκα μὲν οὖν ἀπόστολοι, ὁ πρῶτος χορός· ἑβδομήκοντα δὲ, ὁ δεύτερος. Τούτους δὲ τοὺς δώδεκα, καὶ τοὺς ἑβδομήκοντα, πάλαι προετύπουν, ἐν τῇ Αἰλεὶμ, εἰς ἣν ἦλθον οἱ Ἰσραηλῖται, διαβάντες τὴν Ἐρυθρὰν θάλασσαν, αἱ δώδεκα πηγαὶ τῶν ὑδάτων, καὶ τὰ ἑβδομήκοντα στελέχη τῶν φοινίκων (α).

1 Καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον, οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι.

Καὶ τοὺς δώδεκα ὁμοίως κατὰ συζυγίαν ἀπέστειλεν, ὡς εἴρηκε Μάρκος ἐν τῷ τεσσαρεσκαιδεκάτῳ κεφαλαίῳ· ἀλλὰ τοὺς δώδεκα μὲν, εἰς πάσας τὰς πόλεις καὶ κώμας τοῦ Ἰσραὴλ ἀπέστειλεν, ὡς τελειοτέρους· τοὺς ἑβδομήκοντα δὲ, εἰς μόνας τὰς κατὰ πάροδον αὐτοῦ κειμένας, δι' ὧν ἔμελλε πορεύεσθαι, κηρύττοντας μετάνοιαν ἁμαρτημάτων, καὶ ἄφιξιν τοῦ χορηγοῦ τῆς τούτων ἀφέσεως.

2 Ἔλεγεν οὖν πρὸς αὐτούς· Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι·

Θερισμὸν μὲν λέγει, τοὺς θερισθησομένους ἀπὸ τῆς ἀπιστίας, καὶ συγκομισθησομένους εἰς τὴν πίστιν αὐτοῦ· *ἐργάτας* δὲ, τοὺς ἀποστόλους, τοὺς ὑπηρετοῦντας εἰς τοῦτο. Δεδήλωται δὲ ἐνταῦθα ἡ αἰτία τῆς προβολῆς τῶν ἑβδομήκοντα· καὶ ἔτι

(α) Ἐξοδ. ΙΕ', 27.

ὀλίγους ἔφησεν εἶναι τοὺς σύμπαντας ἀποστόλους πρὸς τὸ πλῆθος τῶν μελλόντων πιστεύειν.

2 Δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

Τοῦτο, καὶ τὸ πρὸ τούτου ῥητὸν εἶπε καὶ ἐν τῷ τέλει τοῦ ὀκτωκαιδεκάτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον· ἀλλ' ἐκεῖ μὲν *θερισμὸν πολὺν* ἔλεγε, τοὺς ἐξ Ἰουδαίων πιστεῦσαι μέλλοντας· ἐνταῦθα δὲ, τοὺς ἐξ ἐθνῶν· καὶ ἐκεῖ μὲν προετρέπετο τοὺς δώδεκα, δεηθῆναι περὶ ἀποστολῆς τῶν ἑβδομήκοντα τούτων· ἐνταῦθα δὲ τοὺς ἑβδομήκοντα τούτους, περὶ προβολῆς τῶν κατὰ πόλεις καὶ χώρας ἐπισκόπων καὶ διδασκάλων. Ἀνάγνωθι δὲ καὶ τὴν ἐξήγησιν τοῦ παρόντος ῥητοῦ ἐν τῷ ῥηθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

3 Ὑπάγετε· ἰδοὺ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων.

Τοῦτο εἶπε καὶ πρὸς τοὺς δώδεκα, καὶ ζήτησον ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἑρμηνείαν τοῦ· *Ἰδοὺ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων* (α).

Εἴποι δ' ἄν τις κἀνταῦθα, ὅτι τοὺς δώδεκα μὲν, *πρόβατα* ἐκάλεσεν, ὡς τελειοτέρους· τοὺς ἑβδομήκοντα δὲ, *ἄρνας*.

4 Μὴ βαστάζετε βαλάντιον, μὴ πήραν, μηδὲ ὑποδήματα·

Διὰ τῆς ἀπαγορεύσεως τούτων κελεύει θαῤῥεῖν περὶ τῶν ἀναγκαίων τοῦ σώματος ἐπὶ τῷ ἀποστείλαντι τούτους· ἀποτρέπει δὲ, διὰ μὲν τοῦ *μὴ βαστάζειν βαλάντιον*, τὴν φιλαργυρίαν· διὰ δὲ τοῦ, *μὴ πήραν*, τὸ μὴ ταμιεύεσθαι τὴν τροφήν· διὰ δὲ τοῦ, *μὴ ὑποδήματα*, παιδοτριβεῖ αὐτοὺς εἰς ἄσκησιν. Παρήγγειλε δὲ ταῦτα καὶ τοῖς δώδεκα ἐν τῷ δηλωθέντι ἐννεακαιδεκάτῳ κεφαλαίῳ.

(α) Ματθ. Ι', 16.

4 Καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε.

Τοῦτο προσέταξεν, οὐ βουλόμενος ἀπανθρώπους αὐτοὺς γίνεσθαι καὶ ἀπροσηγόρους, ἀλλ' ἀνεμποδίστους. Εἴωθε γὰρ ἡ καθ' ὁδὸν ὁμιλία τὸ σύντονον ἐγκόπτειν, ὡς τὰ πολλὰ, τῆς σπουδῆς. Προστάττει τοίνυν αὐτοῖς μόνον γίνεσθαι τοῦ ἐμπιστευθέντος ἔργου, καὶ μηδὲ τὸν τυχόντα καιρὸν τοῦ κηρύγματος δαπανᾷν εἰς τὰ μὴ ἀναγκαῖα καὶ πάρεργα. Καὶ ὁ Ἐλισσαῖος δὲ πάλιν Γιεζῆ τὸν ὑπηρέτην αὐτοῦ ἐπί τι κατεπεῖγον ἀποςείλας, ἐνετείλατο· *Ὅτι ἐὰν εὕρῃς ἄνδρα, οὐκ εὐλογήσεις αὐτόν· καὶ ἐὰν εὐλογήσῃ σε ἀνὴρ, οὐκ ἀποκριθήσῃ αὐτῷ* (α)· ἐμφαίνων τὸ χρῆναι βαδίζειν ἀπερίσπαςον, καὶ παντελῶς ἀνεμπόδιςον.

5 Εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε· Εἰρήνη τῷ οἴκῳ τούτῳ.

Τοῦτο τὸ πρόσρημα ἀσπασμὸν ἐκάλεσεν ὁ Ματθαῖος ἐν τῷ προῤῥηθέντι κεφαλαίῳ (ϐ). Σύμβολον δὲ ἀγάπης ὁ τοιοῦτος ἀσπασμὸς, δηλῶν, ὅτι εἰρηνικοὶ καὶ φίλοι παραγεγόνασι.

6 Καὶ ἐὰν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν·

Η χάρις τῆς δοθείσης εἰρήνης παρ' ὑμῶν, ἡ ἐνέργεια τοῦ τοιούτου λόγου. *Υἱὸς δὲ εἰρήνης*, ὁ εἰρηνικὸς, ὡς διαφόρως εἰρήκαμεν,

6 Εἰ δὲ μήγε, ἐφ' ὑμᾶς ἀνακάμψει.

Ανάγνωθι καὶ ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· *Καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω* (γ).

7 Ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε, ἐσθίοντες καὶ πίνοντες τὰ παρ' αὐτῶν· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι·

(α) Δ΄. Βασιλ. Δ΄, 29. (ϐ) Ματθ. Ι΄, 12. (γ) Ματθ. Ι΄, 13.

Καὶ περὶ τούτων ὁμοίως ἐν ἐκείνῳ τῷ κεφαλαίῳ σαφῶς ἐῤῥήθη, μικρὸν ἀνωτέρω. *Ἐσθίειν δὲ καὶ πίνειν τὰ παρ' αὐτῶν* ἐπέτρεψεν, οὐχ ἁπλῶς, ἀλλ' ὡς πρέπον ἐστὶ μαθηταῖς αὐτοῦ. Τοῦτο γὰρ γνώριμον ἦν αὐτοῖς.

7 Μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν.

Ἐν ἐκείνῃ τῇ ἐξηγήσει τὴν αἰτίαν τοῦ *μὴ μεταβαίνειν* εὑρήσεις.

8 Καὶ εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε, καὶ δέχωνται
9 ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν· καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ λέγετε αὐτοῖς· Ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ.

Βασιλείαν τοῦ θεοῦ, ἑαυτὸν λέγει νῦν, ὡς βασιλέα καὶ θεόν. *Ἤγγικέ*, φησι, καὶ ἤδη ἐπιδημήσει ὑμῖν· ἄξιοι γίνεσθε, ἑτοιμάζεσθε εἰς ὑποδοχήν.

10 Εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε, καὶ μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς, εἴπατε·

11 Καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν, ἀπομασσόμεθα ὑμῖν·

Ἐκεῖ καὶ περὶ τούτων ζήτησον, ἔνθα ἡρμηνεύθη τό· *Καὶ ὃς ἂν μὴ δέξηται ὑμᾶς* (α).

11 Πλὴν τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ.

Τοῦτο προσέταξε διαμαρτύρασθαι τοῖς ἀπειθέσιν, ἵνα μὴ δύνωνται λέγειν, ὅτι Οὐκ ἔγνωμεν τὴν παρουσίαν σου, Κύριε.

12 Λέγω δὲ ὑμῖν, ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται, ἢ τῇ πόλει ἐκείνῃ.

Ἐν τῷ τοιούτῳ κεφαλαίῳ καὶ ταῦτα προσηκόντως ἡρμηνεύθησαν.

(α) Ματθ. Ι΄, 14.

13 Οὐαί σοι, Χοραζίν! οὐαί σοι, Βηθσαϊδά! ὅτι εἰ ἐν
Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι
ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι
μετενόησαν.

Ζήτησον ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τό· *Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις, ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν* (α). Ἐκεῖ γὰρ καὶ περὶ τούτων εἴρηται.

14 Πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ
κρίσει, ἢ ὑμῖν.

Ὑμῖν, τοῖς ἀπειθέσι, δηλονότι. Εἶπε δὲ τοῦτο καὶ ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ἀνάγνωθι τὴν λύσιν ἐκεῖ τοῦ· *Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥων ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ* (β).

15 Καὶ σὺ, Καπερναοὺμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα,
ἕως ᾅδου καταβιβασθήσῃ!

Ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον εἴρηται καὶ περὶ ταύτης, καὶ ζήτησον ἐν ἐκείνῳ.

16 Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς,
ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστεί-
λαντά με.

Ἀθέτησιν λέγει, τὴν ἀπείθειαν καὶ ἀποστροφήν. Ἵνα γὰρ μὴ λυπῶνται ἀθετούμενοι, φησὶν, ὅτι Ἡ ὑμετέρα ὕβρις, δι' ὑμῶν μὲν, εἰς ἐμὲ ἀνατρέχει, τὸν ἀποστείλαντα ὑμᾶς· δι' ἐμοῦ δὲ, εἰς τὸν πατέρα μου, τὸν ἀποστείλαντά με.

17 Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέ-

(α) Ματθ. ΙΑ', 20. (β) Ματθ. Ι', 15.

γοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν
ἐν τῷ ὀνόματί σου.

Ἔχαιρον, ὡς ἀξιωθέντες θαυματουργεῖν, καὶ ὑποτάσσειν τὰ δαιμόνια.

18 Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστρα-
πὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα.

Ἐδήλωσε τὴν αἰτίαν τῆς τῶν δαιμόνων ὑποταγῆς, ὅτι πέπτωκεν ὁ ἄρχων αὐτῶν, ὁ ἐνισχύων αὐτοὺς, καὶ λοιπὸν εὐκαταγώνιστοι γεγόνασι. Πρὸ μὲν γὰρ τῆς ἐνανθρωπήσεως τοῦ Σωτῆρος, εἰς ὕψος ἤρετο, καὶ ἐτυράννει, καὶ ἴσχυε· τοῦ θεοῦ δὲ τῇ γῇ διὰ σαρκὸς ἐπιδημήσαντος, πέπτωκεν· οὐκ ἀπὸ τοῦ οὐρανοῦ· πάλαι γὰρ ἀπ' αὐτοῦ πεσὼν, οὐκέτι αὐτοῦ ἐπέβη· ἀλλ' ἀπὸ τοῦ ῥηθέντος ὕψους, καὶ τῆς τυραννίδος καὶ τῆς ἰσχύος. Λέγει τοίνυν, ὅτι *Ἐθεώρουν τὸν σατανᾶν*, μετὰ τὸ ἐνανθρωπῆσαί με δηλονότι, *πεσόντα, ὡς ἀστραπὴν, ἐκ τοῦ οὐρανοῦ*.

Τινὲς δὲ *οὐρανὸν* ἐνταῦθα, τὸν ἀέρα νοοῦσιν, ᾧ ἐνεφιλοχώρει ὁ σατανᾶς. Λέγεται γὰρ *οὐρανὸς* καὶ ὁ ἀήρ. *Τὰ πετεινὰ γάρ*, φησι, *τοῦ οὐρανοῦ*. Τῷ παραδείγματι δὲ τῆς ἀστραπῆς ἐχρήσατο, ἐμφαίνων τὸ σφοδρὸν καὶ ὀξὺ τῆς πτώσεως αὐτοῦ.

19 Ἰδοὺ, δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω
ὄφεων καὶ σκορπίων.

Ὄφεων καὶ σκορπίων, τῶν νοητῶν, τῶν δακνόντων καὶ τιτρωσκόντων τὰς ψυχάς. Οὕτω δὲ τοὺς δαίμονας ὠνόμασεν, οὐ μόνον διὰ τὸ ἐπίβουλον καὶ ἰοβόλον καὶ φθαρτικὸν, ἀλλὰ καὶ διὰ τὸ ἀσθενὲς καὶ εὐάλωτον. Ὅτι δὲ περὶ τῶν δαιμόνων λέγει, δηλοῖ τὸ ἐπαγόμενον.

19 Καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ·

Τοῦ νοητοῦ δράκοντος. Ἰδὼν γὰρ αὐτοὺς χαίροντας ἐπὶ τῇ τῶν δαιμονίων ὑποταγῇ, δίδωσι μὲν αὐτοῖς διηνεκῆ τὴν κατ'

αὐτῶν ἐξουσίαν, ἣν πρόσκαιρον ἔλαβον, ὅτε πρῶτον ἀπεστάλησαν· παραινεῖ δὲ, μὴ χαίρειν ἐπὶ ταύτῃ· διότι οὐκ ἐξ ἀγῶνος προσεγένετο τούτοις, ἀλλ' ἐκ δωρεᾶς, διὰ τοὺς ὠφεληθῆναι μέλλοντας. Εἴη δ' ἂν *δύναμις τοῦ ἐχθροῦ*, οὐ μόνον οἱ δαίμονες, ἀλλὰ καὶ πάντες οἱ ἐξ αὐτῶν πολυειδεῖς πειρασμοί.

Τινὲς δὲ καὶ τὰ φθείροντα τοὺς ἀνθρώπους θηρία, δύναμιν αὐτοῦ λέγουσιν, ὡς χρωμένου καὶ τούτοις καθ' ἡμῶν.

19 Καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ.

Οὐ δαίμων, οὐ πειρασμὸς, ἀλλ' οὐδὲ θηρίον.

20 Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται·

Οὐ γὰρ ὑμέτερον τὸ κατόρθωμα, ἀλλ' ἐμὴ ἡ χάρις. *Ἐν τούτῳ οὖν μὴ χαίρετε*, ἵνα μὴ ὡς ἐπὶ κατορθώματι χαίροντες, εἰς οἴησιν ἐπαρθείητε.

20 Χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.

Ὅτι διὰ τὴν πίστιν ὑμῶν ἐπολιτογραφήθητε ἐν τῇ ἄνω πόλει, οὐ μέλανι, ἀλλὰ μνήμῃ, οὐδὲ, ὡς ἄνθρωποι γράφουσιν, ἀλλ' ὡς ὁ θεὸς οἶδε γράφειν. Φησὶ γὰρ περὶ τῶν δικαίων ὁ Δαυΐδ· ὅτι *Καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται* (α). Τὸ μὲν γὰρ ὑποτάσσειν τὰ δαιμόνια, δι' ὠφέλειαν ἑτέρων ὑμῖν δέδοται· τὸ δὲ τὰ ὀνόματα ὑμῶν γραφῆναι ἐν τοῖς οὐρανοῖς, διὰ σωτηρίαν ὑμετέραν· διὸ ἐκείνη μὲν ἡ χαρὰ κλέπτουσα φυσίωσιν οἶδεν ἐμποιεῖν· αὕτη δὲ μᾶλλον εὐχαριστίαν· καὶ παραιτητέον μὲν ἐκείνην, ὡς περιττήν· ἀντιποιητέον δὲ ταύτης, ὡς ἀναγκαίας.

21 Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς·

Ἠγαλλιάσατο *τῇ ψυχῇ*, ὡς ἄνθρωπος, διὰ τὴν σωτηρίαν τῶν ὠφεληθέντων ὑπὸ τῶν μαθητῶν.

(α) Ψαλμ. ΡΛΗ΄, 16.

21 Καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

Εἴρηκε ταῦτα καὶ περὶ τῶν δώδεκα μαθητῶν ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν.

22 Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς, εἶπε· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς γινώσκει, τίς ἐστιν ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ· καὶ τίς ἐστιν ὁ πατὴρ, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι.

Ἐν ἐκείνῳ καὶ ταῦτα διασεσάφηται πρὸς ἀκρίβειαν.

23 Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς, κατ' ἰδίαν εἶπε· Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε.

24 Λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.

Ταῦτα εἶπε καὶ ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ἀνάγνωθι ἐν αὐτῷ τὴν ἑρμηνείαν αὐτῶν, ἔνθα κεῖται τό· *Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί* (α). Ἐπεθύμησε δὲ ταύτην τὴν ἐπιθυμίαν καὶ Δαυΐδ ὁ προφήτης καὶ βασιλεύς· διὸ καὶ ἔλεγε· *Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου* (β)· τὴν ἐνανθρώπησιν τοῦ Σωτῆρος, ἔλεος ὀνομάσας, ὡς γενομένην δι' ἔλεος τῶν ἀνθρώπων.

Παρατήρησον δὲ, ὅτι στρέφεται πρὸς τοὺς μαθητὰς ὁ Σωτὴρ, καὶ κατ' ἰδίαν αὐτοῖς ὁμιλεῖ, τοὺς μὴ μαθητὰς ἀποστρεφόμενος. Διὸ καὶ ἡμεῖς, ἐὰν ὦμεν μαθηταὶ αὐτοῦ, ἀκολουθοῦντες αὐτῷ δι' ὑπακοῆς τῶν ἐντολῶν αὐτοῦ, καὶ ἔχωμεν ψυχικοὺς

(α) Ματθ. ΙΓ΄, 16. (β) Ψαλμ. ΠΔ΄, 8.

ἅμα καὶ σωματικοὺς ὀφθαλμοὺς, ὀρθὰ βλέποντας, καὶ τὰ ὦτα, ὀρθὰ ἀκούοντα, πάντως στραφήσεται καὶ πρὸς ἡμᾶς, καὶ ἀξιώσει μυστηρίων ἀποῤῥήτων τοῖς πολλοῖς.

ΚΕΦΑΛΑΙΟΝ ΛΕʹ.

Περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ.

25 Καὶ ἰδοὺ, νομικός τις ἀνέστη, ἐκπειράζων αὐτὸν,
καὶ λέγων· Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον
κληρονομήσω;

Προσεδόκησε παγιδεῦσαι τὸν Χριστὸν εἰς τὸ πάντως ἐπιτάξαι τι ἐναντίον τῷ νόμῳ. Λέγει γοῦν, *Τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω*, ἣν καταγγέλλεις τῷ λαῷ; Γνοὺς δὲ τὴν τούτου πανουργίαν ὁ Σωτὴρ, ἐπὶ τὸν νόμον αὐτὸν παραπέμπει· ἅμα μὲν, διακρουόμενος τὴν πεῖραν αὐτοῦ· ἅμα δὲ, ἐλέγχων αὐτὸν, οἰόμενον μὲν εἶναι ἐνάρετον, μὴ ὄντα δέ· ὡς δείξει τὸ τέλος τῆς παραβολῆς.

26 Ὁ δὲ εἶπε πρὸς αὐτόν· Ἐν τῷ νόμῳ τί γέγραπται;
πῶς ἀναγινώσκεις;

Τί *γέγραπται* μεῖζον ἔνταλμα; *Πῶς ἀναγινώσκεις* τὰς μείζους ἐντολὰς τοῦ νόμου; Περὶ τῶν μειζόνων γὰρ αὐτὸν ἠρώτησεν.

27 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· «Ἀγαπήσεις Κύριον τὸν
θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης
τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ
ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν πλησίον σου
28 ὡς σεαυτόν.» Εἶπε δὲ αὐτῷ· Ὀρθῶς ἀπεκρίθης·

Ὀρθῶς ἀποκριθῆναι αὐτὸν εἶπεν, ὡς τὰς δύο ἐντολὰς ἀπαγγείλαντα. Ἔχονται γὰρ ἀλλήλων, ὡς ἐν τῷ πεντηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον δεδήλωται. Ἕτερος δέ ἐστιν ὁ νομικὸς οὗτος, παρὰ τὸν ὑπὸ Ματθαίου καὶ Μάρκου μνημονευόμενον (α).

28 Τοῦτο ποίει, καὶ ζήσῃ.

Τ*οῦτο*, ὃ ἀπήγγειλας νῦν, *τοῦτο ποίει, καὶ ζήσῃ* ζωὴν αἰώνιον, οἵαν ζῶσιν οἱ τὰς ἐντολὰς ταύτας φυλάξαντες δίκαιοι. Ἐδίδαξε γὰρ καὶ ἐν τῷ δηλωθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ὅτι *Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται* (β)· ὧν τὴν ἐξήγησιν ἐντελῶς εὑρήσεις ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, εἰς τό· *Οὕτω γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται* (γ).

29 Ὁ δὲ, θέλων δικαιοῦν ἑαυτὸν, εἶπε πρὸς τὸν Ἰησοῦν·
Καὶ τίς ἐστί μου πλησίον;

Ἀποτυχὼν τῆς πείρας, ἐξέῤῥηξε τὴν ἐν αὐτῷ κεκρυμμένην οἴησιν· ᾤετο γὰρ πάντων ὑπερέχειν. Ὁ μὲν γὰρ νόμος, *πλησίον*, τὸν δεόμενον βοηθείας ὠνόμασεν· αὐτὸς δὲ πλησίον, τὸν ἴσον κατ' ἀρετὴν ὑπέλαβε. Διὸ καὶ, *θέλων δικαιοῦν ἑαυτὸν*, ἤγουν, ὑπερτιθέναι τῶν ἄλλων, ἐρωτᾷ, *Τίς ἐστί μου ἴσος;* Εἶτα διὰ παραβολῆς ὁ Χριστὸς ἀποδείκνυσιν, ὅτι πλησίον ἐστὶν ὁ δεόμενος βοηθείας.

[*Πλησίον* λέγεται, πᾶς ἄνθρωπος, ὡς ἐγγιζόντων ἡμῶν ἀλλήλοις κατὰ κοινωνίαν φύσεως (1).]

ΚΕΦΑΛΑΙΟΝ ΛϚʹ.

Περὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς.

30 Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς, εἶπεν·

Ὑ*πολαβὼν*, ἀντὶ τοῦ, διαδεξάμενος τὸν λόγον.

(α) Ματθ. ΚΒʹ, 35. Μαρκ. ΙΒʹ, 28. (β) Ματθ. ΚΒʹ, 40. (γ) Ματθ. Ζʹ, 12. (1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

30 Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ.

Ἡ παραβολὴ αὕτη, εἰ καὶ συνετέθη διὰ τὸ δεῖξαι, τίς ἐστιν ὁ πλησίον, ἀλλ' οὖν ἐν βραχεῖ πᾶσαν ὑποφαίνει τὴν φιλάνθρωπον οἰκονομίαν τοῦ Σωτῆρος ἡμῶν. *Ἄνθρωπον* μὲν γὰρ νοοῦμεν, τὸν Ἀδὰμ καὶ τοὺς ἐξ Ἀδὰμ ἀνθρώπους· *κατάβασιν* δὲ *ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ*, τὴν ὁδὸν τὴν ἀπὸ ἀρετῆς εἰς κακίαν, καὶ ἀπὸ ὑπακοῆς εἰς παρακοὴν, καὶ ἀπὸ ὕψους πολιτείας, εἰς χθαμαλότητα διαγωγῆς. Ὑψηλὴ μὲν γὰρ ἡ Ἱερουσαλήμ· χθαμαλὴ δὲ ἡ Ἱεριχώ.

30 Καὶ λησταῖς περιέπεσεν·

Ὁδοστάταις (1) δαίμοσιν.

30 Οἳ καὶ ἐκδύσαντες αὐτόν.

Τὰ ἱμάτια τῆς ἀρετῆς, τὸν φόβον τοῦ Θεοῦ, ὃν περιεβέβλητο δίκην χιτῶνος.

30 Καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον.

Πληγὰς ψυχικὰς, τραύματα ἁμαρτιῶν.

30 Ἀφέντες ἡμιθανῆ τυγχάνοντα.

Ἐξ ἡμισείας θνητὸν γενόμενον· τῇ ψυχῇ γὰρ ἀθάνατος μείνας, τῷ σώματι τέθνηκε. Τὸ δὲ, *ἀπῆλθον*, καὶ τὸ, *ἀφέντες*, οὐ περιεργαστέον, διὰ τὴν ἐξουσίαν τῆς παραβολῆς (2).

31 Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ·

Συγκυρία μὲν, ἡ συντυχία· *ἱερεὺς* δὲ, ὁ διὰ Μωϋσέως δοθεὶς νόμος, ὡς περὶ θυσιῶν διαλεγόμενος.

31 Καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν.

Παρέδραμεν αὐτὸν οὕτως ἔχοντα.

(1) ἐγκαθέτοις. (2) Διὰ τὸ ἐξουσιάζειν τὴν παραβολὴν ἐν ταῖς τοιαύταις περιστάσεσιν.

32 Ὁμοίως δὲ καὶ λευΐτης, γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν, ἀντιπαρῆλθε.

Λευΐτην ὑποληπτέον ἐνταῦθα τὸν λόγον τῶν προφητῶν, ὡς διακονούμενον τοῖς ἐπιτάγμασι τοῦ Θεοῦ.

33 Σαμαρείτης δέ τις ὁδεύων, ἦλθε κατ' αὐτὸν, καὶ ἰδὼν αὐτὸν, ἐσπλαγχνίσθη.

Σαμαρείτης νοεῖται νῦν, ὁ Χριστὸς, ὡς ὑπὸ τῶν ἀπίστων Ἰουδαίων Σαμαρείτης ὀνομασθεὶς (α).

Ἢ καὶ, ὡς οὐ μόνον Ἰουδαίων, ἀλλὰ καὶ παντὸς ἔθνους φύσιν, διὰ τοῦ προσλήμματος (1), περιβαλλόμενος. Ἔθνος γὰρ, οἱ Σαμαρεῖται.

34 Καὶ προσελθὼν, κατέδησε τὰ τραύματα αὐτοῦ.

Τῷ δεσμῷ τῆς διδασκαλίας.

34 Ἐπιχέων ἔλαιον καὶ οἶνον·

Ἡμερότητα καὶ στύψιν. Ἡ διδασκαλία γὰρ αὐτοῦ, πῇ μὲν, ἡμέρως προβαίνει καὶ ἱλαρύνει· πῇ δὲ, στύφει καὶ δάκνει, καὶ οὕτως εὖ κέκραται, καὶ ἑκατέρωθεν ὠφελεῖ.

34 Ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος.

Ἐπὶ τὸ ἴδιον σῶμα, τὸ κτείνεσθαι μέλλον, τουτέστι βαστάσας τὰς ἀσθενείας αὐτοῦ διὰ τῆς προσληφθείσης ἀνθρωπότητος.

34 Ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον.

Πανδοχεῖον, ἡ ἐκκλησία τῶν πιστῶν, ὡς πᾶν γένος ἀνθρώπων δεχομένη.

34 Καὶ ἐπεμελήθη αὐτοῦ.

Ἐποιήσατο πρόνοιαν αὐτοῦ.

35 Καὶ ἐπὶ τὴν αὔριον ἐξελθών.

Μετὰ μικρὸν (1) ἀποθανὼν καὶ ἐξελθὼν ἀπὸ τοῦ κόσμου.

(α) Ἰωαν. Η', 48. (1) τῆς προσληφθείσης ἀνθρωπότητος.

(1) καιρὸν, ἀντὶ τοῦ, μικρὸν, παρὰ τῷ Β.

35 Ἐκβαλὼν δύο δηνάρια, ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν
αὐτῷ· Ἐπιμελήθητι αὐτοῦ.

Ἑως μὲν γὰρ ἔζη, αὐτὸς ἐπεμελεῖτο τῶν ἀσθενῶν· ἀποθανὼν δὲ, καὶ ἀναστὰς, καὶ ἐκδημῶν εἰς τὸν οὐρανὸν, τοῖς ἀποστόλοις τὴν ἐπιμέλειαν ταύτην ἐπέτρεψεν.

Πανδοχεὺς γὰρ πᾶς προεστὼς τῆς ἐκκλησίας, ἤτοι, πᾶς ἐπίσκοπος, καὶ πᾶς τῶν ἀποστόλων διάδοχος. *Δύο δὲ δηνάρια*, ἡ καινὴ καὶ ἡ παλαιὰ Διαθήκη, αἳ χορηγοῦσι τὴν ἰατρείαν τοῖς ἀσθενοῦσιν. Εἴρηκε γὰρ ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον· ὅτι *Πᾶς γραμματεὺς, μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά* (α).

Ἢ, *δύο δηνάρια*, αἱ δύο ἑρμηνεῖαι τῆς εὐαγγελικῆς γραφῆς, ἢ καὶ πάσης τῆς θείας, ἥ τε καθ' ἱστορίαν καὶ ἡ κατὰ ἀναγωγήν.

35 Καὶ ὅ,τι ἂν προσδαπανήσῃς, ἐγὼ, ἐν τῷ ἐπανέρχεσθαί με, ἀποδώσω σοι.

Εἴ τι ἂν καὶ οἴκοθεν προσδαπανήσῃς εἰς ὠφέλειαν αὐτοῦ. Καὶ οἴκοθεν γὰρ οἱ διδάσκαλοι προστιθέασι, πλατύνοντες τὰς ἑρμηνείας τῶν θείων λόγων. Ἀπὸ μὲν γὰρ τῶν δύο Διαθηκῶν λαμβάνουσι τὰς ἀφορμάς· τοῖς ἰδίοις δὲ λόγοις δαψιλεστέραν παρέχουσι τὴν θεραπείαν τοῖς κάμνουσιν. Ἐπάνοδος δὲ τοῦ Χριστοῦ, ἡ δευτέρα παρουσία, ἐν ᾗ ἀποδώσει πᾶσι τὰς ἀμοιβάς.

36 Τίς οὖν τούτων τῶν τριῶν πλησίον δοκεῖ σοι γεγο-
37 νέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; Ὁ δὲ εἶπεν·
Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ.

Μετ' *αὐτοῦ*, ἀντὶ τοῦ, εἰς αὐτόν.

37 Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· Πορεύου, καὶ σὺ ποίει ὁμοίως.

Ἐπιμελοῦ τοῦ δεομένου βοηθείας. Ὁ γὰρ μὴ τοῦτο ποιῶν, οὐκ

(α) Ματθ. ΙΓ', 52.

ἀγαπᾷ τὸν πλησίον ὡς ἑαυτόν· ὁ δὲ μὴ ἀγαπῶν τὸν πλησίον ὡς ἑαυτὸν, οὐδὲ τὸν Θεὸν ἀγαπᾷ, *ἐξ ὅλης τῆς καρδίας αὐτοῦ, καὶ ἐξ ὅλης τῆς ψυχῆς αὐτοῦ, καὶ ἐξ ὅλης τῆς ἰσχύος αὐτοῦ, καὶ ἐξ ὅλης τῆς διανοίας αὐτοῦ* (α); ἅπερ ἐμφαίνουσιν ἀγάπης σφοδρότητα καὶ ἐπίτασιν.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Περὶ Μάρθας καὶ Μαρίας.

38 Ἐγένετο δὲ ἐν τῷ πορεύεσθαι αὐτοὺς, καὶ αὐτὸς
εἰσῆλθεν εἰς κώμην τινά· γυνὴ δέ τις, ὀνόματι Μάρ-
39 θα, ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε
ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα
παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τῶν λόγων αὐτοῦ.

Η κώμη αὕτη, ἡ Βηθανία ἦν. Ταύτην γὰρ ὁ Ἰωάννης εἶπε κώμην Μαρίας καὶ Μάρθας (β).

40 Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν·

Παρασκευάζουσα τὰ πρὸς ἑστίασιν καὶ θεραπείαν αὐτοῦ τε καὶ τῶν μαθητῶν αὐτοῦ.

40 Ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται.

Ὡς διδάσκαλος ἐπίτρεψον αὐτῇ, ἵνα μοι συνεφάψηται τῆς διακονίας.

41 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά·

Τύρβη ἐστὶν ὁ περισπασμὸς, ἡ ὄχλησις· *περὶ πολλὰ* δὲ, τὰ τῆς ἑστιάσεως καὶ θεραπείας, ὡς εἴρηται.

(α) Λουκ. Ι', 27. (β) Ἰωαν. ΙΑ', 1.

42 Ἑνὸς δέ ἐστι χρεία.

Τῆς ἀκροάσεως τῶν ἐμῶν λόγων. Οὐ γὰρ τρυφήσων ἦλθον, ἀλλὰ διδάξων ὑμᾶς.

42 Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ
ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

Δύο μερίδες πολιτείας ἐπαινεῖται, ἡ μὲν, πρακτικὴ, ἡ δὲ, θεωρητική. Ταύτας αἱ δύο αὗται διείλοντο· Μάρθα μὲν, τὴν πρακτικὴν, ἐν τῷ διακονεῖσθαι περὶ τὴν σωματικὴν θεραπείαν τοῦ Κυρίου· Μαρία δὲ, τὴν θεωρητικὴν, ἐν τῷ ἀκούειν τῶν λόγων αὐτοῦ. Καὶ ἐπεὶ διπλοῦς ἦν ὁ Χριστὸς, ἡ μὲν ἀνέπαυε τὸ ὁρώμενον αὐτοῦ· ἡ δὲ ἐδούλευε τῷ ἀοράτῳ αὐτοῦ· αὐτὸς δὲ, τῆς μὲν τὴν προθυμίαν οὐ διέβαλε· τῆς δὲ τὴν προαίρεσιν ἐπῄνεσε. Τῆς μὲν γὰρ τὸ ἔργον, χρησιμώτατον· τῆς δὲ, ὑψηλότερον.

Σὺ δὲ, ἣν βούλει, μίμησαι· ἢ θεράπευε τὸ σῶμα τοῦ Κυρίου; λέγω δὴ, τοὺς πτωχούς· *Ἐφ' ὅσον γάρ*, φησιν, *ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε* (α)· ἢ ἀσχολοῦ περὶ τὴν ἀκρόασιν τῶν λόγων αὐτοῦ, περὶ τὴν θεωρίαν τῶν δογμάτων αὐτοῦ· ἢ καὶ ἀμφότερα μετέρχου κατὰ τοὺς προσήκοντας καιρούς.

Τὴν ἀγαθὴν δὲ μερίδα εἶπεν, οὐχ ὡς τῆς ἄλλης πονηρᾶς οὔσης, ἀλλ' ἀγαθὴν ἐνταῦθα, τὴν κρείττονα ὠνόμασεν. Ἐνδέχεται γὰρ δύο καλῶν, τὸ ἓν εἶναι κάλλιον. Καλὸν μὲν γὰρ τὸ φιλοξενεῖν· κάλλιον δὲ τὸ παρεδρεύειν Θεῷ· τὸ μὲν γὰρ, σωματικόν· τὸ δὲ, πνευματικόν.

(α) Ματθ. ΚΕ', 40.

ΚΕΦΑΛΑΙΟΝ ΛΗʹ.

Περὶ προσευχῆς.

ΚΕΦ. XI, 1 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ
τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἶπέ τις τῶν
μαθητῶν αὐτοῦ πρὸς αὐτόν· Κύριε, δίδαξον ἡμᾶς
προσεύχεσθαι, καθὼς καὶ Ἰωάννης ἐδίδαξε τοὺς
μαθητὰς αὐτοῦ.

Οὗτος ὁ μαθητὴς ἐκ τῶν ἑβδομήκοντα ἦν· τοὺς γὰρ δώδεκα ἐδίδαξεν ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον. Ἰδὼν γὰρ τὸν διδάσκαλον καινὴν πολιτείαν καὶ μετερχόμενον, καὶ ὑποτιθέμενον, ἐζήτησε καὶ καινὴν προσευχὴν, τῇ πολιτείᾳ κατάλληλον. Ὁ δὲ, ἣν ἐδίδαξε τοὺς δώδεκα, ταύτην καὶ νῦν ἐκτίθεται.

2 Εἶπε δὲ αὐτοῖς· Ὅταν προσεύχησθε, λέγετε·
ΠΑΤΕΡ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ
ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ
θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν
3 ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ' ἡμέ-
4 ραν· καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν· καὶ γὰρ
αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν· καὶ μὴ εἰσ-
ενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ
τοῦ πονηροῦ.

Ἡρμηνεύθησαν ταῦτα πάντα κατὰ τὸ ῥητὸν ἐν τῷ δηλωθέντι πέμπτῳ κεφαλαίῳ. Εἰ δὲ καὶ λέξεις τινὲς ἐνταῦθα παραλλάττουσιν, ἀλλ' οὖν τὴν αὐτὴν καὶ αὗται σημασίαν φυλάττουσι, καὶ εἰς τὴν ὁμοίαν ἑρμηνείαν συνάγονται. Διδάξας δὲ προσεύχεσθαι, δεῖξαι βούλεται, καὶ ὅτι ἡ ἐπιμονὴ τῆς προσευχῆς ἀνύει τὸ σπουδαζόμενον, καὶ κέχρηται παραβολῇ παριστώσῃ τοῦτο. Περιεργότερον δὲ αὕτη συμπέπλασται, ἵνα καὶ εἴη πιθανωτέρα.

5 Καὶ εἶπε πρὸς αὐτούς. Τίς ἐξ ὑμῶν ἕξει φίλον,
καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου, καὶ εἴπῃ
6 αὐτῷ· Φίλε, χρῆσόν μοι τρεῖς ἄρτους· ἐπειδὴ
φίλος μου παρεγένετο ἐξ ὁδοῦ πρός με, καὶ οὐκ
ἔχω ὃ παραθήσω αὐτῷ·

Χρῆσον, ἤτοι, δάνεισον.

7 Κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ· Μή μοι κόπους
πάρεχε· ἤδη ἡ θύρα κέκλεισται, καὶ τὰ παιδία μου
μετ' ἐμοῦ εἰς τὴν κοίτην εἰσίν· οὐ δύναμαι ἀνα-
στὰς δοῦναί σοι.

Φασί τινες ἀναγωγικῶς, ὅτι νοεῖται *φίλος* μὲν, ὁ φιλάνθρωπος θεός· *πορεύεται δὲ πρὸς αὐτὸν μεσονυκτίου, καὶ αἰτεῖ τρεῖς ἄρτους*, ὁ παρὰ τὸν προσήκοντα καιρὸν αἰτῶν τρεῖς θεολογίας, Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ἵνα παραθῇ αὐτὰς φίλῳ παραγενομένῳ πρὸς αὐτὸν ἐκ τοῦ ἀστάτου καὶ καταπεπατημένου βίου, καὶ χρῄζοντι τοιαύτης τροφῆς. Καὶ λοιπὸν ὁ θεὸς *ἔσωθεν*, ἤγουν, ἀφανῶς, ἀποκρίνεται, Μὴ ἐνόχλει μοι· τοῦτο γὰρ δηλοῖ τό· *Μή μοι κόπους πάρεχε*· νῦν ἡ θύρα τῆς θεολογίας ἀποκέκλεισταί σοι, οὔπω καιρὸν ἔχοντι τηλικαύτης χάριτος,

Καὶ τὰ ἑξῆς δὲ τῆς παραβολῆς ἐπεχείρησαν μέν τινες ἀναγαγεῖν, οὐκ ἠδυνήθησαν δὲ ταῦτα προσαρμόσαι τῷ σκοπῷ αὐτῆς. Διὸ παρῆκα τὴν τούτων ἀναγωγὴν, ὡς περιττὴν, νοῶν, ὅτι συνετέθησαν εἰς ἔμφασιν μόνον εὐλόγου παραιτήσεως. Ὁ γὰρ μετὰ τῶν παίδων αὐτοῦ κοιμώμενος πατὴρ, εὐλόγως παραιτεῖται παρὰ καιρὸν ἀναστῆναι, ἵνα μὴ ἀφυπνίσῃ αὐτά. Φαίνεται δέ μοι καὶ πᾶσα ἡ προκειμένη παραβολὴ μηδὲν ἕτερον ἐμφαίνειν, εἰ μὴ μόνον ἀναγκαιοτάτην αἴτησιν καὶ εὐλογωτάτην παραίτησιν, ἵνα δόξῃ διὰ τὴν ἐπιμονὴν εἰσακουσθῆναι ὁ αἰτῶν, καὶ πιθανὴ γένηται ἡ παραίνεσις.

8 Λέγω ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς, διὰ τὸ
εἶναι αὐτοῦ φίλον· διά γε τὴν ἀναίδειαν αὐτοῦ ἐγερ-
θεὶς δώσει αὐτῷ ὅσων χρῄζει.

Τοῦτό ἐστιν, οὗ χάριν ἡ παραβολὴ αὕτη γέγονεν. *Ἀναίδειαν* δὲ εἶπε, τὴν ἐπιμονὴν τῆς αἰτήσεως.

9 Κἀγὼ ὑμῖν λέγω· Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζη-
τεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται
10 ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει· καὶ ὁ ζητῶν εὑ-
ρίσκει· καὶ τῷ κρούοντι ἀνοιγήσεται.

Ταῦτα ὁμοίως καὶ τοῖς δώδεκα ἐνετείλατο, καθὼς ἀνέγραψε Ματθαῖος ἐν τῷ πέμπτῳ κεφαλαίῳ, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν, ἄριστα παραδεδομένην.

11 Τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ
λίθον ἐπιδώσει αὐτῷ; εἰ καὶ ἰχθῦν, μὴ ἀντὶ ἰχθύος
12 ὄφιν ἐπιδώσει αὐτῷ; ἢ καὶ ἐὰν αἰτήσῃ ᾠὸν, μὴ
ἐπιδώσει αὐτῷ σκορπίον;

Ἐκεῖ καὶ περὶ τούτων ἀκολούθως εὑρήσεις.

13 Εἰ οὖν ὑμεῖς, πονηροὶ ὑπάρχοντες, οἴδατε δόματα
ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ
πατὴρ, ὁ ἐξ οὐρανοῦ, δώσει πνεῦμα ἅγιον τοῖς αἰ-
τοῦσιν αὐτόν;

Ὁμοίως καὶ περὶ τούτων. *Πονηροὺς* δὲ αὐτοὺς εἶπεν, οὐ μόνον διὰ τὴν ἐκεῖ ῥηθεῖσαν αἰτίαν, ἀλλὰ καὶ διὰ τὸ τὴν ἀνθρωπίνην φύσιν πονηρίας δεκτικὴν εἶναι.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Περὶ τοῦ ἔχοντος δαιμόνιον κωφόν.

14 Καὶ ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν κωφόν·

Μήτε αὐτὸ λαλοῦν ἢ ἀκοῦον, μήτε τὸν ἄνθρωπον ἐῶν λαλεῖν

ἢ ἀκούειν, οὐκ ἐκ φύσεως, ἀλλ' ἐκ πονηρίας. Μέμνηται δὲ τούτου Ματθαῖος ἐν τῷ ὀκτωκαιδεκάτῳ κεφαλαίῳ, ἐν ᾧ τὰ περὶ αὐτοῦ σαφῶς ἀπηγγέλθη.

14 Ἐγένετο δὲ τοῦ δαιμονίου ἐξελθόντος, ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν οἱ ὄχλοι.

Ἐκεῖ καὶ περὶ τούτων ἐῤῥήθη.

15 Τινὲς δὲ ἐξ αὐτῶν εἶπον· Ἐν Βεελζεβοὺλ, ἄρχοντι τῶν δαιμονίων, ἐκβάλλει τὰ δαιμόνια.

Ὡσαύτως καὶ περὶ τούτων. Οἱ Φαρισαῖοι δὲ τοῦτο εἶπον, ὡς ὁ Ματθαῖος ἱστόρησεν.

16 Ἕτεροι δὲ, πειράζοντες, σημεῖον παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ.

Οὐ νῦν μόνον, ἀλλὰ διαφόρως τοῦτο πεποιήκασιν, ὡς καὶ ἐν ἄλλοις κεφαλαίοις τοῦ κατὰ Ματθαῖον δεδήλωται.

Ζήτησον δὲ μᾶλλον ἐν τῷ τριακοστῷ πρώτῳ κεφαλαίῳ αὐτοῦ πρὸς τῷ τέλει, τό· *Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ οἱ Σαδδουκαῖοι, πειράζοντες ἐπηρώτησαν αὐτὸν, σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς* (α)· καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτοῦ, καὶ μαθήσῃ τὰς αἰτίας τῆς κακουργίας αὐτῶν.

17 Αὐτὸς δὲ, εἰδὼς αὐτῶν τὰ διανοήματα.

Τό,τε τῆς ὑπολήψεως τοῦ ἐν Βεελζεβοὺλ ἐκβάλλειν τὰ δαιμόνια· καθ' ἑαυτοὺς γὰρ τοῦτο ἔλεγον, φοβούμενοι τὸν ὄχλον· καὶ τὸ τῆς πείρας τοῦ ἐπιζητουμένου σημείου. Καὶ νῦν μὲν περὶ τοῦ ἑνὸς ἀπολογεῖται, μετὰ μικρὸν δὲ καὶ περὶ τοῦ ἑτέρου.

Ζήτησον δὲ καὶ ἐν τῷ εἰκοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἑρμηνείαν τοῦ· *Εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν* (β).

Εἴρηται δὲ ἡμῖν πολλάκις, ὅτι οἱ εὐαγγελισταὶ ποτὲ μὲν

(α) Ματθ. ΙϚ', 1. (β) Ματθ. ΙΒ', 25.

καιροῦ καὶ τάξεως τῶν ῥηθέντων ἢ πραχθέντων φροντίζουσι· ποτὲ δὲ, μόνης ἀπαγγελίας.

17 Εἶπεν αὐτοῖς· Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα, ἐρημοῦται, καὶ οἶκος ἐπὶ οἶκον, πίπτει.

Καὶ οἶκος ἐπὶ οἶκον, διαμερισθεὶς δηλονότι. Ἐν τῷ ῥηθέντι δὲ εἰκοστῷ δευτέρῳ κεφαλαίῳ καὶ περὶ τούτων ἀκολούθως ἡρμηνεύθη.

8 Εἰ δὲ καὶ ὁ σατανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ;

Ὁμοίως καὶ περὶ τούτου.

18 Ὅτι λέγετε ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια.

Ἐμφαίνει αὐτοῖς καὶ ὃ ὑπολαμβάνοντες ἔλεγον καθ' ἑαυτοὺς περὶ αὐτοῦ.

19 Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; Διὰ τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται.

Ἐν τῷ δηλωθέντι κεφαλαίῳ καθεξῆς καὶ περὶ τούτων διείληπται.

20 Εἰ δὲ ἐν δακτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ.

Ὡσαύτως καὶ περὶ τούτου σαφέστατά τε καὶ ἀκριβέστατα.

21 Ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλὴν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρχοντα αὐτοῦ·
22 ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτὸν, τὴν πανοπλίαν αὐτοῦ αἴρει, ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν.

Παραπλησίως καὶ περὶ τούτων τὸ κεφάλαιον ἐκεῖνο διαλαμβάνει, καὶ ῥᾴδιον ἀπὸ τῶν ἐκεῖ ῥηθέντων καὶ ταῦτα διαγνωσθῆναι.

23 Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συν-
άγων μετ' ἐμοῦ, σκορπίζει.

Ἔτι καὶ περὶ τούτων.

24 Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώ-
που, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυ-
σιν· καὶ μὴ εὑρίσκον, λέγει· Ὑποστρέψω εἰς τὸν οἶκόν
25 μου, ὅθεν ἐξῆλθον. Καὶ ἐλθὸν εὑρίσκει σεσαρωμένον
καὶ κεκοσμημένον.

Ταῦτα ἔγραψε καὶ Ματθαῖος ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ, καὶ ἡρμηνεύθησαν ἐν ἐκείνῳ.

26 Τότε πορεύεται καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων.

Ὡσαύτως καὶ ταῦτα.

ΚΕΦΑΛΑΙΟΝ Μʹ.

Περὶ τῆς ἐκ τοῦ ὄχλου ἐπαρασάσης φωνήν.

27 Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας.

Ἐπάρασα, ἤγουν, ὑψώσασα. Σφόδρα γὰρ ἀποδεξαμένη τοὺς λόγους αὐτοῦ, μεγαλοφώνως ἐμακάρισε τὴν γεννήσασαν αὐτὸν, ὡς τοιούτου μητέρα γενέσθαι ἀξιωθεῖσαν.

28 Αὐτὸς δὲ εἶπε· Μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

Μενοῦνγε, τουτέστιν, ἀληθῶς. Ζήτησον δὲ ἐν τῷ εἰκοστῷ

τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τό· *Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς, αὐτός μου καὶ ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστι* (α)· καὶ ἀνάγνωθι τὴν ὅλην τοῦ τοιούτου ῥητοῦ ἐξήγησιν. *Φυλακὴ* δὲ *λόγου θεοῦ* ἐστιν, ἡ πλήρωσις αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΜΑʹ.

Περὶ τῶν αἰτούντων σημεῖον.

29 Τῶν δὲ ὄχλων ἐπαθροιζομένων, ἤρξατο λέγειν· Ἡ γενεὰ αὕτη πονηρά ἐστι· σημεῖον ἐπιζητεῖ·

Νῦν ἀπολογεῖται καὶ περὶ τοῦ ἑτέρου αὐτῶν διανοήματος, ὡς προείρηται. *Πονηρὰν* δὲ ὠνόμασε τὴν γενεὰν τῶν Φαρισαίων καὶ Σαδδουκαίων, ὡς πειράζουσαν. Εἴρηται δὲ περὶ ταύτης καὶ ἐν τῷ εἰκοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

29 Καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.

Ἐν ἐκείνῳ καὶ ταῦτα σαφῶς ἡρμηνεύθησαν.

30 Καθὼς γὰρ ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευΐταις, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ γενεᾷ ταύτῃ.

Καθὼς ἐκεῖνος ἐγένετο σημεῖον παρὰ τοῖς Νινευΐταις, τουτέστι, παράδοξον ἄκουσμα, ὅτι ὑπερφυῶς ἐκ τῆς κοιλίας τοῦ κήτους ἐῤῥύσθη τριήμερος· οὕτω καὶ οὗτος γενήσεται σημεῖον παρὰ τῇ γενεᾷ τῶν ἀπίστων Ἰουδαίων, ἤτοι παράδοξον ἄκουσμα, ὅτι ὑπερφυῶς ἐκ τῆς κοιλίας τῆς γῆς ἀνέστη τριήμερος. Ἀλλὰ Νινευΐται μὲν καὶ ἐπίστευσαν τῷ τοιούτῳ ἀκούσματι, καὶ ἐπείσθησαν οἷς ἐκήρυττεν Ἰωνᾶς· οὗτοι δὲ καὶ ἠπίστησαν καὶ ἠπεί-

(α) Ματθ. ΙΒʹ, 50.

θησαν· διὸ καὶ ἐκεῖνοι κατακρινοῦσι τούτους, ὡς μετὰ μικρὸν δηλωθήσεται.

31 Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτούς· ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος· καὶ ἰδοὺ, πλεῖον Σολομῶντος ὧδε.

Ταῦτα καὶ ὁ Ματθαῖος ἐν τῷ δηλωθέντι κεφαλαίῳ ἐξέθετο, καὶ ζήτησον ἐκεῖ τὴν τούτων ἐξήγησιν.

32 Ἄνδρες Νινευῒ ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν· ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ, πλεῖον Ἰωνᾶ ὧδε.

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καὶ ταῦτα Ματθαῖος ἀνέγραψε, πρὸ τῶν περὶ τῆς βασιλίσσης τοῦ νότου, καὶ ἀνάγνωθι καὶ τὴν τούτων ἑρμηνείαν ἐκεῖ, κατὰ λόγον ἐξηγηθεῖσαν.

33 Οὐδεὶς δὲ λύχνον ἅψας, εἰς κρυπτὴν τίθησιν, οὐδὲ ὑπὸ τὸν μόδιον, ἀλλὰ ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγος βλέπωσιν.

Εἴρηται περὶ τούτων ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἔνθα κεῖται τό· *Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη* (α). Ἀπὸ γοῦν τῶν ῥηθέντων ἐκεῖ καὶ ταῦτα σαφέστατά σοι γενήσονται. *Κρυπτὴν* δὲ νῦν λέγει, τὴν ἀπόκρυφον οἰκίαν.

34 Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ὅταν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, καὶ ὅλον τὸ σῶμά σου φωτεινόν ἐστιν· ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν.

Τοῦτο τὸ νόημα καὶ ὁ Ματθαῖος ἱστόρησεν ἐν τῷ πέμπτῳ

(α) Ματθ. Ε', 14.

κεφαλαίῳ, καὶ ζήτησον ἐν ἐκείνῳ τὴν ἐπίλυσιν, ἀκριβῶς ἐκτεθειμένην.

35 Σκόπει οὖν, μὴ τὸ φῶς τὸ ἐν σοὶ, σκότος ἐστίν.

Σκόπει, μὴ ὁ νοῦς, ὁ φωταγωγὸς τῆς ψυχῆς σου, σκοτισθῇ ὑπὸ τῶν παθῶν.

36 Εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινὸν, μὴ ἔχον τὶ μέρος σκοτεινὸν, ἔσται φωτεινὸν ὅλον, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε.

Ἀπὸ τοῦ κατὰ τὸ σῶμα παραδείγματος περὶ τῆς ψυχῆς δίδωσι νοεῖν, ἧς μᾶλλον αὐτῷ φροντίς. Ὥσπερ γὰρ ἐπὶ τοῦ σώματος, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς, ἐὰν αὕτη ὅλη φωτεινὴ εἴη, μὴ ἔχουσα μηδὲν μέρος ἐσκοτισμένον πάθει, μήτε τὸ λογιστικὸν, μήτε τὸ θυμικὸν, μήτε τὸ ἐπιθυμητικὸν, ἔσται φωτεινὴ ὅλη οὕτως, ὡς *ὅταν ὁ λύχνος τῇ ἀστραπῇ αὐτοῦ φωτίζῃ σε*, τουτέστι, λαμπροτάτη καὶ φαιδροτάτη.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Περὶ τοῦ Φαρισαίου τοῦ καλέσαντος τὸν Ἰησοῦν.

37 Ἐν δὲ τῷ λαλῆσαι, ἠρώτα αὐτὸν Φαρισαῖός τις, ὅπως ἀριστήσῃ παρ' αὐτῷ.

Ἐν *τῷ λαλῆσαι*, τὰ ἤδη ῥηθέντα. *Ἠρώτα* δὲ, ἀντὶ τοῦ, παρεκάλει, καθὼς πολλάκις ἡρμήνευται. Τοῦτο δὲ ἐποίει, δεικνύων ἑαυτὸν ἀνώτερον τῶν ἄλλων Φαρισαίων, καὶ τῆς ἐκείνων βασκανίας ἐλεύθερον. Ὁ δὲ Χριστὸς πείθεται, βουλόμενος ἀποχρήσασθαι τῇ τραπέζῃ πρὸς νουθεσίαν τοῦ ἑστιάτορος.

38 Εἰσελθὼν δὲ ἀνέπεσεν. Ὁ δὲ Φαρισαῖος ἰδὼν ἐθαύ-

μασεν, ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου.

Ως ἦν ἔθος, οὐ μόνον Φαρισαίοις, ἀλλὰ καὶ πᾶσιν Ἰουδαίοις. Φησὶ γὰρ ὁ Μάρκος ἐν τῷ ὀκτωκαιδεκάτῳ κεφαλαίῳ (α)· ὅτι *Οἱ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων· καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται* (1), *οὐκ ἐσθίουσιν.* Οὐδαμοῦ μὲν γὰρ αὐτοῖς ὁ θεὸς ἐνετείλατο τὸ τοιοῦτον βάπτισμα· παρέδωκαν δὲ τούτοις οἱ πρεσβύτεροι μετὰ καὶ ἄλλων ἐθῶν καὶ τοῦτο, δοκοῦντες ἀπολούεσθαι πᾶσαν προστριβεῖσαν αὐτοῖς ἐν τῇ ἀγορᾷ κηλίδα.

39 Εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· Νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε· τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας.

Αφορμῆς εὐλόγου δραξάμενος, ἐλέγχει τοὺς Φαρισαίους πάντας διὰ μέσου τοῦ ἑστιῶντος αὐτὸν, ὡς δοκοῦντας μὲν ὑπερέχειν τῶν ἄλλων Ἰουδαίων, ὄντας δὲ καὶ αὐτοὺς ἀσυνέτους. Ποτηρίων δὲ τηνικαῦτα καὶ πινάκων εἰσφερομένων, ἀπὸ τούτων προσφυῶς ἔλαβε τὸ παράδειγμα, διὰ τούτων αἰνιττόμενος ἕκαστον Φαρισαῖον. Καὶ ἔξωθεν μὲν αὐτοῦ λέγει, τὸ σῶμα, ὡς φαινόμενον· ἔσωθεν δὲ, τὴν ψυχὴν, ὡς κεκρυμμένην. Διασύρει γοῦν αὐτοὺς, ὡς τὸ μὲν σῶμα καθαίροντας, τὴν δὲ ψυχὴν ἐῶντας ἀκάθαρτον· τὸ γὰρ δηλωθὲν βάπτισμα τὸν σωματικὸν μόνον ῥύπον ἀποσμήχειν δύναται. Εἶπε δὲ ταῦτα κατὰ τῶν Φαρισαίων καὶ ἐν τῷ πεντηκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

40 Ἄφρονες! οὐχ ὁ ποιήσας τὸ ἔξωθεν, καὶ τὸ ἔσωθεν ἐποίησε;

Ενὸς πλάστου ποίημα καὶ τὸ σῶμα καὶ ἡ ψυχή. Διὰ τί οὖν

(α) Μαρκ. Ζ', 3. 4.—Ματθ. ΙΕ', 1. (1) Παρ' ἀμφοτέροις τοῖς χειρογράφοις γράφεται καὶ ἐν τῷ κειμένῳ τοῦ κατὰ Μάρκον Εὐαγγελίου, ῥαντίσωνται, καθὼς καὶ εἰς τὴν ἑρμηνείαν τοῦ Ματθ, ΙΕ', 1. Μόνον ἐνταῦθα γράφεται, βαπτίσωνται, ὡς γράφεται κοινῶς παρὰ τῷ Μάρκῳ.

οὐχὶ καὶ ταύτην καθαρίζετε; Ἐν δὲ τῷ δηλωθέντι κεφαλαίῳ φανερώτερον εἴρηκε· *Φαρισαῖε τυφλέ! καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν* (α)· καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν.

41 Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην· καὶ ἰδοὺ, πάντα καθαρὰ ὑμῖν ἐστιν.

Δείξας περιττὸν καὶ μάταιον τὸ εἰρημένον βάπτισμα, λοιπὸν χωρεῖ κατὰ τῆς φιλαργυρίας, ἥτις μάλιστα κατεκράτει τούτων, καὶ προτρέπεται δι' ἐλεημοσύνης καθαρίσαι καὶ τὸ σῶμα, καὶ τὴν ψυχὴν, λέγων, ὅτι *τὰ ἐνόντα*, ἤγουν, τὰ ἐναποκείμενα (1) χρήματα, *δότε* πένησιν *ἐλεημοσύνην*, καὶ πάντα ὁμοῦ καθαρισθήσονται, καὶ σῶμα καὶ ψυχή.

Οἰκονομικώτατα δὲ τοῦτο εἶπεν, ἀπαλλάξαι τούτους τοῦ ἐπιπολάζοντος τέως πάθους βουλόμενος. Εἰώθασι γὰρ οἱ εὐμήχανοι διδάσκαλοι ἐξαίρειν τὴν ἀρετὴν, ἐφ' ἣν προτρέπονται τοὺς ἀκροωμένους, ἄλλως τε καὶ τοῖς παντελῶς ἐσκοτισμένοις μέγα καὶ τὸ μικρὰ φωτισθῆναι.

42 Ἀλλ' οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ πήγανον, καὶ πᾶν λάχανον· καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ θεοῦ. Ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.

Εν τῷ προῤῥηθέντι πεντηκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον περὶ τούτων ἀκριβῶς ἐῤῥήθη.

43 Οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς.

Καὶ ἐν τῷ πεντηκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον εἴρηκε περὶ αὐτῶν· ὅτι *φιλοῦσι τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς*

(α) Ματθ. ΚΓ', 26. (1) τὰ ὑπάρχοντα ὑμῖν. Θεοφυλακτ. Σελ. 398. C.

ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς (α)· καὶ ἀνάγνωθι τὴν τούτων ἑρμηνείαν.

44 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ,
ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι,
οἱ περιπατοῦντες ἐπάνω, οὐκ οἴδασιν.

Εἴρηται καὶ περὶ τούτων ἐν τῷ πεντηκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἔνθα ἡρμηνεύθη τό· *Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις*, καὶ τὰ ἑξῆς (β).

45 Ἀποκριθεὶς δέ τις τῶν νομικῶν, λέγει αὐτῷ· Διδά-
σκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις.

Τοῖς ὁμοίοις καὶ αὐτὸς πάθεσιν ἐνεχόμενος, ἔγνω, ὅτι κατὰ πάντων ταῦτα λέγει, τῶν τὰ ἴσα πλημμελούντων.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

Περὶ τοῦ ταλανισμοῦ τῶν νομικῶν.

46 Ὁ δὲ εἶπε· Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαὶ, ὅτι φορ-
τίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ
αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε
τοῖς φορτίοις.

Ἐν τῷ πεντηκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον καὶ περὶ τούτων ἐῤῥήθη, ἔνθα κεῖται τό· *Δεσμεύουσι φορτία βαρέα καὶ δυσβάστακτα, καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων*, καὶ τὰ ἑξῆς (γ)· καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν. Χρήσιμος δὲ ὁ εὔκαιρος ἔλεγχος, κατασπῶν τὴν ματαίαν τῶν ἀλαζόνων ὀφρῦν.

47 Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προ-

(α) Ματθ. ΚΓ', 6. (β) Ματθ. ΚΓ', 27. (γ) Ματθ. ΚΓ', 4.

φητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς.
48 Ἄρα μαρτυρεῖτε, καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν
πατέρων ὑμῶν· ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτοὺς,
ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ μνημεῖα.

Φανερώτερον περὶ τούτων ὁ Ματθαῖος ἔγραψεν ἐν τῷ πεντηκοστῷ ἕκτῳ κεφαλαίῳ, καὶ ἀνάγνωθι τὴν ἐν ἐκείνῳ διασάφησιν, καὶ ἀπ' ἐκείνης εὔληπτα καὶ ταῦτά σοι γενήσονται.

49 Διὰ τοῦτο καὶ ἡ σοφία τοῦ θεοῦ εἶπεν· Ἀποστελῶ
εἰς αὐτοὺς προφήτας, καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν
ἀποκτενοῦσι καὶ ἐκδιώξουσιν·

Σοφίαν τὴν ἑαυτοῦ λέγει, ἢ καὶ ἑαυτὸν ὀνομάζει *σοφίαν τοῦ θεοῦ*. Ἐν τῷ ῥηθέντι γὰρ κεφαλαίῳ φησὶν ὁ Ματθαῖος εἰπεῖν αὐτὸν, ὅτι· *Ἰδοὺ, ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας, καὶ σοφοὺς, καὶ γραμματεῖς*, καὶ τὰ ἑξῆς (α), ἐν ᾧ τὴν ἐξήγησιν εὑρήσεις ἀνελλιπῶς ἔχουσαν. Τύπῳ δὲ νῦν προφητείας χρησάμενος, προλέγει τὸ μέλλον.

50 Ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν, τὸ
ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου, ἀπὸ τῆς γενεᾶς
51 ταύτης· ἀπὸ τοῦ αἵματος Ἄβελ, ἕως τοῦ αἵματος
Ζαχαρίου, τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστη-
ρίου καὶ τοῦ οἴκου.

Ἐκεῖ καὶ ταῦτα κατὰ λόγον ἡρμηνεύθησαν.

51 Ναὶ λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς
ταύτης.

Ὁμοίως καὶ ταῦτα.

52 Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς
γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχο-
μένους ἐκωλύσατε.

Ἐν τῷ τοιούτῳ πεντηκοστῷ ἕκτῳ κεφαλαίῳ ζήτησον τό· *Οὐαὶ*

(α) Ματθ. ΚΓ', 34.

ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων (α), ἔνθα σαφὴς τέθειται ἡ ἐξήγησις.

53 Λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτοὺς, ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν, καὶ ἀποστοματίζειν αὐτόν·

Ε*νέχειν*, ἤγουν, ἐγκοτεῖν, ὀργίζεσθαι. Τινὰ δὲ τῶν ἀντιγράφων, *ἐλέγχειν*, γράφουσιν, εἴτουν, διαλέγεσθαι. Τὸ δὲ, *ἀποστοματίζειν*, δηλοῖ τὸ, ἀπαιτεῖν αὐτοσχεδίους καὶ ἀνεπισκέπτους ἀποκρίσεις ἐρωτημάτων δολερῶν.

53 Περὶ πλειόνων (1) ἐνεδρεύοντες αὐτόν,

Εν πολλοῖς προβλήμασιν ἐπιβουλεύοντες αὐτῷ. Εἶτα πρόσκειται καὶ ἡ αἰτία τῆς τοιαύτης μηχανῆς.

54 Ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ.

Ωιοντο γὰρ τῷ αἰφνιδίῳ καὶ ἀπροόπτῳ περιτρέψαι πάντως αὐτόν· ἀλλὰ πανσόφως ἔλυε πάντα, καὶ εὐχερῶς ἀπεκρίνετο.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

Περὶ τῆς ζύμης τῶν Φαρισαίων.

ΚΕΦ. XII, 1 Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε καταπατεῖν ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ· Πρῶτον προσ-

(α) Ματθ. ΚΓ', 14. (1) Παρά τισι μὲν χειρογράφοις στίζεται μετὰ τὸ, περὶ πλειόνων, οὕτω: καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων, ἐνεδρεύοντες αὐτὸν, καί——· παρά τισι δὲ τίθεται ἡ στιγμὴ πρὸ τοῦ, περὶ πλειόνων, οὕτω:——αὐτὸν, περὶ πλειόνων ἐνεδρεύοντες αὐτὸν, ζητοῦντες——, καὶ οὕτως ἀνέγνωσε καὶ ἡρμήνευσε καὶ ὁ Εὐθύμιος.

έχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις.

Επεὶ ἐν ὑποκρίσει καὶ νῦν ἠρώτων, φανερῶς μὲν ζητοῦντες μαθεῖν, κρυφίως δὲ ἐπιβουλεύοντες, ἐξασφαλίζεται τοὺς μαθητὰς, φυλάττειν ἑαυτοὺς ἀπὸ τῆς ὑποκρίσεως αὐτῶν, καὶ μὴ ἁπλῶς αὐτῇ περιπίπτειν. Παρήγγειλε δὲ αὐτοῖς περὶ τῆς τοιαύτης ζύμης καὶ ἐν τῷ τριακοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

[*Μυριάδας* (1) οἶμαι λέγειν, τὴν πολυπλήθειαν τοῦ ὄχλου. Εἰώθαμεν γὰρ μυρίους λέγειν, τοὺς πολλούς.]

2 Οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν, ὃ οὐκ ἀποκαλυφθήσεται· καὶ κρυπτὸν, ὃ οὐ γνωσθήσεται.

Καὶ ταῦτα περὶ τῆς ὑποκρίσεως αὐτῶν εἶπε, διδάσκων, ὅτι ἐλεγχθήσεται ἐν ἡμέρᾳ τῆς παγκοσμίου κρίσεως. Καὶ ἐπεὶ πᾶν διαγινώσκεται τότε, καὶ πρᾶξις, καὶ λόγος, καὶ νόημα, περιττὴ νῦν καὶ ἄχρηστος ἡ ὑπόκρισις.

3 Ἀνθ' ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται· καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις, κηρυχθήσεται ἐπὶ τῶν δωμάτων.

Εσχημάτισται μὲν πρὸς τοὺς μαθητὰς ὁ λόγος, εἴρηται δὲ καὶ οὗτος περὶ ἐκείνων, ὅτι ὅσα καθ' ἑαυτοὺς ἐνθυμηθῶσιν, ἢ καὶ πρὸς ἀλλήλους λάθρα κοινολογήσωνται, πάντα τότε δημοσιευθήσονται παρὰ τοῦ πάντα γινώσκοντος θεοῦ. *Φῶς* γὰρ καὶ *δώματα*, τὴν δημοσίευσιν ὠνόμασε. Τὸ δὲ, *ἀνθ' ὧν*, ἀντὶ τοῦ, διὰ τοῦτο, διότι οὐδὲν κρυβήσεται.

Ταῦτα δὲ καὶ ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον μετεχειρίσατο καθ' ἑτέραν ἔννοιαν.

4 Λέγω δὲ ὑμῖν τοῖς φίλοις μου· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ
5 ἐχόντων περισσότερόν τι ποιῆσαι. Ὑποδείξω δὲ

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

ὑμῖν, τίνα φοβηθῆτε· φοβήθητε τὸν, μετὰ τὸ ἀπο-
κτεῖναι, ἐξουσίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν·
ναὶ λέγω ὑμῖν, τοῦτον φοβήθητε.

Ω ἀπείρου ταπεινώσεως καὶ ἀγάπης! Φίλους καλεῖ τοὺς δούλους, εἰδὼς, ὅτι φιλοῦσιν αὐτὸν ἐν ὅλῃ καρδίᾳ, καὶ ἐν ὅλῃ ψυχῇ, καὶ ἐν ὅλῃ διανοίᾳ. Τὸ δὲ, *Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων* (Ι) *τὸ σῶμα*, καὶ τὰ ἑξῆς, εἶπε καὶ ἐν τῷ δηλωθέντι ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐκεῖ τὴν τούτων ἐξήγησιν. Ἐν διαφόροις γὰρ καιροῖς πολλάκις τὰ αὐτὰ παραινεῖ τοῖς ἀποστόλοις, ἐνσημανθῆναι ταῦτα ταῖς ψυχαῖς αὐτῶν βουλόμενος.

6 Οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύο, καὶ
ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ
7 θεοῦ; Ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν
πᾶσαι ἠρίθμηνται. Μὴ οὖν φοβεῖσθε· πολλῶν στρου-
θίων διαφέρετε.

Ομοίως εἶπε καὶ ταῦτα ἐν τῷ τοιούτῳ κεφαλαίῳ (α)· πλὴν ἐκεῖ μὲν *δύο στρουθία ἀσσαρίου πωλεῖσθαι* εἴρηκεν· ἐνταῦθα δὲ, *πέντε στρουθία ἀσσαρίων δύο*. Καὶ εἰκὸς, τότε μὲν, ἑτέρως· νῦν δὲ, ἑτέρως ταῦτα πωλεῖσθαι. Ἀνάγνωθι οὖν κἀκεῖ τὴν ἐξήγησιν.

8 Λέγω δὲ ὑμῖν· Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμ-
προσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου
ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ
9 θεοῦ. Ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων,
ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ.

Ωσαύτως καὶ ταῦτα ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καθεξῆς εἴρηκεν. Ἀλλ' ἐκεῖ μὲν, *Ἐνώπιον τοῦ πατρός μου τοῦ ἐν οὐρα-*

(Ι) ἀποκτεννόντων, παρὰ τῷ Α. (α) Ματθ. Ι', 29.

νοῖς εἶπεν (α)· ἐνταῦθα δὲ, *Ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ*. Ἔστι δὲ ἀδιάφορον. Τῷ πατρὶ γὰρ αὐτοῦ, καὶ αὐτῷ, καὶ τῷ ἁγίῳ πνεύματι, οἱ ἄγγελοι παρίστανται κατὰ τὸν καιρὸν τῆς κρίσεως.

10 Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου,
ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ ἅγιον Πνεῦμα βλα-
σφημήσαντι οὐκ ἀφεθήσεται.

Ζήτησον ἐν τῷ εἰκοστῷ δευτέρῳ κεφαλαίῳ τὴν ἑρμηνείαν τοῦ· *Καὶ ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ* (β), καλῶς τε καὶ ἀνελλιπῶς ἔχουσαν.

11 Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς
καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε,
12 πῶς ἢ τί ἀπολογήσησθε, ἢ τί εἴπητε· τὸ γὰρ ἅγιον
Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

Εἶπε ταῦτα καὶ ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ἀνάγνωθι ἐν ἐκείνῳ τὴν ἐξήγησιν τοῦ· *Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε, πῶς ἢ τί λαλήσητε* (γ).

ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

Περὶ τοῦ θελήσαντος μερίσασθαι τὴν οὐσίαν.

13 Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου· Διδάσκαλε, εἰπὲ
τῷ ἀδελφῷ μου μερίσασθαι μετ' ἐμοῦ τὴν κληρο-
14 νομίαν. Ὁ δὲ εἶπεν αὐτῷ· Ἄνθρωπε, τίς με κατέ-
στησε δικαστὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς;

Πρᾴως αὐτὸν, ὡς σμικρολόγον, ἀπεπέμψατο. Ἐρασιχρήματος

(α) Ματθ. Ι', 32.—Παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ κειμένῳ τοῦ Ματθαίου γράφεται, ἔμπροσθεν. (β) Ματθ. ΙΒ', 32. (γ) Ματθ. Ι', 19.

γὰρ ὢν καὶ φιλοκτήμων, ἀφῆκε μὲν αἰτεῖν ἀναγκαῖόν τι τῇ ψυχῇ, καὶ χρήσιμον εἰς σωτηρίαν αὐτῆς, ἐζήτησε δὲ σωματικὸν, πλείονα φροντίδα τοῦ σώματος παρὰ τὴν ψυχὴν ποιούμενος. Ἐμέμψατο οὖν τὴν αἴτησιν αὐτοῦ ὁ Χριστὸς, ἀποκριθεὶς, ὅτι οὐ χρημάτων μεριστὴς, ἀλλὰ βασιλείας οὐρανίου κληροδότης ἐλήλυθα.

15 Εἶπε δὲ πρὸς αὐτούς· Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας·

Εὐκαίρου λαβόμενος ἀφορμῆς, διαμαρτύρεται πρὸς τοὺς μαθητὰς, *πλεονεξίαν* λέγων τὸ, πλέον ἔχειν τοῦ ἀρκοῦντος, ἤτοι τοῦ ἀναγκαίου.

15 Ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ.

Οὐκ *ἐν τῷ περισσεύειν τινὶ ἀνθρώπῳ* πλοῦτον ἡ ζωὴ αὐτῷ (1) παραμένει ἐκ τῆς τοιαύτης περιουσίας αὐτοῦ. Παραινεῖ τοίνυν φεύγειν τὴν πλεονεξίαν, διότι οὐκ ἐκ ταύτης προστίθεται μέτρον ζωῆς. Εἶτα ἐπιφέρει καὶ παραβολὴν, ἐμφαίνουσαν, ὅτι ἡ πλεονεξία μερίμνας μὲν καὶ λύπας προξενεῖ· ζωὴν δὲ προσθεῖναι οὐ δύναται. Καὶ λοιπὸν τὸ πλεονεκτεῖν, οὐ μόνον ἀνόνητον, ἀλλὰ καὶ βλαβερόν.

ΚΕΦΑΛΑΙΟΝ Μϛʹ.

Περὶ οὗ εὐφόρησεν ἡ χώρα πλουσίου.

16 Εἶπε δὲ παραβολὴν πρὸς αὐτοὺς, λέγων· Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα.

Χώραν, τὰ γήδια λέγει.

(1) Αὐτῷ, ἀντὶ τοῦ, αὐτοῦ, ἀναγινώσκεται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις καὶ ἐν τῷ κειμένῳ. Εὐκαίρως προστίθησιν ὁ Θεοφύλακτος Σελ. 347. C. Ἐπειδὴ γὰρ οἱ φιλόπλουτοι δοκοῦσιν, ὡς φιλόζωοι, περιέπειν τὸν πλοῦτον κ. τ. λ.»

17 Καὶ διελογίζετο ἐν ἑαυτῷ, λέγων· Τί ποιήσω; ὅτι οὐκ ἔχω, ποῦ συνάξω τοὺς καρπούς μου.

Βουλόμενος μὲν πάντας τοὺς καρποὺς ἔχειν, διὰ πλεονεξίαν, μὴ δυνάμενος δὲ, διὰ τὸ πλῆθος αὐτῶν, ἐξαπορεῖται καὶ στενοχωρεῖται, ὡς ἄγαν πένης, ὁ ἄγαν πλούσιος. Οἶδε γὰρ στενοχωρεῖν, οὐχ ἡ πενία μόνον, ἀλλὰ καὶ ὁ πλοῦτος· ἡ μὲν, τῇ ἀπορίᾳ τῶν ἀναγκαίων· ὁ δὲ, τῷ πόρῳ τῶν περιττῶν, ὅταν μὴ λόγον ἔχωσι κυβερνήτην.

Καὶ βλέπε μοι βαθεῖαν ἄνοιαν! Δέον γὰρ κενῶσαι τοὺς παλαιοὺς καρποὺς εἰς γαστέρας πενήτων, ἢ καὶ τῶν νεωςὶ γεωργουμένων ἀπόμοιραν τοῖς πτωχοῖς δωρήσασθαι, καὶ οὕτω ποιῆσαι μὲν καὶ εὐρυχωρίαν, εὐχαριστῆσαι δὲ καὶ τῷ δωρησαμένῳ τὴν εὐφορίαν Θεῷ, τοῦτο μὲν οὐκ ἐνενόησε, σκοτισθεὶς ὑπὸ τῆς πλεονεξίας· ἕτερον δὲ τρόπον ἐνθυμεῖται ταύτης ἐπάξιον.

18 Καὶ εἶπε· Τοῦτο ποιήσω· καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω· καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου, καὶ τὰ ἀγαθά μου.

Ἄφρονι συμβούλῳ ἑαυτῷ χρησάμενος, ἐσκέψατο πάντα ὑποδέξασθαι μόνος, ἵνα πάντας ἀποστερήσῃ τῆς ἀπ' αὐτῶν ὠφελείας, οὐ συνορῶν, ὅτι οὐ δι' αὐτὸν μόνον, ἀλλὰ καὶ διὰ τοὺς ἐνδεεῖς ἡ χώρα αὐτοῦ εὐφόρησε· καὶ οὐχ ἵνα κερδαίνῃ τοὺς καρποὺς, ἀλλ' ἵνα οἰκονομῇ τούτους, καὶ διανέμῃ καὶ τοῖς πένησιν. Εἰ γὰρ δι' αὐτὸν μόνον εὐφόρησε, μόνα ἀνέφυσε τὰ ἀρκοῦντα τούτῳ (1).

19 Καὶ ἐρῶ τῇ ψυχῇ μου· Ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου.

Ὦ πλούσιε! Ἔχεις μὲν πολλὰ ἀγαθά· πόθεν δὲ γινώσκεις,

(1) Εὐφυῶς περὶ τοῦ αὐτοῦ ὁ Θεοφύλακτος Σελ. 408. Α. «Ὁ δὲ οὕτως ἦν ἄκαρπος περὶ τὴν εὐσπλαγχνίαν, ὥστε πρὶν ἢ λαβεῖν, συνεῖχεν.»

ὅτι ἀπόκεινται εἰς ἔτη πολλά; Αὐτοί τε γὰρ οἱ καρποὶ, καὶ σὺ μετὰ τούτων, εὔφθαρτοί ἐστε καὶ πρόσκαιροι· διὸ καὶ εἰκότως ἄφρων ἐκλήθης.

20 Εἶπε δὲ αὐτῷ ὁ θεός· Ἄφρον! ταύτῃ τῇ νυκτὶ τὴν
ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ·

Εἶπεν αὐτῷ ταῦτα, διὰ τοῦ συνειδότος. Τότε γὰρ τὸ συνειδὸς, αἰσθόμενον τοῦ θανάτου, τοιαῦτα διαλέγεται. Καὶ ὅρα, πῶς *οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτῷ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ* (α), καὶ πῶς τὰ περιττὰ, μέριμναν μὲν αὐτῷ προεξένησαν, ὡς εἴρηται· ζωὴν δὲ προσθεῖναι οὐκ ἠδυνήθησαν.

20 Ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;

Οὐ μόνον γὰρ, ἃ ἐθησαύρισας, σοὶ οὐκ ἔσται, σὰ οὐ γενήσεται· ἀλλ' οὐδὲ δῆλόν σοι, τίνος ἔςαι ταῦτα, εἴτε κληρονόμου, εἴτε ξένου, εἴτε φίλου, εἴτε ἐχθροῦ, ὃ καὶ αὐτὸ προσθήκη λύπης ἐςίν.

21 Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς θεὸν πλουτῶν.

Ὁ θησαυρῷ πεποιθὼς, καὶ μὴ εἰς θεὸν θαῤῥῶν, ὁ ταμιευόμενος ἑαυτῷ τὰ πρόσκαιρα, καὶ μὴ κατὰ θεὸν πλουτῶν· κατὰ θεὸν δὲ πλοῦτος, ἡ κτῆσις τῶν ἀρετῶν.

22 Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Διὰ τοῦτο ὑμῖν
λέγω, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε·
23 μηδὲ τῷ σώματι, τί ἐνδύσησθε. Ἡ ψυχὴ πλεῖόν ἐστι
τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος.

Εἶπε ταῦτα καὶ ἐν τῷ ~~πέμπτῳ~~ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐν ἐκείνῳ τὴν ἐξήγησιν τοῦ· *Διὰ τοῦτο λέγω ὑμῖν· Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε ἢ τί πίητε· μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε*, καὶ τὰ ἑξῆς (β).

24 Κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν, οὐδὲ
θερίζουσιν· οἷς οὐκ ἔστι ταμεῖον, οὐδὲ ἀποθήκη·

(α) Λουκ. ΙΒ', 15. (β) Ματθ. ς', 25.

καὶ ὁ θεὸς τρέφει αὐτούς· πόσῳ μᾶλλον ὑμεῖς δια-
φέρετε τῶν πετεινῶν;

Ἐν ἐκείνῳ καὶ περὶ τούτων εὑρήσεις.

25 Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ
26 τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Εἰ οὖν οὔτε ἐλά-
χιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε;

Ἐκεῖ καὶ περὶ τούτου εἴρηται. *Ἐλάχιστον* δὲ λέγει, τὴν πηχυαίαν προσθήκην τῆς ἡλικίας.

27 Κατανοήσατε τὰ κρίνα, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ
νήθει· λέγω δὲ ὑμῖν, οὐδὲ Σολομῶν ἐν πάσῃ τῇ δό-
28 ξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. Εἰ δὲ τὸν
χόρτον ἐν τῷ ἀγρῷ σήμερον ὄντα, καὶ αὔριον εἰς
κλίβανον βαλλόμενον, ὁ θεὸς οὕτως ἀμφιέννυσι,
πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι;

Καὶ περὶ τούτων ἐν τῷ ῥηθέντι κεφαλαίῳ διελάβομεν.

29 Καὶ ὑμεῖς μὴ ζητεῖτε, τί φάγητε, ἢ τί πίητε· καὶ
30 μὴ μετεωρίζεσθε. Ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ
κόσμου ἐπιζητεῖ· ὑμῶν δὲ ὁ πατὴρ εἶδεν, ὅτι χρή-
31 ζετε τούτων. Πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ
θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Ἔτι καὶ περὶ τούτων, καὶ ἀνάγνωθι ἐκεῖ τὴν τῶν εἰρημένων πάντων ἐξήγησιν, ἀκριβῶς ἐκτεθειμένην.

Μετεωρισμὸν δὲ νόει μοι νῦν, τὸν περισπασμὸν, τὸν ἀπὸ τῶν οὐρανίων ἐπὶ τὰ γήϊνα.

[Ἢ (1) τὴν ὑψηλοφροσύνην.]

32 Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον·

Ἀποστήσας τῆς σωματικῆς μερίμνης, κελεύει, μὴ φοβεῖσθαι

(1) Τὰ παρεντεθειμένα παρὰ μὲν τῷ Β, ἀναγινώσκονται ἐν τῷ κειμένῳ, παρὰ δὲ τῷ Α, ἐν τῷ περισελιδίῳ.

τὴν ἔνδειαν τῆς σωματικῆς χρείας. *Μικρὸν δὲ ποίμνιον* λέγει, τὸ σύστημα τῶν πιστῶν, ὅσον πρὸς τὸ μέγεθος τῆς ἀγγελικῆς πληθύος· ἐν τῇ παραβολῇ γὰρ, τοὺς μὲν ἀγγέλους, ἐννενηκονταεννέα πρόβατα εἶπε· τοὺς δὲ πιστοὺς, ἕν.

Ἢ καὶ πρὸς τὸ μέγεθος τοῦ πλήθους τῶν ἀπίστων.

Ἢ καὶ διὰ τὴν ἑκούσιον ταπείνωσιν τοῦ τοιούτου ποιμνίου. Εἶτα προστίθησι καὶ τὴν αἰτίαν τοῦ μὴ φοβεῖσθαι.

32 Ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν.

Εἰ δὲ τὴν οὕτω μεγάλην καὶ ἐξαίρετον ἀπόλαυσιν δίδωσι, δώσει πάντως καὶ τὰ ἀναγκαῖα καὶ ζωαρκῆ.

33 Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην.

Αὕτη ἡ ἐντολὴ πρὸς τοὺς ἔχοντας (1) ἀποτέταται.

33 Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς· ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει.

Βαλάντιον μέν ἐστιν, ὁ θησαυρός· *μὴ παλαιούμενον* δὲ, τὸ ἀνέκλειπτον· διὸ καὶ ἐφερμηνευτικός ἐστιν ὁ δεύτερος λόγος. Ἀνάγνωθι δὲ καὶ ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἑρμηνείαν τοῦ· *Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς*, καὶ τὰ ἑξῆς (α), ἔνθα καὶ περὶ τῶν ἑξῆς εὑρήσεις.

34 Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται.

Ἀκολούθως ἐκεῖ καὶ περὶ τούτων ἐῤῥήθη.

35 Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι·

Διὰ μὲν τοῦ κελεύειν *περιεζῶσθαι*, τὴν πρακτικὴν ἀρετὴν

1) τοὺς πλουσίους. (α) Ματθ. ς', 19.

ὑποτίθεται· διὰ δὲ τοῦ ἐπιτάττειν *λυχναπτεῖν*, τὴν θεωρητικήν. Εἰώθασι γὰρ καὶ οἱ ἐργαζόμενοι, τὰς ὀσφύας περιεζῶσθαι, καὶ οἱ νήφοντες, λύχνους καίειν, οἱ μὲν, ἵνα εὐσταλῶς πράττωσιν· οἱ δὲ, ἵνα θεωροῦντες διάγωσι.

Καὶ ἑτέρως δέ· ἡ μὲν τῶν ὀσφύων περίζωσις, τὴν τοῦ ἐπιθυμητικοῦ περιδέσμευσιν διακελεύεται· ἐν ταῖς ὀσφύσι γὰρ κεῖται τὸ ἐπιθυμητικόν· ἡ δὲ τῶν λύχνων καῦσις, εἴτουν, ἀνάκαυσις καὶ ἄναψις, τὴν λαμπρότητα τοῦ τε ἐνδιαθέτου λόγου καὶ τοῦ προφορικοῦ διατάττεται. Χρὴ γὰρ τούτους ἀεὶ λάμπειν καὶ φωτίζειν, τὸν μὲν ἡμᾶς· τὸν δὲ, τοὺς ὑφ᾽ ἡμῶν διδασκομένους.

36 Καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων·

Διὰ παραβολῆς ἐνέφηνεν ἑτοιμάζεσθαι πρὸς ἀπάντησιν αὐτοῦ, πάντα καλῶς διατεθειμένους καὶ ἀναμένοντας αὐτὸν, μέλλοντα πάλιν ἥξειν ἐξ οὐρανοῦ. Διὰ τοῦτο γὰρ *ἀνάλυσιν* μὲν ὠνόμασε, τὴν μετὰ τὸ ἀναβῆναι χρονίαν αὐτοῦ κάθοδον· *γάμους* δὲ, τὴν ἄνω εὐφροσύνην καὶ ἀγαλλίασιν.

36 Ἵνα ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ.

Τουτέστιν, ἵνα αἰσθόμενοι τῆς παρουσίας αὐτοῦ, προθύμως καὶ μετὰ χαρᾶς ἀπαντήσωσιν, οὐδέν τι πονηρὸν συνειδότες ἑαυτοῖς. Περαιτέρω γὰρ οὐ περιεργαστέον τὴν παραβολήν.

37 Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας·

Γρηγοροῦντας ἔτι, διὰ τὸ ἐν ἐγρηγόρσει ἀποθανεῖν αὐτούς. Ἀρετὴ γὰρ τῆς ψυχῆς οὖσα ἡ ἐγρήγορσις, συμπαραμένει αὐτῇ.

Τινὲς δὲ ἀπὸ τῆς ἀναλύσεως καὶ τῆς ἐλεύσεως καὶ κρούσεως ἐνόησαν, ὅτι ὁ Χριστὸς αὐτὸς ἐπιδημεῖ ταῖς τελευταῖς τῶν δικαίων, καὶ οὐ μόνον τούτων, ἀλλὰ καὶ τῶν ἁμαρτωλῶν.

Καὶ τοῦτο βεβαιοῦσιν, ἀπὸ τοῦ εἰπεῖν τὸν Θεὸν τῷ πλουσίῳ· *Ἄφρον! ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ* (α).
Ἕτεροι δὲ τὸ τοιοῦτον νόημα δεχόμενοι, φασὶν ἐπιδημίαν Χριστοῦ, τὸν λόγον αὐτοῦ, τὸν μετακαλούμενον τηνικαῦτα τοὺς μὲν δικαίους εἰς χαράν, τοὺς δὲ ἁμαρτωλοὺς, εἰς λύπην.

37 Ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς.

Περιζώσεται, τῇ δικαιοσύνῃ τῆς ἀνταποδόσεως, *καὶ ἀνακλινεῖ αὐτοὺς*, εἰς ἀνάπαυσιν αἰώνιον, ὡς δι' αὐτὸν κεκοπιακότας, *καὶ διακονήσει αὐτοῖς* διανομὴν τῶν ἀξίων ἀμοιβῶν.

38 Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτω, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι.

Ἐπειδὴ νυκτὶ ἔοικεν ὁ παρὼν βίος, διὰ τὴν κατακεχυμένην αὐτῷ ζόφωσιν καὶ πλάνην ἀπὸ τῶν δαιμόνων καὶ τῶν παθῶν, εἰκότως εἰς διαφόρους φυλακὰς αὐτὸν διαιρεῖ. Οἱ παλαιοὶ γὰρ νυκτοφύλακες εἰς τρεῖς φυλακὰς τὴν νύκτα διεῖλον, τινὲς δὲ, εἰς τέσσαρας. Καὶ πρώτην μὲν φυλακὴν λέγει, τὴν κατάστασιν τῶν τελειοτέρων εἰς ἀρετήν· δευτέραν δὲ, τὴν τῶν μέσων· τρίτην δὲ, τὴν τῶν τελευταίων, οἳ σύμπαντες, εἰ εὑρεθῶσιν οὕτως, ὡς προλαβὼν εἶπεν, ἤγουν, ἕτοιμοι κατὰ τὸν τοῦ θανάτου καιρὸν, μακάριοι πάντως, ὡς τῆς μακαρίας ζωῆς μεθέξοντες ἀναλόγως.

39 Τοῦτο δὲ γινώσκετε, ὅτι, εἰ ᾔδει ὁ οἰκοδεσπότης, ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν, καὶ οὐκ ἂν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ.

Καὶ ἐν τῷ εἰκοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον εἶπεν· *Ἐκεῖνο δὲ γινώσκετε, ὅτι, εἰ ᾔδει ὁ οἰκοδεσπότης, ποίᾳ*

(α) Λουκ. ΙΒ', 20.

φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν, καὶ τὰ ἑξῆς (α), καὶ ἀνάγνωθι τὴν ἐξήγησιν ἐκεῖ.

40 Καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι· ὅτι, ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Ἐκεῖ καὶ ταῦτα εἴρηται, καὶ ἡρμήνευται.

41 Εἶπε δὲ αὐτῷ ὁ Πέτρος· Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας;

42 Εἶπε δὲ ὁ Κύριος· Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον;

Εἰδὼς ὁ Πέτρος, ὅτι αἱ μὲν τῶν παραβολῶν τε καὶ ἐντολῶν ἰδίᾳ τοῖς ἐξειλεγμένοις μαθηταῖς ἁρμόζουσιν, αἱ δὲ, κοινῇ πᾶσι τοῖς πιστοῖς, εἰκότως ἐρωτᾷ περὶ τῆς παραβολῆς, δηλαδὴ, τῆς λεγούσης, *Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι*, καὶ τὰ ἑξῆς. Τί οὖν ὁ Χριστός; Ἐπιζητήσας τὸν πιστὸν καὶ φρόνιμον οἰκονόμον (1), εἶτα μακαρίσας αὐτὸν, ἔδειξεν, ὅτι περὶ αὐτῶν εἶπε τὴν παραβολήν. Αὐτοὶ γὰρ ἔμελλον οἰκονόμοι γενέσθαι τῶν πιστῶν, διδόντες αὐτοῖς ἐν καιρῷ τὸ σιτομέτριον τῆς διδασκαλίας.

Ἀνάγνωθι δὲ καὶ ἐν τῷ πεντηκοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· *Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος* (β), καὶ πάντων τούτων εὑρήσεις ἐκεῖ τὴν ἑρμηνείαν.

43 Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος
44 αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. Ἀληθῶς λέγω ὑμῖν,
ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει
αὐτόν.

Ἐκεῖ καὶ ταῦτα διεσαφηνίσθησαν.

(α) Ματθ. ΚΔ', 43. (1) οἰκοδεσπότην, παρὰ τῷ Β. (β) Ματθ. ΚΔ', 45.

45 Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ·
Χρονίζει ὁ κύριός μου ἔρχεσθαι· καὶ ἄρξηται τύ-
πτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ
46 πίνειν καὶ μεθύσκεσθαι· ἥξει ὁ κύριος τοῦ δούλου
ἐκείνου ἐν ἡμέρᾳ, ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ, ᾗ οὐ
γινώσκει· καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος
αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.

Ἀκολούθως ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καὶ ταῦτα ἐῤῥήθη, καὶ ἡρμηνεύθη.

47 Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυ-
ρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς
τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς.

Περὶ τῶν μελλόντων ποιμαίνειν ἐςὶν ὁ λόγος οὗτος, ἐκφοβῶν τοὺς εἰδότας μὲν πᾶν τὸ θέλημα τοῦ θεοῦ, *μὴ ἑτοιμάζοντας* δὲ, τουτέςι, μὴ ποιοῦντας πρὸς ἀρέσκειαν αὐτοῦ, καὶ διαμαρτυρόμενος, ὅτι δαρήσονται *πολλὰς*, πληγὰς δηλονότι, τουτέστι, κολασθήσονται χαλεπῶς, διότι εἰδότες κατεφρόνησαν.

48 Ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρή-
σεται ὀλίγας.

Καὶ μὴν ἠγνόει τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, ἀλλ' ὅμως δαρήσεται καὶ οὗτος· διότι δυνάμενος γνῶναι, οὐκ ἔγνω, πλὴν οὐ τοσοῦτον· ἐκεῖνος μὲν γὰρ κατεφρόνησεν· οὗτος δὲ ἐρῥαθύμησε· χαλεπωτέρα δὲ ῥαθυμίας ἡ καταφρόνησις. Δηλοῖ δὲ τὸν πιστὸν, τὸν ἀγνοοῦντα τὸ θέλημα τοῦ θεοῦ, διὰ ἀμαθίαν· οἱ γὰρ ἄπιστοι, οὐκ ἐκ ῥαθυμίας ἀγνοοῦσι τὸ θέλημα τοῦ θεοῦ, ἀλλ' ἐξ αὐθαιρέτου πλάνης, καὶ ἀμεταμελήτου κακίας.

48 Παντὶ δὲ ᾧ ἐδόθη πολὺ, πολὺ ζητηθήσεται παρ αὐτοῦ·

Καὶ τοῦτο περὶ τῶν ποιμαινόντων. Τούτοις γὰρ δίδοται πολὺ χάρισμα συνέσεως τοῦ θελήματος τοῦ θεοῦ, πρὸς ὠφέλειαν

τῶν ποιμαινομένων. Διὸ καὶ, ὡς πολλὰ τάλαντα λαβόντες, πολλὰ κέρδη ἀπαιτηθήσονται. Ὅτι δὲ χάρισμα δίδοται τοῖς ποιμαίνουσι, φησὶ καὶ ὁ Παῦλος, γράφων πρὸς Τιμόθεον· *Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου* (α).

48 Καὶ ᾧ παρέθεντο πολὺ, περισσότερον αἰτήσουσιν
αὐτόν.

Παραδειγματικὸς μὲν ο λόγος· ἔστι δὲ καὶ οὗτος περὶ τῶν τοιούτων· ὥσπερ γὰρ, ᾧ παρέθεντό τινες πολὺ κεφάλαιον εἰς ἐμπορίαν, περισσότερον ἀπαιτήσουσιν αὐτὸν, διὰ τὸ ἐξ ἐμπορίας κέρδος· οὕτω καὶ ὁ θεὸς, ᾧ παρέθετο πολὺ χάρισμα, περισσότερον ἀπαιτήσει αὐτόν. Χρεωστεῖ γὰρ, οὐ μόνον τὴν ἑαυτοῦ σωτηρίαν, ἀλλὰ καὶ τὴν τοῦ λαοῦ.

49 Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν·

Πῦρ λέγει νῦν, τὴν εἰς αὐτὸν ἀγάπην καὶ πίστιν, ἐμφαίνων τὸ σφοδρὸν αὐτῆς καὶ δραστήριον, ἣν ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον *μάχαιραν* ὠνόμασε, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν τοῦ· *Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν. Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν* (β).

49 Καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη;

Καὶ τί πλεῖον θέλω, ἐὰν ἀνήφθη; τί πλεῖον ἀναμένω ἐν τῷ κόσμῳ; Ταῦτα δὲ λέγων, ἐδήλου, ὅτι ἤδη ἀνήφθη ἐν τοῖς μαθηταῖς, καὶ ἀναφθὲν οὐκ ἔτι σβεσθήσεται, ἀλλὰ πᾶσαν ἐπιδραμεῖται τὴν οἰκουμένην, καὶ ὅτι λοιπὸν αὐτὸς μεταβήσεται ἀπὸ τῆς ἐνταῦθα ζωῆς.

50 Βάπτισμα δὲ ἔχω βαπτισθῆναι·

Φανερώτερον προαγορεύει περὶ τοῦ θανάτου αὐτοῦ, ὅτι βά-

(α) Α' Τιμ. Δ', 14. (β) Ματθ. Ι', 34.

πτισμα μέλλω βαπτισθῆναι, τὸ δι' αἵματος· *βάπτισμα*, τὴν σφαγὴν αὐτοῦ καλέσας, ὡς καθάρσιον ἡμῶν.

50 Καὶ πῶς συνέχομαι, ἕως οὗ τελεσθῇ;

Καὶ ὡσανεὶ ἀγωνιῶ, διὰ τὴν βραδύτητα. Ἐνέφηνε δὲ, ὅτι ἐπείγεται σφαγῆναι ὑπὲρ ἡμῶν, καὶ ἑκουσίως ἐπιδίδωσιν ἑαυτόν.

51 Δοκεῖτε, ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; Οὐχὶ, λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν.

Καθὼς εἰρήκαμεν ἀνωτέρω, ζήτησον ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· *Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν. Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν* (α).

52 Ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ, καὶ δύο ἐπὶ τρισί.

Ταῦτα τὴν καθ' ἱστορίαν ἐξήγησιν οὐκ ἐπιδεχόμενα, κατὰ ἀναγωγὴν μόνον ἑρμηνευτέον. Ἔστι γὰρ *οἶκος* μὲν *εἷς*, ἡ τοῦ πιστοῦ ψυχή· *πέντε* δὲ, αἱ ἐν αὐτῇ πέντε δυνάμεις, νοῦς, διάνοια, δόξα, φαντασία, καὶ αἴσθησις, αἵτινες πρὸ μὲν τοῦ λόγου τῆς πίστεως ἥνωντο, τουτέστιν, ὡμοφώνουν εἰς φιληδονίαν· μετὰ δὲ τὸ ἐπιδημῆσαι τοῦτον αὐταῖς, διαμερισθήσονται· αἱ τρεῖς μὲν αἱ λογικαὶ, ὁ νοῦς καὶ ἡ διάνοια καὶ ἡ δόξα, κατὰ τῶν δύο ἀλόγων, τῆς τε φαντασίας καὶ τῆς αἰσθήσεως, μὴ συμφωνοῦσαι ταύταις εἰς ἐμπάθειαν· αἱ δύο δὲ αὗται ἄλογοι, κατὰ τῶν τριῶν ἐκείνων τῶν λογικῶν, μὴ συνᾴδουσαι ἐκείναις εἰς ἀπάθειαν, ἕως ἂν ὁ λόγος νικήσῃ τὴν ἀλογίαν.

Καὶ καθ' ἕτερον δὲ τρόπον. Ἐπείπερ ὁ ἄνθρωπος πέντε μὲν ἔχει δυνάμεις τῆς ψυχῆς, τὰς προειρημένας· πέντε δὲ αἰσθήσεις τοῦ σώματος, ὅρασιν, ἀκοὴν, ὄσφρησιν, γεῦσιν, καὶ ἁφὴν, *οἶκος* μὲν ἂν εἴη ὁ ἄνθρωπος· *ἔσονται δὲ πέντε ἐν αὐτῷ διαμεμερισμένοι*, ἤγουν, αἱ τρεῖς μὲν λογικαὶ δυνάμεις τῆς ψυχῆς, νοῦς, διάνοια, καὶ δόξα, κατὰ τῶν ἐπιλοίπων δύο, φαντασίας καὶ αἰσθήσεως· αἱ δύο δὲ τιμιώταται αἰσθήσεις τοῦ σώματος, ὅρασις καὶ ἀκοὴ, κατὰ τῶν λοιπῶν τριῶν, ὀσφρήσεως, γεύσεως καὶ ἁφῆς, διαμαχόμεναι ταύταις καὶ ὑποτάξαι φιλονεικοῦσαι.

(6) Ματθ. Ι', 34.

[Πῶς (1) πέντε εἰπὼν, ἓξ ἐπιφέρει; τρεῖς γὰρ ἐπάγει συζυγίας. Οὐ τὴν προτεθεῖσαν πεντάδα εἰς ἑξάδα ἁπλοῖ· ἀλλὰ διὰ μὲν τῆς πεντάδος, μυστικόν τι δηλοῖ· τὴν ἑξάδα δὲ, παραδείγματος ἕνεκεν παραλαμβάνει. Τί οὖν τὸ διὰ τῆς πεντάδος δηλούμενον (2); Τὸ μετὰ τὴν πίστιν δυσκατάλλακτον καὶ ἀσυμβίβαστον τῶν κατὰ συγγένειαν καὶ σχέσιν πρὸ τῆς πίστεως ἡνωμένων.

Ὥσπερ γὰρ ἐπὶ πέντε τινῶν, ἤγουν, δύο μὲν ἀνθρώπων, τριῶν δὲ πραγμάτων· ἢ τριῶν μὲν ἀνθρώπων, δύο δὲ πραγμάτων· χαλεπή τις καὶ ἀδύνατος ἡ καταλλαγὴ, ὅταν οἱ δύο ἄνθρωποι περὶ τῶν τριῶν πραγμάτων στασιάζωσιν, ἢ τοὐναντίον οἱ τρεῖς περὶ τῶν δύο· ἀνάγκη γὰρ πάντως, ἢ τὸ ἓν τῶν τριῶν πραγμάτων τοῖς δυσὶν ἀνθρώποις ἐπιμερισθῆναι, ἢ τὰ δύο πράγματα εἰς τρία τμηθῆναι· μηδενὸς αὐτῶν ἐπιδεχομένου τυχὸν διαίρεσιν· οὕτω καὶ ἐπὶ τῶν κατὰ συγγένειαν καὶ σχέσιν ἡνωμένων, στασιαζόντων κατὰ τὴν πίστιν, καὶ διαιρουμένων καὶ ἀσυμβατούντων. *Ἔσονταί*, φησι, *δύο ἐπὶ τρισὶ*, τουτέστιν, ὡς δύο ἄνθρωποι ἐπὶ τρισὶ πράγμασι στασιάζοντες, καὶ ὡς τρεῖς ἄνθρωποι πάλιν ἐπὶ δυσὶ πράγμασιν.

Εἶτα τίθησι καὶ παραδείγματα συγγενειῶν καὶ σχέσεων, τῶν γνησιωτάτων μὲν καὶ οἰκειοτάτων ἀλλήλοις, διαιρουμένων δὲ τῇ τμητικωτάτῃ μαχαίρᾳ τῆς κατὰ τὸ κήρυγμα πίστεως, ὧν αἱ μὲν δύο συζυγίαι, καθ' αἷμα, ἡ δὲ τρίτη, ἐξ ἀγχιστείας.

ΕΤΕΡΩΣ ΕΙΣ ΤΟ ΑΥΤΟ. Δύο σχέσεις ἐπὶ τρισὶ συζυγίαις προσώπων, καὶ τρεῖς αὖ συζυγίαι προσώπων ἐπὶ δυσὶ σχέσεσι.

(1) Τὰ ἐνταῦθα παρεντεθειμένα ἀναγινώσκονται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ· ἀναφέρονται δὲ εἰς τὸν στίχ. 53. (2) παραδηλούμενον, παρὰ τῷ Β.

Διπλῆ μὲν γὰρ ἡ σχέσις τῶν πρός τι, ἀπό τε πατρὸς πρὸς υἱὸν, καὶ ἀφ' υἱοῦ πρὸς πατέρα. Καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Τριπλαῖ δὲ ἐνταῦθα αἱ συζυγίαι τῶν προκειμένων προσώπων, πατὴρ καὶ υἱὸς, μήτηρ καὶ θυγάτηρ, πενθερὰ καὶ νύμφη. Τὸ δὲ, *ἐπὶ τρισὶ*, καὶ, *ἐπὶ δυσὶν*, ἀντὶ τοῦ, κατὰ τῶν τριῶν, καὶ κατὰ τῶν δύο, πρὸς διάζευξιν καὶ ἀπαλλοτρίωσιν.]

53 Διαμερισθήσεται πατὴρ ἐφ' υἱῷ, καὶ υἱὸς ἐπὶ πατρί·
μήτηρ ἐπὶ θυγατρὶ, καὶ θυγάτηρ ἐπὶ μητρί· πεν-
θερὰ ἐπὶ τὴν νύμφην αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν
πενθερὰν αὐτῆς.

Ταῦτα τοῖς προῤῥηθεῖσιν οὐ συναπτέον, ἀλλ' ἀφ' ἑτέρας ἀρχῆς ἀναγνωστέον, καὶ καθ' ἱστορίαν ἑρμηνευτέον, δηλοῦντα τὸν διαμερισμὸν τῶν πιστῶν καὶ τῶν ἀπίστων, ὅτι καὶ αἱ γνησιώταται σχέσεις τοῦ γένους διαιρεθήσονται. Ζήτησον δὲ ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· *Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ*, καὶ τὰ ἑξῆς (α), πάνυ τοῖς παροῦσι ῥητοῖς ἁρμόζουσαν.

Κατὰ δὲ ἀναγωγὴν, *πατὴρ* μὲν ἂν εἴη ὁ νοῦς· *υἱὸς* δὲ *αὐτοῦ*, ὁ πονηρὸς λογισμὸς, καθ' οὗ στασιάσει, ἀρνούμενος αὐτὸν, ὡς βλαβερόν. *Μήτηρ* δὲ εἴη ἂν, ἡ καρδία· *θυγάτηρ* δὲ *αὐτῆς*, ἡ πονηρὰ ἐνθύμησις, καθ' ἧς καὶ αὐτὴ στασιάσει, καὶ ἀποῤῥαγήσεται ταύτης. *Πενθερὰ* δὲ ἂν εἴη, ἡ συναγωγὴ τῶν Ἰουδαίων· *νύμφη* δὲ *αὐτῆς*, ἡ ἐκκλησία τῶν χριστιανῶν, ὡς νυμφευθεῖσα τῷ Χριστῷ, ὃς ἦν υἱὸς τῆς δηλωθείσης συναγωγῆς, κατὰ τὸ ἀνθρώπινον· ἐξ αὐτῆς γὰρ ἐβλάστησεν.

54 Ἔλεγε δὲ καὶ τοῖς ὄχλοις· Ὅταν ἴδητε τὴν νεφέλην
ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε· Ὄμβρος
55 ἔρχεται· καὶ γίνεται οὕτω. Καὶ ὅταν νότον πνέοντα,
56 λέγετε· Ὅτι καύσων ἔσται· καὶ γίνεται. Ὑποκρι-

(α) Ματθ. Ι', 35.

ταί! τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε
δοκιμάζειν· τὸν δὲ καιρὸν τοῦτον πῶς οὐ δοκιμάζετε;

Πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ, ἡ ἐπιφάνεια ταύτης κἀκείνου. Λέγει τοίνυν, ὅτι ὑποκρινόμενοι πρόγνωσιν, τὴν ἐπιφάνειαν τῆς γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε διακρίνειν, καὶ ἐκ παρατηρήσεως αὐτῆς προλέγειν τὸ μέλλον· *τὸν δὲ καιρὸν τοῦτον*, τὸν τῆς ἐμῆς παρουσίας δηλονότι, πῶς οὐ διακρίνετε, ἐκ παρατηρήσεως τῶν νομικῶν βίβλων καὶ προφητικῶν, ἐν αἷς κεῖνται σημεῖα τούτου καὶ σύμβολα, ἀφ' ὧν εὐχερῶς οὗτος (1) διαγινώσκεται τοῖς προσέχουσι; Πρὸς τοὺς γραμματεῖς δὲ ὁ λόγος, εἰ καὶ πρὸς τοὺς ὄχλους ἁπλῶς ἐῤῥήθη.

57 Τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον;

Ἐφ' ἕτερον μετέβη λόγον, καὶ παραινεῖ διὰ γνωρίμου παραδείγματος ἀπαλλαγῆναι τοῦ Σατανᾶ, ἤτοι, τῶν ἔργων αὐτοῦ, φάσκων, Διὰ τί καὶ ἀφ' ἑαυτῶν οὐ νοεῖτε τὸ καλὸν, εὐδιάγνωστον ὄν;

58 Ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρ-
χοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ'
αὐτοῦ·

Δὸς ἐργασίαν, ἤγουν, εἰσάγαγε ἔργον, σπουδὴν, ἀγῶνα, ἀπαλλαγῆναι ἀπ' αὐτοῦ. Ὑποδηλοῖ δὲ *ἀντίδικον* μὲν, τὸν Σατανᾶν, τὸν κοινὸν ἐχθρόν· *ἄρχοντα* δὲ, τὸν θεὸν, τὸν πάντων κύριον, πρὸς ὃν ἀπαγόμεθα μετὰ τοῦ ἐχθροῦ, δίκας ἀπαιτηθησόμενοι τῶν πονηρῶν ἔργων ἡμῶν· *ὁδὸν* δὲ, τὸν παρόντα βίον, τὸν ἄστατον, ἐν ᾧ ὁδεύομεν μετὰ τοῦ τοιούτου ἀντιδίκου ἡμῶν. Τοῦτο δὲ τὸ νόημα καθ' ἕτερον μετεχειρίσατο (2) σκοπὸν ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

(1) ὁ καιρός.

(2) Ὁ Χριστὸς δηλονότι, καὶ ἴδ. Ματθ. Ε', 25.

58 Μήποτε κατασύρῃ σε πρὸς τὸν κριτήν.

Ο διάβολος γάρ, εἰ καὶ ἐχθρός ἐστι τοῦ θεοῦ, ἀλλὰ καὶ ἐκδικητής, ὡς ὁ Δαυὶδ ἐδίδαξεν (α).

58 Καὶ ὁ κριτής σε παραδῷ τῷ πράκτορι.

Τῷ ἀγγέλῳ, τῷ ἐπὶ τῶν κολαστηρίων.

58 Καὶ ὁ πράκτωρ σε βάλῃ εἰς φυλακήν.

Εἰς κόλασιν.

59 Λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως οὗ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς.

Εως οὗ πᾶν, ὃ κατεδικάσθης, ὑποστήσῃ, τουτέστιν, οὐ μὴ ἐξέλθῃς ἐκεῖθέν ποτε. Ἀεὶ γὰρ καταδικάζονται κολάζεσθαι οἱ τοιοῦτοι. Οὐδὲν δὲ κωλύει νοεῖν τὰ ῥηθέντα καὶ κατὰ τὴν ἐξήγησιν τὴν ἐν τῷ δηλωθέντι πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ΄.

Περὶ τῶν Γαλιλαίων καὶ τῶν ἐν τῷ Σιλωάμ.

ΚΕΦ. XIII, 1 Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν.

Οὗτοι οἱ Γαλιλαῖοι, τῆς μερίδος ὄντες Ἰούδα τοῦ Γαλιλαίου, διεβλήθησαν ὡς ἀποστάται τοῦ Καίσαρος, καὶ στάσεως ἐμπιπλῶντες κατ᾽ αὐτοῦ τὴν Γαλιλαίαν. Ποτὲ γοῦν ὁμοῦ συνελθόντων καὶ θυόντων, μαθὼν τοῦτο Πιλάτος, καὶ ἀνάζέσας τῷ θυμῷ, πέμπει κατ᾽ αὐτῶν στρατιώτας, καὶ ἀποσφάξας αὐτοὺς, τὸ αἷμα τούτων ταῖς θυσίαις αὐτῶν ἀνέμιξε. Τὰ μὲν οὖν τῆς

(α) Ψαλμ. Η΄, 3. Ὁ Ἐντένιος προσθέτει καὶ τὸ τοῦ ψαλμοῦ « τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν »

ἱστορίας οὕτω. Παρῆσαν δέ τινες Ἰουδαῖοι, ἀπαγγέλλοντες τῷ Χριστῷ περὶ αὐτῶν, ζητοῦντες μαθεῖν, εἰ ὡς ἁμαρτωλοὶ παρὰ πάντας τοὺς ὁμοχώρους Γαλιλαίους τοιαῦτα πεπόνθασιν· οὕτω γὰρ οὗτοι ᾤοντο.

2 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Δοκεῖτε, ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν;
3 Οὐχί, λέγω ὑμῖν· ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε.

Πάντων ἁπλῶς ὄντων ἁμαρτωλῶν, μόνοι ἐκεῖνοι πεπόνθασιν, ἵνα δῶσί τε αὐτοὶ δίκην, καὶ παιδευθῶσιν οἱ ὑπολειφθέντες. Ἐὰν οὖν μὴ μεταβάλλησθε ἀπὸ τοῦ στασιάζειν κατὰ τοῦ βασιλέως ὑμῶν, τοῦ Χριστοῦ δηλονότι, εἰς τὸ ὑποτάττεσθαι αὐτῷ, καὶ ἀπὸ κακίας εἰς ἀρετὴν, *πάντες ὁμοίως ἀπολεῖσθε*, τουτέστι, καὶ αὐτοὶ ἐν ταῖς θυσίαις ἀναιρεθήσεσθε, ἐφ᾽ αἷς βρενθύεσθε καὶ σεμνύνεσθε. Καὶ γέγονεν οὕτως. Ἐν τῇ ἑορτῇ γὰρ τοῦ πάσχα ἐκπολιορκηθέντες ἀνῃρέθησαν ὑπὸ τῶν Ῥωμαίων.

4 Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ᾽ οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ, καὶ ἀπέκτεινεν αὐτοὺς, δοκεῖτε, ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας ἀνθρώπους τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ;
5 Οὐχί, λέγω ὑμῖν· ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε, πάντες ὁμοίως ἀπολεῖσθε.

Καὶ περὶ τούτων ζήτησις ἦν, εἰ ὡς ἁμαρτωλοὶ παρὰ πάντας τοὺς ἐν Ἱερουσαλὴμ τοιοῦτον πικρὸν ἐδέξαντο τέλος; *Ὀφειλέτας* γὰρ νῦν, τοὺς ἁμαρτωλοὺς ὠνόμασεν. Ἀποφαίνεται τοίνυν καὶ περὶ αὐτῶν, καὶ διαμαρτύρεται, ὡς ἐὰν μὴ μεταβληθῶσι, *πάντες ὁμοίως ἀπολοῦνται*, τουτέστι, καὶ αὐτοὶ πικρὸν δέξονται τέλος, ὅπερ ὡσαύτως ἐδέξαντο, χαλεπῶς ἐξαναλωθέντες ὑπὸ τῶν Ῥωμαίων. Μανθάνομεν οὖν ἐντεῦθεν, ὡς ἡ μερικὴ τῶν

ἀδελφῶν ἡμῶν ἐξολόθρευσις, δεῖγμα τῆς κατὰ πάντων θείας ὀργῆς ἐστι, πρὸς διόρθωσιν ἡμῶν γινομένη, διὰ τὴν ἄκραν ἀγαθότητα τοῦ θεοῦ, καὶ οὐ διὰ μόνας τὰς ἐκείνων ἁμαρτίας αὐτοῖς ἐπάγεται. Εἶτα τίθησι καὶ παραβολὴν ἐμφαίνουσαν, ὡς εἰ μὴ μεταβληθῶσιν, ἀπολοῦνται.

6 Ἔλεγε δὲ ταύτην τὴν παραβολήν· Συκῆν εἶχέ τις
ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην· καὶ ἦλθε
7 ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. Εἶπε δὲ
πρὸς τὸν ἀμπελουργόν· Ἰδοὺ, τρία ἔτη ἔρχομαι
ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω·
ἔκκοψον αὐτήν· ἱνατί καὶ τὴν γῆν καταργεῖ;

Συκῆν μὲν ἄκαρπον (1) ὑποδηλοῖ τὴν συναγωγὴν τῶν Ἰουδαίων, φύλλοις μὲν κομῶσαν καὶ θάλλουσαν, εἴτουν, λόγοις νομικοῖς καὶ προφητικοῖς· καρπὸν δὲ μὴ φέρουσαν, ἤγουν, ἀρετήν. *Ἀμπελὼν* δὲ, ὁ κόσμος, ὡς φυτευθεὶς ἐπὶ τῷ ἐνεγκεῖν καρπὸν ἥδιστον τῷ θεῷ· *ἀμπελουργὸς* δὲ, ὁ Χριστὸς, ὡς ἐπιμελούμενος τοῦ τοιούτου ἀμπελῶνος, καὶ φυτηκομῶν τοὺς πιστούς· *ὁ δὲ ἔχων τὴν συκῆν*, ἔστιν ὁ πατήρ· τοῦτον γὰρ μόνον κύριον ἑαυτῆς ἡ συναγωγὴ τῶν Ἰουδαίων ὁμολογεῖ. *Τρία* δὲ *ἔτη*, αἱ τρεῖς πολιτεῖαι τῶν Ἰουδαίων, ἡ ὑπὸ τῶν κριτῶν ἰθυνομένη, καὶ ἡ ὑπὸ τῶν βασιλέων, καὶ ἡ ὑπὸ τῶν ἀρχιερέων. Φησὶν οὖν, *Ἔκκοψον αὐτήν*· διὰ τί καὶ τὴν γῆν καθιστᾷ ἀργήν;

8 Ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ· Κύριε, ἄφες αὐτὴν
καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν,
καὶ βάλω κόπρια.

Παρακαλεῖ ὑπὲρ τῶν Ἰουδαίων, ὡς ἐξ Ἰουδαίων ἐνανθρωπήσας, καὶ ἱκετεύει ὑπὲρ τῶν κατὰ σάρκα συγγενῶν, ἀφεθῆναι καὶ τοῦτο τὸ ἔτος, δηλαδὴ, τὸν καιρὸν, καθ' ὃν ἐδίδασκεν, ἕως

(1) Ἴσως, Συκῆ μὲν ἄκαρπος.

οὗ σκάψῃ τὴν σκληρότητα, τὴν περὶ τὰς ψυχὰς αὐτῶν, τῷ ἐργαλείῳ τῆς παραινέσεως, *καὶ βάλῃ κόπρια* (1) λιπαίνοντα, τουτέστι, διδασκαλίαν πιαίνουσαν εἰς καρποφορίαν.

9 Κᾂν μὲν ποιήσῃ καρπόν·

Ἐλλειπτικὸς ὁ λόγος. Λείπει γὰρ τὸ, *εὖ ἔχει*.

9 Εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν.

Εἰς τὸν μέλλοντα καιρόν· ὑποδηλοῖ δὲ, καθ' ὃν ἐπολιόρκησαν τὴν Παλαιστίνην οἱ Ῥωμαῖοι. Τότε γὰρ παγγενῆ τὴν συναγωγὴν τῶν Ἰουδαίων ἐξέκοψε τῆς γῆς ἐκείνης, καὶ ἀντεφύτευσε τὴν ἐκκλησίαν τῶν χριστιανῶν, τὴν ἀεὶ καρποφοροῦσαν. Εἰ δέ τις εἴποι, Καὶ μὴν, οὐ παντάπασιν ἄκαρπος ἦν ἡ συναγωγὴ τῶν Ἰουδαίων ἐν ταῖς δηλωθείσαις τρισὶ πολιτείαις· ἐκαρποφόρησαν γάρ τινες ἐν αὐταῖς, ἀλλὰ καὶ ἐν τῷ καιρῷ, καθ' ὃν ἐδίδασκεν· ἐροῦμεν, ὅτι τῶν πολλῶν ἡ κακία καλύπτει τῶν ὀλίγων τὴν ἀρετὴν, καὶ τὸ πᾶν ἀπὸ τοῦ πλεονάζοντος κρίνεται.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

Περὶ τῆς ἐχούσης πνεῦμα ἀσθενείας.

10 Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς
11 σάββασι. Καὶ ἰδοὺ, γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθε-
νείας ἔτη δέκα καὶ ὀκτώ·

Δαιμόνιον ἀῤῥωστίας, μὴ ἐῶν αὐτὴν ὑγιᾶναι.

11 Καὶ ἦν συγκύπτουσα, καὶ μὴ δυναμένη ἀνακύψαι
12 εἰς τὸ παντελές. Ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς, προσ-
εφώνησε·

Σπλαγχνισθεὶς ἐκάλεσεν αὐτήν.

(1) Εἰς αὐτὸ τοῦτο τὸ χωρίον ἀφορῶν Γρηγόριος ὁ Ναζιανζηνὸς ἀναγινώσκει, κόπρια, ὡς ἀναγινώσκεται καὶ ἐν τοῖς παλαιοτέροις χειρογράφοις. Ἰδ. Γρηγορ. Ναζ. Σελ. 156. Σελ. 239. Ἐκδ. Βασιλ. 1550.

12 Καὶ εἶπεν αὐτῇ· Γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας
13 σου. Καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας· καὶ παραχρῆμα
ἀνωρθώθη, καὶ ἐδόξαζε τὸν θεόν.

Πιστεύειν καὶ εὐγνωμονεῖν ἔμελλεν ἡ γυνή. Καὶ γὰρ καὶ δι' αὐτὸν ἦλθε, καὶ ἰαθεῖσα εὐχαριστεῖ. Διὸ καὶ ταχέως αὐτὴν ἐθεράπευσε, λόγῳ μὲν, ὡς θεός· ἐπιθέσει δὲ χειρῶν, ὡς ἄνθρωπος.

Ἐτύπου δὲ ἡ γυνὴ αὕτη τὴν κοινὴν ἀνθρωπότητα, ταῖς ἐπηρείαις τοῦ Σατανᾶ ἀσθενήσασαν, καὶ ὑπὸ τῶν παθῶν εἰς γῆν συγκύπτουσαν, καὶ χαμαὶ πρὸς τὰ γεηρὰ συρομένην, καὶ μὴ δυναμένην ἀνακύψαι ὅλως πρὸς τὰ οὐράνια καὶ θεῖα καὶ νοητὰ, ἣν οὕτως ἐλεεινῶς ἔχουσαν, ᾤκτειρεν ὁ πλάστης αὐτῆς, καὶ ἐκάλεσε πρὸς ἑαυτὸν διὰ τοῦ εὐαγγελίου, καὶ ἀνώρθωσεν εἰς τὸ εὐθυπορεῖν τὴν πρὸς οὐρανὸν ἀνάγουσαν ὁδόν.

14 Ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν, ὅτι
τῷ σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς, ἔλεγε τῷ ὄχλῳ·
Ἓξ ἡμέραι εἰσὶν, ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύ-
ταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ
τοῦ σαββάτου.

Πρὸς τὸν Χριστὸν οὐδὲν εἶπεν, εὐλαβούμενος τὴν ὑπερβάλλουσαν ἀρετὴν αὐτοῦ.

15 Ἀπεκρίθη οὖν αὐτῷ ὁ Κύριος, καὶ εἶπεν· Ὑπο-
κριτά! ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν
αὐτοῦ, ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης, καὶ ἀπαγαγὼν
16 ποτίζει; Ταύτην δὲ, θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν
ἔδησεν ὁ σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει
λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ
σαββάτου;

Ὑποκριτὰς (1) ὠνόμασε τοὺς κατὰ τὸν ἀρχισυνάγωγον (2), ὡς ὑποκρινομένους μὲν τιμᾷν τὸν τοῦ σαββάτου νόμον, ἐκδικοῦντας δὲ τὸν φθόνον ἑαυτῶν, καὶ κωλύοντας τὴν ἐν σαββάτῳ θεραπείαν· διότι ἐν σαββάτῳ μάλιστα θεραπεύων, διὰ τὴν τηνικαῦτα συνδρομὴν τῶν ὄχλων, τηνικαῦτα διαφερόντως ἐθαυμάζετο.

(1) Ὑποκριτὰς λέγει, καὶ ὄχι, ὑποκριτήν· διότι καὶ ἐν τῷ κειμένῳ, ὑποκριταὶ, καὶ ὄχι, ὑποκριτὰ, ἀναγινώσκεται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις. (2) κρίνοντας.

Ἢ ὡς ὑποκρινομένους μὲν εἰδέναι τὸν νόμον, ἀγνοοῦντας δὲ τὴν διάνοιαν αὐτοῦ. Εἰ γὰρ τὴν ἐπιμέλειαν τοῦ ἀλόγου ζώου συνεχώρησε, πολλῷ μᾶλλον τὴν τοῦ λογικοῦ. Τιμιώτερος γὰρ τοῦ κτήνους ὁ ἄνθρωπος.

17 Καὶ ταῦτα λέγοντος αὐτοῦ, κατῃσχύνοντο πάντες
οἱ ἀντικείμενοι αὐτῷ·

Διὰ τὸν ἀναντίῤῥητον ἔλεγχον.

17 Καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις
τοῖς γινομένοις ὑπ' αὐτοῦ.

Ὡς ἀπηλλαγμένος βασκανίας, καὶ ὡς εὐεργετούμενος ὑπ' αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ΄.

Περὶ τῶν παραβολῶν.

18 Ἔλεγε δέ· Τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ;
19 καὶ τίνι ὁμοιώσω αὐτήν; Ὁμοία ἐστὶ κόκκῳ σινά-
πεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυ-
τοῦ· καὶ ηὔξησε, καὶ ἐγένετο εἰς δένδρον μέγα, καὶ
τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς
κλάδοις αὐτοῦ.

Ταύτην τὴν ὁμοίωσιν, *παραβολὴν* ὠνόμασεν ὁ Ματθαῖος (α), ἣν καὶ τρίτην ἔταξεν ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ αὐτοῦ. Καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτῆς ἐν ἐκείνῳ.

(α) Ματθ. ΙΓ΄, 31.

20 Καὶ πάλιν εἶπε· Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ
21 θεοῦ; Ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυ-
ψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον.

Ὅλον, τὸ ἄλευρον. Καὶ ταύτην δὲ τὴν ὁμοίωσιν ὡσαύτως *παραβολὴν* ἐκεῖνος ὀνομάσας ἐν ἐκείνῳ τῷ κεφαλαίῳ (α), τετάρτην ἔταξε, καὶ ζήτησον καὶ τὴν ταύτης ἑρμηνείαν ἐκεῖ.

[Ταῦτα (1) ἔχουσιν ἐξήγησιν ἀκριβεστάτην. *Γυνὴ* μέν ἐστιν, ἡ θεοῦ ἐκκλησία· *ζύμη* δὲ, ὁ θεῖος καὶ θεόγραφος νόμος· ψυχῆς τε τριμερία, *τὰ τρία σάτα*, θυμὸς, λόγος, πόθος τε κρειττόνων ἔργων, ἐν οἷς ὁ θεῖος συμφυραθείς πως λόγος, ὅλην συνεζύμωσε τὴν τῆς ψυχῆς φύσιν.]

ΚΕΦΑΛΑΙΟΝ Ν΄.

Περὶ τοῦ ἐπερωτήσαντος, Εἰ ὀλίγοι οἱ σωζόμενοι.

22 Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων,
23 καὶ πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ. Εἶπε δέ
τις αὐτῷ· Κύριε, εἰ ὀλίγοι οἱ σωζόμενοι;

Ἐνταῦθα τὸ, *εἶπεν*, ἀντὶ τοῦ, ἠρώτησε, τέθειται. Τινὲς δὲ τὸ, *εἰ*, ἀντὶ τοῦ, *ἆρα*, ἑρμηνεύουσιν· οἷον, *ἆρα ὀλίγοι οἱ σωζόμενοι;*

24 Ὁ δὲ εἶπε πρὸς αὐτούς· Ἀγωνίζεσθε εἰσελθεῖν διὰ
τῆς στενῆς πύλης·

Πρὸς μὲν τὴν ἐρώτησιν οὐκ ἀπεκρίθη, διὰ τὸ περιττὴν εἶναι καὶ ἀνόνητον· τί γὰρ ὠφελεῖται ὁ μαθὼν, εἴτε ὀλίγοι, εἴτε πολλοὶ οἱ σωζόμενοι; μόνον δὲ τὸν τρόπον εἶπε, δι' οὗ ἄν τις σωθείη, καὶ ἐδίδαξεν, ὅτι χρὴ εἰσελθεῖν εἰς τὴν σωτηρίαν διὰ

(α) Ματθ. ΙΓ΄, 33.

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α ἀπὸ χειρὸς πάντη νεωτέρας.

τῆς στενῆς πύλης· τοῦτο γὰρ ἦν μᾶλλον ἀναγκαῖον μαθεῖν.

Εἴρηται δὲ περὶ τῆς στενῆς πύλης ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν τοῦ· *Εἰσέλθετε διὰ τῆς στενῆς πύλης* (α),

24 Ὅτι πολλοὶ, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν, καὶ
οὐκ ἰσχύσουσιν.

Ὅσοι μὴ διὰ τῆς στενῆς πύλης, ἀλλὰ διὰ τῆς πλατείας ὁδεύουσιν. Ἐκεῖ δὲ καὶ περὶ τῆς πλατείας εὑρήσεις.

25 Ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ ἀποκλείσῃ
τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι, καὶ κρούειν
τὴν θύραν, λέγοντες· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν·
καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν· Οὐκ οἶδα ὑμᾶς, πόθεν
26 ἐστέ. Τότε ἄρξεσθε λέγειν· Ἐφάγομεν ἐνώπιόν σου,
καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας.

Τίθησι παραβολὴν, φόβον ἐπικρεμῶσαν τοῖς ἀμελοῦσι τῆς σωτηρίας αὐτῶν. Πλάττει γὰρ οἰκοδεσπότην τινὰ καθήμενον καὶ ὑποδεχόμενον τοὺς φίλους αὐτοῦ, εἶτα ἐγειρόμενον καὶ ἀποκλείοντα τὴν θύραν τοῦ οἴκου αὐτοῦ, καὶ μὴ συγχωροῦντα τοῖς ἄλλοις εἰσελθεῖν. Νοεῖται δὲ *οἰκοδεσπότης* μὲν, αὐτός· *οἶκος* δὲ, ἡ βασιλεία τῶν οὐρανῶν. Καὶ δηλοῦται διὰ μὲν τοῦ καθέζεσθαι καὶ ὑποδέχεσθαι τοὺς φίλους, τὸ ἀναμένειν ἄχρι τῆς τοῦ κόσμου συντελείας καὶ ὑποδέχεσθαι τοὺς ἀξίους· διὰ δὲ τοῦ ἐγερθῆναι καὶ ἀποκλεῖσαι τὴν θύραν, τὸ τοῦ κόσμου τέλος.

Οἱ δὲ *ἔξω ἑστῶτες*, εἶεν ἂν οἱ ἄπιστοι Ἰουδαῖοι, ζητοῦντες εἰσελθεῖν, καὶ λέγοντες πρὸς τὸν θεόν· *Ὅτι ἐφάγομεν καὶ ἐπίομεν ἐνώπιόν σου*· θύοντες γὰρ ἤσθιον καὶ ἔπινον παρὰ τῷ ναῷ· καὶ ὅτι *ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας*, *πλατείας* ὀνομάζοντες, τὰς συναγωγὰς, ἐν αἷς ὁ θεὸς ἐδίδασκεν αὐτοὺς

(α) Ματθ. Ζ΄, 13.

διὰ τῶν νομικῶν καὶ προφητικῶν βίβλων φθεγγόμενος, αἵτινες ὑπανεγινώσκοντο τούτοις ἐν ταῖς συναγωγαῖς.

Εἶεν δ᾽ ἂν ἔξω ἑστῶτες, καὶ τοιαῦτα λέγοντες, καὶ οἱ ἀμελεῖς πιστοὶ, οἵτινες ἔφαγον καὶ ἔπιον ἐνώπιον αὐτοῦ τὸ τίμιον αὐτοῦ σῶμα, καὶ τὸ ἅγιον (1) αὐτοῦ αἷμα, καὶ ὧν ἐν ταῖς συναγωγαῖς ἐδίδαξε, διὰ τοῦ εὐαγγελίου, καὶ διὰ τῶν ἄλλων θεοπνεύστων Γραφῶν.

27 Καὶ ἐρεῖ· Λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς, πόθεν ἐστέ·

Ὥσπερ γινώσκει τοὺς γινώσκοντας αὐτὸν, οὕτω πάλιν ἑκουσίως ἀγνοεῖ τοὺς ἑκουσίως ἀγνοοῦντας αὐτὸν, καὶ ἀποπροσποιεῖται τοὺς ἀποπροσποιουμένους αὐτόν· ἑκουσίως δὲ αὐτὸν ἀγνοοῦσιν, οὐ μόνον οἱ ἄπιστοι Ἰουδαῖοι, ἀλλὰ καὶ οἱ ἀμελεῖς πιστοί· οἱ μὲν ἐθελοτυφλώττοντες καὶ ἐθελοκωφοῦντες πρὸς τὰ θαύματα καὶ τὰς διδασκαλίας αὐτοῦ· οἱ δὲ ἐκ ῥαθυμίας ἀθετοῦντες τὰς ἐντολὰς αὐτοῦ, καίτοι γινώσκοντες, ὅτι ὁ ἀθετῶν αὐτὰς, αὐτὸν ἀθετεῖ.

27 Ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας.

Τῆς ἁμαρτίας. Πᾶς γὰρ ἁμαρτάνων, ἀδικεῖ ἢ μόνον ἑαυτὸν, ἢ καὶ ἕτερον.

28 Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Τὸ, *ἐκεῖ*, ἀντὶ τοῦ, *τότε*, ἐν ἐκείνῳ τῷ καιρῷ ἔσται ὁ κλαυθμὸς ὁ ἀπαράκλητος, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὁ ἐξ ἀφορήτου πόνου γινόμενος.

28 Ὅταν ὄψησθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω.

Τοῦτο προηγουμένως πρὸς τοὺς Ἰουδαίους εἴρηται, μέγα φρονοῦντας ἐπὶ τῷ εἶναι σπέρμα τοῦ Ἀβραὰμ καὶ τῶν ἄλλων (2).

(1) τίμιον, ἀντὶ τοῦ, ἅγιον, παρὰ τῷ Α. (2) πατριαρχῶν, δηλονότι.

29 Καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀπὸ Βοῤῥᾶ καὶ Νότου· καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.

Ἥξουσι πρὸς τὴν πίστιν καὶ τὴν εὐαρέστησιν τοῦ θεοῦ οἱ ἐξ ἐθνῶν, ἀπὸ τῶν τεσσάρων μερῶν τοῦ κόσμου, ἀνατολῆς καὶ δύσεως καὶ ἄρκτου καὶ μεσημβρίας. Διὰ μὲν γὰρ τοῦ Βοῤῥᾶ, τὸ ἀρκτῷον μέρος δηλοῦται· διὰ δὲ τοῦ Νότου, τὸ μεσημβρινόν. *Ἀνάκλισιν* δὲ λέγει, τὴν ἀνάπαυσιν, τὴν ἀπόλαυσιν.

30 Καὶ ἰδοὺ, εἰσὶν ἔσχατοι, οἳ ἔσονται πρῶτοι·

Οἱ ἐξ ἐθνῶν πιστοὶ, οἳ δοκοῦσι μὲν ἔσχατοι νῦν, ὡς ἔσχατοι τὸν υἱὸν ἐπιγνόντες· ἔσονται δὲ πρῶτοι τότε, διὰ τὴν εἰλικρινῆ πίστιν αὐτῶν.

30 Καί εἰσι πρῶτοι, οἳ ἔσονται ἔσχατοι.

Οἱ ἄπιστοι Ἰουδαῖοι, οἳ δοκοῦσι μὲν πρῶτοι νῦν, ὡς πρῶτοι τὸν θεὸν ἐπιγνόντες· *Υἱὸς γὰρ*, φησι, *πρωτότοκός μου Ἰσραὴλ* (α)· ἔσονται δὲ ἔσχατοι τότε, διὰ τὴν ἀπιστίαν αὐτῶν.

Νοεῖται ὁ λόγος καὶ περὶ τῶν πιστῶν, τῶν δοκούντων μὲν εἶναι ἐσχάτων ἐν τῷ παρόντι βίῳ· ἐσομένων δὲ πρώτων ἐν τῷ μέλλοντι αἰῶνι, καὶ αὖθις ἐναλλάξ.

ΚΕΦΑΛΑΙΟΝ ΝΑʹ.

Περὶ τῶν εἰπόντων τῷ Ἰησοῦ διὰ Ἡρώδην.

31 Ἐν αὐτῇ τῇ ἡμέρᾳ προσῆλθόν τινες Φαρισαῖοι, λέγοντες αὐτῷ· Ἔξελθε, καὶ πορεύου ἐντεῦθεν· ὅτι Ἡρώδης θέλει σε ἀποκτεῖναι.

Ἀκούσαντες, ὅτι ἐκβληθήσονται ἔξω, καὶ ὅτι ἔσονται ἔσχατοι, ἀνήφθησαν εἰς ὀργὴν, καὶ ὑποκρινάμενοι εὔνοιαν, συμβουλεύουσιν

(α) Ἐξοδ. Δʹ, 22.

αὐτῷ ἐξελθεῖν καὶ ἀναχωρῆσαι· προφάσει μὲν, ἵνα μὴ ὑπὸ Ἡρώδου ἀναιρεθῇ· τῇ δ' ἀληθείᾳ, ἵνα μὴ παρὼν καὶ θαύματα ποιῶν, δοξάζηται καὶ ἐφελκύῃ τὸν ὄχλον.

32 Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ· Ἰδοὺ, ἐκβάλλω δαιμόνια, καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον· καὶ τῇ τρίτῃ τελειοῦμαι.

Γνοὺς τὴν πανουργίαν αὐτῶν, ἀνεξικάκως καὶ εὐφυῶς ἀποκρίνεται λέγων· *Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ*, τουτέστι, τῇ δολιότητι, τῇ δυστροπίᾳ τῇ ἐν ὑμῖν· τοιοῦτον γὰρ ἡ ἀλώπηξ. Εἰ γὰρ καὶ πρὸς Ἡρώδην ὁ λόγος ἀποτετᾶσθαι δοκεῖ, ἀλλά γε πρὸς αὐτοὺς ὁρᾷ. Τὸ δὲ, *σήμερον καὶ αὔριον*, εἰ καὶ ἠριθμημένων ἡμερῶν σημαντικὰ φαίνονται, ἀλλ' οὖν συντομίαν καιροῦ παραδηλοῦσιν. Εἰώθαμεν γὰρ, ὅταν ὀλίγον καιρὸν ἐμφῆναι θέλωμεν, σήμερον καὶ αὔριον λέγειν. Ὁμοίως δὲ καὶ τὸ, *τῇ τρίτῃ τελειοῦμαι*, τὸ οὐκ εἰς μακρὰν ἀποθανεῖν αὐτὸν ὑποσημαίνει. Ταῦτα δὲ εἶπε, παραμυθούμενος τὴν ὀργὴν καὶ τὸν φθόνον αὐτῶν. [Τινὲς (1) δέ φασι, τὸ, *σήμερον καὶ αὔριον*, περὶ δύο ἡμερῶν λέγειν, ἐν αἷς ἐκεῖ θαυματουργεῖν ἔμελλε· *τρίτην* δὲ, τὴν μετ' αὐτὰς, ἐν ᾗ τελειωθῆναί φησιν, εἴτουν, ἄρξασθαι τῆς ἐπὶ θάνατον πορείας, καὶ βαδίζειν ἐπὶ τὰ Ἱεροσόλυμα.]

33 Πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι·

Χρή με σήμερον καὶ αὔριον ἐνεργῆσαι, ἃ εἶπον, ἤγουν, ἐπ' ὀλίγον καιρὸν, καὶ τῇ ἐχομένῃ πορεύεσθαι, εἴτουν, τῇ ἐφεξῆς ἡμέρᾳ μεταβῆναι ἀπὸ τῆς παρούσης ζωῆς, τουτέστι, μετὰ τοῦτο ἀποθανεῖν, ὑφ' ὑμῶν δηλονότι τῶν ἐν Ἱερουσαλὴμ ἀρχόντων.

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρὰ μὲν τῷ Β, ἐνταῦθα κατὰ συνέχειαν, παρὰ δὲ τῷ Α, ἐν τῷ περιτελιδίῳ.

33 Ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλήμ.

Εἰρωνικῶς τοῦτο εἶπε, διασύρων τὴν Ἱερουσαλὴμ, ὡς προφητοκτόνον. Ἔστι δὲ ὁ νοῦς τοῦ λόγου τοιοῦτος· Ὅτι, ἐπεὶ προφήτην με λέγει, πάντως ἀποκτενεῖ με· *ἀνένδεκτον* γὰρ, ἤτοι ἀσύνηθες, προφήτην ἀναιρεθῆναι ἐκτὸς αὐτῆς.

34 Ἱερουσαλήμ! Ἱερουσαλήμ! ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε;

Ταῦτα καὶ ὁ Ματθαῖος ἀνέγραψεν ἐν τῷ πεντηκοστῷ ἕκτῳ κεφαλαίῳ, καὶ ἀνάγνωθι ἐν ἐκείνῳ τὴν ἐξήγησιν αὐτῶν. *Νοσσιὰν* δὲ νῦν λέγει, τὸ πλῆθος τῶν νεοσσῶν.

35 Ἰδοὺ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν.

Ἔρημος δηλονότι (1), καθὼς προσέθηκεν ὁ Ματθαῖος (α). Καὶ τοῦτο δὲ τὸ ῥητὸν ἐφεξῆς ἐκεῖ διηρμήνευται.

35 Λέγω ὑμῖν, ὅτι οὐ μή με ἴδητε, ἕως ἂν ἥξῃ ὅτε εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ἕως *ἂν ἥξῃ* ὁ καιρὸς, *ὅτε εἴπητε* τόδε. Καὶ τούτων δὲ πάντων ἀκολούθως ἐν ἐκείνῳ τῷ κεφαλαίῳ τὴν ἑρμηνείαν εὑρήσεις.

ΚΕΦΑΛΑΙΟΝ ΝΒ'.

Περὶ τοῦ ὑδρωπικοῦ.

ΚΕΦ. XIV, 1 Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν

(1) Ἐκ τούτου δῆλον, ὅτι ὁ Εὐθύμιος ἠγνόει τὸ ἔν τισιν ἐκδόσεσι κείμενον, ἔρημος. (α) Ματθ. ΚΓ', 38.

τινος τῶν ἀρχόντων τῶν Φαρισαίων σαββάτῳ φαγεῖν
ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν.

Καὶ οὗτος ὁ Φαρισαῖος, ὡς προφήτην αὐτὸν ἐκάλεσεν εἰς ἑστίασιν, ὑπόληψιν τοῦ μὴ βασκαίνειν θηρώμενος. Ἦσαν γὰρ καὶ ἐν τοῖς Φαρισαίοις τινὲς ἐξ ἡμισείας πονηροὶ, καὶ τῶν ἄλλων διαφορώτεροι. Εἵπετο δὲ ὁ Χριστὸς, ἀφορμὴν κἀνταῦθα ὠφελείας τοῦ Φαρισαίου καὶ τῶν κατὰ τὸν οἶκον αὐτοῦ ποιούμενος τὴν ἑστίασιν· οἱ δὲ λοιποὶ Φαρισαῖοι παρετήρουν αὐτὸν, ἐάν τι ποιήσῃ παρὰ τὸν νόμον ἐν τῷ σαββάτῳ.

2 Καὶ ἰδοὺ, ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν
αὐτοῦ.

Ἦν ἱστάμενος, καὶ μὴ τολμῶν μὲν ζητῆσαι θεραπείαν, διὰ τὸ σάββατον καὶ τοὺς Φαρισαίους· φαινόμενος δὲ μόνον, ἵνα ἰδὼν οἰκτειρήσῃ τοῦτον ἀφ' ἑαυτοῦ, καὶ ἀπαλλάξῃ τοῦ ὕδρωπος.

3 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς τοὺς νομικοὺς
καὶ Φαρισαίους,

Ἐκεῖ καὶ αὐτοὺς συγκεκλημένους.

3 Λέγων· Εἰ ἔξεστι τῷ σαββάτῳ θεραπεύειν; Οἱ δὲ
ἡσύχασαν.

Καὶ ἄλλοτε γὰρ τοιοῦτον ἐρωτηθέντες ἐπεστομίσθησαν· οὐδὲ γὰρ ἠδύναντο λέγειν, ὅτι ἐκώλυσεν ὁ νόμος ἀγαθοποιεῖν ἐν σαββάτῳ.

4 Καὶ ἐπιλαβόμενος, ἰάσατο αὐτὸν, καὶ ἀπέλυσε.

Ἐπιλαβόμενος, ἀντὶ τοῦ, ἀψάμενος αὐτοῦ.

5 Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς, εἶπε· Τίνος ὑμῶν
ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐκ εὐθέως
ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου;

Τοῦτο γὰρ ἐπέτρεπεν ὁ νόμος. Εἰ δὲ τὸ ἄλογον ζῶον οὐκ ἐκώλυσεν ἀνασπᾷν ἐκ τοῦ κινδύνου, πολλῷ μᾶλλον τὸ λογικὸν,

δι' ὃ καὶ τὸ ἄλογον ζῶον. Ὦ βάθος σοφίας! Πῶς διαφόρως ἐν σαββάτῳ θεραπεύσας, διαφόρους ἀπολογίας αὐτοῦ πεποίηται, καὶ πάσας ἀναντιῤῥήτους· διδάσκων, ὅτι ἀπὸ τῶν βιωτικῶν ἔργων σαββατίζειν, ἤτοι, σχολάζειν, ἐκέλευσεν ὁ νόμος· οὐ μὴν ἀπὸ τῶν πνευματικῶν.

6 Καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα.

Φανερᾶς οὔσης τῆς ἀληθείας.

ΚΕΦΑΛΑΙΟΝ ΝΓ΄.

Περὶ τοῦ μὴ ἀγαπᾷν τὰς πρωτοκλισίας.

7 Ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολὴν, ἐπέ-
χων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο·

Ἐπέχων, ἀντὶ τοῦ, μεμφόμενος, διότι τὰς πρώτας κατακλίσεις ἐξελέγοντο· ἑώρα γὰρ αὐτοὺς τοῦτο ποιοῦντας τηνικαῦτα.

7 Λέγων πρὸς αὐτούς·

Πρὸς ἕκαστον αὐτῶν.

8 Ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς
εἰς τὴν πρωτοκλισίαν· μήποτε ἐντιμότερός σου ᾖ
9 κεκλημένος ὑπ' αὐτοῦ· καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν
καλέσας, ἐρεῖ σοι· Δὸς τούτῳ τόπον· καὶ τότε
ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν.

Παραινεῖ, μὴ ἐπιπηδᾷν ταῖς προτιμήσεσι, μηδὲ προτάττειν ἑαυτοὺς τῶν ἄλλων. Διὰ παραβολῆς δὲ τὴν παραίνεσιν ἐξυφαίνων, ἀνεπαχθέστερον αὐτῶν καθάπτεται· τοιαῦται γὰρ αἱ παραβολικαὶ παραινέσεις. Διὰ τῶν γάμων δὲ, πᾶν ἄριστον καὶ πᾶν δεῖπνον ἐνέφηνε· τὸ καλεῖσθαι γὰρ εἰς γάμους, τιμιώτερον ἐδόκει τῆς εἰς ἄριστον ἢ δεῖπνον κλήσεως.

10 Ἀλλ' ὅταν κληθῇς, πορευθεὶς, ἀνάπεσον εἰς τὸν

ἔσχατον τόπον· ἵνα, ὅταν ἔλθῃ ὁ κεκληκώς σε,
εἴπῃ σοι· Φίλε, προσανάβηθι ἀνώτερον. Τότε ἔσται
σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοι.

Πλατύνει τὸν λόγον, δεικνύων καὶ τὴν ἀπὸ τῆς αὐθαδείας αἰσχύνην, καὶ τὴν ἀπὸ τῆς εὐλαβείας δόξαν, καὶ ἑκατέρωθεν εἰς μετριοφροσύνην προτρεπόμενος. Εἶτα ἐπιφέρει καὶ γνωμολογίαν καθολικήν, εἰς βεβαίωσιν τῆς παραινέσεως, λέγων·

11 Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται· καὶ ὁ
ταπεινῶν ἑαυτόν, ὑψωθήσεται.

Ὁ μέν, ταπεινωθήσεται, ὁ δέ, ὑψωθήσεται, οὐ μόνον παρὰ τοῖς ὀρθὰ φρονοῦσιν ἀνθρώποις, ἀλλὰ καὶ πρὸ τούτων, παρὰ τῷ θεῷ.

12 Ἔλεγε δὲ καὶ τῷ κεκληκότι αὐτόν· Ὅταν ποιῇς
ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ
τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ
γείτονας πλουσίους· μήποτε καὶ αὐτοί σε ἀντικα-
13 λέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα. Ἀλλ' ὅταν
ποιῇς δοχήν, κάλει πτωχούς, ἀναπήρους, χωλούς,
14 τυφλούς· καὶ μακάριος ἔσῃ· ὅτι οὐκ ἔχουσιν ἀν-
ταποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ
ἀναστάσει τῶν δικαίων.

Ὅρα, πόσης ὠφελείας ὑπόθεσιν τὴν ἑστίασιν ἐποιήσατο. Παραινέσας γὰρ τὰ εἰκότα τοῖς κεκλημένοις, παραινεῖ καὶ τῷ κεκληκότι. Οὐκ εἶπε δέ, ὅτι Ὅταν ποιῇς γάμους, ἀλλ' *Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον*. Ἐν τοῖς γάμοις γάρ, ἀναγκαίως φίλους καὶ ἀδελφοὺς καὶ συγγενεῖς καὶ γείτονας πλουσίους συνεκάλουν, ἐπὶ τιμῇ τῶν γάμων.

Τινὲς δέ, διὰ τοῦ ἀρίστου καὶ τοῦ δείπνου, καὶ τοὺς γάμους νοεῖσθαι λέγουσι. *Δοχὴν* δὲ καλεῖ, τὴν ὑποδοχήν, τὴν εὐωχίαν, τὴν ἑστίασιν. Τρόπος δὲ διδασκαλικός, μὴ μόνον κωλύειν τὰ φαῦλα, ἀλλὰ καὶ ὑποτίθεσθαι τὰ χρηστά· οἷον, μὴ ποίει τόδε, ἀλλὰ τόδε.

Οὐκ ἐπ' ἀτιμίᾳ δὲ φιλίας καὶ συγγενείας καὶ ἀδελφότητος, καὶ τῶν τοιούτων, ταῦτα παρῄνεσεν· ἀλλ' ἵνα τὸ κρεῖττον εἰδότες, τοῦτο προτιμῶμεν, καὶ μὴ τοῖς ἀνενδεέσι τὰς φιλοφροσύνας ἀπεμπολῶμεν ἐπ' ἀνταποδόσεσιν.

Χρὴ γὰρ θεὸν θεραπεύειν μᾶλλον ἢ ἀνθρώπους, καὶ παρὰ θεοῦ ζητεῖν ἀνταπόδοσιν (1) ἢ παρὰ ἀνθρώπων. Προσήκει δὲ καὶ τὸν πνευματικὸν ἑστιάτορα συγκαλεῖν τοὺς ἐν ἀπορίᾳ γνώσεως πτωχούς, καὶ τοὺς ἐν παραλύσει φρενῶν ἀναπήρους, καὶ τοὺς ἐν τῇ πρακτικῇ χωλούς, καὶ τοὺς ἐν τῇ θεωρητικῇ τυφλούς. Οἱ μὴ τοιοῦτοι γάρ, οὐκ ἐπιδέονται τούτου.

†† Ἐπεὶ (2) οἱ μὲν μικρόψυχοι καλοῦσι φίλους καὶ ἀδελφούς, συγγενεῖς καὶ γείτονας πλουσίους, διὰ τὴν ἐν τῷ παρευθὺ χάριν· οἱ δὲ μεγαλόψυχοι πολὺ κάλλιον καὶ ἐνδοξότερον ἐργάζονται, ὃ ἔδειξεν ὁ Κύριος διὰ τοὺς ποιοῦντας τοῦτο εἰς τοὺς ἀσθενεῖς καὶ ἐνδεεῖς καὶ ἀναπήρους, παρ' ὧν οὐκ ἔστιν ἀνταπόδοσις, οἷς ὁ θεὸς ἐν τῷ μέλλοντι αἰῶνι ἀποδοῦναι μισθὸν ἐπηγγείλατο.

ΚΕΦΑΛΑΙΟΝ ΝΔ'.

Περὶ τῶν καλουμένων ἐν τῷ δείπνῳ.

15 Ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα, εἶπεν
αὐτῷ· Μακάριος, ὃς φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ
16 τοῦ θεοῦ. Ὁ δὲ εἶπεν αὐτῷ· Ἄνθρωπός τις ἐποίησε
δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς·

Ἐξυφαίνει παραβολὴν ἐμφαίνουσαν, ὅτι οὐδεὶς τῶν μὴ πειθομένων αὐτῷ ἀπολαύσει τῆς βασιλείας τοῦ θεοῦ. Καὶ *ἄνθρωπον* μὲν προσηγόρευσε, τὸν θεὸν καὶ πατέρα, ὡς φιλάνθρωπον· *δεῖπνον* δὲ *μέγα*, τὴν ἀνέκφραστον ἀπόλαυσιν τῆς βασιλείας

(1) μᾶλλον. (2) Τὸ σχόλιον τοῦτο δὲν φέρεται οὔτε παρὰ τῷ Α, οὔτε παρὰ τῷ Β. Παρόμοια δὲ ἀναγινώσκονται παρὰ τῷ Θεοφυλάκτῳ Σελ. 435. Α.

τοῦ θεοῦ. Ἀδιαφόρως δὲ νῦν δεῖπνον ταύτην (1) εἶπεν. Ἐν τῷ πεντηκοστῷ γὰρ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον *ἄριστον* αὐτὴν ὠνόμασεν (α). *Ἐκάλεσε δὲ πολλοὺς*, ἤγουν τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Αὗται γὰρ πρὸ πάντων τῶν ἐθνῶν ἦσαν κεκλημέναι, ὡς λαὸς ἐξαίρετος τοῦ θεοῦ.

†† Ὁ τῶν ὅλων (2) δημιουργὸς καὶ πατὴρ θεὸς *δεῖπνον μέγα ἐποίησε*, τουτέστιν, εὐαγγελικὴν οἰκονομίαν, ἵνα πάντες πρὸς αὐτὴν συνέρχωνται. *Δεῖπνον* δὲ καλεῖ, οὐκ ἄριστον, ὅτι ἐν ἐσχάτοις καιροῖς, καὶ οἷον ἐπὶ δυσμαῖς τοῦ αἰῶνος. Ἡτοίμασεν οὖν ἁμαρτημάτων ἀπόθεσιν, πνεύματος ἁγίου μέθεξιν, υἱοθεσίας δόξαν, βασιλείαν οὐρανῶν καὶ προφητείας εὐαγγελίων.

17 **Καὶ** ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις· Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα.

Δοῦλον τοῦ πατρὸς, ἑαυτὸν λέγει, ὡς μορφὴν δούλου λαβόντα, ὃς ἀπεστάλη κατὰ τὸ ἀνθρώπινον εἰς τοὺς Ἰουδαίους, καλῶν αὐτοὺς εἰς τὴν ῥηθεῖσαν ἀπόλαυσιν διὰ τοῦ εὐαγγελίου.

18 **Καὶ** ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες.

Ἀπὸ μιᾶς συνθήκης, τουτέστιν, ἅμα, κοινῶς.

18 Ὁ πρῶτος εἶπεν αὐτῷ· Ἀγρὸν ἠγόρασα, καὶ ἔχω
ἀνάγκην ἐξελθεῖν, καὶ ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε
19 με παρῃτημένον. **Καὶ** ἕτερος εἶπε· Ζεύγη βοῶν
ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά·
20 ἐρωτῶ σε, ἔχε με παρῃτημένον. **Καὶ** ἕτερος εἶπε·
Γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν.

Αἱ διάφοροι προφάσεις οὐδὲν ἕτερον ὑποφαίνουσιν, ἢ τὰ διάφορα πάθη, δι' ἃ τῆς εἰρημένης ἀπολαύσεως ἐστερήθησαν· ὁ

(1) τὴν ἀπόλαυσιν. (α) Ματθ. ΚΒ', 4. (2) Καὶ τὸ σχόλιον τοῦτο δὲν φέρεται οὔτε παρὰ τῷ Α, οὔτε παρὰ τῷ Β. Ἀναγινώσκονται δὲ ταιαῦτα παρὰ τῷ Θεοφυλάκτῳ Σελ. 436. Α.

μὲν γὰρ τῷδε κεκρατημένος, ἕτερος δὲ τῷδε, καὶ ἄλλος τῷδε, παρώσατο (1) τὸ εὐαγγέλιον, δι' οὗ τυχεῖν ταύτης ἐξῆν, ὡς ἐναντίον ταῖς προαιρέσεσιν αὐτῶν. Τὸ δὲ, *ἐρωτῶ σε*, νῦν ἀντὶ τοῦ, *παρακαλῶ σε*, τέθειται, καθὼς καὶ ἐν διαφόροις τόποις παραδεδώκαμεν.

[Τινὲς (2) δὲ *ἀγρὸν* μὲν λέγουσι, τὴν φιλοκτημοσύνην· ζεύγη δὲ *βοῶν*, τὴν σωματικὴν φιλεργίαν· *γυναῖκα* δὲ, τὴν φιληδονίαν.]

21 **Καὶ** παραγενόμενος ὁ δοῦλος ἐκεῖνος ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα.

Τοῦτο εἶπεν, οὐχ ὡς ἀγνοοῦντος τοῦ πατρὸς τὴν παραίτησιν αὐτῶν, ἀλλὰ διὰ τὴν ἀκολουθίαν τῆς παραβολῆς. Καὶ γὰρ ἔθος τοῖς ἀποστελλομένοις εἰς τὸ καλέσαι τινὰς, ὑποστρέφειν καὶ ἀπαγγέλλειν περὶ αὐτῶν.

21 Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ δούλῳ αὐτοῦ· Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους καὶ χωλοὺς καὶ τυφλοὺς εἰσάγαγε ὧδε.

Ἐκεῖνοι μὲν οἱ παραιτησάμενοι, ἦσαν οἱ ἀρχιερεῖς καὶ γραμματεῖς καὶ φαρισαῖοι, καὶ ὅσοι τιμιώτεροι τοῦ πλήθους· οὗτοι δὲ, οἱ ἀντ' ἐκείνων εἰσαγόμενοι, εἰσὶν οἱ κοινοὶ καὶ ἀγελαῖοι καὶ δημώδεις, πτωχοὶ καὶ ἀνάπηροι καὶ χωλοὶ καὶ τυφλοὶ δοκοῦντες ἐκείνοις, ὡς ἀμαθεῖς καὶ ἀσύνετοι, οἵτινες μᾶλλον ἐπείθοντο διδάσκοντι τῷ Χριστῷ. Ἢ, καὶ περὶ τῶν κατεχομένων τοιούτοις πάθεσιν αἰσθητοῖς τοῦτο νόησον· οἳ, τούτων ἀπαλλαγέντες, διὰ πίστεως εἰσήχθησαν εἰς τὴν προῤῥηθεῖσαν ἀπόλαυσιν.

[Ὁ μὲν (3) οὖν πατὴρ ἀπέστειλε τὸν υἱόν· ὁ δὲ υἱὸς τοὺς

(1) παρώσαντο, παρὰ τῷ Β. (2) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περιθωρίῳ. (3) Καὶ ταῦτα ὡσαύτως.

ἀποστόλους. Εἴρηκε γάρ· ὅτι *Καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον* (α).]

22 Καὶ εἶπεν ὁ δοῦλος· Κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί.

Φιλάνθρωπος ὁ λόγος, ὑπομιμνήσκων καὶ περὶ τῶν ἐθνῶν.

23 Καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον· Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς, καὶ ἀνάγκασον εἰσελθεῖν·

Ὁδοί εἰσιν, αἱ κατοικίαι τῶν ἐθνῶν, ὡς μὴ τετειχισμέναι τῷ νόμῳ καὶ τῇ ἐπισκοπῇ τοῦ θεοῦ, καθάπερ ἡ τῶν Ἰουδαίων, καὶ ὡς καταπεπατημέναι τοῖς δαίμοσιν· ὁμοίως δὲ καὶ *φραγμοὶ*, ὡς πεφραγμέναι ταῖς ἀκάνθαις τῆς ἁμαρτίας, καὶ ὡς πυρὸς ἄξιον περίβολον ἔχουσαι.

Ἀναγκάσαι δὲ τοὺς ἐξ ἐθνῶν ἐκέλευσεν, οὐ τὸ βιάζεσθαι παραγγέλλων, ἀλλ' ὑποδηλῶν, ὅτι χρὴ συντονώτερον ἐν τούτοις τὸ κήρυγμα ποιεῖν καὶ ἐπιμονώτερον, ὡς ἰσχυρῶς ὑπὸ τῶν δαιμόνων κατεχομένοις, καὶ ὑπὸ βαθεῖ σκότῳ τῆς ἀπάτης καθεύδουσιν.

23 Ἵνα γεμισθῇ ὁ οἶκος μου.

Βούλεται γὰρ πάντας εἰσαχθῆναι διὰ τὸν ἄπειρον πλοῦτον τῆς αὐτοῦ ἀγαθότητος.

24 Λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.

Ὡς ἀπειθησάντων καὶ ἐξουδενωσάντων *τὴν κλῆσιν*, ἤτοι, τὸ κήρυγμα. Διὰ τοῦτον οὖν τὸν λόγον ἡ ὅλη παραβολὴ συνετέθη, καθὼς ἐν ἀρχῇ ταύτης εἰρήκαμεν.

25 Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί·

Ἐν ἑτέρῳ δηλονότι καιρῷ.

26 Καὶ στραφεὶς εἶπε πρὸς αὐτούς· Εἴ τις ἔρχεται

(α) Ἰωάν. ΙΖ', ΙΗ.

πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς ἀδελφὰς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου μαθητὴς εἶναι.

Εἰδὼς αὐτοὺς θέλοντας μὲν ἀκολουθεῖν αὐτῷ, κατεχομένους δὲ τοῖς δεσμοῖς τῆς πρὸς τὰ δηλωθέντα πρόσωπα σχέσεως, διαμαρτύρεται φανερῶς, ὅτι ὅστις τῶν διὰ πίστεως ἐρχομένων πρὸς αὐτὸν οὐ μισεῖ τὰ εἰρημένα πρόσωπα, ὅταν ἐμποδίζωσι πρὸς τὴν εἰς θεὸν ἀγάπην καὶ πρὸς τὴν κατὰ Χριστὸν πορείαν, ἢ ἄπιστοι ὄντες, ἢ κοσμικὰ φρονοῦντες, οὐ δύναται αὐτοῦ μαθητὴς εἶναι. Πειθόμενος γὰρ ἐκείνοις, ἀπειθήσει αὐτῷ· διότι αὐτοὶ μὲν σαρκικῶς βιοῦν αὐτὸν θέλουσιν, αὐτὸς δὲ πνευματικῶς αὐτὸν πολιτεύεσθαι διδάσκει. Τιμητέον μὲν καὶ πατέρα καὶ μητέρα· προτιμητέον δὲ αὐτῶν τὸν θεόν.

Διὰ τῶν γνησιωτέρων δὲ πᾶν πρόσωπον ἀγαπητὸν ἐμφήνας, ἐπήγαγε καὶ τὸ μεῖζον, ὅτι *καὶ τὴν ἑαυτοῦ ψυχὴν*, τουτέστι, καὶ τὸ ἑαυτοῦ θέλημα, ὅταν ἐναντίον εἴη τῷ θελήματι τοῦ θεοῦ. Δεῖ γὰρ τὸν ἀληθῆ μαθητὴν τοῦ Χριστοῦ, ἀφιλόσαρκον καὶ ἀφιλόψυχον ἐν τοῖς πνευματικοῖς ἀγῶσιν ὑπάρχειν.

27 Καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναταί μου εἶναι μαθητής.

Ὅστις οὐ βαστάζει ἐπὶ μνήμης τὸν θάνατον αὐτοῦ· διὰ τοῦ σταυροῦ γὰρ τὸν θάνατον ἐδήλωσε· διότι τότε θανάτου ὄργανον ἦν ὁ σταυρὸς, ὡς καὶ ἐν τῷ τριακοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον λέλεκται (α). Ὅστις οὐ βαστάζει τὴν νέκρωσιν αὐτοῦ, λέγω δὴ, τὴν τῆς σαρκὸς αὐτοῦ, τὴν καθ' ἡδονήν. Ἐπεὶ δὲ ἡ ἀποτροπὴ τοῦ καθ' ἡδονὴν βίου, τρόπον τινὰ προτροπή τις ἐστὶν εἰς ἐπίπονον πολιτείαν, παραμυθεῖται καὶ διδάσκει διὰ παραδείγματος, ὅτι χρὴ τὸν βουλόμενον εἶναι

(α) Ματθ. Ιϛ', 24.

μαθητὴν αὐτοῦ, προπαρασκευάζειν ἑαυτὸν εἰς ὑπομονὴν παντὸς πειρασμοῦ. Γέγραπται γάρ· *Εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν* (α).

ΚΕΦΑΛΑΙΟΝ ΝΕ΄.

Παραβολὴ περὶ οἰκοδομῆς πύργου.

28 Τίς γὰρ ἐξ ὑμῶν, θέλων πύργον οἰκοδομῆσαι, οὐχὶ
πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ
29 πρὸς ἀπαρτισμόν; ἵνα μήποτε, θέντος αὐτοῦ θεμέ-
λιον, καὶ μὴ ἰσχύοντος ἐκτελέσαι, πάντες οἱ θεω-
30 ροῦντες ἄρξωνται ἐμπαίζειν αὐτῷ, λέγοντες· Ὅτι
οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν, καὶ οὐκ
ἴσχυσεν ἐκτελέσαι.

Ὥσπερ ὁ θέλων πύργον αἰσθητὸν οἰκοδομῆσαι, ὀφείλει πρῶτον μετρῆσαι τὴν ἐν χρήμασι δαπάνην· οὕτω καὶ ὁ θέλων πύργον νοητὸν οἰκοδομῆσαι, λέγω δὴ, σύμπηξιν ἀρετῶν, ὀφείλει πρῶτον μετρῆσαι τὴν ἐν πειρασμοῖς διάρκειαν, ἵνα, προπαρεσκευασμένος ὢν, ῥᾷον φέρῃ τούτους προσπίπτοντας. Εἶτα καὶ δι' ἑτέρου παραδείγματος διεγείρει πρὸς καρτερίαν.

31 Ἢ τίς βασιλεὺς, πορευόμενος συμβαλεῖν ἑτέρῳ
βασιλεῖ εἰς πόλεμον, οὐχὶ καθίσας πρῶτον βου-
λεύεται, εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαν-
τῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ' αὐτόν;

Ὁμοίως πάλιν, ὥσπερ ὁ βασιλεὺς, ὁ πορευόμενος εἰς πόλεμον, ὀφείλει προβουλεύσασθαι· οὕτω καὶ οὗτος ὀφείλει προβουλεύσασθαι, εἰ δύναται μετὰ τῶν ὀλίγων ἐντολῶν τοῦ εὐαγγελίου ἀντιπαρατάξασθαι τῷ Σατανᾷ, τῷ μετὰ πολλῶν δαιμόνων καὶ μηχανῶν καὶ παθῶν ἐρχομένῳ ἐπ' αὐτόν.

(α) Σιρὰχ Β΄, 1.

32 Εἰ δὲ μήγε, ἔτι αὐτοῦ πόῤῥω ὄντος, πρεσβείαν
ἀποστείλας, ἐρωτᾷ τὰ πρὸς εἰρήνην.

Ἐρωτᾷ, ἤγουν, παρακαλεῖ, αἰτεῖται τὰ πρὸς εἰρήνην. Ταῦτα δὲ προσέθηκεν, οὐ παραινῶν τοῖς μὴ δυναμένοις ἀπαντᾷν, εἰρηνεύειν μετὰ τοῦ Σατανᾶ· πῶς γάρ; τοῦ ἀνθρωποκτόνου καὶ ψυχολέθρου· ἀλλὰ τῇ ἀκολουθίᾳ τοῦ παραδείγματος ἐχρήσατο, καθὼς καὶ ἀνωτέρω πεποίηκεν· ἅμα δὲ καὶ εἰς ἐντροπὴν τῶν μετὰ τὸ μαθητευθῆναι χαυνουμένων. Καὶ τοῦτο γὰρ σχῆμα λόγου, διεγεῖρον εἰς εὐανδρίαν, καθὸ καὶ λέγειν εἰώθαμεν, ὅτι Κρεῖττον, μὴ ἄρξασθαι τοῦδε τοῦ πράγματος, ἢ ἀρξάμενον μὴ τελειῶσαι.

Ἄλλως τε, καὶ περὶ τοῦ ἀληθοῦς μαθητοῦ νῦν ὁ λόγος. Ὁ γὰρ μὴ ἀποτασσόμενος, ὡς ὁ Χριστὸς ἐδίδαξεν, οὐκ ἔστιν ἀληθῶς μαθητής· μὴ ὢν δὲ ἀληθῶς μαθητὴς, ἀλλ' ὄνομα μὲν μαθητοῦ φέρων, ἔργα δὲ ἀνοίκεια κεκτημένος, εἰρηνεύει διὰ τῶν ἔργων μετὰ τοῦ Σατανᾶ, τὰ φίλα τούτῳ διαπραττόμενος.

33 Οὕτως οὖν, πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι
τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι
μαθητής.

Οὕτως, ὡς ἀνωτέρω διεμαρτύρατο, λέγων· Εἴ τις οὐ ποιεῖ τάδε καὶ τάδε, οὐ δύναταί μου μαθητὴς εἶναι.

34 Καλὸν τὸ ἅλας·

Ἅλας καλεῖ νῦν, τὸν διδασκαλικὸν λόγον. Ἔγραψε δὲ καὶ ὁ Μάρκος πρὸς τῷ τέλει τοῦ εἰκοστοῦ ἑβδόμου κεφαλαίου αὐτοῦ, ὅτι *Καλὸν τὸ ἅλας* (α), καὶ ζήτησον ἐκεῖ τὴν τούτου ἐξήγησιν.

34 Ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται;

Ἐν ἐκείνῳ καὶ περὶ τούτου λέλεκται.

35 Οὔτε εἰς γῆν, οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν·

Γῆν μὲν λέγει, τοὺς μαθητὰς, ὡς πιαινομένους καὶ ὠφελου-

(α) Μαρκ. Θ΄, 50.

μένους· *κοπρίαν* δὲ, τοὺς διδασκάλους, ὡς πιαίνοντας καὶ ὠφελοῦντας. Φησὶν οὖν, ὅτι Ἐὰν ὁ διδασκαλικὸς λόγος παραφθαρῇ δόγμασι πονηροῖς, οὔτε εἰς τοὺς μανθάνοντας *εὔθετός ἐστιν*, ἤγουν, εὔχρηστος· οὔτε εἰς τοὺς διδάσκοντας.

35 Ἔξω βάλλουσιν αὐτό.

Ὡς ἀνωφελές.

35 Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Τοῦτο πολλάκις ἡρμηνεύθη.

ΚΕΦ. XV, 1 Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ
2 τελῶναι καὶ οἱ ἁμαρτωλοὶ, ἀκούειν αὐτοῦ. Καὶ
διεγόγγυζον οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς, λέ-
γοντες· Ὅτι οὗτος ἁμαρτωλοὺς προσδέχεται, καὶ
συνεσθίει αὐτοῖς.

Καὶ ἐν τῷ τεσσαρεσκαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον εἶπον τοῖς μαθηταῖς αὐτοῦ· *Διὰ τί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν* (α);

ΚΕΦΑΛΑΙΟΝ Νϛ΄.

Περὶ τῶν ἑκατὸν προβάτων παραβολή.

3 Εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην, λέ-
4 γων· Τίς ἄνθρωπος ἐξ ὑμῶν, ἔχων ἑκατὸν πρόβατα,
καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐν-
νενηκονταεννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ
ἀπολωλὸς, ἕως εὕρῃ αὐτό;

Παραβολικῶς αὐτοὺς ἐπιστομίζει, διδάσκων, ὅτι ἐνηνθρώπησεν, οὐ διὰ τοὺς δικαίους, ἀλλὰ διὰ τοὺς ἁμαρτωλούς. Ταύτην δὲ τὴν παραβολὴν ἀνέγραψε καὶ ὁ Ματθαῖος ἐν τῷ τρια-

(α) Ματθ. Θ΄, 11.

κοστῷ ὀγδόῳ κεφαλαίῳ αὐτοῦ, καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτῆς ἐν ἐκείνῳ, εὖ ἔχουσαν.

5 Καὶ εὑρὼν, ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους ἑαυτοῦ χαίρων·

Ἐμφαντικὸν τοῦτο τῆς ἀγάπης καὶ κηδεμονίας, ἣν ἔχει περὶ τὸ γένος ἡμῶν.

6 Καὶ ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ τοὺς φίλους
καὶ τοὺς γείτονας, λέγων αὐτοῖς· Συγχάρητέ μοι,
ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός.

Οἶκον μὲν αὐτοῦ νόει, τὸν οὐρανόν· *Ὁ κατοικῶν* γάρ, φησιν, *ἐν οὐρανοῖς* (α)· *φίλους* δὲ καὶ *γείτονας*, τοὺς ἀγγέλους· φίλους μὲν, ὡς φιλοῦντας, ἃ φιλεῖ· γείτονας δὲ, ὡς ἐγγὺς ὄντας αὐτοῦ. Ταῦτα δὲ νῦν ἐσχημάτισεν ἡ παραβολὴ, ἐμφαίνουσα, ὅτι ἐπὶ τῇ τοιαύτῃ εὑρέσει καὶ οἱ ἄγγελοι συγχαίρουσι τῷ θεῷ, ὡς καὶ αὐτοὶ φιλάνθρωποι.

7 Λέγω ὑμῖν, ὅτι οὕτω χαρὰ ἔσται ἐν τῷ οὐρανῷ
ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐννενηκον-
ταεννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας.

Οὕτω· πῶς; Ὡς ὑπέδειξεν ἡ παραβολή. Ἀπόλλυται μὲν οὖν τὸ λογικὸν πρόβατον, πόῤῥω τῶν ἐντολῶν τοῦ θεοῦ γινόμενον· εὑρίσκεται δὲ, μετανοοῦν καὶ ἐντὸς αὐτῶν ἀποκαθιστάμενον. Εἶτα καὶ δι' ἑτέρας παραβολῆς τὴν ἐπὶ τῇ εὑρέσει τοῦ ἀπολωλότος χαρὰν παρίστησιν.

8 Ἢ τίς γυνὴ, δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ
δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον, καὶ σαροῖ τὴν
9 οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς, ἕως ὅτου εὕρῃ; Καὶ εὑ-
ροῦσα, συγκαλεῖται τὰς φίλας καὶ τὰς γείτονας, λέ-
γουσα· Συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν, ἣν
ἀπώλεσα.

Ὥσπερ ἡ γυνὴ ποιεῖ τὰ ῥηθέντα· οὕτω καὶ ἡ φιλανθρωπία τοῦ

(α) Ψαλμ. Β΄, 4.

υἱοῦ τοῦ θεοῦ πεποίηκε. Δραχμῆς γὰρ μιᾶς ἀπολωλυίας, ἤτοι, τῆς ἀνθρωπίνης φύσεως ἐν τῷ καταχωσθῆναι τοῖς πάθεσιν, *ἧψε λύχνον*, τουτέστιν, ἀνέφηνεν ἐν τῷ κόσμῳ τὴν ἑαυτοῦ σάρκα κατὰ τὸν θεολόγον Γρηγόριον (1), λάμπουσαν οὐ μόνον τῇ ἀστραπῇ τῆς θεότητος, ἀλλὰ καὶ τῷ φέγγει τῆς καθαρότητος, καὶ φωταγωγοῦσαν τοὺς ἐσκοτισμένους τῇ πλάνῃ. Καὶ *ἐσάρωσε τὴν οἰκίαν*, ἤγουν, ἐκάθηρε τὸ οἰκητήριον τῶν ἀνθρώπων, λέγω δὴ, τὸν κόσμον, ἐν τῷ ἀπελάσαι τὸ κατακεχυμένον αὐτοῦ σκότος τῆς ἁμαρτίας, καὶ ἐκφορῆσαι τὸν ἐπικείμενον ῥύπον τῶν παθῶν. Καὶ *ζητήσας ἐπιμελῶς*, ἐν τῷ περιέρχεσθαι τὰς πόλεις καὶ κώμας, καὶ ἀποστέλλειν τοὺς μαθητὰς εἰς τὸν κόσμον ἅπαντα, εὗρε τὸ ζητούμενον, καὶ συνεκαλέσατο τὰς φίλας καὶ γείτονας λειτουργικὰς στρατιὰς, εἰς κοινωνίαν τῆς τοιαύτης χαρᾶς.

10 Οὕτω, λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

Οὐ μόνον ἐπὶ πολλοῖς, ἀλλὰ καὶ *ἐπὶ ἑνί*. Τοῦτο δὲ ἀπόδειξις τοῦ τὸν θεὸν σφόδρα διψᾷν τὴν μετάνοιαν ἑκάστου ἁμαρτωλοῦ. *Δραχμὰς* δὲ, τὰ τάγματα ὠνόμασεν, ὡς ἔχοντα χαρακτῆρα καὶ ἔμφασιν τοῦ βασιλέως θεοῦ.

Τινὲς μὲν οὖν ἑκατὸν εἶναι τὰ πάντα τάγματα νενοήκασι, τῇ παραβολῇ τῶν ἑκατὸν προβάτων ἐπερειδόμενοι· τινὲς δὲ τὴν ἑτέραν παραβολὴν τῶν δέκα δραχμῶν εἰς συνηγορίαν λαμβάνοντες, δέκα ταῦτά φασιν, ἐννέα μὲν τὰ οὐράνια, κατὰ τὸν Ἀρεοπαγίτην Διονύσιον, θρόνους, χερουβὶμ, σεραφὶμ, κυριότητας, δυνάμεις, ἐξουσίας, ἀρχὰς, ἀρχαγγέλους, ἀγγέλους· δέκατον δὲ, τὸ ἐπίγειον, τοὺς ἀνθρώπους.

Ἐγὼ δὲ οἶμαι καὶ τὰ ἑκατὸν καὶ τὰ δέκα μὴ σημαίνειν διαφορὰς ἀριθμῶν ἐν ταῖς παραβολαῖς ταύταις, ἀλλ' ἢ μόνον

(1) Ὁ Γρηγόριος Σελ. 231 οὕτως ἔχει «ὅτι λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα.»

πλῆθος ταγμάτων τέλειον· πλῆθος γὰρ τέλειον καὶ ὁ (1) ἑκατὸν καὶ ὁ δέκα· πλῆθος δὲ τέλειον, τὸ τῶν ταγμάτων τούτων λέγομεν· διότι τοσαῦτα ταῦτά εἰσιν, ὅσα εἶναι ἔδει. Ἀλλὰ πῶς εἶπεν, ὅτι εὗρον τὴν δραχμὴν, ἣν ἀπώλεσα; οὐ πᾶν γὰρ τὸ γένος μετενόησε. Φαμὲν τοίνυν, ὅτι, ἐπειδὴ καὶ πᾶν, ὅσον εὗρε, δραχμὴ ἦν ἀπολωλυῖα, εἰκότως καὶ τοῦτο δραχμὴν ἀπολωλυῖαν ὠνόμασε.

ΚΕΦΑΛΑΙΟΝ ΝΖ΄.

Περὶ τοῦ ἀποδημήσαντος εἰς χώραν μακράν.

11 Εἶπε δέ· Ἄνθρωπός τις εἶχε δύο υἱούς. Καὶ εἶπεν
12 ὁ νεώτερος αὐτῶν τῷ πατρί· Πάτερ, δός μοι τὸ
ἐπιβάλλον μέρος τῆς οὐσίας.

Καὶ ἄλλην εἰσάγει πολυωφελεστάτην παραβολὴν, ὑποφαίνουσαν τήν τε δύναμιν τῆς μετανοίας τῶν ἁμαρτωλῶν, καὶ τὸ μέγεθος τῆς φιλανθρωπίας τοῦ θεοῦ· καὶ διὰ ταύτης εἰς μετάνοιαν προτρέπεται τοὺς ἐν ἁμαρτίαις· *ἄνθρωπον* μὲν προσαγορεύων, τὸν φιλάνθρωπον πατέρα καὶ θεόν· *δύο* δὲ *υἱοὺς αὐτοῦ*, πάντα δίκαιον καὶ πάντα ἁμαρτωλόν· ἔστι γὰρ πατὴρ καὶ τῶν δικαίων καὶ τῶν ἁμαρτωλῶν, ὡς υἱοθετηθέντων αὐτῷ διὰ τοῦ λουτροῦ τῆς ἀναγεννήσεως· περὶ τῶν πιστῶν γὰρ ὁ λόγος. *Νεώτερον* δὲ ὀνομάζει, τὸν ἁμαρτωλὸν, ὡς νηπιόφρονα καὶ εὐεξαπάτητον, ὃς καὶ ἐζήτησε *τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας*, ἤτοι, τὸ ἐκ φύσεως ὀφειλόμενον αὐτεξούσιον. Πᾶς γὰρ νηπιόφρων ζητεῖ τὸ αὐτεξούσιον.

Ἢ *ἐπιβάλλον μέρος οὐσίας* λέγει, τὸ ἐκ τοῦ βαπτίσματος χρεωστούμενον χάρισμα. Παντὶ γὰρ βαπτισθέντι χάρισμα θεῖον δίδοται. *Οὐσία* δὲ, ἤτοι, πλοῦτος θεοῦ, τὰ χαρίσματα, ἃ διανέμει τοῖς πιστοῖς.

(1) ἀριθμός.

12 **Καὶ διεῖλεν αὐτοῖς τὸν βίον.**

Ἤγουν αὐτεξουσίους αὐτοὺς ἀπέλυσε· τὸ γὰρ διελεῖν *τὸν βίον*, εἴτουν, τὴν οὐσίαν, τοῖς υἱοῖς, οὐδὲν ἕτερόν ἐστιν, ἢ τὸ αὐτεξουσίους αὐτοὺς ἀπολῦσαι· οὐδένα γὰρ ὁ θεὸς ἀναγκάζει μὴ βουλόμενον πειθαρχεῖν αὐτῷ.

Ἢ καὶ διεῖλεν αὐτοῖς τὰ προσήκοντα χαρίσματα, καθὼς εἴρηται.

13 **Καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς, ἀπεδήμησεν εἰς χώραν μακράν·**

Ὁ μὲν πρεσβύτερος παρέμεινε τῷ πατρὶ, ὡς φρόνιμος· ὁ δὲ *νεώτερος, συναγαγὼν ἅπαντα*, τό τε αὐτεξούσιον καὶ τὸ θεῖον χάρισμα,· ἢ ἅπαντα τὰ ἑαυτοῦ θελήματα, τουτέστι, κύριος αὐτῶν καταστὰς, *ἀπεδήμησεν* εἰς τὴν ἁμαρτίαν, τὴν μακρὰν τοῦ θεοῦ κειμένην· πόῤῥω γὰρ τοῦ θεοῦ γίνονται οἱ ἁμαρτάνοντες, οὐκ ἀναχωρήσει τόπου, ἀλλ' ἀναχωρήσει τῆς ἀρετῆς.

13 **Καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ,**

Διέφθειρε τὸ ἐκ τοῦ βαπτίσματος χάρισμα, τὴν τῆς ψυχῆς εὐγένειαν, τὴν πρὸς ἀρετὰς ἐπιτηδειότητα. Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἦσαν οὐσία καὶ πλοῦτος αὐτοῦ.

13 **Ζῶν ἀσώτως.**

Ἀφειδῶς, ἀκρατῶς, ἀκολάστως.

14 **Δαπανήσαντος δὲ αὐτοῦ πάντα,**

Ἀποβαλόντος πάντα, ὅσα εἶχεν ἐκ θεοῦ ἀγαθά.

14 **Ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην·**

Ὅπου γὰρ ὁ τοῦ θείου φόβου σῖτος οὐ γεωργεῖται, ἐκεῖ λιμὸς ἰσχυρὸς, οὐκ ἄρτου, ἀλλ' ἀρετῆς· ὅπου εὐφορία παντὸς κακοῦ, ἐκεῖ ἀφορία παντὸς καλοῦ.

14 **Καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι.**

Πένεσθαι, διαῤῥυέντος αὐτῷ παντὸς ἀγαθοῦ, καὶ μόνης ὑπολειφθείσης τῆς ἀκρασίας.

15 **Καὶ πορευθὺς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης·**

Π*ολῖται τῆς χώρας ἐκείνης*, ἤτοι, τῆς ἁμαρτίας, οἱ δαίμονες. Ἀποῤῥαγεὶς οὖν τοῦ πατρὸς, ὢ πολλῆς ἀνοίας! ἐκολλήθη τῷ ἐχθρῷ, καὶ μὴ ἀνασχόμενος πειθαρχεῖν τῷ φιλανθρώπῳ θεῷ, ἐδούλευε τῷ μισανθρώπῳ δαίμονι.

15 **Καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους.**

Οὕτως οἱ δαίμονες ἀμείβονται τοὺς κολλωμένους αὐτοῖς. Δηλοῖ δὲ ὁ λόγος, τὴν ἐσχάτην τοῦ ἀθλίου δουλείαν, ἐπιταττομένου τὰ ἀτιμότατα. Διὰ τοῦτο γὰρ καὶ πλατύνει τὴν παραβολὴν ὁ Χριστὸς, καὶ λεπτομερῶς ἐκτραγῳδεῖ τὰ τῆς συμφορᾶς, ἵνα μάθωμεν, οἷα πάσχουσιν οἱ ἀποφοιτῶντες τῶν ἐντολῶν τοῦ θεοῦ, καὶ πορευόμενοι κατὰ τὸ ἴδιον θέλημα.

Εἶεν δ' ἂν *ἀγροὶ* μὲν τοῦ δαίμονος, αἱ ἄσεμνοι διατριβαί· *χοῖροι* δὲ, οἱ φιλήδονοι καὶ βορβορώδεις λογισμοὶ, οὓς ὁ ταλαίπωρος τρέφειν καὶ περιέπειν προσετέτακτο.

16 **Καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι·**

Κ*εράτια* κατὰ ἀναγωγὴν, αἱ ἡδοναὶ, αἷς οἱ δηλωθέντες λογισμοὶ τρέφονται. Ὥσπερ γὰρ ἐκεῖνοι γλυκαίνουσιν ἐπὶ βραχὺ τὴν γεῦσιν, εἶτα στύφουσιν ἐπὶ πλεῖον· οὕτω καὶ αὗται, τὸ μὲν ἡδύνον πρῶτον καὶ πρόσκαιρον ἔχουσι· τὸ δὲ πικραῖνον, ὕστερον καὶ αἰώνιον.

16 **Καὶ οὐδεὶς ἐδίδου αὐτῷ.**

Οὐδεὶς ἐδίδου αὐτῷ κορεσθῆναι. Τοιοῦτοι γὰρ οἱ δαίμονες, οὐκ ἐῶσί τινα κορεσθῆναι φιληδονίας, ἵνα μὴ ταχὺ παύσηται τῆς ἁμαρτίας· ἀεὶ δὲ τὴν ὄρεξιν ἐρεθίζουσι, καὶ ἀποκάμνουσαν ἀνεγείρουσιν.

17 **Εἰς ἑαυτὸν δὲ ἐλθών,**

Ἑαυτοῦ γενόμενος, ὅ ἐστιν, ἀνανήψας, ὡς ἐκ μέθης καὶ κάρου. Ἀφύπνισε γὰρ αὐτὸν ἡ κακοπάθεια.

17 **Εἶπε· Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων; ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι.**

Μισθίους μὲν νόει μοι, τοὺς ἔτι κατηχουμένους, καὶ μήπω διὰ τοῦ βαπτίσματος υἱοθετηθέντας, οἷς μισθὸς τῆς πίστεως δίδοται ἡ υἱοθεσία· *ἄρτους* δὲ, τὰς θρεπτικὰς τῶν ψυχῶν διδασκαλίας. Φησὶν οὖν ἐκ βάθους καρδίας· Ὦ πόσοι μίσθιοι τοῦ πατρός μου οὐ μόνον ἔχουσι τροφὴν ψυχικὴν, ἀλλὰ καὶ τρυφήν· τοῦτο γὰρ τὸ *περισσεύειν* σημαίνει· *ἐγὼ δὲ* ὁ υἱὸς, *λιμῷ ἀπόλλυμαι*. Ταῦτα καὶ τὰ ἑξῆς παραβολικῶς διηγούμενος ὁ Σωτὴρ, τύπον ἡμῖν μετανοίας ἀληθοῦς παραδίδωσιν.

18 **Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου·**

Ἀναστὰς ἀπὸ τοῦ πτώματος τῆς ἁμαρτίας.

18 **Καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανόν,**

Ὡς προτιμήσας αὐτοῦ τὴν γῆν, ἤτοι, τῶν οὐρανίων ἀγαθῶν, τὰ γήϊνα.

18 **Καὶ ἐνώπιόν σου·**

Τουτέστι, καὶ, *εἰς σὲ*, ὡς προτιμήσας τοῦ σοῦ θελήματος τὸ ἐμόν.

19 **Καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου·**

Ὡς ἀναξίως τοιούτου πατρὸς πολιτευσάμενος.

19 **Ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.**

Ἐπεὶ τῆς πρώτης ἐξέπεσον τάξεως, ἀξίωσόν με τῆς δευτέρας, μόνον μὴ παντελῶς ἀποῤῥίψῃς με. Δυσωπητικὸς ὁ λόγος, καὶ καρδίας πατρικῆς ἁπτόμενος.

20 **Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα ἑαυτοῦ.**

Ἦλθεν, ἀντὶ τοῦ, *ἤρχετο*, θαῤῥήσας τοῖς αὐτοῦ σπλάγχνοις.

Χρὴ γὰρ, μὴ μόνον βουλεύεσθαι καλῶς, ἀλλὰ καὶ πράττειν τὰ βεβουλευμένα.

20 **Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ,**

Ὢ συμπαθεστάτης ὀξυωπίας! Ἅμα τις ἐνεθυμήθη μετανοῆσαι, καὶ ἅμα τοῦτον εἶδεν αὐτὸς, ἕτοιμος ὢν ἀεὶ πρὸς ὑποδοχὴν τῶν ἐπιστρεφόντων, καὶ εὐθὺς ἐκ προοιμίων τῆς μετανοίας ἀντιλαμβανόμενος αὐτῶν. Ἐντεῦθεν οὖν ἡ παραβολὴ δημοσιεύει τὴν ἀνυπέρβλητον εὐσπλαγχνίαν καὶ ἀνείκαστον φιλοστοργίαν τοῦ οὐρανίου πατρὸς, καὶ ὅσην καὶ οἵαν εἰς τοὺς ἐπιστρέφοντας συμπάθειαν ἐπιδείκνυται.

20 **Καὶ ἐσπλαγχνίσθη·**

Πατὴρ γὰρ ἦν, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ θεὸς ἐλέους.

20 **Καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν.**

Ὑπὸ τῆς ἄγαν περιχαρείας, οὐκ ἀνέμεινεν αὐτὸν ἐλθεῖν, ἀλλὰ προϋπήντησε, καὶ οὐχ ἁπλῶς, ἀλλὰ *δραμὼν*, ἵνα φανῇ τὸ σφοδρὸν τοῦ φίλτρου· *καὶ ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ*, πληροφορῶν, ὅτι ἀφῆκεν αὐτῷ πᾶσαν ἁμαρτίαν, *καὶ κατεφίλησεν αὐτὸν*, ὡς υἱὸν ποθεινὸν, τὸν ἄχρι τῆς μετανοίας μιαρόν τε καὶ βδελυρόν.

Ὢ παραδόξου καταλλαγῆς! Τί εἴπω, ἢ τί λαλήσω πρὸς τὴν ἄῤῥητον τοῦ θεοῦ φιλανθρωπίαν; Ἀποβλέπων γὰρ πρὸς τὸ ἀχανὲς πέλαγος αὐτῆς, ἐπικόπτομαι τὸν λόγον, καὶ οὐκ ἔχω τί φθέγξωμαι· τοῦτο δὲ μόνον λαμπρᾷ βοῶ τῇ φωνῇ, ὅτι μεγάλα δύναται ἡ μετάνοια, ταχέως ἐπικάμπτουσα τὸν ταχύτερον εἰς τὸ ἐπικάμπτεσθαι φιλάνθρωπον θεὸν ἡμῶν. Ἀνθρωποπρεπέστερον δὲ τὰ ῥηθέντα ποιεῖν αὐτὸν λέγει, πρὸς ἐναργεστέραν διδασκαλίαν τῆς συμπαθείας καὶ καταλλαγῆς αὐτοῦ· ἐπεὶ καὶ ἄνθρωπον αὐτὸν ἐν ἀρχῇ τῆς παραβολῆς ὑπέθετο.

21 **Εἶπε δὲ αὐτῷ ὁ υἱός· Πάτερ, ἥμαρτον εἰς τὸν οὐ-**
ρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κλη-
θῆναι υἱός σου.

Ἅπερ εἰπεῖν ἐμελέτησε, ταῦτα λέγει νῦν ἐξ ὅλης καρδίας, ὡς ἐντεῦθεν μανθάνειν ἡμᾶς, ὅτι χρὴ καὶ μετὰ τὴν καταλλαγὴν ὁλοκαρδίως ὁμολογεῖν, ὅτι ἡμάρτομεν, καὶ καταδικάζειν ἑαυτούς.

22 **Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ·**

Πρὸς τοὺς ἱερεῖς τῆς ἐκκλησίας. Οὗτοι γὰρ ὑπηρετοῦσι τῷ θεῷ πρὸς τὴν σωτηρίαν τῶν ἐπιστρεφόντων.

22 **Ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε**
αὐτόν.

Τὴν τιμιωτάτην, ἥτις ἐςὶν ἡ κάθαρσις, ἢ ἡ φρουρητικὴ χάρις.

22 **Καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ.**

Ἀῤῥαβῶνα τῆς πρὸς τὸν θεὸν οἰκειώσεως, ἢ σφραγῖδα εἰς τὴν πρᾶξιν αὐτοῦ, ὥστε μένειν αὐτὴν ἀνεπιβούλευτον.

22 **Καὶ ὑποδήματα εἰς τοὺς πόδας.**

Φυλακὴν εἰς τὴν πορείαν τῆς πολιτείας αὐτοῦ.

23 **Καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε·**

Μόσχος *σιτευτὸς*, τὸ ἅγιον σῶμα τοῦ Χριστοῦ· *μόσχος* μὲν, ὡς μὴ δαμασθὲν τῇ ζεύγλῃ τῆς ἁμαρτίας· *σιτευτὸς* δὲ, ὡς πιανθὲν ταῖς ἀρεταῖς, καὶ τηρηθὲν εἰς τὴν ὑπὲρ τῶν ἁμαρτωλῶν σφαγήν.

23 **Καὶ φαγόντες εὐφρανθῶμεν·**

Φαγεῖν καὶ αὐτὸς λέγει, δηλῶν τὴν κοινωνίαν τῆς εὐφροσύνης.

24 **Ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ**
ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

Νέκρωσιν μὲν καὶ ἀπώλειαν φησὶ, τὴν ἀπὸ τῆς ἁμαρτίας· ἀναζώωσιν δὲ καὶ εὕρεσιν, τὴν ἀπὸ τῆς μετανοίας.

24 **Καὶ ἤρξαντο εὐφραίνεσθαι.**

Τοῦτο σαφές.

25 **Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ·**

Τῷ τῶν ἀρετῶν, ἐργαζόμενος αὐτάς.

25 **Καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμ-**
φωνίας καὶ χορῶν.

Ὁ τοιοῦτος, ἔρχεται μὲν διὰ προκοπῆς· ἐγγίζει δὲ, διὰ τελειώσεως τῷ οἴκῳ τοῦ θεοῦ, καὶ ἀκούει συμφωνίας μὲν μουσικῆς, διὰ τὴν πρὸς τὸν πατέρα συμφωνίαν τοῦ υἱοῦ, ἣν συνεφώνησε διὰ τῆς μετανοίας· χορῶν δὲ, διὰ τὴν ἐκεῖθεν χαράν. Ἐν τῷ οἴκῳ γὰρ τοῦ θεοῦ ἦχος καθαρὸς (1) ἑορταζόντων.

26 **Καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων, ἐπυνθάνετο,**
τί εἴη ταῦτα;

Ἕνα τῶν ἀγγέλων· δι' ἀγγέλου γὰρ ἀποκαλύπτονται τὰ θεῖα μυστήρια. *Παῖδας* δὲ νῦν λέγει, τοὺς δούλους· δοῦλοι δὲ τοῦ θεοῦ, οἱ ἄγγελοι.

27 **Ὁ δὲ εἶπεν αὐτῷ· Ὅτι ὁ ἀδελφός σου ἥκει·**

Παραγίνεται ἐπιστρέψας.

27 **Καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν,**
ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν.

Ἀποβαλόντα τὴν νόσον διὰ τῆς μετανοίας.

28 **Ὠργίσθη δὲ, καὶ οὐκ ἤθελεν εἰσελθεῖν.**

Σχηματίζει τοῦτον ἡ παραβολὴ νῦν ὀργιζόμενον, καὶ μὴ θέλοντα εἰσελθεῖν, οὐχ ὅτι ἐφθόνησε· λύπη γὰρ οὐδεμία τοῖς δικαίοις ἐπὶ τῇ σωτηρίᾳ τῶν ἀδελφῶν· ἀλλ' ἵνα παραστήσῃ τὴν ὑπερβολὴν τῆς τοῦ θεοῦ ἀγαθότητος. Ἐμφαίνει γὰρ ἡ τοιαύτη ἀγανάκτησις, ὅτι τοσαύτην ἐνδείκνυται περὶ τοὺς

(1) Ἀντὶ τοῦ, καθαρὸς, ὁ Ἑντένιος φαίνεται ὅτι ἀνέγνωσε, καθαρῶς.

μετανοοῦντας χάριν καὶ χαρὰν, ὡς ἑτέροις φθόνον κινῆσαι. Τοῦτο δὲ πεποίηκε καὶ ἡ παραβολὴ τῶν μισθουμένων ἐργατῶν ἐν τῷ τεσσαρακοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον· καὶ ἐν ἐκείνῃ γὰρ οἱ πρῶτοι ἐγόγγυζον.

28 Ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν, παρεκάλει αὐτόν.

Ὡς φιλόπαις καὶ σοφὸς, καὶ τὸν ἐπιστρέψαντα τιμᾷ, καὶ τὸν μείναντα παρακαλεῖ.

29 Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· Ἰδοὺ, τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ.

Οὐ τοιαῦτα λέγουσιν οἱ ἅγιοι πρὸς τὸν θεὸν, ἀλλὰ ἀκολούθως τῇ ὀργῇ ἐσχημάτισται καὶ αὕτη ἡ δικαιολογία, διὰ τὴν αἰτίαν, ἣν εἰρήκαμεν. Εἰώθασι γὰρ οἱ φθονοῦντες τοιαῦτα ἐγκαλεῖν.

Τινὲς οὖν *ἔριφον* μὲν, τὴν ἐλαχίστην ἡδονήν, *φίλους* δὲ, τὰ θελήματα νοοῦντες, φασὶν εἰπεῖν αὐτὸν, ὅτι Ἐμοὶ οὐδέποτε παρεχώρησας οὐδὲ ἐλαχίστης ἡδονῆς, ἵνα μετὰ τῶν θελημάτων μου εὐφρανθῶ.

Ἡμῖν δὲ οὐ περιεργαστέον, τίς ἐστιν ὁ ἔριφος, καὶ τίνες οἱ φίλοι. Ἐπισφαλὴς γὰρ ἡ ἐν τοῖς τοιούτοις λεπτολογία, καθὼς πολλαχοῦ τῶν παραβολῶν διεμαρτυράμεθα.

30 Ὅτε δὲ ὁ υἱός σου οὗτος, ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν.

Καὶ ταῦτα τῆς αὐτῆς εἰσιν ἀκολουθίας, καὶ ὁμοίως ἐσχηματίσθησαν. *Βίον* μὲν οὖν τοῦ θεοῦ λέγει, τὸ χάρισμα, καθὼς ἀνωτέρω δεδήλωται· *πόρνας* δὲ, τὰς φιληδονίας.

31 Ὁ δὲ εἶπεν αὐτῷ· Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ.

Οὐδέποτέ μου ἀποφοιτῶν, ἀλλ' ἀεὶ τὰς ἐντολάς μου πληρῶν.

31 Καὶ πάντα τὰ ἐμὰ, σά ἐστιν.

Τοιοῦτος γὰρ ὢν, πάντα τὰ ἐμὰ κληρονομήσεις· οἱ τοιοῦτοι γὰρ υἱοὶ κληρονομοῦσι τὴν βασιλείαν τοῦ πατρὸς καὶ θεοῦ. Μὴ λυποῦ τοίνυν· οὐδὲν γὰρ ἠδικήθης. Οὕτως ἐπιεικῶς παρηγορήσας αὐτὸν, ἀπολογεῖται λοιπὸν καὶ ὑπὲρ τῶν γεγενημένων εἰς τὸν ἀδελφὸν αὐτοῦ.

32 Εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

Δείκνυσιν ἀναγκαίαν τὴν εὐφροσύνην καὶ χαράν. Τίς γὰρ ἰδὼν νεκρὸν ἀναζήσαντα, οὐκ εὐφραίνεται; Καὶ τίς τὸ ἀπολωλὸς εὑρὼν, οὐ χαίρει; Εἶδες, πῶς καὶ ἀποδημήσαντος ἐμακροθύμει, καὶ ἐπιστρέψαντα περιχαρῶς ὑπεδέξατο· καὶ οὐ μόνον οὐκ ἀπήτησε δίκην, ἀλλὰ καὶ χαρίτων ἠξίωσε· καὶ οὐ μόνον οὐδ' ὠνείδισεν, ἀλλὰ καὶ ὑπεραπελογήσατο.

Ὄντως μεγάλη, δέσποτα, ἡ φιλανθρωπία σου, καὶ οὐδεὶς ἐξαρκέσει λόγος πρὸς εὐχαριστίαν αὐτῆς! Εἴη δὲ καὶ ἡμᾶς, τοὺς ἐπίσης τῷ ἀσώτῳ ἀποδημήσαντας, καὶ διασκορπίσαντας τὸν πλοῦτον, ἴσην αὐτῷ καὶ τὴν ἐπιστροφὴν ἐνδείξασθαι, καὶ τῆς ἴσης ἀξιωθῆναι φιλανθρωπίας.

ΚΕΦΑΛΑΙΟΝ ΝΗ΄.

Περὶ τοῦ οἰκονόμου τῆς ἀδικίας.

ΚΕΦ. XVI, 1 Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Ἄνθρωπός τις ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον· καὶ οὗτος διεβλήθη αὐτῷ ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ.

Ἡ παραβολὴ αὕτη πρὸς τοὺς χριστιανοὺς ἀποτέταται, τοὺς μὴ βουλομένους πάντῃ τῶν χρημάτων ὑπερορᾷν, νουθετοῦσα

τούτους, ἵνα κἂν εὐεργετῶσι τοὺς πένητας. Εἴρηται δὲ πρὸς τοὺς μαθητάς· διότι οἰκονόμοι καὶ οὗτοι.

Καὶ ἄνθρωπον μὲν πλούσιον ἐμφαίνει, τὸν φιλάνθρωπον καὶ ἀνενδεῆ θεόν· οἰκονόμον δὲ, πάντα τὸν κεκτημένον πλοῦτον· οἱ τοιοῦτοι γὰρ οὐ κύριοι, ἀλλ᾽ οἰκονόμοι εἰσί. Φησὶ γὰρ ὁ θεός· *Ἐμόν ἐστι τὸ χρυσίον, καὶ ἐμόν ἐστι τὸ ἀργύριον* (α) Διεβλήθη δὲ τῷ θεῷ ὁ κακὸς οἰκονόμος ὑπὸ τῆς κακῆς οἰκονομίας, ὡς διασκορπίζων τὰ τοῦ θεοῦ, εἰς ἃ οὐκ ἔδει, καὶ μὴ διανέμων τὰ περιττὰ τοῖς πένησι.

2 Καὶ φωνήσας αὐτὸν, εἶπεν αὐτῷ· Τί τοῦτο ἀκούω
περὶ σοῦ; ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου.

Εἶπεν αὐτῷ ταῦτα διὰ τῶν θείων Γραφῶν, αἳ διδάσκουσι περὶ τῆς μελλούσης κρίσεως καὶ λογοθεσίας.

2 Οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν.

Τοῦ θανάτου ὅσον οὔπω μετακινοῦντός σε.

3 Εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος· Τί ποιήσω, ὅτι ὁ
κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ᾽ ἐμοῦ;
σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι.

Μετὰ τὸν θάνατον γὰρ ἐργάσασθαι οὐκ ἰσχύει τις· ἐργασίας γὰρ ὁ παρὼν καιρός· ὁ δὲ μέλλων, ἀνταποδόσεως, καὶ τὸ παρακαλεῖν ἀνόνητον.

4 Ἔγνων τί ποιήσω.

Ἔγνω τοῦτο, συνετισθεὶς ὑπὸ τῶν Γραφῶν.

4 Ἵνα, ὅταν μετασταθῶ τῆς οἰκονομίας, δέξωνταί με
εἰς τοὺς οἴκους αὐτῶν.

Οὗτοι, περὶ ὧν ἔγνω, τουτέστιν οἱ ῥηθῆναι μέλλοντες.

5 Καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεωφειλε-

(α) Ἀγγ. Β', 8.

τῶν τοῦ κυρίου ἑαυτοῦ, ἔλεγε τῷ πρώτῳ· Πόσον
6 ὀφείλεις τῷ κυρίῳ μου; Ὁ δὲ εἶπεν· Ἑκατὸν βάτους
ἐλαίου. Καὶ εἶπεν αὐτῷ· Δέξαι σου τὸ γράμμα,
7 καὶ καθίσας ταχέως γράψον πεντήκοντα. Ἔπειτα
ἑτέρῳ εἶπε· Σὺ δὲ πόσον ὀφείλεις; Ὁ δὲ εἶπεν·
Ἑκατὸν κόρους σίτου. Καὶ λέγει αὐτῷ· Δέξαι σου
τὸ γράμμα, καὶ γράψον ὀγδοήκοντα.

Τίς μὲν ὁ χρεώστης τοῦ ἐλαίου, καὶ τίς ὁ τοῦ σίτου, καὶ διὰ τί ἀνὰ ἑκατὸν ὤφειλον, καὶ τί τὸ γράμμα τοῦ χρέους, καὶ διὰ τί ὁ μὲν πεντήκοντα ἔγραψεν, ὁ δὲ, ὀγδοήκοντα, καὶ τὰ τοιαῦτα τῆς προκειμένης παραβολῆς, περιττὸν ἐξετάζειν. Δὶ οὐδὲν γὰρ ἕτερον συνεπλάσθησαν, ἢ ἵνα δειχθῇ μόνον, ὅτι ὁ ῥηθεὶς οἰκονόμος, ἕως εἶχε καιρὸν οἰκονομίας, φρονίμως τοῖς τοῦ δεσπότου πράγμασιν εἰς τὸ οἰκεῖον συμφέρον ἀπεχρήσατο, καὶ δὶ αὐτῶν εἰς τὸ μέλλον σωτηρίαν ἑαυτῷ περιεποιήσατο, ὡς ἐντεῦθεν μαθεῖν τοὺς ἔχοντας πλοῦτον, ὅτι χρὴ τούτους, οἰκονόμους αὐτοῦ καταστάντας, ἕως ἔχουσι καιρὸν ζωῆς, φρονίμως τοῖς τοῦ θεοῦ πράγμασιν εἰς τὸ οἰκεῖον συμφέρον ἀποχρήσασθαι, καὶ δὶ αὐτῶν εὐεργετοῦντας τοὺς πένητας, εἰς τὸ μέλλον σωτηρίαν ἑαυτοῖς πραγματεύσασθαι. *Βάτος* μὲν οὖν ἦν μέτρον ἐλαίου· *κόρος* δὲ, μέτρον σίτου.

8 Καὶ ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας,
ὅτι φρονίμως ἐποίησεν·

Τὸ ἑξῆς, ὡς δῆλον, τοῖς ἀκροαταῖς ἀφῆκε συλλογίζεσθαι. Εἰ γὰρ ὁ ἠδικημένος δεσπότης ἐπῄνεσε τὸν οἰκονόμον τῆς ἀδικίας, ἤγουν, τὸν τὴν οἰκείαν σωτηρίαν οἰκονομήσαντα ἐξ ἀδικίας, πολλῷ μᾶλλον ὁ ἀδικούμενος θεὸς ἐπαινέσει τὸν οἰκονόμον τῆς δικαιοσύνης. Δικαιοσύνη γὰρ, τὸ τὰ περιττὰ τοῖς πένησι διανέμεσθαι.

8 Ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ

τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν εἰσι.

Υἱοὺς μὲν τοῦ *αἰῶνος* τούτου καλεῖ, τοὺς τῷ κόσμῳ προσκειμένους· *αἰῶνα* γὰρ νῦν, τὸν κόσμον τοῦτον ὠνόμασεν· *υἱοὺς* δὲ *φωτὸς* λέγει, τοὺς τοῦ κόσμου ἀποστήσαντας ἑαυτούς. Καί φησιν, ὅτι οὗτοι φρονιμώτεροί εἰσιν ἐκείνων, κατὰ τοῦτο δὲ μόνον, καθὸ φροντίζουσι τοῦ μέλλοντος, ὡς ἔδειξε τὸ παράδειγμα τοῦ ῥηθέντος οἰκονόμου. *Ὑπὲρ τοὺς υἱοὺς δὲ τοῦ φωτὸς, τοὺς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν*, ἤγουν, τοὺς ἐκ τῆς γενεᾶς τῆς ἑαυτῶν υἱοὺς φωτὸς γενομένους. Ἐντρέπει δὲ ὁ λόγος τοὺς ἀμελοῦντας τοῦ μέλλοντος

9 Κἀγὼ ὑμῖν λέγω· Ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας.

Μαμωνᾶς μὲν ὁ πλοῦτος λέγεται παρ' Ἑβραίοις· *τῆς ἀδικίας* δὲ τοῦτον εἶπεν, ὡς ἐξ ἀδικίας θησαυρισθέντα, τῆς ἐκ τοῦ μὴ διαμερίζεσθαι τὰ περιττὰ τούτου τοῖς πένησιν. Ἐπεί, φησιν, ἄχρι τοῦ νῦν κακῶς ᾠκονομήτατε, καὶ τὰ ἐμπεπιστευμένα μαμωνᾶν ἀδικίας κατεστήσατε, κἂν γοῦν ὀψέποτε ποιήσατε ἑαυτοῖς φίλους ἐξ αὐτοῦ τοὺς πένητας, κατὰ μίμησιν τῆς ἤδη ῥηθείσης παραβολῆς.

9 Ἵνα, ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς.

Ἵνα, ὅτὰν τῷ θανάτῳ μεταστῆτε, παράσχωσιν ὑμῖν τόπον εἰς τὰς αἰωνίας σκηνὰς, πρόξενοι τούτου γινόμενοι.

10 Ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐστιν.

Ὁ πιστὸς ἐν ὀλίγῳ, καὶ πολλοῦ ἄξιός ἐστιν· ὁ δὲ ἐν ὀλίγῳ ἄδικος, καὶ πολλοῦ ἀνάξιός ἐστι. Λέγει δὲ *ἐλάχιστον* μὲν, τὸν γήϊνον πλοῦτον· *πολὺν* δὲ, τὸν οὐράνιον.

11 Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε,

Ὡς κακῶς οἰκονομοῦντες.

11 Τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει;

Τὸν ἀληθινὸν πλοῦτον τῆς βασιλείας τοῦ θεοῦ.

12 Καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει;

Ὁμοίως *ἀλλότριον* μὲν ὀνομάζει τὸν γήϊνον πλοῦτον, ὡς μὴ παραμένοντα τῷ κεκτημένῳ· *ἡμέτερον* (1) δὲ, τὸν οὐράνιον, ὡς παραμένοντα τῷ ἀξιωθέντι αὐτοῦ.

13 Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει.

Ταῦτα εἶπε καὶ ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ἀνάγνωθι ἐν ἐκείνῳ τὴν ἐξήγησιν τοῦ· *Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν* (α).

13 Οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ.

Ἀκολούθως ἐκεῖ καὶ περὶ τούτου εἴρηται, καὶ ἡρμήνευται.

14 Ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ Φαρισαῖοι, φιλάργυροι ὑπάρχοντες· καὶ ἐξεμυκτήριζον αὐτόν.

Ἐφαύλιζον αὐτὸν, οἱ φαῦλοι καὶ κατάπτυστοι.

15 Καὶ εἶπεν αὐτοῖς· Ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων·

Οἱ δικαίους ἑαυτοὺς οἰόμενοι.

---

(1) Ἐν τῷ κειμένῳ γράφεται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις, ὑμέτερον, καὶ αὕτη εἶναι ἡ κοινῶς παραδεδεγμένη ἀνάγνωσις. Ὁ δὲ Εὐθύμιος ἐν τῇ ἑρμηνείᾳ γράφει, ἡμέτερον, καὶ τοῦτο ἑρμηνεύει. Ὡσαύτως καὶ ὁ Θεοφύλακτος. Καὶ παρὰ τούτῳ ἐν μὲν τῷ κειμένῳ γράφεται, ὑμέτερον, ἑρμηνεύεται δὲ τὸ, ἡμέτερον· ἀλλ' οὕτως, ὡς ἂν ἀνεγινώσκετο καὶ ἐν τῷ κειμένῳ, ἡμέτερον. « Καὶ ἄλλως, καθὸ οὐκ εἰσηνέγκαμέν τι εἰς τὸν κόσμον, ἀλλὰ γυμνοὶ γεγεννήμεθα, τὸ ἡμέτερον τίς δώσει; Ἡμέτερον δὲ ὁ πλοῦτος ὁ οὐράνιος καὶ θεῖος· ἐκεῖ γὰρ ἡμῶν τὸ πολίτευμα. » Θεοφυλ. Σελ. 414 C. Σελ. 415. A. Ἐκδ. Ἐνετ.

(α) Ματθ. ϛ', 24.

15 Ὁ δὲ θεὸς γινώσκει τὰς καρδίας ὑμῶν·

Ἁμαρτωλὰς οὔσας καὶ βδελυράς.

15 Ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα ἐνώπιον τοῦ θεοῦ ἐστιν.

Καὶ γάρ φησιν· Εἰ καὶ μηδὲν ἕτερον ἡμαρτάνετε, ἡ ἐν ἀνθρώποις ὑψηλοφροσύνη βδελυρά ἐστι τῷ θεῷ, καὶ βδελυροὺς ποιεῖ τοὺς οἰηματίας.

16 Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου·

Ὁ νόμος τοῦ προφητεύειν, καὶ οἱ προφῆται οἱ προφητεύοντες, δηλονότι, περὶ ἐμοῦ, μέχρις Ἰωάννου προεφήτευσαν. Τοῦτο γὰρ προσέθηκεν ὁ Ματθαῖος (α). Τοῦ λοιποῦ δὲ, οὔτε νόμος, οὔτε προφῆται· ἀλλὰ τί;

16 Ἀπὸ τότε ἡ βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται,

Οὐκέτι σκοτεινῶς προφητεύεται, ἀλλὰ φανερῶς καταγγέλλεται· αὐτὸς γὰρ ὁ Ἰωάννης πρῶτος αὐτὴν εὐηγγελίσατο, λέγων· *Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν* (β). *Βασιλείαν δὲ τοῦ θεοῦ* λέγει νῦν, τὴν εἰς αὐτὸν πίστιν, ὡς οὖσαν ἀῤῥαβῶνα τῆς βασιλείας τῶν οὐρανῶν, ἤτοι, τῆς ἀπολαύσεως τῶν οὐρανίων ἀγαθῶν.

16 Καὶ πᾶς εἰς αὐτὴν βιάζεται.

Πᾶς συνετὸς εἰς αὐτὴν βιάζει ἑαυτὸν, ἀνθελκόμενος ἀπὸ τῆς τοῦ κόσμου φιλίας καὶ τῆς ἀπιστίας· ὑμεῖς δὲ, ἀσύνετοι καὶ ῥάθυμοι ὄντες, εἰκότως ἀπιστεῖτε.

17 Εὐκοπώτερον δέ ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν.

Νόμον ἐνταῦθα, πᾶσαν ὠνόμασε τὴν παλαιὰν Γραφὴν, ἥτις διαφόρως προεῖπεν, ὅτι διὰ τὴν ἀπιστίαν αὐτῶν ἐκπεσοῦνται τῆς πρὸς θεὸν οἰκειώσεως. Λέγει γοῦν, ὅτι Εὐχερέστερον ἂν

(α) Ματθ. ΙΑ', 13. (β) Ματθ. Γ', 2.

ὁ οὐρανὸς καὶ ἡ γῆ ἀφανισθήσονται, ἢ τὸ ἐλάχιστον τῶν προηγορευμένων τῇ Γραφῇ περὶ τῆς διὰ τὴν ἀπιστίαν ἐκπτώσεως αὐτῶν διαπεσεῖται, εἴτουν, ἀπρακτήσει.

18 Πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ, καὶ γαμῶν ἑτέραν, μοιχεύει· καὶ πᾶς ὁ ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν, μοιχεύει.

Νῦν μὲν, μὴ ἐρωτηθεὶς, εἶπε ταῦτα, πρός τινας ἀποτεινόμενος τοιαῦτα τότε πλημμελήσαντας· ἐν δὲ τῷ τεσσαρακοστῷ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ἐρωτηθεὶς ὑπὸ τῶν Φαρισαίων· *Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν* (α), πλατεῖαν τὴν ἀπόκρισιν ἐποιήσατο, καὶ ἀνάγνωθι τὴν ὅλην ἐξήγησιν αὐτῆς.

ΚΕΦΑΛΑΙΟΝ ΝΘ'.

Περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου.

19 Ἄνθρωπος δέ τις ἦν πλούσιος,

Πολλὰ πολλάκις περὶ φιλοπτωχίας διδάξας, νῦν διὰ παραβολῆς καὶ φόβον τοῖς σκληροκαρδίοις καὶ ἀμεταδότοις πλουσίοις ἐπικρεμᾷ, περὶ τῶν ἔτι μελλόντων, ὡς ἤδη γεγονότων διηγούμενος· οὔπω γὰρ τῶν βεβιωμένων ἀνταπόδοσις· ἐπεὶ οὔπω κρίσις· καὶ τρανῶς παριστῶν, οἷαι μὲν κολάσεις τοὺς ἀσυμπαθεῖς πλουσίους διαδέξονται μετὰ θάνατον, οἷαι δὲ ἀνέσεις τοὺς φερεπόνους πένητας ὑποδέξονται. Καὶ ἄλλα δὲ ὠφέλιμα διὰ τῆς παραβολῆς ταύτης μανθάνομεν.

19 Καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον,

Ταῖς τιμιωτάταις καὶ φαιδροτάταις στολαῖς κατεκόσμει τὸ σῶμα.

(α) Ματθ. ΙΘ', 3.

19 Εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς.

Πολυτελῶς.

20 Πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος·

Τοῦ πλουσίου μὲν οὐκ εἶπεν ὄνομα, ὡς μεμισημένου· γέγραπται γὰρ περὶ τῶν πονηρῶν· *Οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου* (α)· τοῦ πτωχοῦ δὲ τὴν κλῆσιν προσέθηκεν, ὡς ἠγαπημένου.

Φασὶ δέ τινες ἐκ παραδόσεως Ἑβραίων, ὅτι κατὰ τοὺς καιροὺς ἐκείνους καὶ ὁ πλούσιος ἐκεῖνος ἦν, Νινευὶς καλούμενος, καὶ ὁ πτωχὸς οὗτος Λάζαρος. Τελευτησάντων δὲ αὐτῶν, παραβολὴν ὁ Χριστὸς τὰ κατ' αὐτοὺς ἐποίησε, καὶ τὰς μελλούσας ἀνταποδόσεις αὐτῶν, ὡς γεγενημένας, ἱστόρησε, τοῖς μὲν κατὰ τὸν πλούσιον ἐκεῖνον, φόβον ἐμποιῶν, ὡς εἰρήκαμεν· τοῖς δὲ κατὰ τὸν πτωχὸν τοῦτον, παρηγορίαν, καὶ τούτοις δὲ κἀκείνοις ὠφέλειαν.

20 Ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος,
21 καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν
πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ
καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ.

Τοσοῦτον γὰρ παρεῖτο τὸ σῶμα, ὡς μηδὲ τοὺς κύνας ἀποσοβεῖν δύνασθαι. Ὢ πολλῆς ὠμότητος καὶ ἀναλγησίας! ὅτι τὸν ἐν τοσούτοις κακοῖς, ὁ ἐν τοσούτοις ἀγαθοῖς περιεώρα, καὶ ταῦτα ἐῤῥιμμένον πρὸ τοῦ πυλῶνος αὐτοῦ. Καὶ αὖθις, ὢ πολλῆς ἀνδρείας καὶ ὑπομονῆς! ὅτι ἐκείνου οὕτως ἔχοντος, αὐτὸς οὕτως ἔχων, οὐκ ἐβλασφήμησεν, οὐδ' ἐγόγγυσεν

22 Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν, καὶ ἀπενεχθῆναι
αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ.

Ἵνα τὸν ξένον Λάζαρον παρὰ τῷ φιλοξένῳ Ἀβραὰμ ἰδὼν ὁ

(α) Ψαλμ. ΙΕ', 4.

μισόξενος πλούσιος, ἔλεγχον ἔχοι τοῦτο (1) τῆς μισοξενίας αὐτοῦ. Παρατήρησον δὲ, ὅτι τῶν ἁμαρτωλῶν μὲν αἱ ψυχαὶ ἀποτόμως ἀπαιτοῦνται· *Ἄφρον γάρ, φησι, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ* (α)· τῶν δικαίων δὲ, εὐλαβῶς ἀπάγονται, ὑπὸ τῶν ἀγγέλων δορυφορούμεναι.

22 Ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη.

Ἐπὶ τοῦ πτωχοῦ μὲν, οὐκ εἶπεν, ὅτι ἐτάφη, διὰ τὸ ἀτημέλητον τῆς τῶν πτωχῶν ταφῆς· ἐπὶ τοῦ πλουσίου δὲ, καὶ μάλα, διὰ τὸ πολυτελὲς τῆς τῶν πλουσίων ταφῆς.

23 Καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑ-
πάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν,
καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ.

Ἅιδην λέγει, τὸν τόπον τῆς κολάσεως. Ἐκ τῆς παραβολῆς δὲ ταύτης μανθάνομεν, καὶ ὅτι ἐν τῷ μέλλοντι αἰῶνι οὐ μόνον ὁρῶσι καὶ οἱ ἁμαρτωλοὶ τοὺς δικαίους, καὶ οἱ δίκαιοι τοὺς ἁμαρτωλοὺς, ἀλλὰ καὶ γνωρίζουσι· καὶ οἱ ἁμαρτωλοὶ μὲν ὁρῶσι τὰς τῶν δικαίων ἀπολαύσεις, ἵνα μᾶλλον ἀνιῶνται, βλέποντες, οἵων ἀγαθῶν ἐστερήθησαν· οἱ δίκαιοι δὲ, ὁρῶσι τὰς τῶν ἁμαρτωλῶν κολάσεις, ἵνα μᾶλλον χαίρωσι, βλέποντες οἷα βάσανα (2) διέφυγον. Γνωρίζουσι δὲ ἀλλήλους, ἵνα γνῶσιν, ἐν ποίοις εἰσὶν οὗτοι, περὶ ὧν ἠγνόουν πρὸ τοῦ ἀποθανεῖν. Οὐ παρακαλοῦσι δὲ τότε τὸν Θεὸν οἱ δίκαιοι ὑπὲρ τῶν ἁμαρτωλῶν, γινώσκοντες, ὅτι τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ συγκατεδικάσθησαν· καὶ ὥσπερ τὸ ὑπὲρ τῶν δαιμόνων ἱκετεύειν, μάταιόν ἐστι καὶ ἀπρόσδεκτον, οὕτω καὶ τὸ ὑπὲρ τούτων, ὡς εἶπε Γρηγόριος ὁ Διάλογος. Οὐκ ἀλγοῦσι δὲ, καίτοι συμπαθεῖς ὄντες· ἀπέδρα γάρ τότε ἀπ' αὐτῶν ὀδύνη καὶ λύπη καὶ στεναγμὸς, ἵνα καθαρῶς εὐφραίνωνται.

(1) τὸ βλέπειν, δηλονότι· ἀλλ' ὀρθότερον ἴσως, τοῦτον, τ. ε. τὸν Λάζαρον· (α) Λουκ. ΙΒ', 20. (2) Ἴσως, οἷαν βάσανον, ὡς καὶ κατωτέρω·

[Ταῦτα μέν (1) φησι Γρηγόριος ὁ Διάλογος· ἕτεροι δὲ Πατέρες λέγουσι, μήτε ὑπὸ τῶν ἁμαρτωλῶν ὁρᾶσθαι τοὺς δικαίους, μήτε ὑπὸ τῶν δικαίων, τοὺς ἁμαρτωλούς· οἱ μὲν γὰρ ἐν τῷ φωτί· οἱ δὲ ἐν τῷ σκότει· πόῤῥω δὲ ἀλλήλων τὸ φῶς καὶ τὸ σκότος· καὶ οἱ μέν, ὅλοι φῶς ὄντες, οὐκ ἂν βούλοιντο ἀπιδεῖν εἰς τὸ σκότος· οἱ δέ, ὅλοι σκότος ὑπάρχοντες, οὐκ ἂν δύναιντο ἀπιδεῖν εἰς τὸ φῶς. Ἦ γὰρ ἂν καὶ οἱ ἁμαρτωλοὶ τῆς ὀδύνης παράκλησιν ἔμελλον ἔχειν τὸ φῶς· καὶ οἱ δίκαιοι, τῆς ἡδονῆς ὕφεσιν τὸ σκότος. Τὴν μέντοι παραβολὴν ὑποθέσθαι τοῦτο, κατὰ παραβολικὴν αὐτονομίαν, καὶ ἵνα φοβερώτερος καὶ πιθανώτερος ὁ λόγος γένηται. Χρὴ δὲ καὶ ταῦτα κἀκεῖνα γινώσκειν· ἁγίων γάρ εἰσι, καὶ οὐδὲν τῇ εὐσεβείᾳ λυμαίνονται].

24 **Καὶ αὐτὸς φωνήσας εἶπε· Πάτερ Ἀβραάμ, ἐλέησόν**
με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ
δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσ-
σάν μου· ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ.

Ὅρα, πόσον αὐτὸν ἡ βάσανος ἐσωφρόνισεν! Ὃν γὰρ ἐγγὺς κείμενον παρεώρα, τοῦτον πόῤῥωθεν ὀξέως ὁρᾷ. Οὐ παρεκάλεσε δὲ τὸν Λάζαρον, ὑπολαμβάνων, ὅτι μνησικακεῖ αὐτῷ· τὸν Ἀβραὰμ δὲ ἱκέτευσε, νομίζων, ὅτι ἀγνοεῖ τὰ κατ' αὐτόν. Ὥσπερ δὲ τῷ Λαζάρῳ πρότερον, ἐν τοσούτοις ὄντι κακοῖς, προσθήκη συμφορῶν ἦν τὸ βλέπειν τὸν πλούσιον ἐν τοσούτοις ἀγαθοῖς· οὕτω καὶ τῷ πλουσίῳ νῦν, ἐν τοσούτοις ὄντι δεινοῖς, προσθήκη τιμωριῶν ἐστὶ τὸ βλέπειν τὸν Λάζαρον ἐν τοσούτοις ἀγαθοῖς.

25 **Εἶπε δὲ Ἀβραάμ· Τέκνον, μνήσθητι, ὅτι ἀπέλαβες**
σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁ-
μοίως τὰ κακά· νῦν δὲ ὅδε παρακαλεῖται, σὺ δὲ
ὀδυνᾶσαι.

Οὐκ ὀνειδίζει τούτῳ τὴν ἀπανθρωπίαν, ἀλλ' ἐπιεικῶς ἀπο-

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περιθωρίῳ.

κρίνεται· γέγραπται γάρ· ὅτι ψυχὴν τεταπεινωμένην μὴ προσ-
ταράξῃς (α). Καὶ τέκνον ὀνομάζει τοῦτον, ὡς πατριάρχης αὐ-
τοῦ, καὶ ὡς πρεσβύτης. Οὐκ εἶπε δέ, ὅτι ἔλαβες, ἀλλ' ὅτι ἀπέ-
λαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως
τὰ κακά· τὸ γὰρ ἀπολαμβάνειν ἐπὶ τῶν χρεωστουμένων τάτ-
τεται· καὶ δηλοῦται πάντως ἐντεῦθεν, ὅτι καὶ ὁ πλούσιος, εἰ
καὶ ἁμαρτωλὸς ἦν, ὅμως εἶχέ τινα ἀρετήν, ὑπὲρ ἧς ἀπέλαβε
ζῶν ἔτι τὰ ὀφειλόμενα ἀγαθά· καὶ ὁ Λάζαρος, εἰ καὶ δίκαιος
ἦν, ὅμως εἶχέ τινα κακίαν, δι' ἣν καὶ αὐτὸς ἀπέλαβε ζῶν ἔτι
τὰ ὀφειλόμενα κακά· τῶν ἀνθρώπων γὰρ οὐδεὶς ἄμοιρος ἀρε-
τῆς, οὐδ' ὁ πάνυ πονηρός· καὶ οὐδεὶς ἄμοιρος κακίας, οὐδ' ὁ πάνυ
ἀγαθός· διὸ καὶ τελευτήσαντες ἀπῆλθον, ὁ μέν, ἄκρατον ἔχων
τὴν κακίαν· ὁ δέ, ἄκρατον κεκτημένος τὴν ἀρετήν.

26 **Καὶ ἐπὶ πᾶσι τούτοις, μεταξὺ ἡμῶν καὶ ὑμῶν χά-**
σμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι
ἐντεῦθεν πρὸς ὑμᾶς, μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν
πρὸς ἡμᾶς διαπερῶσιν.

Χάσμα μέγα λέγει, τὸ ἀνεπιχείρητον πρόσταγμα τοῦ Θεοῦ, ὡς δίκην χάσματος κωλύον τὴν ἐπιμιξίαν τούτων κἀκείνων.

27 **Εἶπε δέ· Ἐρωτῶ οὖν σε, πάτερ,**

Παρακαλῶ σε.

27 **Ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου·**
28 **ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρηται αὐ-**
τοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦ-
τον τῆς βασάνου.

Ἀποτυχὼν τῆς ὑπὲρ ἑαυτοῦ δεήσεως, ὑπὲρ τῶν ἀδελφῶν δυσωπεῖ, ἐμφαίνων, ὅτι, ὥσπερ αὐτὸς πρὸ τοῦ ἀποθανεῖν, οὕτω καὶ αὐτοὶ λῆρον ἡγοῦνται τὰς ἐν ταῖς Γραφαῖς ἀπειλὰς τῶν

(α) Σιράχ Δ'. 3. Ἀλλ' ἀντὶ τοῦ, τεταπεινωμένην, ἀναγινώσκεται αὐτόθι, καρδίαν παρωργισμένην.

τοῦ μέλλοντος αἰῶνος κολάσεων, καὶ διὰ τοῦτο, μόνην τὴν φιληδονίαν μεταδιώκουσι.

29 Λέγει αὐτῷ Ἀβραάμ· Ἔχουσι Μωσέα, καὶ τοὺς προφήτας·

Τὰς μωσαϊκὰς βίβλους καὶ τὰς προφητικάς. Οὐ γὰρ οὕτω σὺ κήδῃ τῶν ἀδελφῶν, ὡς ὁ ποιήσας αὐτοὺς θεός, ὃς καὶ μυρίους ἐπέστησεν αὐτοῖς διδασκάλους.

29 Ἀκουσάτωσαν αὐτῶν.

Ὑποτιθεμένων βίον ἐνάρετον.

30 Ὁ δὲ εἶπεν· Οὐχί, πάτερ Ἀβραάμ·

Οὐκ ἀκούουσιν αὐτῶν.

30 Ἀλλ' ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν.

Ταῖς βίβλοις μὲν ἀπιστοῦσιν, ὡς παρὰ ζώντων γραφείσαις, μήπω θεασαμένων τὰ τοῦ μέλλοντος αἰῶνος· *ἐὰν τις δὲ ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτούς*, πιστεύσουσιν αὐτῷ, ὡς ἰδόντι πάντα.

31 Εἶπε δὲ αὐτῷ· Εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται.

Καὶ οἱ Ἰουδαῖοι γάρ, ἐπειδὴ Μωϋσέως καὶ τῶν προφητῶν οὐκ ἤκουον, οὐδὲ τοῖς ἐκ νεκρῶν ἀναστάσιν ἐπείσθησαν· ἀλλὰ καὶ τὸν ἀδελφὸν Μάρθας καὶ Μαρίας Λάζαρον, ἐκ νεκρῶν ἀναστάντα, καὶ περὶ τῶν ἐν τῷ ᾅδῃ λέγοντα, μᾶλλον ἀνελεῖν ἐβούλοντο.

ΚΕΦ. XVII, 1 Εἶπε δὲ πρὸς τοὺς μαθητάς· Ἀνένδεκτόν ἐστι τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα· οὐαὶ δέ, δι' οὗ ἔρχεται.

Ἀνένδεκτόν ἐστιν, ὥστε *μὴ ἐλθεῖν*, ἤγουν, ἀναγκαῖόν ἐστιν

ἐλθεῖν. Ἔφη γὰρ καὶ ἐν τῷ τριακοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον· ὅτι *Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων. Ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται* (α)· καὶ ἀνάγνωθι ἐν ἐκείνῳ τὴν ἑρμηνείαν, εὖ ἔχουσαν.

2 Λυσιτελεῖ αὐτῷ, εἰ μύλος ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔῤῥιπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων.

Ἐκεῖ καὶ ταῦτα εἴρηται μικρὸν ἀνωτέρω, καὶ σαφῶς διηρμήνευται.

3 Προσέχετε ἑαυτοῖς.

Προσέχετε, μήποτε σκανδαλίσητέ τινας, ἢ σκανδαλισθῆτε ὑπό τινων.

3 Ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ·

Ἐπίπληξον ἀδελφικῶς τε καὶ διορθωτικῶς.

3 Καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ.

Ἡ μετάνοια γὰρ ἀξία συγγνώμης.

4 Καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σέ, καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ, λέγων· Μετανοῶ· ἀφήσεις αὐτῷ.

Δεῖ γὰρ ἡμᾶς, ἐν ἀσθενείαις ὄντας καὶ ἡττωμένους παθῶν, ἐπικάμπτεσθαι τοῖς ὁμοίως πάσχουσι. Τὸ δέ, *ἑπτάκις*, ἐνταῦθα τό, *πολλάκις*, δηλοῖ, τουτέστιν, Ὁσάκις τῆς ἡμέρας ἁμαρτήσας μετανοήσῃ, τοσαυτάκις ἄφες αὐτῷ· καὶ οὕτω συνᾴδει τὸ *ἑβδομηκοντάκις ἑπτά*. Ἄλλως τε, τὸ μὲν ἑπτάκις, ἐφ' ἑκάστης ἡμέρας εἴρηται, τὸ δὲ ἑβδομηκοντάκις ἑπτά, πρὸς πάσας.

(α) Ματθ. ΙΗ', 7.

5 Καὶ εἶπον οἱ ἀπόστολοι τῷ Κυρίῳ· Πρόσθες ἡμῖν
πίστιν.

Πρόσθες, ᾗ ἔχομεν, τὴν λείπουσαν, ἤγουν, τελείωσον ἡμῶν τὴν πίστιν τὴν πρὸς σέ. Τῆς πίστεως γὰρ τὸ μὲν, παρ' ἡμῶν εἰσάγεται, καθὸ λέγεται, τό· *Ἡ πίστις σου σέσωκέ σε* (α)· τὸ δὲ, παρὰ τοῦ θεοῦ δίδοται. Φησὶ γὰρ ὁ ἀπόστολος Παῦλος· *Ὧ μὲν διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας· ἄλλῳ δὲ, λόγος γνώσεως, κατὰ τὸ αὐτὸ πνεῦμα· ἑτέρῳ δὲ, πίστις, ἐν τῷ αὐτῷ πνεύματι* (β). Τοῦτο οὖν εἰδότες, αἰτοῦσι τὴν ἐκ τοῦ θεοῦ διδομένην πίστιν, ἣν καὶ ἔλαβον μετὰ τὴν ἐν εἴδει πυρίνων γλωσσῶν ἐπιφοίτησιν τοῦ ἁγίου Πνεύματος. Διὸ πρὸ τοῦ ταύτην λαβεῖν, ὀλιγοπιστίαν ὠνειδίζοντο, καὶ ἀτελεῖς ἦσαν πρὸς τὴν πίστιν. Ἔστι δὲ ἡ παρὰ τοῦ θεοῦ προστιθεμένη πίστις, τελείωσις τῆς προεισενεχθείσης πίστεως, καὶ βεβαίωσις.

6 Εἶπε δὲ ὁ Κύριος· Εἰ εἴχετε πίστιν ὡς κόκκον σινά-
πεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ· Ἐκριζώθητι,
καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ· καὶ ὑπήκουσεν ἂν ὑμῖν.

Εἰ εἴχετε *πίστιν*, οὕτω δριμεῖαν καὶ σφοδρὰν καὶ θερμὴν, *ὡς κόκκον σινάπεως*· τοιαύτης γὰρ ποιότητος οὗτος· μετεκινεῖτε ἂν καὶ τὰ δένδρα, καὶ τῇ θαλάσσῃ ταῦτα ἐνεφυτεύετε. Τοῦτο δὲ εἶπεν, ἐπαινῶν τὴν τελείαν πίστιν, καὶ δηλῶν τὸ μεγαλοδύναμον αὐτῆς. Εἴρηκε δὲ περὶ πίστεως καὶ κόκκου σινάπεως καὶ ἐν τῷ τριακοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, πλὴν καθ' ἑτέραν ἔννοιαν.

7 Τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα, ἢ ποι-
μαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ ἐρεῖ εὐθέως·
8 Παρελθὼν ἀνάπεσαι; Ἀλλ' οὐχὶ ἐρεῖ αὐτῷ· Ἑτοί-
μασον τί δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι,

(α) Ματθ. Θ', 22. (β) Α' Κορ. ΙΒ', 8.

ἕως φάγω καὶ πίω· καὶ μετὰ ταῦτα φάγεσαι καὶ
9 πίεσαι σύ; Μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ, ὅτι
10 ἐποίησε τὰ διαταχθέντα; Οὐ δοκῶ. Οὕτω καὶ ὑμεῖς,
ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε·
Ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν· ὅτι ὃ ὠφείλομεν ποιῆ-
σαι, πεποιήκαμεν.

Διὰ τῶν προλαβόντων λόγων εἰς ἀγαθοεργίαν παραθήξας τοὺς μαθητὰς, νῦν διὰ τοῦ παραδείγματος τούτου κατασπᾷ τὸ παρεπόμενον ταύτῃ πάθος τῆς οἰήσεως, διδάσκων, ὅτι, ὥσπερ οὐδεὶς τὸν ἀροτριῶντα ἢ ποιμαίνοντα δοῦλον αὐτοῦ, καὶ ἐξ ἀγροῦ εἰσελθόντα, τιμῆς ἀξιοῖ, διὰ τὸν τοιοῦτον κόπον, ἀλλὰ πάλιν ἐπιτάττει, καὶ τὴν προσοφειλομένην ἀπαιτεῖ δουλείαν, καὶ οὐδ' οὕτως αὐτῷ χάριν ἔχει· τὸν αὐτὸν ἄρα τρόπον καὶ ὁ θεός. Ὥστε κατὰ τὸν τοῦ δικαίου λόγον, τοῖς μὲν μὴ πληροῦσι τὰ προστεταγμένα κίνδυνος ἀπόκειται· τοῖς δὲ πληροῦσιν αὐτὰ, χάρις οὐδεμία, καὶ οὐ χρὴ διὰ τοῦτο μέγα φρονεῖν. Ὅπερ καλῶς εἰδὼς ὁ ἀπόστολος Παῦλος ἔλεγεν· ὅτι *Ἐὰν εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται. Οὐαὶ γάρ μοι ἐστὶν, ἐὰν μὴ εὐαγγελίζωμαι* (α). Πλὴν ἀγαθὸς ὢν ὁ θεὸς, καὶ τοῖς δούλοις, ὡς μισθίοις, προσφέρεται, καὶ τὴν δουλείαν αὐτῶν μισθῷ ἀμείβεται, καὶ τὴν ὀφειλομένην λατρείαν, ὡς κατόρθωμα δέχεται, καὶ γέρα δίδωσιν ὑπερβαίνοντα τοὺς καμάτους. Νικᾷ γὰρ ἡ ἀγαθότης αὐτοῦ τὸ δίκαιον.

ΚΕΦΑΛΑΙΟΝ Ξ'.

Περὶ τῶν δέκα λεπρῶν.

11 Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς Ἱερουσα-

(α) Α' Κορ. Θ', 16.

λήμ, καὶ αὐτὸς διήρχετο διὰ μέσου Σαμαρείας καὶ
12 Γαλιλαίας. Καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην,
ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες,

Οἱ ἐννέα μὲν, Ἰουδαῖοι ἦσαν· ὁ δὲ εἷς, Σαμαρείτης· ἡ κοινωνία δὲ τῆς νόσου τότε συνήθροισεν αὐτοὺς, ἀκούσαντας, ὅτι διέρχεται ὁ Χριστός.

12 Οἳ ἔστησαν πόῤῥωθεν.

Ὡς ἀκάθαρτοι.

13 Καὶ αὐτοὶ ἦραν φωνὴν, λέγοντες· Ἰησοῦ ἐπιστάτα,
ἐλέησον ἡμᾶς.

Ἐπιστάτα, ἤτοι κύριε, ἢ διδάσκαλε.

14 Καὶ ἰδὼν εἶπεν αὐτοῖς· Πορευθέντες ἐπιδείξατε
ἑαυτοὺς τοῖς ἱερεῦσι.

Μήπω καθαρίσας αὐτοὺς πέμπει ἐμφανισθησομένους τοῖς ἱερεῦσιν, ὡς ἐν τῷ πορεύεσθαι μέλλοντας καθαρισθῆναι. Τοῦτο δὲ πεποίηκε, δοκιμάζων τὴν πίστιν αὐτῶν· οἱ δὲ πιστεύσαντες, ὅτι δύναται πορευομένους αὐτοὺς καθαρίσαι, ἀδιστάκτως ἐβάδιζον. Ἐνεφανίζοντο δὲ τοῖς ἱερεῦσιν οἱ καθαρισθέντες, ἵνα παρ' αὐτῶν ὀνομασθῶσι καθαροὶ, καὶ λοιπὸν προσενέγκωσι θυσίαν, κατὰ τὸν νόμον.

14 Καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς, ἐκαθαρίσθησαν.
15 Εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε μετὰ
φωνῆς μεγάλης δοξάζων τὸν θεόν.

Μέγαν μὲν γάρ τινα, καὶ μεγαλοδύναμον, τὸν Χριστὸν ἐπίστευον εἶναι, οὔπω δὲ καὶ φύσει θεόν.

16 Καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ πόδας αὐτοῦ, εὐχα-
ριστῶν αὐτῷ·

Καθαρισθεὶς γὰρ, ἐπλησίασε.

17 Καὶ αὐτὸς ἦν Σαμαρείτης. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς,

εἶπεν· Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ;
18 Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ
θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος;

Ἐντεῦθεν ἔδειξεν, ὅτι εὐγνωμονέστεροι τῶν Ἰουδαίων εἰσὶν οἱ ἐξ ἐθνῶν· ἐκεῖνοι γὰρ αὐτίκα τῆς εὐεργεσίας λήθην λαβόντες, ἀχάριστοι καὶ περὶ τὸν πατέρα, καὶ περὶ τὸν υἱὸν ἐφάνησαν.

19 Καὶ εἶπεν αὐτῷ· Ἀναστὰς πορεύου· ἡ πίστις σου
σέσωκέ σε.

Καὶ μὴν κἀκείνους ἡ πίστις αὐτῶν σέσωκεν· ἀλλὰ πιστοὶ μὲν οἱ δέκα, μόνος δὲ οὗτος εὐγνώμων.

20 Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων, πότε ἔρχεται
ἡ βασιλεία τοῦ θεοῦ;

Ἐπειδὴ πολλάκις ἐδίδαξεν, ὅτι ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ, περὶ ἑαυτοῦ τοῦτο λέγων, ἐρωτῶσι νῦν, πότε βασιλεύσει; χλευάζοντες αὐτὸν, ὡς εὐτελῆ τὸ φαινόμενον, καὶ ὅσον οὔπω ἀναιρεθῆναι παρ' αὐτῶν μέλλοντα.

20 Ἀπεκρίθη αὐτοῖς, καὶ εἶπεν· Οὐκ ἔρχεται ἡ βασι-
λεία τοῦ θεοῦ μετὰ παρατηρήσεως·

Μετὰ περιφανείας ἀνθρωπίνης.

21 Οὐδὲ ἐροῦσιν· Ἰδοὺ ὧδε, ἤ, ἰδοὺ ἐκεῖ·

Ὅπερ ποιοῦσιν ἐπὶ τῶν γηΐνων βασιλέων.

21 Ἰδοὺ γάρ, ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστιν.

Βασιλείαν τοῦ θεοῦ, ἑαυτὸν λέγει, ὡς βασιλέα καὶ θεόν. Ἐντὸς δὲ αὐτῶν ἦν, ὡς ἐν μέσῳ αὐτῶν ἀναστρεφόμενος, περὶ οὗ καὶ ὁ Πρόδρομος εἶπεν αὐτοῖς· ὅτι *Μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε.* (α)

[Ἡ (1) ἐπιτυχία τῆς βασιλείας τοῦ θεοῦ ἐν ὑμῖν κεῖται, ἐν

(α) Ἰωαν. Α', 26. (1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

τῇ προαιρέσει ὑμῶν· ἤ, ἡ ὁδὸς τῆς βασιλείας τοῦ θεοῦ, ἡ ἄγουσα εἰς αὐτήν· ἤ, ἡ ἐργασία, ἡ προξενοῦσα αὐτήν· ἤ, ἡ ἀγαλλίασις, ἣν μέλλουσιν ἔχειν οἱ ἀξιούμενοι ταύτης. Δίδοται γὰρ αὕτη κἀνταῦθα τοῖς ἀξίοις, εἰς ἀῤῥαβῶνα τοῦ μέλλοντος.]

22 Εἶπε δὲ πρὸς τοὺς μαθητάς· Ἐλεύσονται ἡμέραι, ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν· καὶ οὐκ ὄψεσθε.

Τοῖς φαρισαίοις μέν, καίτοι χλευαστικῶς ἐρωτήσασιν, ὅμως πρᾴως ἀπεκρίθη, καὶ μετὰ τῆς συνήθους ἀνεξικακίας· τοῖς μαθηταῖς δὲ λοιπὸν προμηνύει, ὅτι ὅσον οὔπω ἀναιρεθείς, οὐκέτι συμπολιτευθήσεσαι τούτοις. Τοῦτο γὰρ ἐμφαίνει τὸ μέλλειν αὐτοὺς ἐπιθυμῆσαι μιᾶς τῶν ἡμερῶν τῆς ζωῆς αὐτοῦ.

23 Καὶ ἐροῦσιν ὑμῖν· Ἰδοὺ ὧδε, ἤ, ἰδοὺ ἐκεῖ· μὴ ἀπέλθητε, μηδὲ διώξητε.

Περὶ τούτων φανερώτερον ἔγραψεν ὁ Ματθαῖος ἐν τῷ πεντηκοστῷ ἑβδόμῳ κεφαλαίῳ, λέγων· ὅτι *Τότε, ἐάν τις ὑμῖν εἴπῃ· Ἰδού, ὧδε ὁ Χριστός, ἢ ὧδε· μὴ πιστεύσητε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται*, καὶ τὰ ἑξῆς (α), καὶ ἀνάγνωθι τὴν τούτων ἐξήγησιν.

24 Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστράπτουσα ἐκ τῆς ὑπ' οὐρανόν, εἰς τὴν ὑπ' οὐρανὸν λάμπει·

Ἐκ τῆς ὑπ' οὐρανὸν ἀνατολῆς εἰς τὴν ὑπ' οὐρανὸν δύσιν λάμπει. Φησὶ γὰρ ὁ Ματθαῖος ἐν ἐκείνῳ τῷ κεφαλαίῳ· ὅτι *Ὥσπερ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν* (β). Ἀνάγνωθι οὖν ἐκεῖ τὴν ἑρμηνείαν, καὶ μαθήσῃ, τί δηλοῖ τουτὶ τὸ παράδειγμα.

24 Οὕτως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ.

Οὕτως ἔσται καὶ αὐτὸς φανερὸς πάσῃ τῇ οἰκουμένῃ. *Ἡμέραν*

(α) Ματθ. ΚΔ', 23. 24. (β) Ματθ. ΚΔ', 27.

δὲ αὐτοῦ λέγει, τὴν τῆς δευτέρας παρουσίας αὐτοῦ. Ἐκεῖνο δὲ τὸ κεφάλαιον καὶ περὶ τούτων διαλαμβάνει σαφῶς.

25 Πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν· καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης.

Τῶν πονηρῶν Ἰουδαίων.

26 Καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ Νῶε, οὕ-
τως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀν-
27 θρώπου. Ἤσθιον, ἔπινον, ἐγάμουν, ἐξεγαμίζοντο,
ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν· καὶ
ἦλθεν ὁ κατακλυσμός, καὶ ἀπώλεσεν ἅπαντας.

Φανερώτερον ἔγραψε τὸ παράδειγμα τοῦτο Ματθαῖος ἐν τῷ πεντηκοστῷ ὀγδόῳ κεφαλαίῳ, καὶ ζήτησον ἐκεῖ τὴν τούτου διάγνωσιν.

28 Ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ·
ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκο-
29 δόμουν· ᾗ δὲ ἡμέρᾳ ἐξῆλθε Λὼτ ἀπὸ Σοδόμων,
ἔβρεξε πῦρ καὶ θεῖον ἀπ' οὐρανοῦ, καὶ ἀπώλεσεν
30 ἅπαντας· κατὰ ταῦτα ἔσται ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ
ἀνθρώπου ἀποκαλύπτεται.

Ὥσπερ τοὺς ἐπὶ Νῶε καὶ ἐπὶ Λώτ, τρυφῶντας καὶ ἀμεριμνοῦντας, τοὺς μέν, κατακλυσμός, τοὺς δέ, πῦρ καὶ θεῖον διέφθειραν, οὐρανόθεν αἰφνίδιον κατενεχθέντα· οὕτω καὶ ἐπὶ τῆς (1) δευτέρας παρουσίας, τρυφῶντας καὶ ἀμεριμνοῦντας, ὄλεθρος αἰφνίδιος καταλήψεται. *Θεῖον* δέ ἐστι, τὸ λεγόμενον θειάφιον, λιπαρὰ τροφὴ τοῦ πυρός.

31 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὃς ἔσται ἐπὶ τοῦ δώματος,

(1) ἐπὶ τοὺς τῆς — παρὰ τῷ Β. Ἀλλὰ φαίνεται, ὅτι πρέπει νὰ διορθωθῇ: καὶ τοὺς ἐπὶ τῆς —

καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά·

Ο τῆς κάτω διατριβῆς ὑπεραρθεὶς, καὶ ὑψηλὸς τῷ βίῳ γενόμενος, οὗ τὰ πάθη ἐν τῷ κόσμῳ κατελείφθησαν, οἷς ἐκέχρητο πρὸς ἐργασίαν τῆς ἁμαρτίας, *μὴ καταβάτω ἆραι αὐτά*· ἀλλὰ μενέτω ἐπὶ τῆς ὑψηλότητος, καὶ περιμενέτω τὸν κατερχόμενον Κύριον,

31 Καὶ ὁ ἐν τῷ ἀγρῷ, ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω.

Ο ἐν τῷ ἀνακεχωρημένῳ βίῳ. Ταῦτα δὲ παραγγέλλει διὰ τὴν τηνικαῦτα πολλὴν ἀπάτην τῶν ψευδοπροφητῶν τοῦ Ἀντιχρίστου, καὶ τὴν σφοδρὰν πλάνην αὐτοῦ.

32 Μνημονεύετε τῆς γυναικὸς Λώτ.

Ητοι τοῦ πάθους αὐτῆς. Τοῦ θεοῦ γὰρ τῷ Λὼτ μηνύσαντος φυγεῖν ἀπὸ τῶν Σοδόμων παγγενῆ, διὰ τὸν μέλλοντα καταλαβεῖν αὐτὰ θεήλατον ἐμπρησμὸν, καὶ παραγγείλαντος ἀμεταστρεπτὶ βαδίζειν, ἐπέβλεψεν ἡ γυνὴ αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ ἐγένετο ϛήλη ἁλός· ϛήλη μὲν, εἰς παράδειγμα τῶν ϛρεφομένων ἀπὸ τῆς σωτηριώδους ὁδοῦ ἐπὶ τὰ πρότερα ἤθη· ἁλὸς δὲ, διὰ τὴν ἀπὸ τῆς ἁμαρτίας πικρίαν.

33 Ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν·

Ος ἂν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ ἐλευθερῶσαι ἀπὸ τῶν ἐπαγομένων αὐτῷ διὰ τὴν εὐσέβειαν κινδύνων ὑπὸ τοῦ Ἀντιχρίστου, τῇ ἀπωλείᾳ τῆς μελλούσης κολάσεως παραδώσει αὐτὴν, ὡς προδεδωκυῖαν τὴν πίστιν.

33 Καὶ ὃς ἐὰν ἀπολέσῃ αὐτὴν, ζωογονήσει αὐτήν.

Ος ἂν ἀφαιρεθῇ αὐτὴν διὰ μαρτυρικοῦ θανάτου, *ζωογονήσει αὐτὴν*, ἤτοι, σώσει κατὰ τὸν μέλλοντα αἰῶνα.

34 Λέγω ὑμῖν· Ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης

μιᾶς· ὁ εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθή-
35 σεται. Δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτό· ἡ μία
36 παραληφθήσεται, καὶ ἡ ἑτέρα ἀφεθήσεται. Δύο
ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς παραληφθήσεται, καὶ ὁ
ἕτερος ἀφεθήσεται.

Τ*αύτῃ τῇ νυκτί*· ποίᾳ; Τῇ τοῦ καιροῦ τῆς δευτέρας παρουσίας. Περὶ δὲ τῶν ἐν τῷ ἀγρῷ καὶ τῶν ἀληθουσῶν εἴρηται σαφῶς ἐν τῷ πεντηκοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν τοῦ· *Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ* (α).

37 Καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ· Ποῦ, Κύριε;

Ποῦ παραλαμβάνονται;

37 Ὁ δὲ εἶπεν αὐτοῖς· Ὅπου τὸ σῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.

Τουτέϛιν, εἰς ἀπάντησίν μου, εἰς δορυφορίαν καὶ παραπομπήν. *Ἀετοὺς* μὲν γὰρ ὠνόμασε τοὺς δικαίους, ὡς ὑψηλοὺς ταῖς ἀρεταῖς καὶ βασιλικούς· *σῶμα* δὲ, ἑαυτὸν, ὡς συναγωγὸν τῶν τοιούτων ἀετῶν. *Πτῶμα* δὲ τό *σῶμα* ἔγραψεν ὁ Ματθαῖος (β).

ΚΕΦΑΛΑΙΟΝ ΞΑ΄.

Περὶ τοῦ κριτοῦ τῆς ἀδικίας.

ΚΕΦ. XVIII, 1 Ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι·

Ημέρας δηλαδὴ καὶ νυκτὸς, κατὰ τοὺς προσήκοντας καιρούς.

1 Καὶ μὴ ἐκκακεῖν·

Μὴ ἀποκάμνειν προσευχομένους.

(α) Ματθ. ΚΔ΄, 40. (β) Ματθ. ΚΔ΄, 28.

2 Λέγων· Κριτής τις ἦν ἔν τινι πόλει, τὸν θεὸν μὴ
3 φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. Χήρα
δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ· καὶ ἤρχετο πρὸς αὐτὸν,
λέγουσα· Ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου.
4 Καὶ οὐκ ἠθέλησεν ἐπὶ χρόνον.

Μήτε τὸν θεὸν φοβούμενος, τὸν κελεύοντα ἐκδικεῖν τοὺς ἀδικουμένους· μήτε ἄνθρωπον ἐντρεπόμενος, τὸν μεμφόμενον τοῖς δικασταῖς τοῖς περιορῶσι τοὺς καταδυναστευομένους.

4 Μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ· Εἰ καὶ τὸν θεὸν οὐ
5 φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι· διάγε τὸ
παρέχειν μοι κόπον τὴν χήραν ταύτην ἐκδικήσω αὐτήν·

Κόπον δὲ λέγει νῦν, τὴν ὄχλησιν.

5 Ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ με.

Εἰς τέλος, ἤγουν, ἄχρι παντὸς, δι' ὅλου. Ὑπωπιάζῃ με δὲ, ἀντὶ τοῦ, δυσωπῇ, ἢ βιάζῃ.

6 Εἶπε δὲ ὁ Κύριος· Ἀκούσατε, τί ὁ κριτὴς τῆς ἀδι-
κίας λέγει.

Ὅτι, εἰ καὶ μὴ διὰ φόβον θεοῦ, καὶ ἐντροπὴν ἀνθρώπου, ἀλλά γε διὰ τὴν ὄχλησιν, καὶ τὸ συνεχὲς τῆς ἐντεύξεως ἐκδικήσει αὐτήν.

7 Ὁ δὲ θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλε-
κτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ
νυκτός,

Ἐρωτᾷ τοῦτο, ὡς ἀναγκαῖον συνομολογηθῆναι.

7 Καὶ μακροθυμῶν ἐπ' αὐτοῖς;

Ὁ θεὸς, ὁ καὶ μακροθυμῶν ἐπ' αὐτοῖς πρότερον, ἤγουν, ὁ παρορῶν αὐτοὺς ἐπ' ὀλίγον, ἵνα δοκιμασθῶσι.

8 Λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει.

Μετὰ τὴν μακροθυμίαν πάντως.

Τινὲς δὲ κατὰ ἀναγωγὴν νοοῦσι *κριτὴν τῆς ἀδικίας*, τὸν θεὸν, μήτε θεὸν φοβούμενον, ὡς μὴ ὄντος ἑτέρου θεοῦ παρ' αὐτὸν, μήτε ἄνθρωπον ἐντρεπόμενον, ὡς ἀπροσωπόληπτον· *πόλιν* δὲ, τὴν ἐκκλησίαν τῶν πιστῶν· *χήραν* δὲ, πᾶσαν ψυχὴν, ὡς χηρεύσασαν τῆς πρὸς τὸν δαίμονα συναφείας· *ἀντίδικον* δὲ *αὐτῆς*, τὸν διάβολον. Ἔδειξεν οὖν ἡ παραβολὴ, ὅτι ἀνυσιμώτατόν ἐστι τὸ τῆς προσευχῆς ἐπίμονον.

[Ὁ δὲ Χρυσόστομος (1), ἀνόσιον καὶ ἀπάνθρωπον λέγων τὸν τοιοῦτον κριτὴν, ἀπωθεῖται τὴν τοιαύτην ἀναγωγήν.]

8 Πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν
πίστιν ἐπὶ τῆς γῆς;

Ἐλθὼν ἐν τῇ δευτέρᾳ παρουσίᾳ. Ἐρωτᾷ δὲ καὶ περὶ τούτου, οὐχ ὡς ἀγνοῶν, ἀλλ' ἐμφαίνων, ὅτι ὀλίγοι πιστοὶ εὑρεθήσονται τότε.

ΚΕΦΑΛΑΙΟΝ ΞΒ'.

Περὶ τοῦ Φαρισαίου καὶ τοῦ τελώνου.

9 Εἶπε δὲ καὶ πρός τινας τοὺς πεποιθότας ἐφ' ἑαυ-
τοῖς ὅτι εἰσὶ δίκαιοι, καὶ ἐξουθενοῦντας τοὺς λοι-
10 ποὺς, τὴν παραβολὴν ταύτην· Ἄνθρωποι δύο ἀνέ-
βησαν εἰς τὸ ἱερὸν προσεύξασθαι· ὁ εἷς Φαρισαῖος,
καὶ ὁ ἕτερος τελώνης.

Ἁρμοδίως τὸν ἕνα, φαρισαῖον ὑπέθετο, καὶ τὸν ἕτερον, τελώνην· οἱ φαρισαῖοι μὲν γὰρ, δίκαιοι δοκοῦσιν· οἱ τελῶναι δὲ, ἁμαρτωλοί.

11 Ὁ Φαρισαῖος σταθεὶς, πρὸς ἑαυτὸν ταῦτα προσηύ-

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρὰ μὲν τῷ Α, ἐν τῷ περισελιδίῳ, παρὰ δὲ τῷ Β, ἐν τῷ κειμένῳ. —Ὁ Χρυσόστομος Τομ. Ζ'. Σελ. 581. C. λέγει « Εἰ γὰρ γυνὴ ὠμόν τινα ἄρχοντα, καὶ οὔτε τὸν θεὸν φοβούμενον, οὔτε ἄνθρωπον ἐντρεπόμενον, ἴσχυσεν ἐπικάμψαι κτλ.»

χετο· Ὁ θεός, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης.

Τοιαῦτα προσευχόμενος, οὐδὲν ἕτερον ἐποίει, ἢ ἐνεκωμίαζε μὲν ἑαυτόν, ἐξουθένει δὲ τοὺς λοιποὺς ἀνθρώπους, καὶ τὸν τελώνην, καίτοι γέγραπται, ὅτι *Ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα, ἀλλότριος, καὶ μὴ τὰ σὰ χείλη* (α).

12 Νηστεύω δὶς τοῦ σαββάτου·

Σάββατον ἐνταῦθα λέγει, τὴν ὅλην ἑβδομάδα.

12 Ἀποδεκατῶ πάντα, ὅσα κτῶμαι.

Χάριν τῶν πενήτων.

13 Καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι·

Κρίνων ἑαυτὸν ἀνάξιον, οὐ μόνον τῆς ἐγγὺς στάσεως, ἀλλὰ καὶ τοῦ ἀτενίσαι εἰς τὸν οὐρανόν.

13 Ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ, λέγων· Ὁ θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Ἐξουδενωθεὶς ὑπὸ τοῦ φαρισαίου, μᾶλλον προσκατέκρινεν ἑαυτόν, καὶ ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ, ἐμφαίνων, ὅτι πληγῶν ἐστὶν ἄξιος.

14 Λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ γὰρ ἐκεῖνος·

Παρὸ ἐκεῖνος, ἤγουν, οὐκ ἐκεῖνος· ὁ μὲν γὰρ δικαιώσας μόνον ἑαυτόν, κατεδικάσθη παρὰ θεοῦ· ὁ δὲ καταδικάσας μόνον ἑαυτόν, ἐδικαιώθη παρὰ θεοῦ· καὶ τούτου μὲν πάντα τὰ προτερήματα ἐξεκένωσεν ἡ οἴησις· ἐκείνου δὲ πάντα τὰ ἐλαττώματα ἐξεφόρησεν ἡ ταπείνωσις. Ὅρα οὖν, πῶς διάθεσις καρδίας

(α) Παροιμ. ΚΖ', 2.

καὶ λόγος στόματος ἐν βραχεῖ καιρῷ, τοῦ μὲν, πολλῶν ἐτῶν δικαιοσύνας, τοῦ δὲ, πολλῶν ἐτῶν ἀδικίας, ἠφάνισε. Μάθωμεν οὖν καὶ ἡμεῖς ἐντεῦθεν, πῶς χρὴ προσεύχεσθαι, καὶ ἀπό τε τῆς οἰκτρᾶς στάσεως, ἀπό τε τοῦ ἐλεεινοῦ σχήματος, ἀπό τε τῶν δυσωπητικῶν λόγων κάμπτωμεν μᾶλλον, ἀλλὰ μὴ τοὐναντίον παροξύνωμεν τὸν θεόν.

14 Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται.

Ταῦτα σαφῆ καὶ πρόδηλα.

15 Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτη-
16 ται· ἰδόντες δὲ οἱ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. Ὁ
δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτά, εἶπεν· Ἄφετε
τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά·
τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ.

Περὶ τούτων ἀνέγραψε καὶ ὁ Ματθαῖος ἐν τῷ τέλει τοῦ τεσσαρακοστοῦ κεφαλαίου αὐτοῦ, καὶ εὑρήσεις ἐκεῖ ταῦτα πάντα ἡρμηνευμένα.

17 Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.

Τοῦτο καὶ ὁ Μάρκος ἔγραψε πρὸς τῷ τέλει τοῦ εἰκοστοῦ ὀγδόου κεφαλαίου αὐτοῦ, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν.

ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

Περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν Ἰησοῦν.

18 Καὶ ἐπηρώτησέ τις αὐτὸν ἄρχων, λέγων· Διδάσκαλε ἀγαθέ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;
19 Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Τί με λέγεις ἀγαθόν; οὐ-

20 δεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ θεός. Τὰς ἐντολὰς οἶδας·
«Μὴ μοιχεύσῃς· Μὴ φονεύσῃς· Μὴ κλέψῃς· Μὴ
ψευδομαρτυρήσῃς· Τίμα τὸν πατέρα σου καὶ τὴν
μητέρα σου.»

Εἴρηται περὶ τούτων ἐν τῷ τεσσαρακοστῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐν ἐκείνῳ τὴν λύσιν πάντων, καθ' ἕκαστον ῥητὸν ἐκτεθειμένην.

21 Ὁ δὲ εἶπε· Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός
22 μου. Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, εἶπεν αὐτῷ·
Ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον, καὶ
διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ·
καὶ δεῦρο, ἀκολούθει μοι.

Ἐκεῖ καὶ περὶ τούτων ὁμοίως λελεπτολόγηται.

23 Ὁ δὲ, ἀκούσας ταῦτα, περίλυπος ἐγένετο· ἦν γὰρ
24 πλούσιος σφόδρα. Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον
γενόμενον, εἶπε· Πῶς δυσκόλως οἱ τὰ χρήματα
ἔχοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ θεοῦ!

Τὸ, *πῶς*, βεβαιωτικόν ἐστι, ἀντὶ τοῦ, *ἀληθῶς*. *Οἱ ἔχοντες* δὲ, ἤγουν, οἱ κατέχοντες, οἱ ταμιεύοντες, οὐ μὴν οἱ χρώμενοι. Χρήματα γὰρ ὀνομάζονται, διὰ τὴν χρῆσιν, καὶ χρὴ πάντως χρῆσθαι τούτοις εἰς δέον, οὐ μὴν ἀποκλείειν, ὡς καὶ ἐν τῷ κατὰ Μάρκον προειρήκαμεν. Ἀνάγνωθι δὲ περὶ τούτων ἐν τῷ δηλωθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

25 Εὐκοπώτερον γάρ ἐστι, κάμηλον διὰ τρυμαλιᾶς
ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ
26 θεοῦ εἰσελθεῖν. Εἶπον δὲ οἱ ἀκούσαντες· Καὶ τίς
27 δύναται σωθῆναι; Ὁ δὲ εἶπε· Τὰ ἀδύνατα παρὰ
ἀνθρώποις, δυνατά ἐστι παρὰ τῷ θεῷ.

Ἔτι καὶ ταῦτα πάντα σαφῶς ἡρμηνεύθησαν ἐν τῷ τοιούτῳ κεφαλαίῳ.

28 Εἶπε δὲ ὁ Πέτρος· Ἰδοὺ, ἡμεῖς ἀφήκαμεν πάντα,
καὶ ἠκολουθήσαμέν σοι. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἀμὴν
29 λέγω ὑμῖν, ὅτι οὐδείς ἐστιν, ὃς ἀφῆκεν οἰκίαν, ἢ
γονεῖς, ἢ ἀδελφοὺς, ἢ γυναῖκα, ἢ τέκνα, ἕνεκεν
30 τῆς βασιλείας τοῦ θεοῦ, ὃς οὐ μὴ ἀπολάβῃ πολ-
λαπλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι
τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

Ἀκολούθως ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καὶ περὶ τούτων πάντων ἠκρίβωται, καὶ χαριέντως ἐξήτασται.

31 Παραλαβὼν δὲ τοὺς δώδεκα, εἶπε πρὸς αὐτούς·
Ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ τελεσθήσε-
ται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ
32 υἱῷ τοῦ ἀνθρώπου. Παραδοθήσεται γὰρ τοῖς ἔθνεσι,
καὶ ἐμπαιχθήσεται, καὶ ὑβρισθήσεται, καὶ ἐμπτυσθή-
33 σεται· καὶ μαστιγώσαντες ἀποκτενοῦσιν αὐτόν· καὶ
τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστήσεται.

Εἶπε ταῦτα καὶ Ματθαῖος ἐν τῷ τέλει τοῦ τεσσαρακοστοῦ δευτέρου κεφαλαίου αὐτοῦ, καὶ ἀνάγνωθι τὴν ἐξήγησιν τοῦ· *Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁδῷ*, καὶ τὰ ἑξῆς. (α)

34 Καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν· καὶ ἦν τὸ ῥῆμα
τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον
τὰ λεγόμενα.

Ἐπὶ τέλους τῆς ἐξηγήσεως τῶν δηλωθέντων ῥητῶν, ἐμνημονεύσαμεν καὶ περὶ τούτων, καὶ ζήτησον ἐκεῖ τὴν σαφήνειαν.

(α) Ματθ. Κ', 17.

ΚΕΦΑΛΑΙΟΝ ΞΔ'.

Περὶ τοῦ τυφλοῦ.

35 Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἱεριχὼ, τυ-
φλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν. Ἀ-
36 κούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο, τί εἴη
37 τοῦτο; Ἀπήγγειλαν δὲ αὐτῷ, ὅτι Ἰησοῦς ὁ Ναζω-
38 ραῖος παρέρχεται. Καὶ ἐβόησε, λέγων· Ἰησοῦ, υἱὲ
Δαυὶδ, ἐλέησόν με!

Υἱὸν Δαυὶδ αὐτὸν εἶπεν, εἰς τιμὴν αὐτοῦ. Τιμιωτάτη γὰρ παρ' Ἑβραίοις ἦν ἡ τοιαύτη προσηγορία.

39 Καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ, ἵνα σιωπήσῃ.

Ἐπεστόμιζον αὐτὸν, ἵνα μὴ ὀχλῇ τὸν διδάσκαλον.

39 Αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν· Υἱὲ Δαυὶδ, ἐλέη-
σόν με!

Πολλῷ πλέον ἔκραζεν, ἵνα διὰ τῆς καρτερίας ἐπικάμψῃ.

40 Σταθεὶς δὲ ὁ Ἰησοῦς, ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς
41 αὐτόν. Ἐγγίσαντος δὲ αὐτοῦ, ἐπηρώτησεν αὐτόν,
λέγων· Τί σοι θέλεις ποιήσω; Ὁ δὲ εἶπε· Κύριε, ἵνα
ἀναβλέψω.

Ἠρώτησε μὲν αὐτὸν, ἵνα μὴ νομίσῃ τις, ὅτι ἕτερον βουλομένῳ λαβεῖν, ἕτερον δέδωκεν. Οὐκ ἀπήτησε δὲ αὐτὸν πίστιν, διότι πίστεως ἦν ἡ ἐπίμονος κραυγή.

42 Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀνάβλεψον· ἡ πίστις
43 σου σέσωκέ σε. Καὶ παραχρῆμα ἀνέβλεψε, καὶ ἠκο-
λούθει αὐτῷ, δοξάζων τὸν θεόν· καὶ πᾶς ὁ λαὸς
ἰδὼν, ἔδωκεν αἶνον τῷ θεῷ.

Πίστιν εἶχεν, οὐχ ὅτι ἐστὶ θεὸς, ἀλλ' ὅτι δύναται ἰάσασθαι

αὐτόν· ἠκολούθει δὲ αὐτῷ εὐγνωμονῶν, καὶ οὕτω τὴν εὐεργεσίαν ἀμειβόμενος.

ΚΕΦΑΛΑΙΟΝ ΞΕ'.

Περὶ τοῦ Ζακχαίου.

ΚΕΦ. XIX, 1 Καὶ εἰσελθὼν διήρχετο τὴν Ἱεριχώ.
2 Καὶ ἰδοὺ, ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος·
καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος.
3 Καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν, τίς ἐστι· καὶ οὐκ ἠδύ-
νατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν.
4 Καὶ προδραμὼν ἔμπροσθεν, ἀνέβη ἐπὶ συκομορέαν,
ἵνα ἴδῃ αὐτόν·

Ἡ *συκομορέα*, δένδρον ἦν, ἑστὼς ἐν τῇ ὁδῷ.

4 Ὅτι δι' ἐκείνης ἔμελλε διέρχεσθαι.

Δι' ἐκείνης [τῆς ὁδοῦ] ἔμελλεν ἔρχεσθαι ὁ Χριστός.

5 Καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον·

Ἔνθα ἵστατο ἡ συκομορέα.

5 Ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτόν·

Εἶδεν αὐτὸν τοῖς ὀφθαλμοῖς τῆς ἀνθρωπότητος· προεῖδε γὰρ αὐτὸν τοῖς ὀφθαλμοῖς τῆς θεότητος.

5 Καὶ εἶπε πρὸς αὐτόν· Ζακχαῖε, σπεύσας κατάβηθι·
σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι.

Ἔγνω γὰρ αὐτὸν ἕτοιμον εἰς ὑπακοὴν, καὶ θερμὸν εἰς πίστιν, καὶ εὐμετάβλητον ἀπὸ κακίας εἰς ἀρετήν· διὸ καὶ καλεῖ αὐτὸν, καὶ ἄπεισι κερδήσων αὐτόν.

6 Καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων.

Χαίρων, οὐ μόνον, ὅτι εἶδεν αὐτὸν, ὡς ἐζήτει· ἀλλ' ὅτι καὶ

ἐκλήθη παρ᾽ αὐτοῦ, καὶ ὅτι ὑπεδέξατο αὐτὸν, ὡς οὐκ ἄν ποτε προσεδόκησεν.

7 Καὶ ἰδόντες ἅπαντες διεγόγγυζον, λέγοντες· Ὅτι
παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι.

Καταχθῆναι (1), μεῖναι. Ἁμαρτωλοὶ δὲ οἱ τελῶναι πᾶσιν ἐδόκουν, διὰ τὰς πλεονεξίας καὶ ἀδικίας αὐτῶν. Ἐμέμφοντο τοίνυν τῷ Χριστῷ, καθάπερ καὶ ἐπὶ Ματθαίῳ τῷ τελώνῃ, καὶ ἐπὶ τοιούτοις ἄλλοις διαφόρως. Ἠγνόουν δὲ τὸν τρόπον, καθ᾽ ὃν τούτοις συνανεστρέφετο· διὸ καὶ παρεώρα τούτους αὐτὸς ἐπὶ τοιούτοις πράγμασι σκανδαλιζομένους. Χρὴ γὰρ τοῦ μικροῦ σκανδάλου καταφρονεῖν, ἔνθα μεγάλη σωτηρία τινὶ προσγίνεται, καὶ μὴ διὰ τὸ μικρὸν ἀπολλύειν τὸ μέγα.

8 Σταθεὶς δὲ Ζακχαῖος εἶπε πρὸς τὸν Κύριον· Ἰδού,
τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς
πτωχοῖς· καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι
τετραπλοῦν.

Ὢ ταχείας μεταβολῆς! Ὁ φιλάργυρος, εὐμετάδοτος· ὁ ἀδικώτατος, δικαιότατος. Ὢ αὐτοδιδάκτου σωτηρίας! Οὔπω γὰρ ἔμαθέ τι παρὰ Χριστοῦ. Τὰ μὲν οὖν ἡμίση τῶν ὑπαρχόντων δέδωκε τοῖς πτωχοῖς εἰς εὐποιΐαν· τὰ ἡμίση δὲ παρακατέσχεν, οὐχ ὥστε ἔχειν, ἀλλ᾽ ὥστε δι᾽ αὐτῶν ἀποτιννύειν τετραπλάσια τῶν ἐκ συκοφαντίας πορισθέντων. Ἐνταῦθα γὰρ τὸ, *ἐσυκοφάντησα*, οὐ τὸ ματαίως κατηγόρησα σημαίνει, ἀλλὰ τὸ ἐκ συκοφαντίας καὶ ἀδικίας ἐκτησάμην. Τετραπλάσια δὲ ἀποδίδωσι κατὰ τὸν νόμον, τὸν τέσσαρα πρόβατα ἀντὶ ἑνὸς ἐκτίσειν κελεύοντα (α).

Ἀκούσωμεν οἱ ἀδικοῦντες, καὶ ἢ αὐτὰ τὰ ἐξ ἀδικίας τοῖς ἀδικηθεῖσιν ἀντιστρέψωμεν, ἢ τοιαύτην θεραπείαν τοῖς ἀδικήμασι προσενέγκωμεν.

(1) Ἀπὸ τοῦ, κατάγεσθαι, ἐξ οὗ καταγώγιον.

(α) Ἐξοδ. ΚΒ', 1.

9 Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς· Ὅτι σήμερον σω-
τηρία τῷ οἴκῳ τούτῳ ἐγένετο·

Οἶκον λέγει τοὺς ἐν τῷ οἴκῳ. *Σήμερόν*, φησιν, *ἐγένετο σωτηρία*, ἀπελαθείσης ἤδη τῆς ἀπωλείας, τῆς ἐνοικούσης ἐκ πλεονεξίας καὶ ἀδικίας.

9 Καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν·

Τοῦτο διὰ τοὺς γογγύζοντας, ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι. Φησὶ γάρ· *Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ*· καὶ γὰρ ἔδει σωθῆναι τὸν Ζακχαῖον, διότι καὶ αὐτὸς ἐκ γένους τοῦ Ἀβραάμ ἐστι. Δηλοῖ δὲ τὸ ἐπαγόμενον, ὅτι προηγουμένως διὰ τοὺς ἀβραμιαίους ἐνηνθρώπησεν.

10 Ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶ-
σαι τὸ ἀπολωλός.

Τὸ *ἀπολωλὸς* ἐκ γένους τοῦ Ἀβραάμ. *Οὐκ ἀπεστάλην* γάρ, φησιν, *εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἀβραάμ* (α).

Ζακχαῖος δέ εἰμι κἀγὼ, μικρὸς τὴν ἡλικίαν τὴν πνευματικήν· ἔτι γὰρ χαμαὶ περὶ τὰ γεηρὰ σύρομαι· καὶ ζητῶ μὲν ἰδεῖν τὸν Χριστόν ἐμφανῶς, καὶ ὡς προσῆκεν, οὐ δύναμαι δὲ τοῦτον οὕτως ἰδεῖν, εἰ μὴ ἐκδράμω τῶν ἐμποδιζόντων μοι πρὸς τοῦτο, καὶ ἀναβῶ ἐπὶ δένδρον, τουτέστιν, ὑπεραρθῶ τῶν γηΐνων, καὶ μετεωρισθῶ πρὸς τὰ ἐπουράνια. Τότε γὰρ καὶ αὐτὸς θεάσεταί με γνησίως, καὶ καλέσει πρὸς ἑαυτὸν, καὶ μονὴν παρ᾽ ἐμοὶ ποιήσει. Οἶκος γὰρ θεοῦ ὁ τοιοῦτος γίνεται.

11 Ἀκουόντων δὲ αὐτῶν ταῦτα, προσθεὶς εἶπε παρα-
βολὴν, διὰ τὸ ἐγγὺς αὐτὸν εἶναι Ἱερουσαλὴμ, καὶ
δοκεῖν αὐτοὺς, ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία
τοῦ θεοῦ ἀναφαίνεσθαι.

Ἀκούοντές τινες τῶν Ἰουδαίων πολλάκις αὐτοῦ λέγοντος, ὅτι

(α) Ματθ. ΙΕ', 24.

ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ, ὑπέλαβον, ὅτι διὰ τοῦτο ἄνεισι νῦν εἰς Ἱερουσαλὴμ, ἵνα βασιλεύσῃ ἐν αὐτῇ. Ὅπερ γνοὺς αὐτὸς, διὰ παραβολῆς διορθοῦται τὴν ἐσφαλμένην ὑπόληψιν αὐτῶν, ἐμφαίνων, ὅτι ἡ βασιλεία αὐτοῦ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου, ἀλλ' οὐράνιος καὶ ἀΐδιος.

ΚΕΦΑΛΑΙΟΝ ΞϚ'.

Περὶ τοῦ πορευθέντος λαβεῖν ἑαυτῷ βασιλείαν.

12 Εἶπεν οὖν· Ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακράν,

Ἑαυτὸν ὑποδηλοῖ, *ἄνθρωπον* μὲν, ὡς ἐνανθρωπήσαντα· *εὐγενῆ* δὲ, ὡς υἱὸν τοῦ θεοῦ· *ἐπορεύθη* δὲ *εἰς χώραν μακρὰν*, μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ ἀνελθὼν εἰς τὸν οὐρανόν. Ὡς γὰρ ἤδη γεγενημένα λέγει τὰ μέλλοντα.

12 Λαβεῖν ἑαυτῷ βασιλείαν,

Ἣν ἔλαβεν, ὡς ἄνθρωπος, περὶ ἧς εἴρηκε Δαυΐδ· *Ὁ Κύριος ἐβασίλευσε* (α). Καὶ αὖθις· *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου* (β).

12 Καὶ ὑποστρέψαι.

Κατὰ τὴν δευτέραν παρουσίαν αὐτοῦ.

(α) Ψαλμ. ϞΒ', 1. (β) Ψαλμ. ΡΘ', 1.

ΚΕΦΑΛΑΙΟΝ ΞΖ'.

Περὶ τῶν λαβόντων τὰς δέκα μνᾶς.

13 Καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, ἔδωκεν αὐτοῖς δέκα μνᾶς,

Ὁ δέκα ἀριθμὸς ἐνταῦθα πλήθους μόνον ἐμφαντικός ἐστιν, ἐπί τε τῶν δούλων, ἐπί τε τῶν μνῶν. Ἡ μνᾶ δὲ ἦν εἶδος ἀργυρίου. *Δούλους* μὲν οὖν λέγει, πάντας τοὺς διδασκάλους τῶν πιστῶν· *μνᾶς* δὲ, τὰ πνευματικὰ χαρίσματα.

13 Καὶ εἶπε πρὸς αὐτούς· Πραγματεύσασθε ἕως ἔρχομαι.

Πραγματεύσασθε διὰ τῶν χαρισμάτων τὴν σωτηρίαν τῶν ἀνθρώπων.

14 Οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτὸν,

Οἱ συγγενεῖς αὐτοῦ Ἰουδαῖοι.

14 Καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ, λέγοντες· Οὐ θέλομεν τοῦτον βασιλεῦσαι ἐφ' ἡμᾶς.

Καὶ πρότερον γὰρ πρὸς τὸν Πιλάτον ἔλεγον· *Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα* (α)· καὶ ὕστερον ηὔχοντο πρὸς τὸν θεὸν καὶ πατέρα, σβεσθῆναι αὐτοῦ καὶ τὴν μνήμην (1).

15 Καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν αὐτὸν λαβόντα τὴν βασιλείαν,

Περὶ τῆς δευτέρας παρουσίας ὁ λόγος, ὅτε ἐπανελεύσεται μετὰ δυνάμεως πολλῆς καὶ δόξης, καὶ καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ.

(α) Ιωαν. ΙΘ', 15. (1) Εἰς ποῖον χωρίον τῶν ἱερῶν Γραφῶν ἀναφέρεται ὅ,τι λέγει ἐνταῦθα ὁ Εὐθύμιος, ἄγνωστον. Ὁ Ἑντένιος εἰς τὴν ἑαυτοῦ μετάφρασιν φέρει τοῦ Ἱερεμίου Κεφ. ΙΑ'. Ἐν ταῖς πράξεσι τῶν ἀποστόλων φέρεται μὲν ἐνίοτε, ὅτι οἱ ἄρχοντες τῶν Ἰουδαίων ἤθελον ἐξαλεῖψαι τὴν μνήμην τοῦ ὀνόματος τοῦ Χριστοῦ, ἀλλ' οὐδαμοῦ προστίθεται, ὅτι καὶ ηὔχοντο περὶ τούτου πρὸς τὸν θεὸν καὶ πατέρα.

15 Καὶ εἶπε φωνηθῆναι αὐτῷ τοὺς δούλους τούτους, οἷς ἔδωκε τὸ ἀργύριον· ἵνα γνῷ, τίς τί διεπραγματεύσατο.

Τότε γὰρ λογοθετῶν ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

16 Παρεγένετο δὲ ὁ πρῶτος, λέγων· Κύριε, ἡ μνᾶ σου προσειργάσατο δέκα μνᾶς.

Διὰ τῆς δεκάδος τὸ πολὺ τοῦ κέρδους ἐσήμανεν.

17 Καὶ εἶπεν αὐτῷ· Εὖ ἀγαθὲ δοῦλε· ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου,

Εὖ σοὶ, ὅτι ἐν μιᾷ μνᾷ σπουδαῖος ἐγένου.

17 Ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων.

Διὰ τῆς ἐξουσίας τῶν δέκα πόλεων τὸ πολὺ τῆς τιμῆς καὶ τὸ μέγεθος τῆς εὐεργεσίας ἐνέφηνεν.

18 Καὶ ἦλθεν ὁ δεύτερος, λέγων· Κύριε, ἡ μνᾶ σου
19 ἐποίησε πέντε μνᾶς. Εἶπε δὲ καὶ τούτῳ· Καὶ σὺ
γίνου ἐπάνω πέντε πόλεων.

Αναλόγως τῷ μέτρῳ τῆς ἑκάστου σπουδῆς καὶ τοῦ κέρδους παραμετρεῖται καὶ ἡ τιμὴ καὶ εὐεργεσία.

20 Καὶ ἕτερος ἦλθε, λέγων· Κύριε, ἰδοὺ, ἡ μνᾶ σου, ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ.

Σουδάριον, τὸ παρ' ἡμῖν μικρὸν φακιόλιον· ἀναγωγικῶς δὲ τὸ σουδάριον ἐνταῦθα, ἡ ἀργία καὶ ἀχρηστία.

21 Ἐφοβούμην γάρ σε, ὅτι ἄνθρωπος αὐστηρὸς εἶ· αἴρεις ὃ οὐκ ἔθηκας, καὶ θερίζεις ὃ οὐκ ἔσπειρας.

Ωιετο γὰρ, ὅτι μόνη ἡ σπουδὴ τῶν ἐμπορευομένων, ἄνευ τῆς ἐκ θεοῦ βοηθείας, κατορθοῖ τὸ πᾶν, καὶ ὅτι αὐστηρὸς ὢν, ἀπαιτεῖ τὰ ἑτέροις ἐπικτηθέντα, εἰς ἃ αὐτὸς οὐδέ τι συνήργησε. Ταύτην δὲ τὴν ἀπολογίαν ἐσχημάτισεν ἡ παραβολὴ, δεῖξαι βουλομένη, ὅτι οὐδὲν οἱ τοιοῦτοι εὔλογον ἀπολογήσασθαι δύνανται, καὶ ὅτι, ὅσα ἂν ἀπολογήσωνται, κατ' αὐτῶν πάντα περιτραπήσονται, καὶ ἄκουε τῶν ἑξῆς.

22 Λέγει δὲ αὐτῷ· Ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε·

Εκ τῶν λόγων σου.

22 Ἤδεις, ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι, αἴρων ὃ
23 οὐκ ἔθηκα, καὶ θερίζων ὃ οὐκ ἔσπειρα· καὶ διατί
οὐκ ἔδωκας τὸ ἀργύριόν μου ἐπὶ τὴν τράπεζαν,

Επὶ τραπεζίτας. Οὗτοι δ' ἂν εἶεν οἱ δυνάμενοι διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ κακοῦ. Λέγει τοίνυν, Ὅτι, ἐπεὶ τοιοῦτόν με ἐγίνωσκες, καίτοι μὴ τοιοῦτον ὄντα, διὰ τί οὐ μᾶλλον κατεβάλου τὸ δοθέν σοι χάρισμά μου ἐπὶ τραπεζίτας; Ἔδει γάρ σε πᾶν τὸ σὸν ποιῆσαι, τὸ δὲ λοιπὸν ἐμοὶ καταλιπεῖν, τὸ εὐχερέστερον τέως διαπράξασθαι, τὸ δὲ δυσχερέστερον ἐμοὶ ἐπιτρέψαι, λέγω δὴ, τὴν ἀπαίτησιν.

23 Καὶ ἐγὼ ἐλθὼν σὺν τόκῳ ἂν ἔπραξα αὐτό;

Εἰσέπραξα, ἀπήτησα. *Δάνειον* μὲν οὖν, ἡ διδασκαλία· *τόκος* δὲ τοιούτου δανείου, αἱ ἐκ διδασκαλίας ἀρεταί. *Τόκον* δὲ, τὴν ἐπικερδίαν ἁπλῶς ὠνόμασε, τῇ συνηθείᾳ χρησάμενος.

24 Καὶ τοῖς παρεστῶσιν εἶπεν·

Τοῖς ὑπηρετοῦσιν ἀγγέλοις.

24 Ἄρατε ἀπ' αὐτοῦ τὴν μνᾶν, καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι.

Ἄρατε ἀπ' αὐτοῦ τὸ χάρισμα τῆς διδασκαλίας, καὶ δότε αὐτὸ εἰς προσθήκην τιμῆς τῷ ἔχοντι τὰς δέκα μνᾶς.

25 Καὶ εἶπον αὐτῷ· Κύριε, ἔχει δέκα μνᾶς.

Εχει ἀρκοῦσαν τιμήν.

26 Λέγω γὰρ ὑμῖν, ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται·

Οἱ μὲν παρεστῶτες εἶπον, ὅτι Ἔχει ἀρκοῦσαν τιμήν· αὐτὸς δέ φησιν, ὅτι Παντὶ τῷ ἔχοντι σπουδήν τε καὶ ἐπιμέλειαν, δοθήσεται τιμὴ καὶ περισσοτέρα τῆς ἐπιβαλλούσης αὐτῷ.

26 Ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ'
αὐτοῦ.

Ἀπὸ δὲ τοῦ μὴ ἔχοντος σπουδήν τε καὶ ἐπιμέλειαν, ὡς εἴρηται, καὶ ὃ ἔχει χάρισμα διδασκαλίας, ἀφαιρεθήσεται, οἷα μὴ χρησαμένου αὐτῷ.

Ἀλλὰ διατί περὶ μόνων τριῶν δούλων εἰπὼν, τοὺς ἄλλους ἀφῆκε; Διότι εὐχερές ἐστιν ἐκ τούτων καὶ περὶ ἐκείνων μαθεῖν. Ὅσοι μὲν γὰρ ἐπραγματεύσαντο, ἀναλόγως τῷ κέρδει λήψονται τὰς τιμάς· ὅσοι δὲ ἀργὸν καὶ ἄχρηστον ἔσχον τὸ χάρισμα, τὰ ὅμοια τῷ δηλωθέντι πείσονται.

Ἐν δὲ τῷ ἑξηκοστῷ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον παραβολὴν τοιαύτην εἰπὼν, ἐπὶ τέλους προσέθηκεν· ὅτι *Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων* (α)· καὶ ἀνάγνωθι ἐκεῖ τὴν τῶν ῥητῶν τούτων ἑρμηνείαν.

27 Πλὴν τοὺς ἐχθρούς μου ἐκείνους, τοὺς μὴ θελήσαν-
τάς με βασιλεῦσαι ἐπ' αὐτοὺς, ἀγάγετε ὧδε, καὶ
κατασφάξατε ἔμπροσθέν μου.

Η κατασφαγὴ αὕτη ἢ τὴν ἐν τῷ μέλλοντι αἰῶνι κόλασιν τῶν Ἰουδαίων παραδηλοῖ, ἢ τὴν ἐν τοῖς χρόνοις Οὐεσπασιανοῦ καὶ Τίτου πανωλεθρίαν αὐτῶν.

28 Καὶ εἰπὼν ταῦτα, ἐπορεύετο ἔμπροσθεν, ἀναβαίνων
εἰς Ἱεροσόλυμα.

Σπεύδων ἐπὶ τὰ πάθη καὶ τὸν σταυρόν.

(α) Ματθ. ΚΒ΄, 30.

ΚΕΦΑΛΑΙΟΝ ΞΗ΄.

Περὶ τοῦ πώλου.

29 Καὶ ἐγένετο ὡς ἤγγισεν εἰς Βηθφαγὴ καὶ Βηθανίαν,
πρὸς τὸ ὄρος τὸ καλούμενον Ἐλαιῶν, ἀπέστειλε
30 δύο τῶν μαθητῶν αὐτοῦ, εἰπών· Ὑπάγετε εἰς τὴν
κατέναντι κώμην· ἐν ᾗ εἰσπορευόμενοι εὑρήσετε
πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς πώποτε ἀνθρώπων
31 ἐκάθισε· λύσαντες αὐτὸν ἀγάγετε. Καὶ ἐάν τις ὑμᾶς
ἐρωτᾷ· Διατὶ λύετε; οὕτως ἐρεῖτε αὐτῷ· Ὅτι ὁ
κύριος αὐτοῦ χρείαν ἔχει.

Τοῦτο τὸ κεφάλαιον τεσσαρακοστὸν πέμπτον εὑρήσεις ἐν τῷ κατὰ Ματθαῖον, ἐν ᾧ πᾶσα κατὰ λόγον ἡ ἐξήγησις ἐξετέθη.

32 Ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι, εὗρον καθὼς εἶ-
33 πεν αὐτοῖς. Λυόντων δὲ αὐτῶν τὸν πῶλον, εἶπον οἱ
κύριοι αὐτοῦ πρὸς αὐτούς· Τί λύετε τὸν πῶλον;
34 Οἱ δὲ εἶπον· Ὁ κύριος αὐτοῦ χρείαν ἔχει. Καὶ ἤγα-
35 γον αὐτὸν πρὸς τὸν Ἰησοῦν·

Ἐν ἐκείνῳ καὶ περὶ τούτων ἐῤῥήθη.

35 Καὶ ἐπιῤῥίψαντες ἑαυτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον,
36 ἐπεβίβασαν τὸν Ἰησοῦν. Πορευομένου δὲ αὐτοῦ, ὑπε-
στρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ.

Ὑπεστρώννυον ταῦτα ὁ πλεῖστος ὄχλος, ὡς εἶπε Ματθαῖος. Ἐν ἐκείνῳ δὲ καὶ περὶ τούτων εὑρήσεις.

37 Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ
ὄρους τῶν Ἐλαιῶν, ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν
μαθητῶν χαίροντες αἰνεῖν τὸν θεὸν φωνῇ μεγάλῃ
περὶ πασῶν ὧν εἶδον δυνάμεων,

Ὧν εἶδον θαυμάτων ἐν τῷ τότε καιρῷ. Θαῦμα γὰρ τὸ προει-

πεῖν περὶ τοῦ πώλου καὶ τῶν κυρίων αὐτοῦ, τὸ βαίνειν αὐτὸν εὐτάκτως, ἀδάμαστον ὄντα, τὸ συγκινηθῆναι τὸν ὄχλον εἰς τοσαύτην τιμὴν καὶ τηλικαύτην εὐφημίαν αὐτοῦ, καὶ τὰ τοιαῦτα.

38 Λέγοντες· Εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς ἐν ὀνόματι Κυρίου·

Ὁ δὲ Ματθαῖος εἶπεν, ὅτι *οἱ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες* τοῦτο (α)· καὶ ἀνάγνωθι ἐκεῖ τὴν ὅλην ἐξήγησιν τῶν ῥητῶν τούτων, ἄχρι τοῦ· *Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα, ἐσείσθη πᾶσα ἡ πόλις*(β).

38 Εἰρήνη ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις.

Ἐν ἐκείνῃ τῇ ἐξηγήσει καὶ ταῦτα διηρμηνεύθησαν. Βλέποντες γὰρ οἱ μαθηταὶ τοὺς ὄχλους οὕτω ποιοῦντας, καὶ οὕτω κράζοντας, συνηγάλλοντο, καὶ ὁμοίως ἐβόων, συνενθουσιῶντες αὐτοῖς.

39 Καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον πρὸς αὐτόν· Διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου.
40 Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Λέγω ὑμῖν ὅτι, ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται.

Ἀνάγνωθι ἐν τῷ δηλωθέντι κεφαλαίῳ ἀκολούθως τὴν ἑρμηνείαν τοῦ· *Οἱ δὲ ὄχλοι ἔλεγον· Οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης* (γ). Ἐν ἐκείνῃ γὰρ καὶ ταῦτα ἐμνημονεύθησαν καὶ ἐσαφηνίσθησαν.

41 Καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν, ἔκλαυσεν ἐπ' αὐτῇ,

Γινώσκων αὐτὴν δι' ὑπερβολὴν πονηρίας ἐκτριβησομένην, ἀνθρωποπρεπῶς κλαίει ταύτην δι' ὑπερβολὴν ἀγαθότητος, ἐνδεικνύμενος κἀντεῦθεν, οἷα σπλάγχνα εἶχε περὶ τοὺς ἀγνώμονας Ἰουδαίους.

42 Λέγων· Ὅτι εἰ ἔγνως καὶ σὺ, καί γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ, τὰ πρὸς εἰρήνην σου·

(α) Ματθ. ΚΑ΄, 9. (β) Ματθ. ΚΑ΄, 10. (γ) Ματθ. ΚΑ΄, 11.

Ἐλλειπτικὸς ὁ λόγος· ἐλλείπει γὰρ τὸ, Οὐκ ἂν ἀπώλου. Εἰώθασι γὰρ οἱ κλαίοντες ἐπικόπτεσθαι τοὺς λόγους ὑπὸ τῆς τοῦ πάθους σφοδρότητος. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἰ ἔγνως καὶ σὺ *ἐν τῇ ἡμέρᾳ σου ταύτῃ*, τουτέστιν, ἐν τῷ καιρῷ σου τούτῳ, καθ' ὃν ἐγὼ ἐπιδημῶ· σὸς γὰρ οὗτος· ὅτι διὰ σὲ προηγουμένως ἐνηνθρώπησά τε καὶ ἐπεδήμησα· εἰ ἔγνως *τὰ πρὸς εἰρήνην σου*, τὰ εἰρηνεύοντά σε πρὸς θεὸν, ἅτινά εἰσιν ἡ εἰς ἐμὲ τὸν υἱὸν αὐτοῦ πίστις, καὶ ἡ παραδοχὴ τοῦ ἐμοῦ κηρύγματος, οὐκ ἂν ἀπώλου. Τὸ δὲ, *καίγε*, περιττὸν κεῖται, ἰδίωμα τῆς ἑβραϊκῆς ὂν συγγραφῆς.

42 Νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου.

Ἐκρύβη ταῦτα *ἀπὸ τῶν ὀφθαλμῶν* τῆς ψυχῆς σου, ἤγουν, παρωράθησαν.

43 Ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ, καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου χάρακά σοι·

Ταῦτα, ὡς ἀπὸ ἀρχῆς ἰδίας, ἀναγνωστέον. Τὸ γὰρ, *ὅτι*, προφητικόν ἐστιν ἐνταῦθα καὶ διηγηματικόν. *Ἡμέρας* μὲν οὖν λέγει, τὰς τῆς πολιορκίας· *ἐχθροὺς* δὲ αὐτῆς, τοὺς Ῥωμαίους, ὕστερον χαλεπήναντας.

43 Καὶ περικυκλώσουσί σε, καὶ συνέξουσί σε πάντοθεν·
44 καὶ ἐδαφιοῦσι σε, καὶ τὰ τέκνα σου ἐν σοί·

Καὶ τὰ τέκνα σου ἐν σοὶ, ἐδαφιοῦσι δηλονότι.

44 Καὶ οὐκ ἀφήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ·

Σύνθεσιν λίθων, ἤγουν, οἰκοδόμημα.

44 Ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου.

Διότι οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπιμελείας σου. Ὁ γὰρ καιρὸς τῆς ἐπιδημίας μου, καιρὸς ἦν τῆς ἐπιμελείας καὶ σωτηρίας σου.

45 Καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν, ἤρξατο ἐκβάλλειν τοὺς

46 πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας, λέγων αὐ-
τοῖς· Γέγραπται· «Ὁ οἶκός μου οἶκος προσευχῆς
ἐστιν· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.»

Πλατύτερον ἔγραψε περὶ τούτων ὁ Ματθαῖος ἐν τῷ τέλει τοῦ τεσσαρακοστοῦ πέμπτου κεφαλαίου, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν.

47 Καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ· οἱ
δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν ἀπο-
48 λέσαι, καὶ οἱ πρῶτοι τοῦ λαοῦ. Καὶ οὐχ εὕρισκον
τὸ τί ποιήσωσιν· ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο αὐ-
τοῦ ἀκούων.

Διδασκόμενος.

ΚΕΦΑΛΑΙΟΝ ΞΘ΄.

Περὶ τῶν ἐπερωτησάντων τὸν Κύριον ἀρχιερέων καὶ γραμματέων.

ΚΕΦ. XX, 1 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων,
διδάσκοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ, καὶ εὐαγ-
γελιζομένου, ἐπέστησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμ-
2 ματεῖς σὺν τοῖς πρεσβυτέροις, καὶ εἶπον πρὸς αὐ-
τόν, λέγοντες· Εἰπὲ ἡμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα
ποιεῖς; ἢ τίς ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην;

Εἴρηται περὶ τούτων ἐν τῷ τεσσαρακοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

3 Ἀποκριθεὶς δὲ εἶπε πρὸς αὐτούς· Ἐρωτήσω ὑμᾶς
4 κἀγὼ ἕνα λόγον· καὶ εἴπατέ μοι· Τὸ βάπτισμα Ἰω-
5 άννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; Οἱ δὲ συν-
ελογίσαντο πρὸς ἑαυτούς, λέγοντες· Ὅτι ἐὰν εἴ-

πωμεν· Ἐξ οὐρανοῦ· ἐρεῖ· Διατί οὖν οὐκ ἐπιστεύ-
6 σατε αὐτῷ; Ἐὰν δὲ εἴπωμεν· Ἐξ ἀνθρώπων· πᾶς
ὁ λαὸς καταλιθάσει ἡμᾶς· πεπεισμένος γάρ ἐστιν,
Ἰωάννην προφήτην εἶναι.

Ἀκολούθως ἐν τῷ τοιούτῳ κεφαλαίῳ καὶ ταῦτα ἐσαφηνίσθησαν.

7 Καὶ ἀπεκρίθησαν, μὴ εἰδέναι πόθεν. Καὶ ὁ Ἰησοῦς
8 εἶπεν αὐτοῖς· Οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ
ταῦτα ποιῶ.

Ὁμοίως καὶ ταῦτα, καὶ ἀνάγνωθι ἐκεῖ τὴν ἐξήγησιν.

ΚΕΦΑΛΑΙΟΝ Ο΄.

Περὶ τοῦ ἀμπελῶνος.

9 Ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν
ταύτην· Ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα, καὶ
ἐξέδοτο αὐτὸν γεωργοῖς· καὶ ἀπεδήμησε χρόνους
ἱκανούς.

Αὕτη ἡ παραβολὴ πεντηκοστόν ἐστι κεφάλαιον τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐκεῖ τὴν ταύτης ἐξήγησιν, λεπτομερῶς ἐκτεθειμένην.

10 Καὶ ἐν καιρῷ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς δοῦ-
λον, ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος δῶσιν
αὐτῷ· οἱ δὲ γεωργοί, δείραντες αὐτόν, ἐξαπέστειλαν
11 κενόν. Καὶ προσέθετο πέμψαι ἕτερον δοῦλον· οἱ δέ,
κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες, ἐξαπέστειλαν
12 κενόν. Καὶ προσέθετο πέμψαι τρίτον· οἱ δέ, καὶ
τοῦτον τραυματίσαντες, ἐξέβαλον.

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καὶ ταῦτα ἡρμηνεύθησαν.

13 Εἶπε δὲ ὁ κύριος τοῦ ἀμπελῶνος· Τί ποιήσω;

πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον
ἰδόντες ἐντραπήσονται.

Ὁμοίως καὶ ταῦτα.

14 Ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ, διελογίζοντο πρὸς
ἑαυτοὺς, λέγοντες· Οὗτός ἐστιν ὁ κληρονόμος·
δεῦτε, ἀποκτείνωμεν αὐτὸν, ἵνα ἡμῶν γένηται ἡ
15 κληρονομία. Καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπε-
λῶνος, ἀπέκτειναν.

Ὡσαύτως καὶ ταῦτα.

15 Τί οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος;
16 Ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους,
καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. Ἀκούσαντες δὲ
εἶπον· Μὴ γένοιτο!

Καὶ περὶ τούτων ἐκεῖ μετὰ ἀκριβείας ἐῤῥήθη.

17 Ὁ δὲ, ἐμβλέψας αὐτοῖς, εἶπε· Τί οὖν ἐστι τὸ γε-
γραμμένον τοῦτο· « Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκο-
δομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας;»

Ἔτι καὶ περὶ τούτων.

18 Πᾶς ὁ πεσὼν ἐπ' ἐκεῖνον τὸν λίθον, συνθλασθή-
σεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν.

Ἐν τῷ δηλωθέντι κεφαλαίῳ καὶ τὸ λειπόμενον τῆς δαυϊτικῆς ταύτης προφητείας προσθεὶς, εἶτα εἰπών· *Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς* (α)· τότε ἐπήγαγεν· ὅτι *Καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν* (β). Ἔστι τοίνυν τὰ μὲν τοῦ Ματθαίου, ἀκρίβεια ἀπαγγελίας· τὰ δὲ (1) τοῦ Λουκᾶ, συντομία ἀπαγγελίας, ὡς πολλάκις εἰρήκαμεν.

(α) Ματθ. ΚΑ', 43. (β) Ματθ. ΚΑ', 44. (1) τοῦ Μάρκου καὶ τοῦ Λουκᾶ, παρὰ τῷ Ἐντενίῳ. Ἀναγινώσκονται δὲ ταῦτα Μαρκ. ΙΒ', 10.

Παρὰ πᾶσι δὲ τοῖς εὐαγγελισταῖς εὑρίσκομεν τὴν τοιαύτην οἰκονομίαν, ἑκάστου αὐτῶν, ποτὲ μὲν ἀκριβῶς, ποτὲ δὲ συντόμως ἀπαγγέλλοντος. Τὸ μέντοι προκείμενον ῥητὸν, ἐν τῷ ῥηθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ἡρμήνευται, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν.

19 Καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐπι-
βαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ· καὶ
ἐφοβήθησαν τὸν λαόν· ἔγνωσαν γὰρ, ὅτι πρὸς
αὐτοὺς τὴν παραβολὴν ταύτην εἶπε.

Καὶ ταῦτα σαφέστερον ὁ Ματθαῖος ἱστόρησεν ἐν ἐκείνῳ τῷ κεφαλαίῳ.

ΚΕΦΑΛΑΙΟΝ ΟΑ'.

Περὶ τῶν ἐγκαθέτων διὰ τὸν κῆνσον.

20 Καὶ παρατηρήσαντες ἀπέστειλαν ἐγκαθέτους, ὑπο-
κρινομένους ἑαυτοὺς δικαίους εἶναι· ἵνα ἐπιλάβων-
ται αὐτοῦ λόγου, εἰς τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ
καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος.

Φησὶν ὁ Ματθαῖος ἐν τῷ τέλει τοῦ πεντηκοστοῦ πρώτου κεφαλαίου αὐτοῦ· *Τότε πορευθέντες οἱ Φαρισαῖοι, συμβούλιον ἔλαβον, ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ*, καὶ τὰ ἑξῆς (α), καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτῶν, καὶ εὑρήσεις ἐκεῖ καὶ τὴν τῶν παρόντων ῥητῶν σαφήνειαν.

21 Καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· Διδάσκαλε, οἴδα-
μεν, ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις, καὶ οὐ λαμβά-
νεις πρόσωπον, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ

(α) Ματθ. ΚΒ', 15.

22 διδάσκεις. Ἔξεστιν ἡμῖν, Καίσαρι φόρον δοῦναι, ἢ οὔ;

Ἐν τῷ πεντηκοστῷ δευτέρῳ κεφαλαίῳ περὶ τούτων σαφέστερον ἔγραψεν ὁ Ματθαῖος, καὶ ζήτησον ἐκεῖ ὁμοίως τὴν ἑρμηνείαν.

23 Κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν, εἶπε πρὸς
24 αὐτούς· Τί με πειράζετε; Ἐπιδείξατέ μοι δηνάριον·
τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν; Ἀποκριθέντες δὲ
25 εἶπον· Καίσαρος. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἀπόδοτε
τοίνυν τὰ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ θεοῦ, τῷ
26 θεῷ. Καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος
ἐναντίον τοῦ λαοῦ· καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ, ἐσίγησαν.

Ἐν τῷ τοιούτῳ κεφαλαίῳ ταῦτα πάντα ἐμνημονεύθησάν τε καὶ ἡρμηνεύθησαν.

ΚΕΦΑΛΑΙΟΝ ΟΒ΄.

Περὶ τῶν Σαδδουκαίων.

27 Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ ἀντιλέγοντες, ἀνάστασιν μὴ εἶναι, ἐπηρώτησαν αὐτὸν,
28 λέγοντες· Διδάσκαλε, Μωσῆς ἔγραψεν ἡμῖν· «Ἐάν
τινος ἀδελφὸς ἀποθάνῃ ἔχων γυναῖκα, καὶ οὗτος
ἄτεκνος ἀποθάνῃ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν
γυναῖκα, καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.»
29 Ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος, λαβὼν γυ-
30 ναῖκα, ἀπέθανεν ἄτεκνος. Καὶ ἔλαβεν ὁ δεύτερος
31 τὴν γυναῖκα, καὶ οὗτος ἀπέθανεν ἄτεκνος. Καὶ ὁ
τρίτος ἔλαβεν αὐτήν· ὡσαύτως δὲ καὶ οἱ ἑπτά·
32 οὐ κατέλιπον τέκνα, καὶ ἀπέθανον. Ὕστερον δὲ
33 πάντων ἀπέθανε καὶ ἡ γυνή. Ἐν τῇ οὖν ἀναστάσει,

τίνος αὐτῶν γίνεται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα.

Τὸ κεφάλαιον τοῦτο, πεντηκοστὸν τρίτον ἐστὶ παρὰ τῷ Ματθαίῳ, καὶ ζήτησον ἐν ἐκείνῳ τὴν ὅλην ἐξήγησιν.

34 Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Οἱ υἱοὶ
τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ ἐκγαμίσκονται·

Οἱ τοῦ κόσμου τούτου, οἱ τῆς ζωῆς ταύτης.

35 Οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν,
καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν, οὔτε γαμοῦσιν,
36 οὔτε ἐκγαμίσκονται· οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται· ἰσάγγγελοι γάρ εἰσι· καὶ υἱοί εἰσι τοῦ θεοῦ,
τῆς ἀναστάσεως υἱοὶ ὄντες.

Παρὰ τῷ Ματθαίῳ καὶ ταῦτα ἐμνημονεύθησάν τε καὶ ἡρμηνεύθησαν ἐν τῷ ῥηθέντι κεφαλαίῳ, ἔνθα κεῖται τό· *Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται,* καὶ τὰ ἑξῆς (α).

37 Ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ, καὶ Μωσῆς ἐμήνυσεν
ἐπὶ τῆς βάτου,

Ἐδήλωσεν ἐπὶ τῆς γραφῆς τῆς βάτου· αὕτη δὲ ἱστόρηται ἐν τῇ βίβλῳ τῆς Ἐξόδου (β).

37 Ὡς λέγει Κύριον, τὸν θεὸν Ἀβραὰμ, καὶ τὸν θεὸν
38 Ἰσαὰκ, καὶ τὸν θεὸν Ἰακώβ. Θεὸς δὲ οὐκ ἔστι
νεκρῶν, ἀλλὰ ζώντων· πάντες γὰρ αὐτῷ ζῶσιν.

Καὶ περὶ τούτων ἀκολούθως ἐν τῷ δηλωθέντι κεφαλαίῳ τοῦ Ματθαίου εἴρηται, καὶ ζήτησον ἐκεῖ.

39 Ἀποκριθέντες δέ τινες τῶν γραμματέων, εἶπον· Δι-

(α) Ματθ. ΚΒ΄, 30. (β) Ἐξοδ. Γ΄, 6.

40 δάσκαλε, καλῶς εἶπας. Οὐκέτι δὲ ἐτόλμων ἐπε-
ρωτᾷν αὐτὸν οὐδέν.

Ἐκεῖ καὶ ταῦτα ἐμνημονεύθησαν, ἔνθα τό· *Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ* (α).

ΚΕΦΑΛΑΙΟΝ ΟΓ΄.

Ἐρώτησις πρὸς τοὺς Φαρισαίους, πῶς ἐστὶν υἱός Δαυῒδ ὁ Χριστός;

41 Εἶπε δὲ πρὸς αὐτούς· Πῶς λέγουσι, τὸν Χριστὸν
42 υἱὸν Δαυῒδ εἶναι; Καὶ αὐτὸς Δαυῒδ λέγει ἐν βίβλῳ
ψαλμῶν· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ
43 δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπό-
44 διον τῶν ποδῶν σου.» Δαυῒδ οὖν Κύριον αὐτὸν κα-
λεῖ· καὶ πῶς υἱὸς αὐτοῦ ἐστίν;

Ματθαῖος δέ φησιν ἐν τῷ πεντηκοσῷ πέμπτῳ αὐτοῦ κεφαλαίῳ· ὅτι *Συνηγμένων τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; Τίνος υἱός ἐστι;* καὶ τὰ ἑξῆς (β), καὶ ἡρμηνεύθησαν ἐκεῖ πάντα κατὰ λόγον.

45 Ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ, εἶπε τοῖς μαθη-
46 ταῖς αὐτοῦ· Προσέχετε ἀπὸ τῶν γραμματέων, τῶν
θελόντων περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων
ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας
ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς
δείπνοις.

Ἀνάγνωθι ἐν τῷ ῥηθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· *Πλατύνουσι γὰρ τὰ φυλακτήρια αὐτῶν, καὶ*

(α) Ματθ. ΚΒ΄, 33. (β) Ματθ, ΚΒ΄, 41.

μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν, καὶ τὰ ἑξῆς (α), καὶ εὑρήσεις περὶ πάντων.

47 Οἳ κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν· καὶ προ-
φάσει μακρὰ προσεύχονται· οὗτοι λήψονται περισ-
σότερον κρίμα.

Ἐν τῷ πεντηκοσῷ ἕκτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον εἶπε καὶ πρὸς τοὺς γραμματεῖς καὶ φαρισαίους· *Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι, ὑποκριταί, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν*, καὶ τὰ ἑξῆς (β), καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ ΟΔ΄.

Περὶ τῆς χήρας τῆς τὰ δύο λεπτὰ βαλούσης.

ΚΕΦ. XXI, 1 Ἀναβλέψας δὲ εἶδε τοὺς βάλλοντας
τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον πλουσίους.
2 Εἶδε δὲ καί τινα χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ δύο
3 λεπτά· καὶ εἶπεν· Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα
4 ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλεν. Ἅπαντες
γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον
εἰς τὰ δῶρα τοῦ θεοῦ· αὕτη δὲ ἐκ τοῦ ὑστερήμα-
τος αὐτῆς ἅπαντα τὸν βίον, ὃν εἶχεν, ἔβαλε.

Περὶ ταύτης καὶ ὁ Μάρκος διέλαβεν ἐν τῷ τεσσαρακοστῷ πρώτῳ κεφαλαίῳ αὐτοῦ, καὶ ζήτησον ἐκεῖ τὴν ὅλην ἐξήγησιν.

5 Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις κα-
6 λοῖς καὶ ἀναθήμασι κεκόσμηται, εἶπε· Ταῦτα, ἃ
θεωρεῖτε, ἐλεύσονται ἡμέραι, ἐν αἷς οὐκ ἀφεθήσεται
λίθος ἐπὶ λίθῳ, ὃς οὐ καταλυθήσεται.

Εἴρηται περὶ τούτων ἀκριβῶς ἐν τῷ τέλει τοῦ πεντηκοστοῦ

(α) Ματθ. ΚΓ΄, 5. (β) Ματθ. ΚΓ΄, 13

ἕκτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον, ἔνθα κεῖται τό· *Καὶ ἐξελθὼν ὁ Ἰησοῦς, ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ· καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ, ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ* (α).

ΚΕΦΑΛΑΙΟΝ ΟΕ΄.

Ἐρώτησις περὶ συντελείας.

7 Ἐπηρώτησαν δὲ αὐτὸν, λέγοντες· Διδάσκαλε, πότε
οὖν ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον, ὅταν μέλλῃ
ταῦτα γίνεσθαι;

Φησὶν οὖν ὁ Ματθαῖος ἐν τῷ πεντηκοστῷ ἑβδόμῳ κεφαλαίῳ· ὅτι *Καθημένου αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν Ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν, λέγοντες· Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος* (β); καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν.

8 Ὁ δὲ εἶπε· Βλέπετε, μὴ πλανηθῆτε· πολλοὶ γὰρ
ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ὅτι ἐγώ
εἰμι· καὶ ὁ καιρὸς ἤγγικε. Μὴ οὖν πορευθῆτε ὀπίσω
αὐτῶν.

Ἐκεῖ καὶ ταῦτα ἐμνημονεύθησάν τε καὶ ἡρμηνεύθησαν.

9 Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ
πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον· ἀλλ'
10 οὐκ εὐθέως τὸ τέλος. Τότε ἔλεγεν αὐτοῖς· Ἐγερ-
θήσεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν·
11 σεισμοί τε μεγάλοι κατὰ τόπους, καὶ λιμοὶ, καὶ
λοιμοὶ ἔσονται· φόβητρά τε καὶ σημεῖα ἀπ' οὐρα-
νοῦ μεγάλα ἔσται.

Ἐκεῖ καὶ περὶ τούτων ἐῤῥήθη.

(α) Ματθ, ΚΔ΄, 1. (β) Ματθ. ΚΔ΄, 3.

12 Πρὸ δὲ τούτων ἁπάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς
χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συνα-
γωγὰς καὶ φυλακὰς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ
ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου.

Ὁμοίως καὶ περὶ τούτων.

13 Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον.

Εἰς διαμαρτυρίαν, εἰς ἔλεγχον τῶν μὴ πιστευσάντων, ἵνα μὴ δύνωνται λέγειν ἐν ἡμέρᾳ κρίσεως, ὅτι οὐκ ἠκούσαμεν τοῦ κηρύγματος. Ἢ, *Ἀποβήσεται ὑμῖν* τὰ παρ' ἐκείνων ἐπαγόμενα εἰς μαρτυρικὴν δόξαν.

14 Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾷν
ἀπολογηθῆναι.

Θέσθε τὰς καρδίας ὑμῶν (1), ἀντὶ τοῦ, διάθεσθε, πείσατε· ἢ θέσθε εἰς τὰς καρδίας ὑμῶν.

15 Ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυ-
νήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀν-
τικείμενοι ὑμῖν.

Στόμα μὲν λέγει, τοὺς λόγους· *σοφίαν* δὲ, τὰς ἐννοίας τῶν λόγων.

16 Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν,
καὶ συγγενῶν, καὶ φίλων· καὶ θανατώσουσιν ἐξ ὑμῶν.
17 Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου.

Ἐν τῷ ῥηθέντι κεφαλαίῳ καὶ περὶ τούτων εὑρήσεις.

18 Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται.

Καὶ ὄντως πολλοὶ τῶν πιστῶν, εἰς πῦρ ἐμβληθέντες, οὐδὲ τρίχα ἀπώλεσαν. Ὅθεν φανερὸν, ὅτι καὶ, εἴ τις ἀφῃρέθη τί τοῦ σώματος, κατὰ συγχώρησιν Θεοῦ τοῦτο πάντως ὑπέστη· ποτὲ μὲν γὰρ τὴν οἰκείαν ἐπεδείκνυτο δύναμιν· ποτὲ δὲ συν-

(1) Ὁ Εὐθύμιος ἀνέγνωσεν ἄρα ἐσφαλμένως, Θέσθε οὖν τὰς καρδίας, ἀντὶ τοῦ, εἰς τὰς καρδίας.

εχώρει τῇ σαρκὶ πάσχειν κατὰ φύσιν. Εἰπὼν οὖν, ὅτι *Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται*, ἐδήλωσεν, ὅτι τε παντοδύναμός ἐστι, καὶ ὅτι ἀντιλήψεται τούτων, καὶ προθυμίαν αὐτοῖς ἐνέβαλεν.

19 Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Κτήσασθε, ἤτοι, σώσατε· εἰ δὲ τὰς ψυχὰς, πάντως καὶ τὰ σώματα. Γέγραπται γὰρ ἐν τῷ προειρημένῳ κεφαλαίῳ· ὅτι *Ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται* (α).

20 Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε γνῶτε, ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς.

Ὁ δὲ Ματθαῖος ἐν τῷ ἤδη λεχθέντι κεφαλαίῳ ἕτερον ἀναγράφει σημεῖον, λέγων· ὅτι *Ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως*, καὶ τὰ ἑξῆς (β), καὶ ἀνάγνωθι τὴν ὅλην ἐξήγησιν τῶν ῥητῶν ἐκείνων.

21 Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν εἰς τὰ ὄρη·

Ἐν ἐκείνῳ καὶ περὶ τούτων ζήτησον.

21 Καὶ οἱ ἐν μέσῳ αὐτῆς, ἐκχωρείτωσαν·

Τὸ αὐτὸ λέγει πάλιν, εἰς βεβαίωσιν τοῦ λόγου.

21 Καὶ οἱ ἐν ταῖς χώραις, μὴ εἰσερχέσθωσαν εἰς αὐτήν.

Τοῦτο παρέλιπον Ματθαῖος καὶ Μάρκος, ὥσπερ καὶ οὗτος, ὃ εἶπον ἐκεῖνοι, λέγω δὴ τὸ, *Ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβαινέτω, ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ· καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐπιστρεψάτω ὀπίσω, ἆραι τὰ ἱμάτια αὐτοῦ* (γ).

22 Ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι,

Τῆς τοῦ δεσποτικοῦ φόνου.

(α) Ματθ. ΚΔ΄, 13. (β) Ματθ. ΚΔ΄, 15. (γ) Ματθ. ΚΔ΄, 17. 18. Μάρκ. ΙΓ΄, 15. 16.

22 Τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα.

Ὑπὲρ τοῦ πληρωθῆναι πάντα τὰ ἐν ταῖς βίβλοις, τοῦ τε Δανιὴλ καὶ τῶν ἄλλων προφητῶν, περὶ τῆς τοιαύτης ἁλώσεως τῆς Ἱερουσαλὴμ γεγραμμένα.

23 Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις·

Παρὰ τῷ Ματθαίῳ καὶ τοῦτο σεσαφήνισται ἐν ἐκείνῳ τῷ κεφαλαίῳ.

23 Ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ
24 ἐν τῷ λαῷ τούτῳ· καὶ πεσοῦνται στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη· καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν.

Φησὶν ὁ Ματθαῖος· ὅτι *Ἔσται τότε θλίψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ᾽ ἀρχῆς κόσμου, ἕως τοῦ νῦν, οὐδ᾽ οὐ μὴ γένηται* (α). Ἀπὸ γοῦν τῆς ἐκεῖσε κειμένης ἑρμηνείας διαγνωσθήσονται καὶ ταῦτα.

25 Καὶ ἔσται σημεῖα ἐν ἡλίῳ, καὶ σελήνῃ, καὶ ἄστροις· καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ, ἠχούσης
26 θαλάσσης καὶ σάλου· ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται.

Ταῦτα περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας φησί. Ζήτησον δὲ ὁμοίως παρὰ τῷ Ματθαίῳ τὴν ἐξήγησιν τοῦ· *Εὐθέως δὲ μετὰ τὴν θλίψιν τῶν ἡμερῶν ἐκείνων, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ* (β), καὶ τὴν τοῦ ἐφεξῆς ῥητοῦ, καὶ εὑρήσεις καὶ περὶ τούτων.

(α) Ματθ. ΚΔ΄, 21. (β) Ματθ. ΚΔ΄. 24—29.

27 Καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμε-
νον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

Πάλιν ἐκεῖ καθεξῆς ἀνάγνωθι τὰς ἐξηγήσεις, ἀναγκαίας οὔσας, ἄχρι τοῦ· *Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν* (α).

28 Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ ἐπά-
ρατε τὰς κεφαλὰς ὑμῶν· διότι ἐγγίζει ἡ ἀπολύτρω-
29 σις ὑμῶν. Καὶ εἶπε παραβολὴν αὐτοῖς· Ἴδετε τὴν
30 συκῆν καὶ πάντα τὰ δένδρα· ὅταν προβάλωσιν ἤδη,
βλέποντες ἀφ᾽ ἑαυτῶν γινώσκετε, ὅτι ἤδη ἐγγὺς τὸ
31 θέρος ἐστίν. Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα
γινόμενα, γινώσκετε, ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία
τοῦ θεοῦ.

Αὖθις ἐκεῖ τὴν ἐπίλοιπον ἐξήγησιν ἀναγνωστέον, ἄχρι τοῦ· *Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα ταῦτα γένηται* (β). Ἐν ἐκείνῃ γὰρ ἐμνημονεύθησάν τε καὶ ἡρμηνεύθησαν, ὡς εἰκός.

32 Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη,
33 ἕως ἂν πάντα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρε-
λεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

Ἐκεῖ καὶ περὶ τούτων ἐῤῥήθη.

34 Προσέχετε δὲ ἑαυτοῖς, μήποτε βαρηθῶσιν ὑμῶν αἱ
καρδίαι ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιω-
τικαῖς· καὶ αἰφνίδιος ἐφ᾽ ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη.
35 Ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθη-
36 μένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Ἀγρυπνεῖτε
οὖν ἐν παντὶ καιρῷ, δεόμενοι, ἵνα καταξιωθῆτε ἐκ-
φυγεῖν ταῦτα πάντα τὰ μέλλοντα γίνεσθαι,

Ἐν τῷ πεντηκοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ζήτησον τὴν ἑρμηνείαν τοῦ· *Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε, ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται* (α). Ἐν αὐτῇ γὰρ ταῦτα μνήμης καὶ ἐπιλύσεως τετυχήκασι. Σημειωτέον δὲ, ὅτι οὐ μόνον ἡ μέθη, ἀλλὰ καὶ αἱ μέριμναι τοῦ βίου βαπτίζουσι τὴν ψυχὴν, καὶ καταποντίζουσι τὸν νοῦν.

(α) Ματθ. ΚΔ΄, 32. (β) Ματθ. ΚΔ΄, 34.

36 Καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

Παραστῆναι τῷ Χριστῷ μετὰ τῶν ἀγγέλων.

37 Ἦν δὲ τὰς ἡμέρας ἐν τῷ ἱερῷ διδάσκων·

Δι᾽ ὠφέλειαν τῶν ἐκεῖ συνερχομένων.

37 Τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ ὄρος τὸ
καλούμενον Ἐλαιῶν.

Διὰ τὸ ἀπερίσπαστον καὶ ἐπιτήδειον εἰς προσευχήν· οὐχ ἧττον δὲ καὶ εἰς μυστικωτέραν διδασκαλίαν τῶν μαθητῶν. Δῆλον γὰρ, ὅτι μετ᾽ αὐτῶν ἐξήρχετο ἐκεῖ καὶ ηὐλίζετο.

38 Καὶ πᾶς ὁ λαὸς ὤρθριζε πρὸς αὐτὸν ἐν τῷ ἱερῷ ἀκούειν
αὐτοῦ.

Εἰ ὁ λαὸς ἐκεῖνος οὕτως ἐποίει, πολλῷ μᾶλλον ἡμᾶς χρὴ, τὸν οἰκειότερον λαὸν, ὀρθρίζειν πρὸς αὐτὸν ἐν τῷ ἱερῷ ἐπὶ τῷ ἀκούειν αὐτοῦ, διὰ τῶν θείων Γραφῶν διδάσκοντος, καὶ μὴ μόνον ἀκούειν, ἀλλὰ καὶ ὑπακούειν.

ΚΕΦΑΛΑΙΟΝ ΟϚ΄.

Περὶ τοῦ *πάσχα*.

ΚΕΦ. XXII, 1 Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λε-
γομένη πάσχα.

Ἑορτὴ *τῶν ἀζύμων* ἐλέγετο καὶ ἡ τοῦ πάσχα ἑορτή· διότι

(α) Ματθ. ΚΔ΄, 42.

κατὰ τὸ πάσχα τοῖς τοῦ ἀμνοῦ κρέασι καὶ ἄζυμα συνήσθιον. Λοιπὸν οὖν, τότε πρῶτον γευόμενοι τῶν ἀζύμων, ἄζυμα καὶ τὸ πάσχα κατωνόμαζον.

Ἑτέρα δὲ ἦν ἡ κυρίως ἑορτὴ τῶν ἀζύμων, ἡ μετὰ τὴν ἑορτὴν τοῦ πάσχα, περὶ ἧς εἴρηται πλατύτερον ἐν τῷ ἑξηκοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἔνθα τό· *Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες αὐτῷ· Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα* (α);

2 Καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ, πῶς ἀνέλωσιν αὐτόν· ἐφοβοῦντο γὰρ τὸν λαόν.

Ἐζήτουν τὸ, πῶς ἀνέλωσιν αὐτὸν, κρυφίως ἢ εὐαφόρμως, δηλονότι. *Ἐφοβοῦντο γὰρ τὸν λαὸν*, φανερῶς ἢ ἀναφόρμως ἀνελεῖν αὐτόν.

3 Εἰσῆλθε δὲ ὁ σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα.

Ἰωάννης δέ φησιν· ὅτι *Μετὰ τὸ ψωμίον, τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ σατανᾶς* (β). Οὐκ ἔστι δὲ τοῦτο ἐναντιολογία· πρότερον μὲν γὰρ ὁ σατανᾶς ἀπόπειραν ἐποιήσατο καὶ διεκωδώνισε (1) τὸν ἄθλιον· ὕστερον δὲ γνοὺς ἀφορισθέντα, ὡς ἀδιόρθωτον, θαῤῥήσας ἐπεπήδησεν, ὡς καὶ ἐν τῷ κατὰ Ματθαῖον εἰρήκαμεν, πλὴν οὐχ ὥστε δαιμονᾷν αὐτὸν, ἀλλ' ὥστε κατακυριεύειν καὶ δουλαγωγεῖν αὐτόν. *Ἰσκαριώτην* μὲν οὖν εἶπε τοῦτον, πρὸς ἀντιδιαστολὴν τοῦ ἄλλου Ἰούδα. *Ἐκ τοῦ ἀριθμοῦ δὲ τῶν δώδεκα*, ἵνα δείξῃ, ὅτι ἐκ τοῦ πρώτου χοροῦ τῶν μαθητῶν ἦν.

4 Καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ τοῖς στρατηγοῖς τὸ, πῶς αὐτὸν παραδῷ αὐτοῖς.

Τοῖς στρατηγοῖς, τοῖς φυλάσσουσι τὸ ἱερόν. Συνέπνευσαν γὰρ

(α) Ματθ. ΚΣΤ', 17. (β) Ἰωαν. ΙΓ', 27. (1) Συχνάκις μεταχειρίζεται καὶ ὁ Χρυσόστομος τὴν φράσιν ταύτην. Ἰδ. καὶ Τόμ. Α. Σελ. 528.

καὶ οὗτοι τοῖς μιαιφόνοις, ἀναπεισθέντες χρήμασι. *Παραδῷ* δὲ, ἀντὶ τοῦ, παραδώσει.

5 Καὶ ἐχάρησαν· καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι.

Ὡς ἐζήτει.

6 Καὶ ἐξωμολόγησε·

Ἐκ καρδίας ὡμολόγησε (1), βεβαίως ἐπηγγείλατο.

6 Καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου.

Εὐκαιρίαν, εἴτουν, ἐπιτήδειον καιρόν. *Ἄτερ δὲ ὄχλου*, ἀντὶ τοῦ, χωρὶς θορύβου (2).

7 Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα.

Τὸ, *ἦλθεν*, ἐνταῦθα τὸ, *ἐπλησίασε*, δηλοῖ. *Ἦλθε* γὰρ εἶπε, διὰ τὴν ἄγαν ἐγγύτητα· Ἕτερον δὲ τὸ, *ἤγγιζεν*, ὅπερ ἄνω εἴρηκεν, καὶ ἕτερον τὸ, ἐπλησίασεν, ὅπερ ἐνταῦθα δηλοῦται. Τὸ, *ἐπλησίασε*, γὰρ ἐγγύτερόν ἐστι τοῦ, *ἤγγιζε*. Διὸ ἔνθα μὲν ἔταξε τὸ, *ἤγγιζε*, πρὸ δύο ἡμερῶν τοῦ πάσχα ἦν· πρὸ δύο γὰρ ἡμερῶν ὁ Ἰούδας συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ στρατηγοῖς· ἔνθα δὲ δηλοῦται τὸ, *ἐπλησίασε*, πρὸ μιᾶς ἐστί. Πρὸ μιᾶς γὰρ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην εἰς ἑτοιμασίαν τοῦ πάσχα, καθὼς μεμαθήκαμεν παρὰ Ματθαίου καὶ Μάρκου.

8 Καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην, εἰπών· Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν.

Κατὰ τὸν νόμον.

(1) Ὁ Θεοφύλακτος Σελ. 510. C. ἑρμηνεύει τὸ, ἐξωμολόγησε, συνεφώνησε, καὶ ἐπιφέρει «τοῦτο γὰρ σημαίνει τὸ, ἐξωμολόγησεν, ἀντὶ τοῦ, τελείας ὁμολογίας καὶ συνθήκας ἐποιήσατο.»

(2) Ὁ Θεοφύλακτος: καταμόνας.

9 Οἱ δὲ εἶπον αὐτῷ· Ποῦ θέλεις ἑτοιμάσωμεν;

Οὔτε γὰρ αὐτὸς εἶχεν ἴδιον καταγώγιον, οὔτε μὴν αὐτοὶ, πᾶσιν ἤδη ἀποταξάμενοι.

10 Ὁ δὲ εἶπεν αὐτοῖς· Ἰδοὺ, εἰσελθόντων ὑμῶν εἰς τὴν
πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος
βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν, οὗ εἰσ-
11 πορεύεται· καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας·
Λέγει σοι ὁ διδάσκαλος· Ποῦ ἐστι τὸ κατάλυμα,
12 ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; Κἀ-
κεῖνος ὑμῖν δείξει ἀνώγεον μέγα ἐστρωμένον· ἐκεῖ
ἑτοιμάσατε.

Ἐν τῷ ἑξηκοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ζήτησον τὴν ἐξήγησιν τοῦ *Ὁ δὲ εἶπεν· Ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα*, καὶ τὰ ἑξῆς (α). Ἐν ἐκείνῃ γὰρ περὶ τούτων πάντων ἐῤῥήθη.

13 Ἀπελθόντες δὲ εὗρον καθὼς εἴρηκεν αὐτοῖς· καὶ
14 ἡτοίμασαν τὸ πάσχα. Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέ-
πεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ.

Ἀκολούθως ἐκεῖ καὶ περὶ τούτων εὑρήσεις.

15 Καὶ εἶπε πρὸς αὐτούς· Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο
τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν, πρὸ τοῦ με παθεῖν.

Σπουδῇ ἐσπούδασα τούτου τοῦ ἐνιαυτοῦ τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν, πρὸ τοῦ σταυρωθῆναί με, ἤτοι, πρὸ τοῦ καιροῦ τοῦ πάσχα· ἐν αὐτῷ γὰρ σταυρωθῆναι ἔμελλεν, ὡς ἀνέγνως παρὰ τῷ Ματθαίῳ ἐν τῇ ἐξηγήσει τοῦ· *Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα* (β).

16 Λέγω γὰρ ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ,

(α) Ματθ. ΚϚ'. 18. (β) Ματθ. ΚϚ', 20.

ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.

Ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ζήτησον τὴν ἑρμηνείαν τοῦ· *Λέγω δὲ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου* (α)· καὶ ἀνάγνωθι πᾶσαν, καὶ εὑρήσεις περὶ πάντων λεπτομερῶς.

17 Καὶ δεξάμενος ποτήριον, εὐχαριστήσας εἶπε· Λά-
βετε τοῦτο, καὶ διαμερίσατε ἑαυτοῖς.

Ἐντεῦθεν ἤρξατο τοῦ μυστικοῦ δείπνου.

18 Λέγω γὰρ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γεννήματος
τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ.

Ἐν τῇ δηλωθείσῃ ἑρμηνείᾳ καὶ ταῦτα ἐμνημονεύθησαν μετὰ καὶ τῶν ἐφεξῆς.

19 Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε· καὶ ἔδωκεν
αὐτοῖς, λέγων· Τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ
ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνη-
20 σιν. Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι,
λέγων· Τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐν τῷ αἵ-
21 ματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. Πλὴν ἰδοὺ, ἡ
χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης.

Ἀνάγνωθι ἐν τῷ εἰρημένῳ κεφαλαίῳ τὴν ἐξήγησιν τοῦ· *Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς* (β). Ὁμοίως δὲ καὶ τὰς ἐφεξῆς, ἄχρι τοῦ· *Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν* (γ)· καὶ εὑρήσεις περὶ πάντων ἀκριβῶς· οὐδὲν γὰρ ἀνεξέταστον ὑπελείφθη. Τὸ δὲ, *τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον*, πρὸς τὸ ποτήριον ἀποδέδοται· τὸ δὲ ποτήριον, τὸ αἷμα αὐτοῦ ἐστι.

(α) Ματθ. ΚϚ', 29. (β) Ματθ. ΚϚ, 26. (γ) Ματθ. ΚϚ', 30.

22 Καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ
ὡρισμένον· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ παραδίδοται.

Φησὶ Ματθαῖος ἐν τῷ ἑξηκοστῷ τρίτῳ κεφαλαίῳ· *Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ*, καὶ τὰ ἑξῆς (α). Ἐκεῖ οὖν καὶ ταῦτα ἐσαφηνίσθησαν.

23 Καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς, τὸ, τίς
ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν.

Ματθαῖος μὲν καὶ Μάρκος πρὸ τῆς διανομῆς τοῦ ἄρτου καὶ τοῦ ποτηρίου φασὶν αὐτοὺς διαπορηθῆναι περὶ τούτου (β)· Λουκᾶς δὲ καὶ Ἰωάννης μετὰ τὴν διανομήν (γ). Δῆλον οὖν, ὅτι καὶ πρῶτον, καὶ ὕστερον τοῦτο γέγονε.

ΚΕΦΑΛΑΙΟΝ ΟΖ'.

Περὶ τῶν φιλονεικησάντων, Τίς μείζων.

24 Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ, τίς αὐτῶν
δοκεῖ εἶναι μείζων.

Καὶ ἄλλοτε περὶ τοιούτου πράγματος ἐπολυπραγμόνησαν, ὡς φανερώτερον ἔγραψε Ματθαῖος ἐν τῷ τριακοστῷ ἑβδόμῳ κεφαλαίῳ αὐτοῦ· ἀλλὰ τότε μὲν, περὶ τοῦ, Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· νῦν δὲ, καθ' ἑτέραν αἰτίαν ἡ *φιλονεικία* τούτοις ἐνέπεσεν, εἴτουν, ἡ ἐξέτασις. Πληροφορηθέντες γὰρ ἤδη περὶ τῆς τοῦ διδασκάλου τελευτῆς, ἐζήτησαν, Τίς ἐξ αὐτῶν δοκεῖ εἶναι μείζων, ἵνα διδάσκαλος γένηται τῶν ἄλλων.

25 Ὁ δὲ εἶπεν αὐτοῖς· Οἱ βασιλεῖς τῶν ἐθνῶν κυρι-
εύουσιν αὐτῶν·

Διδάσκει λοιπὸν, ὡς ὁ προεστάναι τούτων μέλλων, οὐκ ὀφείλει κυριαρχεῖν, ὡς δεσπότης· τοῦτο γὰρ οἱ βασιλεῖς τῶν ἐθνῶν ποιοῦσι, τετυφωμένοι ταῖς ἀρχαῖς, καὶ κατεπαιρόμενοι τῶν ἀρχομένων.

(α) Ματθ. Κϛ', 24. (β) Ματθ. Κϛ', 22. Μαρκ. ΙΔ', 19. (γ) Ἰωαν. ΙΓ', 22.

25 Καὶ οἱ ἐξουσιάζοντες αὐτῶν, εὐεργέται καλοῦνται.

Ὡς δοκοῦντες μείζονες, ἢ καὶ ὡς φιλόδοξοι.

26 Ὑμεῖς δὲ οὐχ οὕτως· ἀλλ' ὁ μείζων ἐν ὑμῖν, γενέ-
σθω ὡς ὁ νεώτερος· καὶ ὁ ἡγούμενος, ὡς ὁ διακονῶν.

Γενέσθω ταῦτα, ὅσον ἐπὶ μετριοφροσύνῃ. *Νεώτερον* δὲ λέγει, τὸν ἔσχατον.

27 Τίς γὰρ μείζων; ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; οὐχὶ
ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ
διακονῶν.

Ἑαυτὸν αὐτοῖς δίδωσιν ὑπόδειγμα τοῦ λόγου. Τούτων γὰρ ἀνακειμένων, ὡς μειζόνων ὑπ' αὐτοῦ κριθέντων, οὗτος διηκόνησεν, ὡς ἔσχατον ἑαυτὸν λογισάμενος, ὅτε ἔνιψε τοὺς πόδας αὐτῶν.

28 Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς
29 πειρασμοῖς μου. Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέ-
θετό μοι ὁ πατήρ μου, βασιλείαν·

Διατίθεμαι ὑμῖν βασιλείαν, ἀντὶ τοῦ, ἐπαγγέλλομαι· βασιλείαν δὲ οὐράνιον, ἧς ταῖς ἐλπίσι διανευροῖ τούτους ἔτι πρὸς εὐψυχίαν καὶ ὑπομονήν.

30 Ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου, ἐν
τῇ βασιλείᾳ μου·

Τῆς βασιλικῆς ἐκείνης, τῆς οὐρανίου. Εἴη δ' ἂν *τράπεζα* μὲν, τὰ αἰώνια καὶ ἀπόῤῥητα ἀγαθὰ, τὰ ἡτοιμασμένα τοῖς ἀγαπῶσι τὸν θεόν· *βρῶσις* δὲ καὶ *πόσις*, ἡ ἀπόλαυσις αὐτῶν.

30 Καὶ καθίσεσθε ἐπὶ θρόνων, κρίνοντες τὰς δώδεκα
φυλὰς τοῦ Ἰσραήλ.

Τοῦτο ὑπέσχετο αὐτοῖς καὶ ἐν τῷ τεσσαρακοστῷ πρώτῳ κε-

φαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἔνθα γέγραπται τό· *Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ·* (α) καὶ ἀνάγνωθι τὴν τούτων ἐξήγησιν.

ΚΕΦΑΛΑΙΟΝ ΟΗʹ.

Περὶ τῆς ἐξαιτήσεως τοῦ σατανᾶ.

31 Εἶπε δὲ ὁ Κύριος· Σίμων, Σίμων, ἰδοὺ, ὁ σατανᾶς
ἐξῃτήσατο ὑμᾶς, τοῦ σινιάσαι ὡς τὸν σῖτον.

Ἔθος γὰρ αὐτῷ τοὺς δοκιμωτέρους ἐξαιτεῖσθαι πρὸς πάλην, ὡς τὸν Ἰώβ. Σινιάσαι δὲ, ἀντὶ τοῦ, θορυβῆσαι, κυκῆσαι, ταράξαι (1)· *σινίον* γὰρ παρά τισι καλεῖται, τὸ παρ' ἡμῖν κόσκινον, ἐν ᾧ ὁ σῖτος τῇδε κἀκεῖσε μεταφερόμενος ταράσσεται. Προλέγει δὲ αὐτοῖς περὶ τοῦ μέλλοντος πειρασμοῦ, ὅτε πάντες ἀφέντες αὐτὸν, ἔφυγον.

32 Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πί-
στις σου.

Ἐδεήθην τοῦ πατρός μου, φησὶν, ὡς ἄνθρωπος, ἵνα μὴ τέλεον ἀπολέσῃς τὴν πίστιν σου, τὴν εἰς ἐμὲ, ἐν τῷ καιρῷ τῆς ἀρνήσεως.

32 Καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου.

Ἐπιστρέψας, μετὰ τὴν ἄρνησιν δηλονότι, διὰ κλαυθμοῦ πικροῦ, τουτέστιν ἀποκαταστὰς πάλιν εἰς τὴν πρώτην τάξιν. *Ἀδελφοὺς* δὲ αὐτοῦ φησι, τοὺς ἄλλους ἀποστόλους, ἢ τοὺς μέλλοντας δι' αὐτοῦ πιστεύειν.

(α) Ματθ. ΙΘʹ, 28. (1) Παρὰ τῷ Χρυσοστόμῳ Τομ. Ζʹ. Σελ. 785. D. θορυβῆσαι, ταράξαι, καὶ πειρᾶσαι.

33 Ὁ δὲ εἶπεν αὐτῷ· Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ
εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι.

Ἔδει, τοιαῦτα παρὰ τῆς αὐτοαληθείας ἀκούσαντα, ἰσχὺν αἰτῆσαι παρ' αὐτοῦ καὶ βοήθειαν· ὁ δὲ μᾶλλον ὑπὸ θερμότητος ἀντιτείνει, μηδὲν τοιοῦτον παθεῖν.

34 Ὁ δὲ εἶπε· Λέγω σοι, Πέτρε, οὐ μὴ φωνήσῃ σή-
μερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρνήσῃ, μὴ εἰδέναι με.

Σήμερον εἶπε, διὰ τὸ εἶναι τὴν ἐπιοῦσαν νύκτα τῆς ἡμέρας ἐκείνης. Γράφει δὲ Ματθαῖος ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ αὐτοῦ· ὅτι *Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ὅτι ἐν ταύτῃ τῇ νυκτὶ, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με* (α)· καὶ ἀνάγνωθι ἐκεῖ τὴν ἐξήγησιν.

35 Καὶ εἶπεν αὐτοῖς· Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βα-
λαντίου, καὶ πήρας, καὶ ὑποδημάτων, μή τινος
ὑστερήσατε; Οἱ δὲ εἶπον· Οὐδενός.

Ἄτερ, ἀντὶ τοῦ, *χωρίς*. Καὶ μὴν, οὐκ ἐμνημόνευσε τότε βαλαντίου. Πλὴν τῷ χρυσῷ καὶ τῷ ἀργύρῳ καὶ τοῦτο συνεπεδήλωσεν. Ἐκεῖνα γὰρ ἔχειν κωλύσας, πρόδηλον, ὅτι καὶ τοῦτο κεκώλυκεν· ἐπεὶ, μὴ ὄντος θησαυροῦ, περιττὸν ἄρα τὸ θησαυροφυλάκιον. Τῇ πήρᾳ μὲν γὰρ τὸν ἄρτον ἐνέβαλλον· τῷ φασκωλίῳ δὲ, τὸν χαλκὸν, ἤτοι, τοὺς ὀβολούς· τῷ βαλαντίῳ δὲ, τὸν χρυσὸν καὶ τὸν ἄργυρον. *Ὑστέρησιν* δὲ λέγει, τὴν ἔνδειαν.

36 Εἶπεν οὖν αὐτοῖς· Ἀλλὰ νῦν, ὁ ἔχων βαλάντιον,
ἀράτω, ὁμοίως καὶ πήραν·

Τότε μὲν ἀναγκαίως αὐτοῖς ἐπέθηκε τὴν ἀκτημοσύνην, ἵνα κατορθώσωσιν αὐτήν· ἐπεὶ δὲ τοῦτο γέγονεν, ἀφαιρεῖ νῦν τὴν ἀνάγκην, καὶ παραχωρεῖ τούτοις ἔχειν καὶ βαλάντιον καὶ πήραν, ἵνα φανῇ τούτων ἡ ἀρετὴ, χωρὶς ἀνάγκης ἀκτημονούντων· καὶ πρότερον μὲν αὐτὸς διεβάσταζεν αὐτοὺς, οὐκ ἐῶν τινος ὑστε-

(α) Ματθ. ΚϚʹ, 34.

ρεῖν, διὰ τὴν ἀσθένειαν αὐτῶν· ὕστερον δὲ τούτους ἀφῆκε βοηθεῖν ἑαυτοῖς, ὡς ἤδη στεῤῥοτέρους γεγενημένους· τοῦτο γὰρ δηλοῦται διὰ τοῦ βαλαντίου καὶ τῆς πήρας. Καὶ ὅτε μὲν ἐκώλυσεν αὐτοὺς ἔχειν βαλάντιον, καὶ πήραν, καὶ τὰ τοιαῦτα, τότε οὐδενὸς ὑστέρησαν, ἵνα γνῶσι τὴν αὐτοῦ δύναμιν καὶ χάριν· ὅτε δὲ παρεχώρησεν ἔχειν αὐτὰ, τότε καὶ ἐπείνασαν, καὶ ἐδίψησαν, καὶ ἐγυμνήτευσαν, ἵνα γνωσθῇ τούτων ἡ στεῤῥότης καὶ καρτερία.

Ἀλλὰ πῶς εἶπεν, ὅτι *Ὁ ἔχων βαλάντιον*; οὐδεὶς γὰρ αὐτῶν εἶχεν. Ὥστε τὸ, *ὁ ἔχων*, ἀντὶ τοῦ, *ὁ δυνάμενος ἔχειν.*

[Ὁ *ἔχων βαλάντιον* (1), τουτέστι, γνῶσιν, *ἀράτω, καὶ πήραν*, ἤγουν, θησαυρὸν ἀρετῶν· ἀναγκαῖον γὰρ τῷ γνωστικῷ, ὁ πλοῦτος τῶν ἀρετῶν· ὁ δὲ μὴ ἔχων ἀμφότερα, *πωλησάτω τὸ ἱμάτιον* αὐτοῦ, τουτέστιν, ἐκδότω τὸ σῶμα τοῖς πόνοις τῶν ἀρετῶν, καὶ κτησάσθω πόλεμον πρὸς τὰ πάθη, καὶ τοὺς δαίμονας.]

36 **Καὶ** ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν.

Ὁ *μὴ ἔχων νῦν. Τὸ δὲ, πωλήσει τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγοράσει* (2) *μάχαιραν*, κατ' ἔμφασιν εἶπεν, ἐμφαίνων μόνον, ὅτι καιρὸς ἀμύνης, ἐρχομένων ὅσον οὔπω τῶν ἐπιβούλων, οὐ μὴν ἐν μαχαίραις ἀμύνεσθαι βουλόμενος· καὶ γὰρ ὕστερον τὸν Πέτρον οὕτως ἀμυνόμενον ἐκώλυσεν.

Νοηθείη δ' ἂν καὶ καθ' ἕτερον τρόπον, τὸ μὲν πρῶτον ῥητὸν περὶ τοῦ Ἰούδα· μόνος γὰρ ἐκεῖνος εἶχε βαλάντιον, τῇ φιλαργυρίᾳ δεδουλωμένος· καὶ λοιπὸν κελεύεται (3) ἆραι καὶ πήραν, ἤγουν, φροντίζειν ἑαυτοῦ, τῆς θείας προνοίας ἤδη ἀποῤῥαγείς· τὸ δεύτερον δὲ, περὶ τῶν ἄλλων ἀποστόλων· οὗτοι γάρ,

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.
(2) Παρὰ τῷ Εὐθυμίῳ, πωλήσει καὶ ἀγοράσει, ἀντὶ τοῦ, πωλησάτω καὶ ἀγορασάτω, ὡς κοινότερον ἀναγινώσκεται. (3) Ὁ Ἰούδας.

μὴ ἔχοντες, ἐπιτάττονται πωλῆσαι τὸ ἱμάτιον καὶ ἀγοράσαι μάχαιραν, τουτέστι, δοῦναι τὸ σῶμα, καὶ ἀντιλαβεῖν θάνατον.

37 **Λέγω** γὰρ ὑμῖν, ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοὶ, τό· «Καὶ μετὰ ἀνόμων ἐλογίσθη.»

Τὸ γεγραμμένον ἐν τῷ προφήτῃ. Ὡς ἄνομον γὰρ καὶ κακοῦργον μέσον τῶν ἀνόμων καὶ κακούργων λῃστῶν ἐσταύρωσαν αὐτόν.

37 **Καὶ** γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει.

Τὰ *περὶ ἐμοῦ* γεγραμμένα, ἔν τε τῷ νόμῳ καὶ τοῖς προφήταις, τελειοῦται ἤδη.

38 **Οἱ** δὲ εἶπον· Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο.

Μὴ συνιέντες, τί ἐδήλου τό· *Ὁ μὴ ἔχων, πωλήσει τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν* (α)· ὑποδεικνύουσι δύο μαχαίρας, αἷς ἐχρήσαντο πρὸς θυσίαν τοῦ ἀμνοῦ καὶ διανομὴν, βουλόμενοι μαθεῖν τὸν σκοπὸν αὐτοῦ.

38 **Ὁ** δὲ εἶπεν αὐτοῖς· Ἱκανόν ἐστι.

Φανερὸν μᾶλλον ἐντεῦθεν, ὅτι οὐκ ἐν μαχαίραις ἀμύνασθαι βουλόμενος, ἐπέταξεν ἀγοράσαι μαχαίρας· εἰ γὰρ τοῦτο ἐβούλετο, πῶς εἶπε νῦν, ὅτι *Ἱκανόν ἐστιν*; Οὐ γὰρ ἂν ἐξήρκεσαν οὐδ' ἑκατὸν μάχαιραι πρὸς τὸ πλῆθος τῶν ἐπιόντων. Λοιπὸν οὖν εἰπὼν, ὅτι *ἱκανόν ἐστιν*, ἐνέφηνεν, ὅτι οὐ χρεία μαχαιρῶν.

39 **Καὶ** ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος
τῶν Ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ
40 αὐτοῦ. **Γενόμενος** δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς·
41 **Προσεύχεσθε**, μὴ εἰσελθεῖν εἰς πειρασμόν. **Καὶ** αὐτὸς
ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολὴν, καὶ θεὶς τὰ
42 γόνατα προσηύχετο, λέγων· **Πάτερ**, εἰ βούλει παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω.

(α) Λουκ. ΚΒ', 36.

Τὰ μὲν ἄλλα σαφῆ εἰσι· περὶ δὲ τῆς προσευχῆς ζήτησον ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ· *Καὶ προελθὼν μικρὸν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ τὰ ἑξῆς* (α).

43 Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ, ἐνισχύων αὐτόν.
44 Καὶ γενόμενος ἐν ἀγωνίᾳ, ἐκτενέστερον προσηύχετο.
Ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος
καταβαίνοντες ἐπὶ τὴν γῆν.

Ἐν τῷ αὐτῷ κεφαλαίῳ ταῦτα πάντα ἐμνημονεύθησάν τε καὶ ἡρμηνεύθησαν, καὶ ἀνάγνωθι ἐκεῖ τὴν ἑρμηνείαν τοῦ· *Καὶ ἀφεὶς αὐτοὺς, ἀπελθὼν πάλιν, προσηύξατο ἐκ τρίτου, τὸν αὐτὸν λόγον εἰπών* (ϐ).

45 Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς
μαθητὰς, εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς
46 λύπης. Καὶ εἶπεν αὐτοῖς· Τί καθεύδετε; ἀναστάντες
προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.

Ἀκολούθως ἐν τῷ αὐτῷ κεφαλαίῳ τὰ ἑξῆς ἀνάγνωθι, καὶ ἀπ' ἐκείνων ἔσται σοι καὶ τούτων σαφεστάτη διάγνωσις.

47 Ἔτι δὲ αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος, καὶ ὁ λεγό-
μενος Ἰούδας, εἷς τῶν δώδεκα, προήρχετο αὐτοὺς,
καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν.

Ἐν τῷ ἑξηκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον εἴρηται περὶ τούτων ἀκριβῶς. *Προήρχετο δὲ αὐτοὺς*, ἀντὶ τοῦ, προελάμβανεν αὐτούς.

48 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἰούδα, φιλήματι τὸν υἱὸν
49 τοῦ ἀνθρώπου παραδίδως; Ἰδόντες δὲ οἱ περὶ αὐτὸν
τὸ ἐσόμενον, εἶπον αὐτῷ· Κύριε, εἰ πατάξομεν ἐν
50 μαχαίρᾳ; Καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον

(α) Ματθ. ΚϚ', 39. (ϐ) Ματθ. ΚϚ', 44.

τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δε-
51 ξιόν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ἐᾶτε ἕως
τούτου. Καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ, ἰάσατο αὐτόν.

Ὁμοίως ἐν ἐκείνῳ τὰ ἑξῆς ἀνάγνωθι, καὶ τούτων πάντων εὑρήσεις ἀκριβεῖς τὰς λύσεις.

52 Εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ'
αὐτὸν ἀρχιερεῖς, καὶ στρατηγοὺς τοῦ ἱεροῦ, καὶ πρε-
σβυτέρους· Ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε μετὰ μαχαι-
53 ρῶν καὶ ξύλων; Καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν
ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ·

Ἐκεῖ καὶ περὶ τούτων εἴρηται καὶ ἠκρίβωται.

53 Ἀλλ' αὕτη ὑμῶν ἐστιν ἡ ὥρα,

Ἐν ᾗ δύναμιν ἐλάβετε κατ' ἐμοῦ θεόθεν.

53 Καὶ ἡ ἐξουσία τοῦ σκότους.

Σκότος ἐνταῦθα λέγει, τὸν διάβολον· ἔλαβε γὰρ καὶ αὐτὸς ἐξουσίαν τότε κατ' αὐτοῦ. Ὁμοίως δὲ καὶ ὁ Πιλάτος, πρὸς ὃν εἶπεν· *Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν* (ϐ), ὡς ἔγραψεν Ἰωάννης. Ὁμοῦ δὲ πάντες δύναμιν καὶ ἐξουσίαν ἔλαβον τηνικαῦτα πάθεσι καὶ θανάτῳ τοῦτον ὑποβαλεῖν, ἵνα πληρωθῇ ἡ οἰκονομία τῆς σωτηρίου ἐνανθρωπήσεως.

54 Συλλαβόντες δὲ αὐτὸν ἤγαγον, καὶ εἰσήγαγον αὐ-
τὸν εἰς τὸν οἶκον τοῦ ἀρχιερέως.

Ὡσαύτως ἐκεῖ καὶ περὶ τούτων ζήτησον.

54 Ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν. Ἁψάντων
55 δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς, καὶ συγκαθισάν-

(α) Ματθ. ΚϚ', 44, (ϐ) Ιωαν. ΙΘ', 11.

των αὐτῶν, ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ αὐτῶν.

Ετι καὶ περὶ τούτων. Πλατύτερον γὰρ ἱστορήσαντος τοῦ Ματθαίου, λεπτομερῶς ἐν ἐκείνῳ πάντα σεσαφήνισται.

56 Ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς·

Τὸ ἀπὸ τοῦ πυρός.

56 Καὶ ἀτενίσασα αὐτῷ, εἶπε· Καὶ οὗτος σὺν αὐτῷ
57 ἦν. Ὁ δὲ ἠρνήσατο αὐτὸν, λέγων· Γύναι, οὐκ οἶδα
58 αὐτόν. Καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν, ἔφη·
Καὶ σὺ ἐξ αὐτῶν εἶ. Ὁ δὲ Πέτρος εἶπεν· Ἄνθρωπε,
59 οὐκ εἰμί. Καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, ἄλλος
τις διϊσχυρίζετο, λέγων· Ἐπ' ἀληθείας καὶ οὗτος
60 μετ' αὐτοῦ ἦν· καὶ γὰρ Γαλιλαῖος ἐστίν. Εἶπε δὲ ὁ
Πέτρος· Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις.

Ανάγνωθι καὶ ἃ περὶ τούτων ἔγραψεν ὁ Ματθαῖος ἐν τῷ ἑξηκοστῷ ἕκτῳ κεφαλαίῳ, καὶ τὰς λύσεις αὐτῶν. Εἶτα μικρὸν ἀναπόδισον, καὶ ζήτησον ἔτι τὴν ἐξήγησιν τοῦ· *Καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος* (α).

60 Καὶ παραχρῆμα, ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν
61 ὁ ἀλέκτωρ. Καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψε τῷ
Πέτρῳ· καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ
Κυρίου, ὡς εἶπεν αὐτῷ· Ὅτι πρὶν ἀλέκτορα φω-
62 νῆσαι, ἀπαρνήσῃ με τρίς. Καὶ ἐξελθὼν ἔξω ὁ Πέ-
τρος, ἔκλαυσε πικρῶς.

Ακολούθως ἐν τῷ ῥηθέντι κεφαλαίῳ καὶ ταῦτα διασεσάφηται.

63 Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέπαι-
64 ζον αὐτῷ, δέροντες. Καὶ περικαλύψαντες αὐτὸν,
ἔτυπτον αὐτοῦ τὸ πρόσωπον· καὶ ἐπηρώτων αὐτὸν,

(α) Ματθ. Κϛ', 58.

λέγοντες· Προφήτευσον, τίς ἐστιν ὁ παίσας σε;
65 Καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν.

Εν τῷ τέλει τοῦ ἑξηκοστοῦ πέμπτου κεφαλαίου περὶ τούτων ἔγραψεν ὁ Ματθαῖος. Ἀνάγνωθι δὲ καὶ ἐν τῷ ἑξηκοστῷ ἕκτῳ κεφαλαίῳ αὐτοῦ τὸ τέλος τῆς ἐξηγήσεως· *Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς* (α).

66 Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον
τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ ἀνή-
γαγον αὐτὸν εἰς τὸ συνέδριον ἑαυτῶν, λέγοντες·
67 Εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν. Εἶπε δὲ αὐτοῖς· Ἐὰν
68 ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε· ἐὰν δὲ καὶ ἐρωτήσω,
69 οὐ μὴ ἀποκριθῆτέ μοι, ἢ ἀπολύσητε. Ἀπὸ τοῦ νῦν
ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν
70 τῆς δυνάμεως τοῦ θεοῦ. Εἶπον δὲ πάντες· Σὺ οὖν
εἶ ὁ υἱὸς τοῦ θεοῦ; Ὁ δὲ πρὸς αὐτοὺς ἔφη· Ὑμεῖς
71 λέγετε, ὅτι ἐγώ εἰμι. Οἱ δὲ εἶπον· Τί ἔτι χρείαν
ἔχομεν μαρτυρίας; αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ
στόματος αὐτοῦ.

Ανάγνωθι ἐν τῷ προδηλωθέντι ἑξηκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, ἀπὸ τοῦ· *Καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· Ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ* (β)· ἄχρι τοῦ· *Τότε ἐνέπτυσαν εἰς αὐτόν* (γ). Ἐν γὰρ ταῖς ἐξηγήσεσιν ἐκείναις ἐσαφηνίσθησαν καὶ ταῦτα.

ΚΕΦ. XXIII, 1 Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν,
2 ἤγαγον αὐτὸν ἐπὶ τὸν Πιλάτον. Ἤρξαντο δὲ κα-
τηγορεῖν αὐτοῦ, λέγοντες· Τοῦτον εὕρομεν δια-
στρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρους

(α) Ματθ. Κϛ', 75. (β) Ματθ. Κϛ', 63. (γ) Ματθ. Κϛ', 67.

διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι.

Ἀνάγνωθι ἐν τῷ ἑξηκοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὴν ἑρμηνείαν τοῦ· *Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος* (α).

3 Ὁ δὲ Πιλάτος ἐπηρώτησεν αὐτὸν, λέγων· Σὺ εἶ
ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς αὐτῷ,
4 ἔφη· Σὺ λέγεις. Ὁ δὲ Πιλάτος εἶπε πρὸς τοὺς
ἀρχιερεῖς καὶ τοὺς ὄχλους· Οὐδὲν εὑρίσκω αἴτιον
5 ἐν τῷ ἀνθρώπῳ τούτῳ. Οἱ δὲ ἐπίσχυον, λέγοντες·
Ὅτι ἀνασείει τὸν λαὸν, διδάσκων καθ' ὅλης τῆς
Ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.
6 Πιλάτος δὲ ἀκούσας Γαλιλαίαν, ἐπηρώτησεν, εἰ ὁ
7 ἄνθρωπος Γαλιλαῖός ἐστι. Καὶ ἐπιγνοὺς, ὅτι ἐκ τῆς
ἐξουσίας Ἡρώδου ἐστιν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρώδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις.

Ἀκολούθως ἐκεῖ καὶ περὶ τούτων εὑρήσεις.

8 Ὁ δὲ Ἡρώδης, ἰδὼν τὸν Ἰησοῦν, ἐχάρη λίαν· ἦν γὰρ θέλων ἐξ ἱκανοῦ ἰδεῖν αὐτὸν, διὰ τὸ ἀκούειν πολλὰ περὶ αὐτοῦ· καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον.

Ἐξ *ἱκανοῦ*, χρόνου δηλονότι, τουτέστιν, ἔκπαλαι.

9 Ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς·

Ἐν λόγοις πολλοῖς, σοφιστικοῖς δὲ καὶ πειραστικοῖς.

9 Αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ.

Ὡς πειράζοντι, καὶ ἀποκρίσεως ἀναξίῳ. Γινώσκων δὲ, αὐτὸν καὶ θέλοντα σημεῖον ἰδεῖν, οὐκ ὠφελείας ἕνεκεν, ἀλλὰ τέρψεως,

(α) Ματθ. ΚΖ΄, 11.

καὶ οὐχ ὡς θείας δυνάμεως, ἀλλ' ὡς ἁπλῶς τερατείας, οὐκ ἐποίησε παρ' αὐτῷ σημεῖον.

10 Εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, εὐτόνως κατηγοροῦντες αὐτοῦ.

Συνανεπέμφθησαν γὰρ καὶ οὗτοι πρὸς Ἡρώδην, ὡς προϊόντες εὑρήσομεν.

ΚΕΦΑΛΑΙΟΝ ΟΘ΄.

Ἐξουθένησις Ἡρώδου.

11 Ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρώδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπρὰν, ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ.

Τὰ ῥηθέντα πάντα πεποίηκεν αὐτῷ, ὡς βασιλεῖ τάχα τῶν Ἰουδαίων.

12 Ἐγένοντο δὲ φίλοι ὅ, τε Πιλάτος καὶ ὁ Ἡρώδης ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς.

Μετ' *ἀλλήλων*, ἀντὶ τοῦ, ἀλλήλοις. Καὶ, *πρὸς ἑαυτοὺς*, ἀντὶ τοῦ, πρὸς ἀλλήλους.

13 Πιλάτος δὲ, συγκαλεσάμενος τοὺς ἀρχιερεῖς, καὶ
14 τοὺς ἄρχοντας, καὶ τὸν λαὸν, εἶπε πρὸς αὐτούς·
Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον, ὡς ἀποστρέφοντα τὸν λαόν· καὶ ἰδοὺ, ἐγὼ ἐνώπιον ὑμῶν
ἀνακρίνας, οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴ-
15 τιον, ὧν κατηγορεῖτε κατ' αὐτοῦ. Ἀλλ' οὐδὲ Ἡρώ-
δης· ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτὸν, καὶ ἰδοὺ,
16 οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπραγμένον αὐτῷ. Παιδεύσας οὖν αὐτὸν ἀπολύσω.

Παίδευσιν ἐνταῦθα λέγει, τὴν μετρίαν μαστίγωσιν, εἰς πα-

ραμυθίαν καὶ καταστολὴν τοῦ θυμοῦ αὐτῶν, ἵνα, δόξαντες περιγενέσθαι αὐτοῦ, παύσωνται τῆς περαιτέρω μανίας· οἱ δὲ καὶ οὕτως οὐδὲν ἔλαττον ἐξεθηριοῦντο, πρὸς ἓν μόνον ἀκλινῶς ὁρῶντες, ἀνελεῖν αὐτὸν τάχιστα, ὡς καὶ ἐν τῷ προειρημένῳ κεφαλαίῳ διελάβομεν.

17 Ἀνάγκην δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν
18 ἕνα. Ἀνέκραξαν δὲ παμπληθεί, λέγοντες· Αἶρε
19 τοῦτον, ἀπόλυσον δὲ ἡμῖν τὸν Βαραββᾶν· ὅστις
ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει, καὶ φό-
νον, βεβλημένος εἰς φυλακήν.

Ματθαῖος δέ φησιν ἐν τῷ αὐτῷ κεφαλαίῳ· *Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον*, καὶ τὰ ἑξῆς (α), καὶ ἀνάγνωθι τὴν ἑρμηνείαν αὐτῶν.

20 Πάλιν οὖν ὁ Πιλάτος προσεφώνησε, θέλων ἀπολῦ-
21 σαι τὸν Ἰησοῦν. Οἱ δὲ ἐπεφώνουν, λέγοντες· Σταύ-
22 ρωσον, σταύρωσον αὐτόν. Ὁ δὲ τρίτον εἶπε πρὸς
αὐτούς· Τί γὰρ κακὸν ἐποίησεν οὗτος; οὐδὲν αἴτιον
θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας οὖν αὐτὸν ἀπο-
23 λύσω. Οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις, αἰτούμε-
νοι αὐτὸν σταυρωθῆναι· καὶ κατίσχυον αἱ φωναὶ
αὐτῶν, καὶ τῶν ἀρχιερέων.

Ὁ δὲ Ματθαῖος καὶ ἕτερά τινα ἱστόρησεν ἐν ἐκείνῳ τῷ κεφαλαίῳ.

24 Ὁ δὲ Πιλάτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν.
25 Ἀπέλυσε δὲ αὐτοῖς τὸν διὰ στάσιν καὶ φόνον βε-
βλημένον εἰς τὴν φυλακὴν, ὃν ᾐτοῦντο· τὸν δὲ Ἰη-
σοῦν παρέδωκε τῷ θελήματι αὐτῶν.

Ἐκεῖ καὶ περὶ τούτων εἴρηται. Θέλημα δὲ αὐτῶν ἦν, τὸ σταυρωθῆναι αὐτόν.

(α) Ματθ. ΚΖ΄, 15.

26 Καὶ ὡς ἀπήγαγον αὐτὸν, ἐπιλαβόμενοι Σίμωνός
τινος Κυρηναίου, ἐρχομένου ἀπ' ἀγροῦ, ἐπέ-
θηκαν αὐτῷ τὸν σταυρὸν, φέρειν ὄπισθεν τοῦ Ἰησοῦ.

Καὶ περὶ τούτου.

ΚΕΦΑΛΑΙΟΝ Π΄.

Περὶ τῶν κοπτομένων γυναικῶν.

27 Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ, καὶ
γυναικῶν· αἳ καὶ ἐκόπτοντο, καὶ ἐθρήνουν αὐτόν.
28 Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς, εἶπε· Θυγατέ-
ρες Ἱερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμὲ, πλὴν ἐφ' ἑαυ-
τὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν.

Μὴ κλαίετε, δι' ἐμὲ, ἀλλὰ δι' ἑαυτὰς κλαίετε, καὶ διὰ τὰ τέκνα ὑμῶν.

29 Ὅτι ἰδοὺ, ἔρχονται ἡμέραι, ἐν αἷς ἐροῦσι· Μακά-
ριαι αἱ στεῖραι, καὶ κοιλίαι, αἳ οὐκ ἐγέννησαν, καὶ
μαστοὶ, οἳ οὐκ ἐθήλασαν.

Ἡμέρας λέγει, τὰς τῆς πολιορκίας καὶ ἁλώσεως Ἱεροσολύμων, ἐν αἷς μακαρισθήσονταί, φησι, παρὰ τῶν γεννησασῶν αἱ μὴ γεννήσασαι, ὡς μὴ ἀκούουσαι, μηδὲ βλέπουσαι ποικίλας σφαγὰς τέκνων αὐτῶν, ὥσπερ αὗται.

30 Τότε ἄρξονται λέγειν τοῖς ὄρεσι· Πέσετε ἐφ' ἡμᾶς·
καὶ τοῖς βουνοῖς· Καλύψατε ἡμᾶς.

Ἄρξονται ταῦτα λέγειν οἱ Ἰουδαῖοι, μὴ φέροντες τὰ ἀνυπέρβλητα δεινὰ, τά τε ἀπὸ τῆς πολιορκίας τῶν Ῥωμαίων, καὶ τοῦ λοιμοῦ, καὶ τῆς ἐμφυλίου στάσεως.

31 Ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ
ξηρῷ τί γένηται;

Εἰ ἐν ἐμοὶ, τῷ ζωὴν θείαν ἔχοντι, ταῦτα ποιοῦσιν οἱ Ῥω-

μαῖοι, παρορμηθέντες ὑπὸ τῶν Ἰουδαίων, ἐν ὑμῖν, τοῖς νέκρωσιν ἐξ ἁμαρτίας κεκτημένοις, τί γένηται παρ' αὐτῶν;

32 Ἤγοντο δὲ καὶ ἕτεροι δύο, κακοῦργοι, σὺν αὐτῷ
33 ἀναιρεθῆναι. Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον, τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν, καὶ τοὺς κακούργους· ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν.

Ὁ δὲ Ματθαῖος καὶ ἕτερα ἔγραψε, καὶ ἀνάγνωθι κἀκεῖνα, καὶ πάντως εὑρήσεις καὶ περὶ τούτων. Ἐν τῷ κατὰ Ματθαῖον γὰρ τὰ περὶ τῶν δεσποτικῶν παθημάτων ἀπαραλείπτως καὶ ἀκριβῶς καθ' εἱρμὸν ἡρμηνεύθησαν.

34 Ὁ δὲ Ἰησοῦς ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς·

Ὑπὲρ τῶν σταυρωσάντων Ἰουδαίων προσευξάμενος, ὡς ἄνθρωπος, ὑπέδειξε τοῖς ἀνθρώποις τύπον τῆς εἰς τοὺς ἀδικήσαντας συμπαθείας.

Ἠπόρησαν δέ τινες, ὅτι ἐὰν ἀφείθη αὐτοῖς ἡ ἁμαρτία, πῶς δι' αὐτὴν ὕστερον παρεδόθησαν τοῖς Ῥωμαίοις εἰς πανωλεθρίαν; Πρὸς οὓς λέγομεν, ὅτι οὐχ ὑπὲρ πάντων ἡ προσευχὴ γέγονεν, ἀλλ' ὑπὲρ μόνων τῶν περαιτέρω μηδέν τι κακουργησάντων· ὅσοι δὲ μετὰ τοῦτο, τοῦ ἡλίου σκοτισθέντος, καὶ τοῦ καταπετάσματος σχισθέντος, καὶ τῆς γῆς σεισθείσης, καὶ τῶν πετρῶν σχισθεισῶν, καὶ τῶν ἄλλων σημείων τῶν κατὰ τὴν ἀνάστασιν αὐτοῦ τελεσθέντων, προσέθεντο τῇ πονηρίᾳ, καὶ τυχηρὰ ταῦτα λογισάμενοι, κακοήθως ἐσυκοφάντησαν τὴν θείαν ἀνάστασιν, οὐχ ὑπὲρ τούτων προσηύξατο. Διὸ καὶ οὗτοι πάντως παρεδόθησαν τοῖς ἐχθροῖς.

34 Οὐ γὰρ οἴδασι τί ποιοῦσι.

Τῷ φθόνῳ μεθύοντες. Τινὲς δέ φασιν, ὡς οὐχ ὑπὲρ τῶν Ἰουδαίων, ἀλλ' ὑπὲρ τῶν ὑπηρετησάντων τῇ σταυρώσει αὐτοῦ Ῥωμαίων στρατιωτῶν τὴν προσευχὴν ἐποιήσατο. Οὗτοι γάρ παντάπασιν ἠγνόουν, ὅσα περὶ αὐτοῦ προανεφώνησαν ὁ νόμος καὶ οἱ προφῆται.

Θεώρησον δὲ, ὅτι ὀπίσω μὲν εἰπόντος· *Πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ, γενηθήτω τὸ θέλημά σου* (α)· θελητὴ τῷ πατρὶ φαίνεται ἡ σφαγὴ τοῦ υἱοῦ· ἐνταῦθα δὲ λέγοντος· *Πάτερ, ἄφες αὐτοῖς*, ἀθέλητος· οὐ γὰρ ἂν ἐξεμειλίσσετο τὴν ἐκείνου κατὰ τῶν μιαιφόνων ὀργήν. Τί οὖν ἐστιν εἰπεῖν; Ὅτι καθ' ἑαυτὴν μὲν ἀθέλητος ἦν· διὰ δὲ τὴν ἡμετέραν σωτηρίαν, θελητή. Καθάπερ καὶ τὰς ἀριστέων πληγὰς καθ' ἑαυτὰς μὲν ἀηδεῖς ἡγούμεθα· διὰ δὲ τὴν κατὰ τῶν ἐχθρῶν ἀνδραγαθίαν, ἡδείας.

34 Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ, ἔβαλον κλῆρον.
35 Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν.

Ἐν τῷ προδιαληφθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ζήτησον τὴν ἐξήγησιν τοῦ· *Σταυρώσαντες δὲ αὐτὸν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον* (β)· ἔνθα λύσεις ἀνεγράφησαν χαρίεσσαι ζητημάτων ἀξιολόγων.

35 Ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς, λέγοντες· Ἄλλους ἔσωσε, σωσάτω ἑαυτὸν, εἰ οὗτός
36 ἐστιν ὁ Χριστὸς, ὁ τοῦ θεοῦ ἐκλεκτός. Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται, προσερχόμενοι, καὶ ὄξος
37 προσφέροντες αὐτῷ, καὶ λέγοντες· Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν.

Ματθαῖος δέ φησιν· *Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν*, καὶ τὰ ἑξῆς (γ), ἔνθα πλατύτερον εἴρηται. Ὁμοίως δὲ καὶ περὶ τοῦ ὄξους καὶ τῆς χολῆς, καὶ τοῦ ἐσμυρνισμένου οἴνου ἐν ἐκείνῳ τῷ κεφαλαίῳ κατὰ λόγον διασεσάφηται.

38 Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς·
ΟΥΤΟΣ ΕΣΤΙΝ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

Ἐν τῷ τοιούτῳ κεφαλαίῳ καὶ περὶ τούτων ἠκριβολόγηται.

(α) Ματθ. Κϛʹ, 42. (β) Ματθ. ΚΖʹ, 35. (γ) Ματθ. ΚΖʹ, 39.

ἔνθα κεῖται τό· *Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· Οὗτός ἐστιν Ἰησοῦς, ὁ βασιλεὺς τῶν Ἰουδαίων* (α).

ΚΕΦΑΛΑΙΟΝ ΠΑ΄.

Περὶ τοῦ μετανοήσαντος λῃστοῦ.

39 Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει
αὐτόν, λέγων· Εἰ σὺ εἶ ὁ Χριστὸς, σῶσον σεαυτὸν
καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ,
40 λέγων· Οὐδὲ φοβῇ σὺ τὸν θεὸν, ὅτι ἐν τῷ αὐτῷ
41 κρίματι εἶ; Καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε.

Πάλιν ὁ Ματθαῖος ἐν τῷ τοιούτῳ κεφαλαίῳ φησί· *Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ, οἱ συσταυρωθέντες αὐτῷ, ὠνείδιζον αὐτόν* (β)· ἔνθα καὶ τὴν λύσιν καλῶς ἔχουσαν ἐξεθέμεθα. *Κρίμα* δὲ νῦν, λέγει, τὴν καταδίκην τὴν διὰ τοῦ σταυροῦ.

42 Καὶ ἔλεγε τῷ Ἰησοῦ· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Τῇ ὑπερκοσμίῳ. Εἰκὸς γὰρ αὐτὸν μαθεῖν καὶ τὸν λόγον, ὃν εἶπε πρὸς Πιλάτον· *Ὅτι ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου* (γ).

43 Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

Πῶς, αἰτησαμένῳ τῷ λῃστῇ μνήμης τυχεῖν ἐν τῇ βασιλείᾳ τοῦ Σωτῆρος, αὐτὸς ἕτερόν τι παρ' αὐτὴν ἐπηγγείλατο, τὴν ἐν τῷ παραδείσῳ διατριβήν; Διότι ὁ μὲν λῃστὴς ἀγνοῶν, τίς ἐστιν ἡ βασιλεία αὐτοῦ, οὐ πρὸς ὡρισμένον τι καὶ γνώριμον ἐποιήσατο

(α) Ματθ. ΚΖ΄, 37. (β) Ματθ. ΚΖ΄, 44. (γ) Ἰωαν. ΙΗ΄, 36.

τὴν αἴτησιν, ἀλλὰ διὰ τῆς τοιαύτης αἰτήσεως μόνον ἱκέτευσε, τυχεῖν τινος ἀγαθοῦ· ὁ δὲ Χριστὸς, εἰδὼς τὸν σκοπὸν αὐτοῦ, ἐπηγγείλατο τὸ δοκοῦν ἐκείνῳ τῶν ὅλων ἐρασμιώτερον. Ἐγίνωσκε γὰρ ὁ λῃστὴς τὸν παράδεισον ἐκ τῆς μωσαϊκῆς διδασκαλίας· καὶ τότε μὲν ἔδωκεν αὐτῷ τὴν ἐν τῷ παραδείσῳ διαγωγὴν, ἀῤῥαβῶνα τῆς βασιλείας αὐτοῦ, ἥτις ἐστὶν ἀπόλαυσις τῶν ἀφράστων καὶ αἰωνίων ἀγαθῶν, *ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη* (α). Οὔπω γὰρ οὐδεὶς τῶν δικαίων ἐκομίσατο τὴν ἐπαγγελίαν, ὡς ὁ μέγας Παῦλος ἐδίδαξεν (β)· ὕστερον δὲ μεταδώσει καὶ ταύτης ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως.

Ἀλλὰ πῶς εἶπεν, ὅτι *Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ*; Διότι ὡς θεὸς, τὰ πάντα πληρῶν, πανταχοῦ ἦν ἅμα, καὶ ἐν τῷ τάφῳ, καὶ ἐν τῷ ᾅδῃ, καὶ ἐν τῷ παραδείσῳ, καὶ ἐν τῷ οὐρανῷ.

44 Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ' ὅλην
45 τὴν γῆν, ἕως ὥρας ἐννάτης. Καὶ ἐσκοτίσθη ὁ ἥλιος·

Ἐν τῷ προειρημένῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ζήτησον περὶ τούτου.

45 Καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον.

Ἐκεῖ καὶ περὶ τούτου ζήτησον.

46 Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς, εἶπε· Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. Καὶ ταῦτα εἰπὼν ἐξέπνευσεν.

Ὁμοίως ἐκεῖ καὶ περὶ τούτων ἐῤῥήθη, ἔνθα κεῖται τό· *Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα* (γ). Καὶ τοῦτο δὲ κατώρθωσεν ἡμῖν ὁ Κύριος, τὸ τὰς τῶν δικαίων ψυχὰς μηκέτι καταβαίνειν εἰς τὸν ᾅδην, ἀλλ' ἀναβαίνειν εἰς τὸν θεόν. *Χεῖρας* γὰρ τοῦ θεοῦ νοοῦμεν, αὐτὸν τὸν θεόν. Φησὶ δὲ καὶ ὁ ἀπόστολος· ὅτι *οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ θεοῦ*,

(α) Α΄ Κορ. Β΄, 9. (β) Ἑβρ. ΙΑ΄, 39. (γ) Ματθ. ΚΖ΄, 50.

ὡς πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ἑαυτῶν ψυχάς (α). Ἀνῆλθε δὲ πρῶτον εἰς τὸν θεὸν ἡ τοῦ Ἰησοῦ ψυχή· εἶτα κατῆλθεν εἰς τὸν ᾅδην, καὶ ἠλευθέρωσε τὰς κατεχομένας ἐκεῖ ψυχάς. Καὶ πῶς μετὰ τὴν ἀνάστασιν εἶπε τῇ Μαρίᾳ· ὅτι *Οὔπω ἀναβέβηκα πρὸς τὸν πατέρα μου* (β); Διότι τότε τῷ σώματι οὔπω ἀναβέβηκεν.

47 Ἰδὼν δὲ ὁ ἑκαντόνταρχος τὸ γενόμενον, ἐδόξασε
τὸν θεὸν, λέγων· Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος
48 ἦν! Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν
θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον.

Ζήτησον ἐν τῷ εἰρημένῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τό· *Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα*, καὶ τὰ ἑξῆς (γ), καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτῶν. Ἐν ἐκείνῃ γὰρ καὶ ταῦτα διηρμηνεύθησαν.

49 Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

Ἀκολούθως ἐκεῖ καὶ περὶ τούτων εἴρηται.

ΚΕΦΑΛΑΙΟΝ ΠΒ'.

Περὶ τῆς αἰτήσεως τοῦ κυριακοῦ σώματος.

50 Καὶ ἰδοὺ, ἀνὴρ ὀνόματι Ἰωσὴφ, βουλευτὴς ὑπάρ-
51 χων, ἀνὴρ ἀγαθὸς καὶ δίκαιος, (οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν,) ἀπὸ Ἀριμαθαίας πόλεως τῶν Ἰουδαίων· ὃς καὶ προσ-

(α) Α' Πετρ. Δ', 19. (β) Ἰωαν. Κ', 17. (γ) Ματθ. ΚΖ', 54.

52 εδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ θεοῦ· οὗτος
προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ
53 Ἰησοῦ. Καὶ καθελὼν αὐτὸ, ἐνετύλιξεν αὐτὸ σινδόνι,
καὶ ἔθηκεν αὐτὸ ἐν μνήματι λαξευτῷ, οὗ οὐκ ἦν
οὐδέπω οὐδεὶς κείμενος.

Καὶ περὶ τούτων πάντων διελήφθη κατὰ λόγον ἐν τῷ ἑξηκοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον.

54 Καὶ ἡμέρα ἦν παρασκευὴ, καὶ σάββατον ἐπέφωσκε.

Ἐπέφαινε, ἐπηύγαζεν, ἐπανέτελλε.

55 Κατακολουθήσασαι δὲ καὶ γυναῖκες, αἵτινες ἦσαν
συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο
56 τὸ μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ. Ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα·

Ἐκεῖ καὶ ταῦτα ἐμνημονεύθησαν, ἐν τῇ ἐξηγήσει τοῦ· *Ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου* (α).

56 Καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.
ΚΕΦ. XXIV, 1 Τῇ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρου
βαθέος, ἦλθον ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν
ἀρώματα· καί τινες σὺν αὐταῖς.

Ζήτησον παρὰ τῷ Ματθαίῳ τό· *Ὀψὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον* (β) καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτοῦ. Καὶ μὴν καὶ τὰς ἐφεξῆς, καὶ εὑρήσεις ὅλων τῶν εὐαγγελιστῶν τὰ ἐντεῦθεν ῥητὰ παρατεθειμένα, συμφωνίας ἕνεκεν, καὶ ἡρμηνευμένα.

2 Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνη-
3 μείου· καὶ εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ Κυ-

(α) Ματ. ΚΖ', 61. (β) Ματθ. ΚΗ', 1.

4 ρίου Ἰησοῦ. Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς
περὶ τούτου, καὶ ἰδοὺ, δύο ἄνδρες ἐπέστησαν αὐ-
5 ταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γε-
νομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν
γῆν, εἶπον πρὸς αὐτάς· Τί ζητεῖτε τὸν ζῶντα μετὰ
6 τῶν νεκρῶν; Οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη. Μνή-
σθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ,
7 λέγων· Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆ-
ναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυ-
8 ρωθῆναι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ ἐμνή-
σθησαν τῶν ῥημάτων αὐτοῦ·

Ἐκεῖ καὶ ταῦτα, ὡς ἔφημεν, παρατέθειται, καὶ ἡρμήνευται, ἔνθα κεῖται τό· *Ἰδοὺ, εἶπον ὑμῖν* (α).

9 Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν
ταῦτα πάντα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς.
10 Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μα-
ρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον
11 πρὸς τοὺς ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώ-
πιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπί-
στουν αὐταῖς.

Ὁμοίως καὶ ταῦτα παρατέθειται καὶ ἡρμήνευται, ἔνθα κεῖται τό· *Οἱ δὲ, λαβόντες τὰ ἀργύρια, ἐποίησαν, ὡς ἐδιδάχθησαν* (β).

12 Ὁ δὲ Πέτρος ἀναστάς ἔδραμεν ἐπὶ τὸ μνημεῖον·

Συνετώτερος ὢν τῶν ἄλλων οὐκ ἐκαρτέρησε.

12 Καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα·

Ὀθόνια λέγει, τὰ ἐντάφια, τὴν σινδόνα.

12 Καὶ ἀπῆλθε πρὸς ἑαυτόν·

Πρὸς τὴν ἑαυτοῦ διαγωγήν. Φησὶ γὰρ καὶ Ἰωάννης περί τε

(α) Ματθ. ΚΗ', 7. (β) Ματθ. ΚΗ', 15.

Πέτρου καὶ ἑαυτοῦ· *Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί* (α).

12 Θαυμάζων τὸ γεγονός.

Συνῆκε γὰρ, ὅτι οὐ μετετέθη· ἢ γὰρ ἂν μετὰ τῶν ὀθονίων μετετέθη. Φαίνεται τοίνυν, ὅτι ἐκ τρίτου ἀπῆλθεν ἐπὶ τὸ μνημεῖον ὁ Πέτρος· νῦν μὲν μόνος· ὕστερον δὲ, μετὰ τοῦ Ἰωάννου, ὡς αὐτὸς ὁ Ἰωάννης ἔγραψεν· ἐπανελθόντων δὲ, μόνος αὖθις ἠναγκάσθη δραμεῖν· οὐ γὰρ εἴα τοῦτον ὑπομένειν ἡ σφοδρότης τοῦ φίλτρου, καὶ τὸ λίαν βούλεσθαι πρὸ τῶν ἄλλων μαθητῶν ἐντυχεῖν τῷ διδασκάλῳ, καὶ συγγνώμην τῆς ἀρνήσεως ἐντελεστέραν λαβεῖν, ὅτε καὶ ὤφθη αὐτῷ ὁ Κύριος, ὡς προϊόντες εὑρήσομεν. Τρὶς οὖν ἀπελθὼν, τὸ τριπλοῦν κἀντεῦθεν τῆς ἀρνήσεως ἐθεράπευσεν.

ΚΕΦΑΛΑΙΟΝ ΠΓ'.

Περὶ τοῦ Κλοπᾶ.

13 Καὶ ἰδοὺ, δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ
τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα
ἀπὸ Ἱερουσαλὴμ, ᾗ ὄνομα Ἐμμαούς.

Ἐν τῷ τελευταίῳ κεφαλαίῳ τοῦ κατὰ Μάρκον ζήτησον τό· *Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρὸν*, καὶ τὰ ἑξῆς (β), καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτῶν, χρησιμεύουσαν εἰς τὰ προκείμενα ῥητὰ τοῦ Λουκᾶ. *Ἐξ αὐτῶν* δὲ εἶπεν ἁπλῶς, ἤγουν, ἐκ τῶν ὅλων μαθητῶν.

14 Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων
τῶν συμβεβηκότων τούτων.

Περί τε τοῦ σταυροῦ, καὶ τῶν τηνικαῦτα φοβερῶν σημείων,

(α) Ἰωάνν. Κ', 10, (β) Μαρκ. ΙϚ', 12.

καὶ τῆς ταφῆς, καὶ τῶν ἀπαγγελθέντων ὑπὸ τῶν γυναικῶν περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου.

15 Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν,
καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς.

Συζήτησιν λέγει, τὴν ἐξέτασιν, οἷον, πῶς τοιοῦτος ὤν, τοιαῦτα πέπονθε, καὶ πῶς ἀποθανὼν ἀνέστη.

16 Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶ-
ναι αὐτόν.

Ἐκρατοῦντο εἰς τοῦτο μόνον, τὸ μὴ ἐπιγνῶναι αὐτόν.

17 Εἶπε δὲ πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι, οὓς
ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ
σκυθρωποί;

Ἀντιβάλλετε, ἤγουν, ἀντιτίθετε ἢ ἐξετάζετε.

18 Ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς
αὐτόν· Σὺ μόνος παροικεῖς Ἱερουσαλὴμ, καὶ
οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις
ταύταις;

Ἀπό τε τῆς φωνῆς καὶ τῆς στολῆς γνόντες, ὅτι Ἰουδαῖος καὶ αὐτός ἐστιν, ὀνειδίζουσιν, οὐχ ὡς μόνον παροικοῦντα τῇ Ἱερουσαλὴμ, ἀλλ' ὡς μόνον ἀγνοοῦντα τὰ πᾶσι τοῖς παροικοῦσιν ἐγνωσμένα, καί φασιν ἐπιπληκτικῶς· *Σὺ μόνος* ἐκ πάντων τῶν παροικούντων τῇ Ἱερουσαλὴμ, *παροικεῖς Ἱερουσαλὴμ*, μὴ γινώσκων τὰ γενόμενα ἐν ταῖς ἡμέραις ταύταις;

19 Καὶ εἶπεν αὐτοῖς· Ποῖα;

Προσποιεῖται ἄγνοιαν, ἵνα καὶ διὰ στόματος αὐτῶν ἀκούσῃ, ἃ διὰ τῆς καρδίας αὐτῶν ἐγίνωσκε, καὶ οὕτως ὀνειδίσῃ, καὶ ἐπιπλήξῃ αὐτοῖς.

19 Οἱ δὲ εἶπον αὐτῷ· Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου,
ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ
λόγῳ ἐναντίον τοῦ θεοῦ καὶ παντὸς τοῦ λαοῦ·

Ἄνδρα προφήτην αὐτὸν εἶναι ὑπελάμβανον, ἀτελῆ πίστιν ἔτι ἔχοντες. *Ἔργον* μὲν οὖν νόει, τὰ σημεῖα· *λόγον* δὲ, τὰς διδασκαλίας.

20 Ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρ-
χοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν
αὐτόν.

Εἰς καταδίκην θανάτου.

21 Ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυ-
τροῦσθαι τὸν Ἰσραήλ·

Ἠλπίζομεν, αὐτὸν εἶναι τὸν ὑπὸ τῶν Γραφῶν καταγγελλόμενον λυτρωτὴν ἡμῶν· νῦν δὲ οὕτως ἀποθανόντα ἀπηλπίσαμεν.

21 Ἀλλά γε σὺν πᾶσι τούτοις, τρίτην ταύτην ἡμέραν
ἄγει σήμερον, ἀφ' οὗ ταῦτα ἐγένετο.

Σὺν πᾶσι τούτοις, ἀντὶ τοῦ, πάντων τούτων γενομένων.

22 Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς,
23 γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον· καὶ μὴ εὑροῦσαι
τὸ σῶμα αὐτοῦ, ἦλθον, λέγουσαι καὶ ὀπτασίαν
ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν.

Γυναῖκές τινες ἐξ ἡμῶν, ἤγουν, ἡμέτεραι, ἢ ὡς ἡμεῖς πισταί. Λέγει δὲ τὰς περὶ Μαρίαν τὴν Μαγδαληνήν. *Ἐξέστησαν* δὲ ἡμᾶς, ὡς ἄπιστα διϊσχυριζόμεναι.

24 Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον,

Πέτρος καὶ Ἰωάννης, ὡς προειρήκαμεν.

24 Καὶ εὗρον οὕτω, καθὼς καὶ αἱ γυναῖκες εἶπον· αὐτὸν
δὲ οὐκ εἶδον.

Εὗρον οὕτω, τουτέστιν, οὐχ εὗρον τὸ σῶμα αὐτοῦ.

25 Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· Ὦ ἀνόητοι καὶ βρα-

δεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλάλησαν οἱ προφῆται.

Ανοήτους μὲν αὐτοὺς ὠνόμασε, διεγείρων ἠρέμα πρὸς ἐπίγνωσιν αὐτοῦ· *βραδεῖς δὲ τῇ καρδίᾳ*, ὡς νωθροὺς εἰς τὸ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλάλησαν οἱ προφῆται περί τε τοῦ θανάτου καὶ τῆς ἀναστάσεως αὐτοῦ.

26 Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ;

Ταῦτα, ἃ ἐλάλησαν οἱ προφῆται. *Δόξαν* δὲ αὐτοῦ, τὴν τῆς θεότητος. Κατ᾽ ἐρώτησιν δὲ ὁ λόγος.

27 Καὶ ἀρξάμενος ἀπὸ Μωσέως, καὶ ἀπὸ πάντων τῶν προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ.

Ἀπὸ *Μωϋσέως*, ἤγουν, ἀπὸ τῶν Μωσαϊκῶν βίβλων.

28 Καὶ ἤγγισαν εἰς τὴν κώμην, οὗ ἐπορεύοντο·

Ὅπου ἐπορεύοντο.

28 Καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι.

Ἐσχηματίζετο πορρωτέρω πορεύεσθαι, ὡς ἁπλῶς συνοδοιπόρος·

29 Καὶ παρεβιάσαντο αὐτὸν, λέγοντες· Μεῖνον μεθ᾽ ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ, καὶ κέκλικεν ἡ ἡμέρα.

Ἔκλινεν εἰς τὸ δῦναι.

30 Καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. Καὶ ἐγένετο ἐν
τῷ κατακλιθῆναι αὐτὸν μετ᾽ αὐτῶν, λαβὼν τὸν ἄρ-
31 τον, εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. Αὐτῶν
δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτόν·

Ἰδόντων τὴν συνήθη καὶ γνώριμον εὐλογίαν τοῦ ἄρτου· Τότε γὰρ συνεχωρήθησαν ἐπιγνῶναι αὐτόν.

31 Καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ᾽ αὐτῶν.

Ἵνα μὴ βραδύνωσιν ἔτι, ἀλλὰ τάχιον ὑποστρέψωσιν εἰς τοὺς μαθητάς. Ἐβούλετο γὰρ αὐθημερὸν ἐμφανισθῆναι πᾶσιν αὐτοῖς.

32 Καὶ εἶπον πρὸς ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς;

Καιομένη, ἤγουν, σφύζουσα, παλλομένη.

33 Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλήμ·

Ἀνέστησαν *αὐτῇ τῇ ὥρᾳ*, οὐ μὴν αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν· ἑξήκοντα γὰρ σταδίων ἦν ἡ ὁδός. Εἰκὸς δὲ, κλίναντος τοῦ ἡλίου, δραμεῖν αὐτοὺς ὑπὸ περιχαρείας ὅλον τὸ διάστημα μέχρι νυκτὸς, εἰς ὀκτὼ καὶ ἥμισυ μίλια συμποσουμένων τῶν ἑξήκοντα σταδίων.

33 Καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς,

Σὺν αὐτοῖς ἦσαν, ἤ τινες τῶν ἑβδομήκοντα, ἢ πάντες. Ἀλλὰ πῶς εἶπεν, ὅτι *Εὗρον συνηθροισμένους τοὺς ἕνδεκα*, τοῦ Ἰσκαριώτου μὲν ἀποβληθέντος ἤδη, τοῦ Θωμᾶ δὲ μὴ παρόντος τότε; φησὶ γὰρ ὁ Ἰωάννης· *Θωμᾶς δὲ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ᾽ αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς.* (α) Ἔστι τοίνυν εἰπεῖν, ὅτι ἐπειδὴ Ματθίας παρῆν, ὁ κληρωθεὶς ἀντὶ τοῦ Ἰσκαριώτου, συνηρίθμησεν ἤδη καὶ τοῦτον, ὡς συγκαταψηφισθέντα μετὰ τῶν ἕνδεκα ἀποστόλων.

34 Λέγοντας· Ὅτι ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι.

Ζήτησον αὖθις ἐν τῷ τελευταίῳ κεφαλαίῳ τοῦ κατὰ Μάρκον τό· *Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη*

(α) Ἰωάν. Κ', 24.

ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρὸν, καὶ τὰ ἑξῆς (α), καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτῶν πάνυ χρησιμεύουσαν τῷ προκειμένῳ ῥητῷ.

35 Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ· καὶ ὡς ἐγνώ-
36 σθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου. Ταῦτα δὲ αὐ-
τῶν λαλούντων, αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐ-
τῶν, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.

Ἐφεξῆς ἐκεῖ καὶ περὶ τούτων εὑρήσεις. Ὅρα δὲ, ὅτι καὶ ἀποδημῶν εἰρήνην αὐτοῖς ἀφῆκεν, ὡς ὁ Ἰωάννης ἔγραψε (β), καὶ αὖθις ἐπιδημήσας, εἰρήνην δίδωσιν· εἰρήνην, τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα.

37 Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦ-
38 μα θεωρεῖν. Καὶ εἶπεν αὐτοῖς· Τί τεταραγμένοι
ἐστὲ, καὶ διατί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς
καρδίαις ὑμῶν;

Πτοηθέντες, ἤτοι ταραχθέντες· διαλογισμοὶ δὲ ἀνέβαινον, περὶ τοῦ εἶναι *πνεῦμα* τὸ ὁρώμενον, ἤγουν, φάσμα. Ἔδειξεν οὖν, καὶ ὅτι καρδιογνώστης ἐστίν. Εἶτα δίδωσι καὶ ἄλλο τεκμήριον.

39 Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι
αὐτὸς ἐγώ εἰμι·

Καὶ πῶς ἀπὸ τούτων ἔμελλον αὐτὸν γνωρίζειν; Διότι τὰς ἀπὸ τῶν ἥλων διατρήσεις ἔφερον ἔτι.

39 Ψηλαφήσατέ με καὶ ἴδετε· ὅτι πνεῦμα σάρκα καὶ
ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.

Ψηλαφήσατε δι' ἐπαφῆς.

40 Καὶ τοῦτο εἰπὼν, ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ
τοὺς πόδας.

Ἰωάννης δέ φησιν· ὅτι *"Ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν*

(α) Μάρκ. ΙϚʹ, 12. (β) Ἰωάν. ΙΔʹ, 27.

πλευρὰν αὐτοῦ (α). Πρῶτον μὲν γὰρ ἔδειξε τὰς χεῖρας καὶ τὴν πλευρὰν, εἶτα τοὺς πόδας. Ἑκάτερος δὲ τῶν εὐαγγελιστῶν, ἀφ' ὧν εἶπεν, ἐνέφηνε καὶ τὸ παρασεσιωπημένον, ὡς ἤδη γνώριμον.

41 Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ
θαυμαζόντων,

Εἴωθε γὰρ τοῦτο πολλάκις γίνεσθαι.

42 Εἶπεν αὐτοῖς· Ἔχετέ τι βρώσιμον ἐνθάδε; Οἱ δὲ
ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ με-
43 λισσίου κηρίου· καὶ λαβὼν, ἐνώπιον αὐτῶν ἔφαγεν.

Οὐχ ὡς ἔτι δεόμενος τροφῆς, ἀλλὰ πρὸς πλείονα πίστιν, καὶ βεβαιοτέραν ἀπόδειξιν τοῦ μὴ δοκεῖν φάσμα. Ὥσπερ δὲ ὑπερφυῶς ἔφαγεν, οὕτω καὶ ὑπερφυῶς ἀνάλωσεν, ἅπερ ἔφαγε. Χρὴ δὲ γινώσκειν, ὅτι τὰ κατ' οἰκονομίαν τινὰ γινόμενα ὑπὸ τοῦ Σωτῆρος, οὐκ εἰσὶ κανὼν καὶ ὅρος τῆς φύσεως· οὐδεὶς γὰρ ἕτερος μετὰ τὴν ἀφθαρσίαν τοῦ σώματος ὠτειλὰς ἕξει, ἢ βρῶσιν προσήσεται.

44 Εἶπε δὲ αὐτοῖς· Οὗτοι οἱ λόγοι, οὓς ἐλάλησα πρὸς
ὑμᾶς, ἔτι ὢν σὺν ὑμῖν,

Ἀναμιμνήσκει αὐτοὺς καὶ ὧν προέλεγε περὶ ἑαυτοῦ, ἵνα κἀντεῦθεν γνοῖεν, ὅτι αὐτός ἐστιν. *Οὗτοί*, φησιν, εἰσὶν *οἱ λόγοι, οὓς ἐλάλησα πρὸς ὑμᾶς, ἔτι ὢν σὺν ὑμῖν. Οὗτοι·* ποῖοι;

44 Ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ
νόμῳ Μωσέως, καὶ προφήταις, καὶ ψαλμοῖς περὶ
45 ἐμοῦ. Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ συνιέ-
46 ναι τὰς γραφάς· καὶ εἶπεν αὐτοῖς· Ὅτι οὕτω γέ-
γραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν, καὶ
47 ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυ-

(α) Ἰωάν. Κ, 20.

χθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ.

Ἀρξάμενον, τὸ κηρυχθῆναι, δηλονότι.

48 Ὑμεῖς δέ ἐστε μάρτυρες τούτων.

Τοῦ πάθους, καὶ τῆς ἀναστάσεως, καὶ τῆς ὅλης οἰκονομίας μου.

49 Καὶ ἰδού, ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ' ὑμᾶς·

Ἐπαγγελίαν τοῦ πατρὸς αὐτοῦ λέγει, τὴν ἐν εἴδει πυρίνων γλωσσῶν ἐπιφοίτησιν τοῦ ἁγίου Πνεύματος. Ἐπηγγείλατο γὰρ ταύτην διὰ τοῦ προφήτου Ἰωὴλ, εἰρηκότος· *Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος παντοκράτωρ, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα* (α), δηλαδὴ τὴν ἀποστολικὴν προηγουμένως.

49 Ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους.

Διατρίβετε ἐν Ἱερουσαλὴμ ἀχώριστοι, διὰ τὴν ἔτι ἀσθένειαν καὶ δειλίαν ὑμῶν, *ἕως οὗ ἐνδύσησθε*, δίκην πανοπλίας, *δύναμιν ἐξ ὕψους*, τοῦ οὐρανοῦ, ἢ τῆς θεότητος, διὰ τῆς δηλωθείσης ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος.

50 Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν·

Οὐ τότε, ἀλλ' ἐν τῇ τεσσαρακοστῇ ἡμέρᾳ μετὰ τὴν ἀνάστασιν. Τὰ γὰρ ἐν τῷ μέσῳ παρέδραμεν ὁ εὐαγγελιστής.

50 Καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς.

51 Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν.

Νεφέλης ὑπολαβούσης αὐτὸν, ὡς ὁ παρὼν εὐαγγελιστὴς ἔγραψεν ἐν τῇ βίβλῳ τῶν ἀποστολικῶν Πράξεων (β).

(α) Ἰωὴλ Β'. 28. (β) Πραξ. Α', 9.

52 Καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης.

Μετὰ χαρᾶς μεγάλης, διὰ τὴν ἀνάστασιν αὐτοῦ, καὶ διὰ τὴν ἐλπίδα τῆς εἰρημένης ἐπαγγελίας. Ἐν τῇ δηλωθείσῃ δὲ βίβλῳ γέγραπται· ὅτι *Ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος* (α). Δῆλον οὖν, ὅτι προσήνωται τῇ Βηθανίᾳ τὸ ὄρος τῶν Ἐλαιῶν.

53 Καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν θεόν. Ἀμήν.

Ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ, κατὰ τοὺς καιροὺς δηλονότι τῶν συνάξεων, ὅτε εἶναι ἐν αὐτῷ ἐξῆν.

Γένοιτο δὲ καὶ ἡμᾶς διὰ παντὸς αἰνεῖν καὶ εὐλογεῖν τὸν θεὸν, καὶ οὕτως εὑρεῖν τέλος τῆς παρούσης ζωῆς ἡδὺ καὶ μακάριον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

(α) Πραξ. Α', 12.

ΤΕΛΟΣ

ΤΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΥ

ΑΝΩΝΥΜΟΥ

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ ΕΝ ΤΩ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΩ ΔΥΩ ΩΔΑΣ

Ἐκ χειρογράφου τῆς βιβλιοθήκης τῆς ἱερᾶς Συνόδου ἐν Μόσχᾳ Ἀριθ. CCCXLIV.

Ὠδὴ τῆς Θεοτόκου ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ.

Ἐπίγραμμα.

Τίκτεις, Μαριὰμ, τὸν θεάνθρωπον λόγον,
Καὶ μακαρισμῶν ἄλλον ὠδίνεις (1) λόγον,
Τὸν μὲν, δι' αὐτῆς τῆς πνοῆς τῆς ἐνθέου,
Τὸν δὲ, πρὸ αὐτῆς τῆς πνοῆς τῶν ἐγκάτων.

Μεγαλύνει (α) ἡ ψυχή μου τὸν Κύριον· καὶ ἠγαλλίασε (β) τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου· ὅτι ἐπέβλεψεν (γ) ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γάρ, ἀπὸ τοῦ

(1) Νοεῖ αὐτὰ ταῦτα τὰ ἑπόμενα, ἤτοι Μεγαλύνει κ. τ. λ.

νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί (δ)· ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός (ε)· καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος (ς) αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν. Ἐποίησε (ζ) κράτος ἐν βραχίονι αὐτοῦ· διεσκόρπισεν (η) ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. Πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. Ἀντελάβετο (θ) Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι (ι) ἐλέους, (καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν,) τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Σχόλια.

α] Τουτέστιν, Εὐφημεῖ καὶ δοξάζει.

β] Ἐχάρη, φησὶν, ἡ ψυχή μου ἐπὶ τῷ Θεῷ τῷ σώσαντί με ἀπὸ πάσης παγίδος τοῦ διαβόλου.

γ] Αὕτη ἡ αἰτία τῆς εὐχαριστίας. Ταπείνωσιν δέ φησι τὴν εὐτέλειαν.

δ] Αἱ τῶν πιστευσάντων δηλαδή.

ε] Ὅτι ἐποίησεν εἰς ἐμὲ μεγάλα καὶ ὑπερφυῆ θαύματα ὁ δυνατὸς ποιεῖν ταῦτα.

ς] Καὶ τὸ ἔλεος αὐτοῦ ἀεί ἐστιν ἐν τοῖς φοβουμένοις αὐτόν.

ζ] Καταλέγει τὰς θείας δυνάμεις, καί φησιν, Ἐποίησε νῖκος ἀνέλπιστον ἐν τῇ δυνάμει αὐτοῦ.

η] Τοὺς ὑπερηφάνους τῇ διανοίᾳ τῆς ψυχῆς αὐτῶν, ἤγουν, τοὺς ὑπεραιρομένους ἐν ἑαυτοῖς, τοὺς οἰηματίας.

θ] Ἐπεσκέψατο τὸν ἰσραηλιτικὸν λαὸν, τὸν δοῦλον αὐτοῦ, τὸν νέον δηλαδὴ, τὸν ἐπεγνωκότα δεσπότην αὐτόν.

ι] Ἀντελάβετο δὲ, καὶ ἐπεσκέψατο, ἐν τῷ μνησθῆναι ἐλέους εἰς τὸν αἰῶνα, ἤγουν, ἐλέους αἰωνίου, καθὼς ἐλάλησεν, εἴτουν, ἐπηγγείλατο, πρὸς τοὺς πατέρας ἡμῶν. Ἀπὸ κοινοῦ πάλιν, Καθὼς ἐλάλησε τῷ Ἀβραὰμ καὶ τοῖς ἐξ αὐτοῦ. Ἔλεος δὲ εἰς αἰῶνα, ἡ θεία ἐνανθρώπησις, ὡς δι' ἔλεον τῶν ἀνθρώπων γεγενημένη.

Προφητεία Ζαχαρίου τοῦ πατρὸς τοῦ Προδρόμου ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ.

Ἐπίγραμμα.

Τῆς ἀγγελικῆς ἀστραπῆς δεδειγμένης,
Τὸν ψαλμὸν ἐβρόντησεν ὁ Ζαχαρίας,
Ὅπως τὸ σῶμα τῆς πανάγνου Παρθένου,
Τὸν μαργαρίτην ὀστρακώσῃ τὸν μέγαν.

Εὐλογητὸς Κύριος, ὁ Θεὸς τοῦ Ἰσραήλ· ὅτι ἐπεσκέψατο (ια) καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ, καὶ ἤγειρε (ιβ) κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ· (καθὼς ἐλάλησε διὰ ςόματος τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος, προφητῶν αὐτοῦ·) σωτηρίαν (ιγ) ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς· ποιῆσαι (ιδ) ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ· ὅρκον (ιε), ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν, ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Καὶ σὺ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ (ις) γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, τοῦ δοῦναι (ιζ) γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει (ιη) ἁμαρτιῶν αὐτῶν· διὰ σπλάγχνα (ιθ) ἐλέους Θεοῦ ἡμῶν, (κ) ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι (κα) τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Σχόλια.

ια] Διὰ τῆς ἐνανθρωπήσεως τοῦ υἱοῦ αὐτοῦ ἐπεσκέψατο καὶ ἐλυτρώσατο τῆς τῶν δαιμόνων τυραννίδος ὁ Θεὸς καὶ Πατὴρ τὸν λαὸν αὐτοῦ.

ιβ] Καὶ ἀνέστησεν ἡμῖν, τῷ λαῷ αὐτοῦ, βασιλείαν καὶ δύναμιν σωτήριον ἐν τῷ οἴκῳ, ἤγουν, ἐκ τοῦ οἴκου, τουτέστι τοῦ γένους Δαυὶδ, τοῦ δούλου αὐτοῦ. Τοῦτο δὲ πεποίηκεν, ὡς ἐπηγγείλατο διὰ στόματος τῶν ἁγίων τῶν ἔκπαλαι προφητῶν. Δι' αὐτῶν γὰρ ἐπηγγείλατο ἀναστήσειν βασιλέα δυνατὸν ἐν οἴκῳ Δαυὶδ, σωτῆρα τοῦ Ἰσραὴλ, ὅς ἐστιν Ἰησοῦς, ὃν αὐτὸς Θεὸς λόγος προσείληφε καὶ ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν.

ιγ] Ἤγειρε δὲ τὸ κέρας τοῦτο, τὴν βασιλείαν δηλαδὴ καὶ δύναμιν τὴν σωτήριον, ἐξ ἐχθρῶν ἡμῶν σωτηρίαν καὶ λύτρωσιν καὶ ἐκ τῆς ἐξουσίας καὶ τυραννίδος τῶν μισούντων δαιμόνων.

ιδ] Ἐν τῷ ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, ἤγουν, Ἐν τῷ ἐλεῆσαι τοὺς πατέρας ἡμῶν, πρὸς οὓς ἡ ἐπαγγελία τῆς εἰρημένης σωτηρίας ἡμῶν. Καὶ δι' ἐκείνους μνησθῆναι ταύτης, ἵνα καὶ τὰς αὐτῶν ψυχὰς ἐκ τῆς τοῦ ᾅδου ἐλευθερώσῃ φρουρᾶς. Διαθήκην δὲ, τὴν ἐπαγγελίαν φησί· μνήμην δὲ αὐτῆς, τὴν περάτωσιν.

ιε] Ἐν τῷ μνησθῆναι τῆς ἐπαγγελίας αὐτοῦ, κατὰ τὸν ὅρκον, ὃν ὤμοσε, τουτέστι κατὰ τὴν βεβαίωσιν, ἣν ἐβεβαίωσε πρὸς Ἀβραάμ. Τίνος πράγματος βεβαίωσιν; Τοῦ δοῦναι ἡμῖν ἀφόβως λατρεύειν ἡμᾶς αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ κατὰ πᾶσαν τὴν ζωὴν ἡμῶν. Ὑπερβατῶς γὰρ ἀναγνωστέον. Εἶτα τὸ ἐν μέσῳ, Ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, ἤγουν, Μὴ φοβεῖσθαι τὸ κατάκριμα τοῦ προπάτορος Ἀδὰμ, διὰ τὸ λελυτρῶσθαι ἡμᾶς τοῦ εἰσαγαγόντος αὐτὸ εἰς τὸν κόσμον διαβόλου, καὶ τῆς καταδυναστείας τοῦ ἀνθρωπίνου γένους, προβαλλομένου τούτου τὸ δικαίωμα. Ὁσιότητα μὲν οὖν λέγει, τὴν εὐσέβειαν· δικαιοσύνην δὲ, τὴν τελειότητα τῶν ἄλλων ἀρετῶν.

ις] Μεταβαίνει τῇ προφητείᾳ πρὸς τὸν ἑαυτοῦ παῖδα τὸν Ἰωάννην. Κύριον δὲ ἐνταῦθα, τὸν Χριστὸν ὀνομάζει. Τὸ

δὲ ἑτοιμάσαι τὸν Ἰωάννην τὰς ὁδοὺς τοῦ Χριστοῦ, τὸ ἀγαγεῖν ἐστι τοὺς ἀνθρώπους εἰς ἐπίγνωσιν καὶ πίστιν αὐτοῦ, δι' ἧς εἰσέρχεται ὁ Κύριος εἰς τὰς τῶν ἀνθρώπων ψυχὰς, καὶ ἐνοικεῖ ταύταις, καὶ ἐμπεριπατεῖ.

ιζ] Ἑρμηνεύει τὴν ἑτοιμασίαν τῶν τοῦ Κυρίου ὁδῶν, καὶ φησὶν, Ὥστε διὰ τοῦ κηρύγματος αὐτοῦ γνῶσιν ἐνθεῖναι τῷ κατὰ δημιουργίαν λαῷ τοῦ Χριστοῦ τῆς δι' αὐτοῦ δὴ τοῦ Χριστοῦ (1) σωτηρίας τῷ κόσμῳ παντί.

ιη] Σωτηρίας, τῆς ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, ἤγουν, τῆς γινομένης ἐν τῷ ἀφεθῆναι καὶ λυθῆναι τὰς ἁμαρτίας τοῦ κόσμου.

ιθ] Ἐν ἀφέσει ἁμαρτιῶν, τῇ διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν, ἤτοι τῇ διδομένῃ διὰ τὴν συμπάθειαν τοῦ ἐλεήμονος θεοῦ, καὶ οὐ διὰ τὰ ἔργα τῶν ἀνθρώπων.

κ] Ἐν οἷς σπλάγχνοις, ἤγουν, δι' ἃ σπλάγχνα ἐλέους, ἐπεσκέψατο ἡμᾶς, εἴτουν, ἐπεφοίτησεν εἰς τὸν κόσμον ἡ ἀνατολὴ τοῦ νοητοῦ ἡλίου ἐξ ὕψους τῆς θεότητος, τουτέστιν, ὁ νοητὸς ἥλιος ἀνατείλας, ὅ ἐςι, φανερωθεὶς τοῖς ἐν γῇ. Τοῦτο γὰρ ἑρμηνεύων φησὶν, Ἐπεσκέψατο ἡμᾶς εἰς τὸ ἐπιφᾶναι, τουτέστιν, ἐπιλάμψαι τοῖς ἀνθρώποις, τοῖς ἐν σκότει τῆς πλάνης μένουσι καὶ τῇ σκιᾷ τοῦ θανάτου, ἤτοι, τῇ ἁμαρτίᾳ· σκιᾷ μὲν, ἤγουν, νυκτὶ λεγομένῃ, ὡς ἀπουσίᾳ τοῦ φωτὸς τῶν τοῦ Κυρίου ἐντολῶν· θανάτου δὲ νυκτὶ, διὰ τὸ ἐπάγειν αὐτὴν θάνατον ψυχικὸν, ὅς ἐστιν ὁ χωρισμὸς τοῦ θεοῦ, τῆς ζωῆς τῆς ἀληθινῆς.

κα] Ἐπεσκέψατο ἡμᾶς, ἵνα ἐπιφανῇ, φησὶν, ὥστε ἐγεῖραι τοὺς ἀκινήτως ἐμμένοντας τῇ ἀπιστίᾳ καὶ ἁμαρτίᾳ, δι' ὧν ἡ διάστασις καὶ ὁ χωρισμὸς καὶ ἡ ἔχθρα μετὰ θεοῦ· καὶ κατευοδῶσαι τὰς πορείας τῆς πολιτείας ἡμῶν εἰς τὴν ὁδὸν τῆς κατὰ θεὸν εἰρήνης, τουτέστιν, εἰς εὐσέβειαν καὶ ἀρετήν. Αὗται γὰρ ἄγουσιν ἡμᾶς εἰς συνέλευσιν καὶ ἕνωσιν καὶ φιλίωσιν μετὰ θεοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ πατρὶ, λέγω, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Ἐνταῦθα λείπει, ὡς φαίνεται, τὸ, γεγενημένης, ἢ τοιοῦτόν τι.

ΤΟ

ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ.

ΕΡΜΗΝΕΙΑ

ΤΟΥ

ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΥ.

Τίς μὲν Ἰωάννης ὁ εὐαγγελιστὴς, ἐμάθομεν ἀπὸ τῶν προλαβόντων εὐαγγελιστῶν, ὅτι ἀδελφὸς Ἰακώβου, υἱὸς Ζεβεδαίου, κώμης Βηθσαϊδὰ, χώρας Γαλιλαίας, τὴν τέχνην ἁλιεύς. Οὔτε δὲ πρότερον, οὔτε μὴν ὕστερον (1) γράμματα μεμάθηκεν, ἀλλὰ παντελῶς ἰδιώτης ἦν. Πλὴν ὁ τοιοῦτος ἴδωμεν, ὁποῖος γέγονε μαθητευθεὶς τῷ Χριστῷ. Ἀναπεσὼν γὰρ ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος, τῆς σοφίας εἵλκυσε γνῶσιν, οἵαν οὐδεὶς ἕτερος ἐκληρώσατο. Καὶ ὄντως ἐβρόντησεν ἐξ οὐρανοῦ, καὶ ἀνέκραγεν ἐκ τῶν ταμείων τοῦ πνεύματος, οὐχ ὡς μέγα βοῶν, ἀλλ' ὡς περὶ μεγάλων βοῶν, καὶ κινῶν τὴν γλῶτταν μετὰ τοῦ πνεύματος.

Οὗτος οὖν, ἐντυχὼν τοῖς τῶν ἄλλων εὐαγγελίοις, προσενεχθεῖσιν αὐτῷ παρά τινων πιστῶν, καὶ ἰδὼν, ὅτι καὶ οἱ τρεῖς τῷ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Σωτῆρος ἐνδιέτριψαν μάλιστα λόγῳ, καὶ λοιπὸν ἔμελλον ἀποσιωπηθῆναι τὰ περὶ τῆς θεότητος αὐτοῦ δόγματα· ἐκεῖνα μὲν τὰ εὐαγγέλια καὶ ἐθαύμασε, καὶ ἐπήνεσε, καὶ πολλὴν αὐτοῖς ἀλήθειαν καὶ ἀξιοπιστίαν προσεμαρτύρησεν· αὐτὸς δὲ, τοῦ Χριστοῦ κινήσαντος αὐτὸν, ἦλθεν ἐπὶ τὸ παρὸν σύγγραμμα, καὶ διηγεῖται μὲν καί τινα τῶν ἐν τοῖς ἄλλοις ἱστορηθέντων, ἵνα μὴ ἀπερρηγμένον δοκῇ τῶν εὐαγγελίων ἐκείνων τὸ ἑαυτοῦ εὐαγγέλιον· μάλιστα δὲ φροντίζει τῶν παραλελειμμένων ἐκείνοις, καὶ πλέον τῶν ἄλλων τῆς θεολογικῆς τοῦ Σωτῆρος διδασκαλίας, ὡς ἀναγκαιοτάτης, διὰ τὰς μελλού-

(1) Πραξ. Δ, 13.

σας αἱρέσεις. Ἐκεῖνοι μὲν γὰρ ταύτην παρῆκαν, διὰ τὴν τῶν ἀκροατῶν ἀσθένειαν, οὔπω τοῦ κηρύγματος ῥιζωθέντος· οὗτος δὲ, τῆς πίστεως αὐξηθείσης ἤδη, καὶ τῶν πιστῶν συνετωτέρων γενομένων, ἐνέταξεν αὐτὴν, προσθεὶς καὶ ἕτερα κεφάλαια παρασιωπηθέντα τοῖς πρὸ αὐτοῦ.

Συνεγράψατο δὲ τὸ παρὸν εὐαγγέλιον μετὰ τὴν ἅλωσιν Ἱεροσολύμων, πολλοῖς ὕστερον ἔτεσιν.

ΚΕΦ. Ι, 1 Ἐν ἀρχῇ ἦν ὁ λόγος.

Τὸ τῆς *ἀρχῆς* ὄνομα πολυσήμαντόν ἐστιν· ἰδιοτρόπως δὲ νῦν σημαίνει τὸ, *ἀεί*. Ταύτῃ δὲ τῇ ἀρχῇ συζευχθὲν τὸ, *ἦν*, ἀνεννόητον αὐτὴν παντελῶς ἐποίησεν. Ὅπου γὰρ ἀναγάγῃς σου τὸν νοῦν, προαπαντᾷ τὸ ἦν, καὶ πανταχοῦ προτρέχον, οὐκ ἐᾷ σου τὴν ἔννοιαν εὑρεῖν τινὰ στάσιν. Καὶ ἐπὶ μὲν τῶν κτιστῶν τὸ ἦν, τὸν παρεληλυθότα χρόνον δηλοῖ· ἐπὶ δὲ τῆς ἀκτίστου Τριάδος, τὸ ἀεὶ καὶ τοῦτο σημαίνει. Καὶ ἐπὶ μὲν τῆς νοητῆς καὶ τῆς αἰσθητῆς κτίσεως, ἐπ' οὐδενὸς ἐνδέχεται ῥηθῆναι τὸ, *ἐν ἀρχῇ ἦν*· πάντα γὰρ ὕστερον ἐγένοντο· ἐπὶ μόνης δὲ τῆς μακαρίας Τριάδος ἁρμόζει τοῦτο· μόνη γάρ ἐστιν ἀγέννητος, εἴτουν, ἄκτιστος.

Ὁμοίως δὲ καὶ τὸ ὄνομα τοῦ *λόγου*, πολυσήμαντόν ἐστιν· ἰδιοτρόπως δὲ νῦν σημαίνει, τὸν υἱὸν τοῦ θεοῦ. Λέγεται γὰρ *Λόγος*, ὡς ὁ θεολόγος λέγει Γρηγόριος, ὅτι οὕτως ἔχει πρὸς τὸν πατέρα, ὡς πρὸς νοῦν λόγος (1)· οὐ μόνον διὰ τὸ ἀπαθὲς τῆς γεννήσεως, ἀλλὰ καὶ τὸ συναφὲς, καὶ τὸ ἐξαγγελτικόν. *Πάντα* γάρ, φησιν, *ὅσα ἤκουσα παρὰ τοῦ πατρὸς, ἀνήγγειλα ὑμῖν* (α)

Τάχα δ' ἂν εἴποι τις, ὅτι καὶ ὡς ὅρος πρὸς τὸ ὁριζόμενον· ἐπειδὴ καὶ τοῦτο λέγεται *Λόγος*· ὁ γὰρ νενοηκώς, φησι, τὸν υἱὸν (β)· τοῦτο γάρ ἐστι τὸ, *ἑωρακώς*· νενόηκε τὸν πατέρα· καὶ σύντομος ἀπόδειξις καὶ ῥᾳδία τῆς τοῦ πατρὸς φύσεως, ὁ υἱός· γέννημα γὰρ ἅπαν, τοῦ γεγεννηκότος σιωπῶν λόγος.

---

(1) νοῦν ὁ λόγος, παρὰ τῷ Α. Ἰδ. Γρηγορ. Ναζ. Σελ. 218.
(α) Ἰωαν. ΙΕ', 15. (β) Ἰωαν. ΙΔ', 9.

Εἰπὼν δὲ ὁ εὐαγγελιστὴς, ὅτι *Ἐν ἀρχῇ ἦν ὁ λόγος*, ἔδειξεν, ὅτι ἀεὶ ἦν, καὶ οὐκ ἦν τις χρόνος ἢ αἰὼν, ὅτε οὐκ ἦν οὗτος· αὐτὸς γάρ ἐστι ποιητὴς καὶ τῶν χρόνων, καὶ τῶν αἰώνων.

Διὰ τί δὲ οὐκ εἶπεν, ὅτι Ἐν *ἀρχῇ ἦν ὁ Υἱός*; Ἵνα μὴ ὑπόληψις παρεμπέσῃ χρονικῆς τε καὶ ἐμπαθοῦς γεννήσεως. Διὰ τοῦτο γὰρ λόγον αὐτὸν ὀνομάσας, καὶ διδάξας ἐντεῦθεν τὸ ἄχρονόν τε καὶ ἀπαθὲς τῆς ὑπερφυοῦς γεννήσεως αὐτοῦ, καὶ προανελὼν τὰς ἀπρεπεῖς περὶ αὐτῆς ὑπολήψεις, λοιπὸν προϊὼν καὶ υἱὸν αὐτὸν ἀνυποστόλως καλεῖ. Βουλόμενος δὲ δεῖξαι, αὐτὸν μὴ μόνον ἀεὶ ὄντα, ἤγουν, ἀΐδιον, ἀλλὰ καὶ ἀχώριστον τοῦ πατρὸς καὶ συναΐδιον, φησί·

1 Καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν.

Οὐκ εἶπεν, ὅτι ἦν ἐν τόπῳ· οὐ περιέχεται γὰρ τόπῳ ὁ ἀπερίγραπτος· οὐδὲ ὅτι ἐν τῷ θεῷ· ἵνα μὴ ἐκ προοιμίων εὐθὺς σύγχυσις τῶν προσώπων ἐπινοηθείη· ἀλλ' ὅτι *πρὸς τὸν θεὸν*, ἤγουν, παρὰ τῷ πατρί· ἵνα τε παραστήσῃ τὸ ἰδιάζον τῶν ὑποστάσεων, καὶ ὅτι ἀχώριστοι πατὴρ καὶ υἱός· δῆλον δὲ πάντως, ὅτι καὶ πνεῦμα τὸ ἅγιον. Ἐν ἀρχῇ γὰρ ἦν ἡ Τριὰς, καὶ ὁμοῦ ἦν ἡ Τριάς.

1 Καὶ θεὸς ἦν ὁ λόγος.

Χρησάμενος τῷ ὀνόματι τοῦ λόγου πρὸς διδασκαλίαν τοῦ ἀχρόνου καὶ ἀπαθοῦς τῆς ὑπερφυοῦς γεννήσεως, λοιπὸν θεραπεύει τὴν ὑφέρπουσαν τῷ ὀνόματι βλάβην, ἵνα μὴ βλασφημήσῃ τις, οἰόμενος, ὅτι λόγος ἐστὶν, οἷος ὁ ἡμέτερος, ἐνδιάθετος ἢ προφορικός. Οὐ γάρ ἐστι τοιοῦτος, ἀλλ' ἐνυπόστατος, τῆς αὐτῆς τῷ πατρὶ φύσεως καὶ ἀξίας.

2 Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν.

Εἰπὼν, ὅτι ἀεὶ ἦν, καὶ ὅτι ἀχώριστος τοῦ πατρὸς ἦν, καὶ ὅτι θεὸς ἦν, ἀνεκεφαλαιώσατο συντόμως ὁμοῦ καὶ θαυμασίως, ἣν ἐξέθετο περὶ τούτου θεολογίαν, σύνοψιν ἡμῖν θεολογίας περὶ τοῦ υἱοῦ παρασχόμενος.

Πρὸς δὲ τοὺς λέγοντας, ὅτι πᾶς υἱὸς ὕστερός ἐστι τοῦ πατρὸς, ἐροῦμεν, ὅτι, *Πᾶς υἱὸς*, εἰπόντες, λελύκατε τὸ ζητούμενον· ὁ γὰρ υἱὸς τοῦ Θεοῦ, οὐκ ἔστι τοιοῦτος, οἷος πᾶς υἱὸς, ἀλλ' ὄντως ὑπερφυής.

Ἔτι δὲ πρὸς τοὺς φιλονεικοῦντας, ὅτι τὸ ἔκ τινος ἀνάγκη πάντως εἶναι ὕστερον τοῦ ἐξ οὗ ἐστιν, ἀπολογητέον· ὅτι καὶ μὴν τὸ ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτοῦ ὂν, οὐκ ἔστιν ὕστερον αὐτοῦ· οὐδέποτε γὰρ ἥλιος ἐφάνη χωρὶς ἀπαυγάσματος. Εἰ δ' ἐπὶ τῶν αἰσθητῶν τοῦτο, τί ἄν τις εἴποι περὶ τῶν ὑπὲρ λόγον; Ἐπεὶ δὲ θεὸν αὐτὸν ἀνεκήρυξε, δίδωσιν αὐτῷ καὶ τὸ γνώρισμα τῆς θεότητος, λέγω δὴ, τὸ δημιουργικόν· *Θεοὶ γάρ*, φησιν, *οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν* (α)· ἵνα μὴ νομισθείη τοῦ πατρὸς ἐλάττων.

3 Πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν.

Εἰρηκὼς, ὅτι *Πάντα δι' αὐτοῦ ἐγένετο*, ἵνα μὴ δόξῃ περὶ μόνων λέγειν τῶν αἰσθητῶν, ἐπήγαγεν, ὅτι *Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ὃ γέγονε*, τουτέστιν, οὐδὲν τῶν γενομένων, κἂν αἰσθητὸν εἴη, κἂν νοητόν. Ὑπεξῄρηται δὲ τὸ πνεῦμα τὸ ἅγιον· τοῦτο γὰρ οὐ γέγονεν, ἵνα καὶ συμπαραληφθείη, ἀλλ' ἀγέννητόν ἐστιν, εἴτουν, ἄκτιςον, ὥσπερ καὶ ὁ υἱὸς καὶ ὁ πατήρ. Μόνη γὰρ ἡ θεία Τριὰς ἀγέννητος, ἤγουν, ἄκτιστος.

Ἀποδείξας δὲ τὸν υἱὸν δημιουργὸν πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως, οὐκ ἐξέβαλε τὸν πατέρα τοῦ δημιουργικοῦ ἀξιώματος, ἀλλὰ μόνον ἐδίδαξεν, ὅτι καὶ ὁ υἱὸς δημιουργός ἐςιν, ὥσπερ ὁ πατήρ· κοινὸν γὰρ τοῦτο τῶν τριῶν· ἐπεὶ τοῦτο γνώρισμά ἐστι θεότητος, ὡς προείρηται.

Διὸ καὶ παρὰ τῇ θείᾳ Γραφῇ, ποτὲ μὲν τὸ δημιουργικὸν ἐπὶ τοῦ πατρὸς λέγεται· ποτὲ δὲ, ἐπὶ τοῦ υἱοῦ· ποτὲ δὲ, ἐπὶ τοῦ ἁγίου Πνεύματος· οἷα τοῦ μὲν πατρὸς, εὐδοκοῦντος, τοῦ

(α) Ἱερ. Ι', 11.

δὲ υἱοῦ, ἐνεργοῦντος, τοῦ δὲ ἁγίου πνεύματος, συνεργοῦντος. Φησὶ γὰρ καὶ ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ, ὅτι *Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι* (α).

Τινὲς δὲ λῆροι (1), τὸ, *δι' αὐτοῦ*, πρὸς ἐλάττωσιν τοῦ υἱοῦ νενοήκασιν, οὐ δημιουργίας, ἀλλ' ὑπουργίας ἐμφαντικὸν τοῦτο φήσαντες εἶναι. Οὐκ ᾔδεισαν δὲ, ὅτι και ἐπὶ τοῦ πατρὸς ἀδιαφόρως τοῦτο τάττεται· φησὶ γὰρ ὁ ἀπόστολος· *Πιστὸς ὁ θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ* (β). Ἵνα δὲ μηδεὶς ἀπιστήσῃ, πῶς τοσαῦτα καὶ τοιαῦτα δι' αὐτοῦ ἐγένετο, φησίν·

4 Ἐν αὐτῷ ζωὴ ἦν.

Δι' ἧς οὐ μόνον αὐτὰ παρήγαγεν, ἀλλὰ καὶ συντηρεῖ εἰς τὸ διαμένειν. Ὅπερ γὰρ περὶ τοῦ πατρὸς εἴρηται, τοῦτο καὶ περὶ τούτου ῥηθήσεται, ὅτι *Ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν* (γ). Ὅταν δὲ ἀκούσῃς ὅτι, *Ἐν αὐτῷ ζωὴ ἦν*, μὴ σύνθετον αὐτὸν ὑπολάβῃς, ἀλλὰ πηγὴν ζωῆς. Αὐτίκα γὰρ καὶ ὅλον αὐτὸν ζωὴν ὀνομάζει, λέγων· *Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων*. Καὶ ἀλλαχοῦ δέ φησι φανερῶς αὐτὸς ὁ Χριστός· *Ἐγώ εἰμι ἡ ζωή* (δ).

(α) Ἰωαν. Ε', 17. (1) Αἱρετικοί τινες ἀπένειμον τὴν Ἐκ πρόθεσιν εἰς τὸν Πατέρα, τὴν Διὰ, εἰς τὸν υἱὸν, καὶ τὴν Ἐν, εἰς τὸ ἅγιον Πνεῦμα. Πρὸς τούτους ἀντιμαχόμενος ὁ Μέγας Βασίλειος ἐν τῷ Περὶ τοῦ ἁγίου Πνεύματος λόγῳ Κεφ. Β'. λέγει « Ἔστι γάρ τι αὐτοῖς παλαιὸν σόφισμα, ὑπὸ Ἀετίου τοῦ προστάτου τῆς αἱρέσεως ταύτης ἐξευρεθὲν, ὃς ἔγραψέ που τῶν ἑαυτοῦ ἐπιστολῶν, λέγων· Τὰ ἀνόμοια κατὰ φύσιν, ἀνομοίως προφέρεσθαι· καὶ ἀνάπαλιν· Τὰ ἀνομοίως προφερόμενα, ἀνόμοια εἶναι κατὰ τὴν φύσιν. Καὶ εἰς μαρτυρίαν τοῦ λόγου τὸν Ἀπόστολον ἐπεσπάσατο λέγοντα· Εἷς θεὸς καὶ πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα. Ὡς οὖν ἔχουσιν αἱ φωναὶ πρὸς ἀλλήλας, οὕτως ἕξουσί, φησι, καὶ αἱ δι' αὐτῶν σημαινόμεναι φύσεις. Ἀνόμοιον δὲ τῷ Ἐξ οὗ τὸ Δι' οὗ· ἀνόμοιος ἄρα καὶ τῷ Πατρὶ ὁ υἱός. Ταύτης τοίνυν τῆς νόσου καὶ ἡ περὶ τὰς προκειμένας λέξεις ἀδολεσχία τῶν ἀνδρῶν τούτων ἤρτηται. Ὅθεν τῷ μὲν Θεῷ καὶ Πατρὶ, ὥσπερ τινα κλῆρον ἐξαίρετον, προσνέμουσι τὸ Ἐξ οὗ· τῷ δὲ Υἱῷ καὶ Θεῷ ἀφώρισαν τὸ Δι' οὗ· τῷ δὲ ἁγίῳ Πνεύματι, τὸ Ἐν ᾧ. » (β) Α' Κορ. Α', 9.

(γ) Πράξ. ΙΖ', 27. (δ) Ἰωαν. ΙΔ', 6.

Οἱ Πνευματομάχοι δὲ μετὰ τὸ, *Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν*, στίζουσι τελείαν· εἶτα τὸ ἑξῆς οὕτως ἀναγινώσκουσιν· *Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν*· ἵνα γεννητὸν δείξωσι τὸ Πνεῦμα τὸ ἅγιον· περὶ τούτου γάρ φασι λέγειν τὸ τοιοῦτον ῥητόν. Ἐλέγχονται δὲ ταχέως, πρῶτον μὲν, ὅτι τὸ, *ὃ γέγονεν*, ἀπολύτως κείμενον, πᾶν, ὅ γέγονε, δηλοῖ· ἔπειτα δὲ, ὅτι ἡ ζωὴ αὕτη καὶ φῶς εὑρίσκεται· ἐπάγει γὰρ, ὅτι *Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων*· εἶτα μετὰ μικρὸν περὶ τοῦ Ἰωάννου λέγων, φησίν· *Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς* (α). Δῆλον δὲ, ὅτι ὁ Ἰωάννης οὐ περὶ τοῦ ἁγίου Πνεύματος, ἀλλὰ περὶ τοῦ υἱοῦ μεμαρτύρηκεν, ὡς προϊόντες εὑρήσομεν.

4 Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.

Καὶ αὐτὸς ὁ υἱὸς ἦν τὸ φῶς τῶν ἀνθρώπων, ὡς φωτίζων τὸν νοῦν αὐτῶν, καὶ ὁδηγῶν ἀπὸ τῆς πλάνης εἰς τὴν ἀλήθειαν. Ὅτι δὲ αὐτὸν τὸν υἱὸν ὠνόμασε καὶ φῶς, αὐτὸς ὁ υἱὸς ἀλλαχοῦ φησιν· *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου* (β). Ὥστε ὁ αὐτὸς λέγεται καὶ ζωὴ, καὶ φῶς· ζωὴ μὲν, ὡς ζωογονῶν καὶ συνέχων τὰ πάντα· φῶς δὲ, ὡς καταλάμπων καὶ φαιδρύνων τὸ ἡγεμονικὸν τῶν ἀνθρώπων, τῶν δεχομένων αὐτόν.

Τινὲς δὲ καὶ ζωὴν καὶ φῶς εἶπον, τὸ κήρυγμα τοῦ εὐαγγελίου, ὃ ἐπήγαγε τοῖς ἀνθρώποις, ὡς αἴτιον καὶ ζωῆς πνευματικῆς καὶ φωτὸς γνώσεως.

5 Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.

Φῶς μὲν ἐνταῦθα καλεῖ, τὸ κήρυγμα, διά τε τὴν ῥηθεῖσαν αἰτίαν, καὶ διὰ τὴν ἀλήθειαν· *σκοτίαν* δὲ, τὴν πλάνην, διὰ τὸ ψεῦδος. Λέγει γοῦν, ὅτι τὸ κήρυγμα ἐν τῇ πλάνῃ λάμπει, καὶ ἡ πλάνη οὐ περιεγένετο αὐτοῦ.

Ὁ δὲ θεολόγος Γρηγόριος ἑτέρως τὸ ῥητὸν ἐξελάβετο ἐν τῷ

(α) Ἰωαν. Α', 7. (β) Ἰωαν. Η', 12.

Εἰς τὰ ἅγια φῶτα λόγῳ, δυνάμενον καὶ ταύτην κἀκείνην ἐπιδέξασθαι τὴν ἐξήγησιν.

Μέχρι δὲ τούτου διαλεχθεὶς ὁ εὐαγγελιστὴς περὶ τῆς τοῦ υἱοῦ θεότητος, ἐντεῦθεν λοιπὸν ἄρχεται τοῦ εὐαγγελίου.

6 Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ· ὄνομα αὐτῷ Ἰωάννης.

Ὁ δὲ Λουκᾶς ἔγραψεν· *Ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην, τὸν τοῦ Ζαχαρίου υἱὸν, ἐν τῇ ἐρήμῳ* (α).

7 Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

Φῶς νῦν ὁ Χριστὸς νοεῖται, κατὰ τὴν προαποδεδομένην αἰτίαν. Ἐμαρτύρησε δὲ ὁ Ἰωάννης περὶ τῆς θεότητος αὐτοῦ, ὡς προϊόντες εὑρήσομεν. Ἐπεὶ δὲ οὐκ ἐδεῖτο τῆς τούτου μαρτυρίας ὁ Χριστὸς, τέθειται καὶ ἡ αἰτία τῆς μαρτυρίας. Ἐπήγαγε γάρ·

7 Ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ.

Ὥσπερ γὰρ σάρκα περιεβάλετο, ἵνα μὴ γυμνῇ τῇ θεότητι προσβαλὼν ἀπολέσῃ πάντας· οὕτω καὶ μάρτυρι ἐχρήσατο, ἵνα τῆς συγγενοῦς ἀκούοντες οἱ τότε φωνῆς, εὐκολώτερον πιστεύσωσι δι' αὐτῆς εἰς τὸν μαρτυρούμενον. Πάντα γὰρ πρὸς σωτηρίαν τῶν ἀνθρώπων ᾠκονομεῖτο.

Ἰωάννης μὲν οὖν ἐμαρτύρησεν, ἵνα πάντες πιστεύσωσιν· οὐ πάντες δὲ ἐπίστευσαν· οὐκ ἐκ βίας γὰρ ἡ πίστις, ἀλλ' ἐκ προαιρέσεως.

8 Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

Ἔτι σαφηνίζει τὴν αἰτίαν τῆς ἀποστολῆς, ὅτι ἦλθεν, οὐχ ἵνα φωτίσῃ· *Οὐκ ἦν γὰρ ἐκεῖνος τὸ φῶς· ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός*. Ἅμα δὲ καὶ, ἵνα μὴ νομίσῃ τις, ὅτι ὁ μαρτυρῶν μείζων καὶ ἀξιοπιστότερος ἦν τοῦ μαρτυρουμένου, ὡς

(α) Λουκ. Γ', 2.

ἐπὶ πολλῶν εἴωθε συμβαίνειν. Ἐπεὶ δὲ πρόσφατος ἦν ἡ τοῦ Ἰωάννου μαρτυρία, ἵνα μὴ τοιαύτη τίς ὑπόνοια καὶ περὶ τοῦ μαρτυρουμένου παρεμπέσοι, φησίν·

9 Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

Ἦν ἀεὶ, κατὰ τὴν ἐκτεθεῖσαν ἀνωτέρω θεολογίαν. Ὡς μὲν οὖν θεὸς, ἦν ἀεί· ὡς δὲ ἄνθρωπος, ἤρξατο τοῦ εἶναι.

Εἰ δὲ *φωτίζει πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον*, πῶς τοσοῦτοι μεμενήκασιν ἀφώτιστοι; Τὸ μὲν εἰς αὐτὸν ἧκον, πάντας φωτίζει· οἱ δὲ μένοντες ἀφώτιστοι, παρὰ τὴν ἑαυτῶν προαίρεσιν τοῦτο πάσχουσιν. Ἡ μὲν γὰρ τοῦ φωτὸς χάρις, ἡλίου δίκην, ἐπὶ πάντας ἁπλῶς ἐκκέχυται· οἱ δὲ μὴ θέλοντες ἀπολαῦσαι τῆς χάριτος, αὐτοὶ τοῦ μὴ φωτισθῆναι αἴτιοι.

Ἀληθινὸν δὲ εἶπεν αὐτὸ, ὡς ἀσύγκριτον, καὶ ὑπὲρ πᾶν φῶς, καὶ κυρίως φῶς.

[Τὸ *φῶς τὸ ἀληθινόν* (1). Καὶ εἰκὼν δὲ ἀληθινὴ λέγεται, καὶ ἀληθινὴ σοφία, καὶ ζωὴ ἀληθινὴ, καὶ τὰ τοιαῦτα· οὐκ ἐπὶ διαβολῇ τῶν ἄλλων ἁγίων εἰκόνων, οὐδὲ τῆς ἀπὸ τῶν θείων Γραφῶν σοφίας, ἢ τῆς ἐνταῦθα ζωῆς, ἵνα ἐάσω τὴν μέλλουσαν· ἀλλὰ τὸ τοιοῦτον σχῆμα τοῦ λόγου, τὸ καθ' ὑπεροχὴν ἀσύγκριτον ὑποφαίνει.]

[*Εἰς τὸν κόσμον* (2). Ἢ καὶ ἄλλως· Ἐρχόμενον εἰς τὸν ἀληθῆ κόσμον τῶν ἀρετῶν.]

10 Ἐν τῷ κόσμῳ ἦν.

Οὐχ ὡς τόπῳ περιγραφόμενος, ἀλλ' ὡς πάντα πληρῶν. Εἰπὼν δὲ, ὅτι *Ἐν τῷ κόσμῳ ἦν*, ἵνα μὴ ὑπολάβοι τις, ὅτι σύγχρονος ἦν τοῦ κόσμου, ὃ πέπονθε Παῦλος ὁ Σαμοσατεὺς, προσέθηκεν·

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ. (2) Καὶ ταῦτα ὡσαύτως.

10 Καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο·

Πρόδηλον γὰρ, ὅτι ὁ ποιητὴς πρὸ τοῦ ποιήματός ἦν.

10 Καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω.

Κόσμον ἐνταῦθα λέγει, τοὺς τὰ κοσμικὰ φρονοῦντας, τοὺς τῷ κόσμῳ προσηλωμένους, τοὺς τοῖς αἰσθητοῖς πράγμασι προστετηκότας, καὶ μηδὲν ὑπὲρ ταῦτα νοῆσαι δυναμένους. Οἱ γὰρ μὴ τοιοῦτοι, ἔγνωσαν αὐτὸν, καὶ πρὸ τῆς ἐνσάρκου παρουσίας. Διὸ καὶ ἐν τῷ εἰκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, εἶπε πρὸς τοὺς ἀποστόλους ὁ Χριστὸς, ὅτι *Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν* (α). Εἰ γὰρ μὴ ἔγνωσαν αὐτὸν, οὐκ ἂν ἐπεθύμησαν ἰδεῖν, ὡς εἴρηται, καὶ ἀκοῦσαι. Ὥστε ἔγνωσαν μὲν αὐτὸν, καὶ τὸ τῆς ἐνανθρωπήσεως αὐτοῦ μυστήριον, πλὴν ὑπερφυῶς· ἐπεθύμησαν δὲ καὶ αἰσθητῶς ἰδεῖν αὐτὸν θαυματουργοῦντα, καὶ ἀκοῦσαι αὐτοῦ διδάσκοντος, καὶ ἁπλῶς ἐν ἀνθρώπου εἴδει.

Νοεῖται δὲ καὶ, ὅτι δυσανασχετῶν ὁ εὐαγγελιστὴς ἐπὶ τῇ πωρώσει τῶν ἀγνοησάντων αὐτὸν, φησὶ, *Καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω*, τουτέςι, τὸν ποιητὴν οὐκ ἔγνωσαν τὰ ποιήματα.

11 Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.

Ἔτι σαφηνίζει τὸν λόγον. *Ἴδια* μὲν γὰρ αὐτοῦ, ὁ κόσμος, ὡς ποίημα αὐτοῦ· *ἴδιοι* δὲ οἱ ἄνθρωποι, ὡς καὶ αὐτοὶ ποιήματα, καὶ ὡς κατ' εἰκόνα αὐτοῦ γενόμενοι. Ηλθεν οὖν εἰς αὐτοὺς, ὡς ἄνθρωπος· ὡς γὰρ θεὸς, ἐν τῷ κόσμῳ ἦν.

Ἑρμηνεύεται δὲ καὶ καθ' ἕτερον τρόπον, ὅτι ἐπεὶ ἐξ Ἰουδαίων ὁ Χριστὸς ἐβλάστησε κατὰ σάρκα, ἴδια μὲν αὐτοῦ, αἱ διατριβαὶ τούτων· ἴδιοι δὲ, αὐτοὶ, ὡς συγγενεῖς αὐτοῦ καὶ ὁμόφυλοι. Διὸ καὶ ἔλεγεν (β), *Οὐκ ἀπεστάλην*, *εἰ μὴ εἰς τὰ πρό-*

(α) Ματθ. ΙΓ', 17. (β) Ματθ. ΙΕ', 24.

βατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Εἰς τὰ ἴδια μὲν οὖν ἦλθεν, οὐχ ἕνεκεν ἰδίας χρείας· ἀνενδεὴς γὰρ ὁ Θεός· ἀλλ᾽ ἕνεκεν τῆς τῶν ἰδίων σωτηρίας. Οἱ ἴδιοι δὲ αὐτὸν οὐ παρεδέξαντο, ἀφικόμενον ἐπ᾽ εὐεργεσίᾳ τούτων· ἀλλὰ φρενοβλαβῶς τὸν Σωτῆρα, ὡς ἐχθρὸν, ἀπώσαντο.

12 Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύσουσιν εἰς τὸ ὄνομα αὐτοῦ·

Ὅσοι δὲ παρεδέξαντο αὐτὸν, διὰ τοῦ παραδέξασθαι τὴν διδασκαλίαν αὐτοῦ, *ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι·* οὐκ εὐθὺς δὲ ἐποίησεν αὐτοὺς τέκνα θεοῦ· ἵνα μὴ ῥαθυμήσαντες ἀπολέσωσι τὴν χάριν· ἀλλ᾽ ἔδωκεν αὐτοῖς ἐξουσίαν γενέσθαι, ἵνα σπουδάσαντες γένωνται.

Τί οὖν; οὐ πάντες ἔχουσιν ἐξουσίαν τέκνα θεοῦ γενέσθαι; Οὐ πάντες, εἰ μὴ οἷς αὕτη δέδοται· δέδοται δὲ μόνοις τοῖς πιστεύουσιν εἰς αὐτόν. Διὸ καὶ σαφηνίζων, τίσιν ἔδωκεν, ἐπήγαγεν, ὅτι *τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ*, τουτέστιν, εἰς αὐτόν. Ὥστε αὐτοῦ μέν ἐστι, τὸ δωρεῖσθαι τὴν εἰρημένην ἐξουσίαν· αὐτῶν δὲ, τὸ χρήσασθαι ταύτῃ.

Ἕτερον δὲ, τὸ διὰ βαπτίσματος υἱοθετηθῆναί τινα θεῷ, καὶ ἕτερον, τὸ διὰ φυλακῆς τῶν εὐαγγελικῶν ἐντολῶν τέκνον θεοῦ γενέσθαι· τὸ μὲν γὰρ, ἀρχή· τὸ δὲ, τέλος· καὶ τὸ μὲν, δῶρον θεοῦ· τὸ δὲ, κατόρθωμα σπουδῆς.

13 Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ᾽ ἐκ θεοῦ ἐγεννήθησαν.

Εὐτελίζει μὲν τὴν ἐξ ἀνθρώπων γέννησιν, ὡς φυσικήν· μεγαλύνει δὲ τὴν ἐκ θεοῦ, ὡς ὑπερφυῆ, ἵνα τό, τε ταπεινὸν τῆς πρώτης, καὶ τὸ ὑψηλὸν τῆς δευτέρας καταμαθόντες, καὶ τὸ μέγεθος τῆς εὐεργεσίας ἐπιγνόντες, ἀξίως εὐχαριστῶμεν, καὶ ἀγωνιζώμεθα, μὴ ἀπολέσαι ταύτην ἐκ ῥαθυμίας.
Εἰπὼν δὲ, ὅτι *Οὐκ ἐξ αἱμάτων*, ἐπήγαγε φανερώτερον, ὅτι *Οὐδὲ ἐκ θελήματος σαρκός.* Εἶτα καὶ τοῦτο τελεώτερον ἑρμήνευσε, προσθεὶς, ὅτι *Οὐδὲ ἐκ θελήματος ἀνδρός.* Αἷμα γὰρ καὶ σὰρξ, ὁ ἀνήρ· θέλημα δὲ νῦν νόει, τὴν ἐπιθυμίαν, τὴν συνουσίαν.

[Οἱονεὶ (1) θεῖος σπόρος, εἰσελθὼν καὶ συμπήξας ἑαυτῷ σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, οὐ σπερματικῶς, ἀλλὰ δημιουργικῶς, οὐ ταῖς κατὰ μικρὸν προσθήκαις ἀπαρτιζομένου τοῦ σχήματος, ἀλλ᾽ ὑφὲν τελειωθέντος ἀπ᾽ ἀρχῆς, εἶτ᾽ αὔξοντος νόμῳ τῶν ἐμβρύων. Καὶ γὰρ καὶ ὁ παλαιὸς Ἀδὰμ τέλειος τὸ σχῆμα κατ᾽ ἀρχὰς ἐπλάσθη.]

14 Καὶ ὁ λόγος σὰρξ ἐγένετο·

[Οὐκ (2) ἄλλως οἷόν τε ἦν τὴν τοῦ θεοῦ δηλωθῆναι περὶ ἡμᾶς ἀγάπην, ἢ ἐκ τοῦ μνημονευθῆναι τὴν σάρκα, καὶ ὅτι δι᾽ ἡμᾶς κατέβη μέχρι τοῦ χείρονος. Σὰρξ γὰρ ψυχῆς εὐτελέστερον.]

Εἰρηκὼς, ὅτι οἱ ἄνθρωποι ἐκ θεοῦ ἐγεννήθησαν, φησὶν, ὅτι καὶ ὁ υἱὸς τοῦ θεοῦ, ἄνθρωπος ἐγένετο· τοῦτο γὰρ δηλοῖ τὸ, *Καὶ ὁ λόγος σὰρξ ἐγένετο·* ἀπὸ μέρους τὸ πᾶν· ἵνα ὁ θαυμάζων ἐκεῖνο, θαυμάζῃ τοῦτο πλέον, ὡς ὑπερβαλλόντως θαυμασιώτερον· ἐπεὶ καὶ τοῦτο αἴτιον ἐκείνου. Καὶ γὰρ ὁ υἱὸς τοῦ θεοῦ ἄνθρωπος ἐγένετο, ἵνα οἱ ἄνθρωποι υἱοὶ τοῦ θεοῦ γένωνται.

Ὅταν δὲ ἀκούσῃς, ὅτι *Ὁ λόγος σὰρξ ἐγένετο*, μὴ μεταβολὴν τῆς θείας οὐσίας ἐννοήσῃς· ἀναλλοίωτος γὰρ αὕτη καὶ ἀπαθής· ἀλλ᾽ ὅτι ὁ λόγος ὢν, ὃ ἦν, γέγονε καὶ ὃ οὐκ ἦν, ἤτοι, μένων θεὸς, γέγονε καὶ ἄνθρωπος κατὰ πρόσληψιν σαρκὸς, ἐψυχωμένης δηλονότι ψυχῇ λογικῇ καὶ νοερᾷ.

Κατὰ τρεῖς δὲ τρόπους τὸ ὂν γίνεται. Καθ᾽ ἕνα μὲν, ὅταν ἡ τοῦ ὄντος φύσις εἰς τὴν τοῦ γενομένου μεταβληθῇ, καθ᾽ ὃν τὸ γάλα γίνεται τυρὸς, καὶ ὁ πηλὸς, ὄστρακον· καθ᾽ ἕτερον δὲ, ὅταν, τῆς οὔσης οὐσίας σωζομένης ἀμεταβλήτου, προσγένηταί

---

(1) Ταῦτα παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ. (2) Καὶ ταῦτα παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

τι κατὰ συμβεβηκὸς, καθ' ὃν ὁ χαλκὸς γίνεται ἀνδριὰς, καὶ ὁ ἄνθρωπος, δίκαιος ἢ ἄδικος, καὶ τὰ τοιαῦτα· κατὰ τὸν τρίτον δὲ, ὅταν, τῆς οὔσης οὐσίας σωζομένης ἀμεταβλήτου, καὶ ἄλλη οὐσία προσληφθῇ, καθ' ὃν ὁ στρατηγὸς γίνεται ὡπλισμένος. Ἀλλ' οὔτε κατὰ τὸν πρῶτον τρόπον ὁ λόγος σὰρξ ἐγένετο· οὐ γὰρ ἡ φύσις μετεβλήθη· οὔτε κατὰ τὸν δεύτερον· οὐ γὰρ ἡ προσγενομένη σὰρξ συμβεβηκὸς, ἀλλ' οὐσία καὶ αὐτή. Λοιπὸν οὖν κατὰ τὸν τρίτον τρόπον χρὴ νοεῖν τὸ ῥητόν. Δίκην γὰρ στρατηγοῦ τὴν σάρκα περιθέμενος, τὸν πολέμιον τῆς ἡμετέρας φύσεως κατεπολέμησε.

Ἐγένετο δὲ εἶπεν, ἀναιρῶν τὴν βλασφημίαν τῶν ληρούντων, ὅτι σὰρξ ἐφαντάσθη. Χρησάμενος γὰρ τῇ λέξει τῇ, *ἐγένετο*, ἐβεβαίωσεν, ὅτι κατὰ ἀλήθειαν, καὶ οὐ κατὰ φαντασίαν ἐνηνθρώπησεν. Ἵνα δὲ μὴ μεταβολήν τινα τῆς θείας οὐσίας ἐννοήσῃς, φησί·

14 Καὶ ἐσκήνωσεν ἐν ἡμῖν,

Ἐσκήνωσεν ἐν τῇ ἡμετέρᾳ σαρκὶ, ἐν τῇ συγγενεῖ ἡμῶν, ἐν τῇ ἐξ ἡμῶν προσληφθείσῃ. Εἰ γὰρ ἕτερον τὸ σκηνοῦν, καὶ ἕτερον ἡ σκηνὴ, ἕτερος ἔμεινεν ὁ λόγος παρὰ τὴν σάρκα, κατὰ τὴν οὐσίαν καὶ φύσιν. Κατὰ γὰρ τὴν συνάφειαν καὶ ἕνωσιν ἕν ἐστιν ὁ προσλαβὼν λόγος, καὶ ἡ προσληφθεῖσα σὰρξ, σωζομένων καὶ μετὰ τὴν ἕνωσιν ἀτρέπτων καὶ ἀσυγχύτων τῶν δύο φύσεων ἀποῤῥήτως.

14 Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ,

Τὴν δόξαν τοῦ λόγου, τὴν δύναμιν τῆς θεότητος, διὰ τῆς σαρκὸς λάμψασαν, ὡς διὰ παραπετάσματος. Τίς δὲ ἦν αὕτη; Τὰ ἄπειρα καὶ ποικίλα θαύματα, ἡ ὑπέρλαμπρος καὶ ὑπερφυὴς μεταμόρφωσις· καὶ, κατὰ τὸν καιρὸν τῆς σταυρώσεως, ὁ παρὰ φύσιν σκοτισμὸς τοῦ ἡλίου, τὸ φοβερὸν σχίσμα τοῦ καταπετάσματος, ὁ φρικτὸς κλόνος τῆς γῆς, τὰ σχίσματα τῶν πετρῶν, αἱ τῶν μνημείων ἀνοίξεις, αἱ τῶν νεκρῶν ἐγέρσεις, καὶ,

τὸ κεφάλαιον πάντων, ἡ ὑπὲρ λόγον καὶ νοῦν ἀνάστασις τοῦ δεσπότου, καὶ ὅσα μετὰ ταύτην θεοπρεπῆ καθεξῆς οἱ ἀπόστολοι ἐθεάσαντο.

14 Δόξαν ὡς μονογενοῦς παρὰ πατρός,

Δόξαν, οὐχ οἵα ἡ τῶν δοξασθέντων ἁγίων ἢ ἀγγέλων, ἀλλὰ δόξαν ὄντως μονογενοῦς. Τὸ γὰρ, ὡς, ἐνταῦθα τὸ ὄντως δηλοῖ.

Μονογενοῦς δὲ *ἀπὸ πατρὸς*, ἤγουν, φύσει υἱοῦ τοῦ θεοῦ. Τὸ μὲν γὰρ ὀνομάζεσθαι μονογενῆ ἀπὸ μητρὸς, φύσει υἱὸν τῆς Παρθένου τοῦτον ἑρμηνεύει· τὸ δὲ λέγεσθαι μονογενῆ ἀπὸ πατρὸς, φύσει υἱὸν τοῦ θεοῦ τοῦτον ἀνακηρύττει.

14 Πλήρης χάριτος καὶ ἀληθείας.

Ἔτι βεβαιῶν, ὅτι ὁ λόγος, σὰρξ γενόμενος, οὐδὲν ἠλαττώθη παρὰ τοῦτο, λέγει, ὅτι *Πλήρης ἦν χάριτος θείας καὶ ἀληθείας*· χάριτος μὲν, ἐν ταῖς θαυματουργίαις· ἀληθείας δὲ, ἐν ταῖς διδασκαλίαις· καὶ χάριτος μὲν, ἐν τῷ πάντα δύνασθαι· ἀληθείας δὲ, ἐν τῷ μηδὲν ἔχειν φαντασίας.

15 Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε,

Εἰ καὶ μὴ ἐγώ, φησι, δοκῶ τισιν ἴσως ἀξιόπιστος, ἀλλὰ πρὸ ἐμοῦ ὁ Ἰωάννης μαρτυρεῖ περὶ τῆς θεότητος αὐτοῦ· Ἰωάννης ἐκεῖνος, οὗ τὸ ὄνομα μέγα καὶ περιβόητον παρὰ πᾶσι τοῖς Ἰουδαίοις. Καὶ οὐχ ἁπλῶς μαρτυρεῖ, ἀλλὰ καὶ *κέκραγεν*, ἤγουν, βοᾷ μετὰ παῤῥησίας, κηρύττει μετὰ ἐλευθερίας, χωρὶς πάσης ὑποστολῆς. Τὶ δὲ μαρτυρεῖ καὶ κέκραγεν, ἄκουσον·

15 Λέγων· Οὗτος ἦν, ὃν εἶπον· Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν·

Εἶπε γὰρ τοῦτό τε καὶ ἄλλα τοιαῦτα περὶ τοῦ Χριστοῦ τοῖς Ἰουδαίοις πρὸ τοῦ φανῆναι αὐτὸν, ὡς προφήτης, καὶ ἵνα τῇ περὶ αὐτοῦ φήμῃ προκατασχεθῶσιν, καὶ λοιπὸν φανέντος, εὐπαράδεκτος ἡ περὶ αὐτοῦ μαρτυρία γένηται. Καὶ γὰρ καὶ Ματ-

θαῖος ἔγραψεν, ὅτι ἔλεγεν (α)· *Ὁ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστιν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι.*

Τί δέ ἐστιν, *Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν;* Ὁ μετὰ μικρὸν ἐρχόμενος πρὸς ὑμᾶς, ὁ ὅσον οὔπω ἐμφανιζόμενος ὑμῖν, ὡς ἄνθρωπος, ὑπερέβη με τῇ δόξῃ καὶ μεγαλειότητι· πάνυ γὰρ μέλει δοξασθῆναι καὶ μεγαλυνθῆναι. Ὡς γεγεννημένον δὲ εἶπε τὸ μέλλον, νόμῳ προφητείας. Εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς τοιαύτης ὑπεροχῆς.

15 Ὅτι πρῶτός μου ἦν.

Ὅτι ὑπερκείμενός μου ἦν, ὡς θεός.

16 Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν,

Εἰπών, ὅτι πλήρης χάριτος καὶ ἀληθείας ἦν, καὶ δείξας αὐτὸν πηγὴν παντὸς ἀγαθοῦ ἀέναον καὶ ἀκένωτον, φησίν, ὅτι καὶ ἡμεῖς πάντες οἱ μαθηταὶ ἐκ τοῦ τοιούτου πληρώματος αὐτοῦ ἐλάβομεν κατὰ μετοχήν.

16 Καὶ χάριν ἀντὶ χάριτος.

Τὴν καινὴν Διαθήκην, ἀντὶ τῆς Παλαιᾶς. Ὅτι δὲ περὶ τούτων λέγει, δῆλον ἀπὸ τῶν ἐφεξῆς. Τέως δὲ χάριν καὶ ταύτην κἀκείνην ὠνόμασε· διότι κατὰ χάριν ἀμφότεραι ἐδόθησαν τοῖς λαβοῦσι, χαριζομένου τοῦ θεοῦ τούτοις δι' ἔλεον οἰκεῖον, οὐκ ἀμειβομένου τούτους διὰ προλαβούσας ἀρετὰς αὐτῶν.

Ὥσπερ δὲ διαθήκη καὶ διαθήκη λέγονται, καὶ νόμος καὶ νόμος, καὶ πολλὰ τοιαῦτα ὀνόματα κοινὰ ἔχουσιν· οὕτω καὶ χάρις καὶ χάρις ὀνομάζονται.

Ὁμωνύμως δὲ πάντα, καὶ οὐ συνωνύμως· τὰ ἐκείνης μὲν γάρ, στοιχείωσις, τὰ ταύτης δέ, τελείωσις· κἀκεῖνά μὲν παισὶ προσήκοντα· ταῦτα δέ, ἀνδράσιν. Ἢ ἐκεῖνα μέν, ἀνδράσι, ταῦτα δέ,

(α) Ματθ. Γ', 11.

ἀγγέλοις. Εἶτα δεικνύει τὸ διάφορον αὐτῶν, ἀπὸ τῶν διακονησαμένων αὐτοῖς.

17 Ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

Ὁ νόμος μέν, εἴτουν ἡ παλαιὰ Διαθήκη, διὰ Μωϋσέως μεσολαβήσαντος ἐδόθη τοῖς Ἑβραίοις· ἡ χάρις δέ, ἤγουν ἡ Νέα, διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο, οὐδενὸς ἑτέρου μεσολαβήσαντος. Καὶ Μωϋσῆς μὲν δοῦλος ἦν, καὶ ὅπερ ἔλαβεν ἐκ θεοῦ, τοῦτο ἔδωκε· Χριστὸς δὲ δεσπότης ἦν, καὶ αὐτὸς ἐποίησε τὴν Νέαν, ὡς θεός. Ὅσον οὖν τὸ διάφορον Μωϋσέως καὶ Χριστοῦ· τοσοῦτον ἄρα καὶ τούτων. Ἄνω μὲν οὖν χάριν καὶ χάριν εἶπε, διὰ τὴν ῥηθεῖσαν αἰτίαν· ἐνταῦθα δέ, μόνην τὴν νέαν Διαθήκην ἐκάλεσε χάριν, ὡς μᾶλλον χάριν. Μόνη γὰρ αὕτη χαρίζεται ἄφεσιν ἁμαρτιῶν, ἀναγέννησιν, υἱοθεσίαν, βασιλείαν οὐρανῶν, καὶ ἀγαθά, *ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη* (α).

Εἰπὼν δέ, ὅτι *ἡ χάρις*, προσέθηκεν, ὅτι *καὶ ἡ ἀλήθεια*, τὸ ἀψευδὲς αὐτῇ προσμαρτυρῶν, ἢ τὸ τέλειον· ἐκείνη μὲν γὰρ ἡ χάρις, ἀτελής· *ὁ νόμος γὰρ οὐδὲν ἐτελείωσε* (β), φησὶν ὁ ἀπόστολος· αὕτη δέ, τελεία, ὡς τελειοποιός. Ὅσον οὖν μείζονος χάριτος ἠξιώθημεν, τοσοῦτον μείζονα ἀρετὴν ὀφείλομεν, ἵνα μή, ἀναξίως τῆς τηλικαύτης εὐεργεσίας πολιτευσάμενοι, ἀξίαν τῆς τηλικαύτης ῥαθυμίας δίκην ὑφέξομεν.

18 Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο.

Ἐκ ποίας ἀκολουθίας εἰς τοῦτο ἦλθεν ὁ εὐαγγελιστής, πρόσχες. Δείξας τὸ διάφορον τοῦ νόμου τε καὶ τῆς χάριτος, ἐπάγει καὶ αἰτίαν εὔλογον τῆς διαφορᾶς, ὅτι τὸν μὲν νόμον Μωϋσῆς ἐκόμισεν, ἄνθρωπος, μὴ ἑωρακὼς τὸν θεόν· καὶ γὰρ *θεὸν οὐδεὶς ἑώρακε πώποτε*· καὶ διὰ τοῦτό ἐστιν ἐλάττων ὁ νόμος,

(α) Α' Κορ. Β', 9. (β) Ἑβρ. Ζ', 19.

ὡς παρὰ ἀνθρώπου κομισθείς· τὴν δὲ χάριν, ἤτοι, τὸ εὐαγγέλιον, ὁ μονογενὴς υἱὸς, ὁ ἐνδιαιτώμενος τῷ κόλπῳ τοῦ πατρὸς, καὶ ἀεὶ ὁρῶν τὸν θεὸν, ὡς θεὸς, ἐκεῖνος *ἐξηγήσατο*, συνέταξεν, ἐδίδαξε· καὶ διὰ τοῦτο μείζων ἡ χάρις, ὡς παρὰ θεοῦ γεγονυῖα, τοῦ ὁρῶντος τὸν θεὸν, καὶ γινώσκοντος τὰ τοῦ θεοῦ.

Ἀλλὰ πῶς εἶπεν, ὅτι *Θεὸν οὐδεὶς ἑώρακε πώποτε;* Καὶ γὰρ Ἡσαΐας μὲν *εἶδε τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου* (α)· Ἰεζεκιὴλ δὲ εἶδεν αὐτὸν καθήμενον ἐπὶ τῶν χερουβίμ (β)· καὶ Δανιὴλ δὲ εἶδεν αὐτὸν καθήμενον παλαιὸν ἡμερῶν (γ)· καὶ ἄλλοι δὲ τοῦτον ἑωράκασι· πλὴν οὐχ ὡς ἦν, κατὰ φύσιν, ἀλλ᾽ ὡς ἐφαίνετο, καθ᾽ ὁμοίωσιν· εἰ γὰρ αὐτὴν ἑώρων τὴν αὐτοῦ φύσιν, οὐκ ἂν διαφόρως αὐτὴν ἑώρων· ἁπλῆ γάρ τίς ἐστι καὶ ἀσχημάτιστος, καὶ οὔτε κάθηται, οὔτε ἕστηκεν, οὔτε περιπατεῖ· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα τῶν σωμάτων εἰσί. Διὸ καὶ ἔλεγεν· *Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην* (δ)· τὰς διαφόρους ὁράσεις καὶ τὴν ὁμοίωσιν δηλῶν.

Μονογενὴς μὲν οὖν ὁ υἱὸς ὀνομάζεται, ὅτι μόνος γεννᾶται τῷ πατρὶ, καὶ ὅτι ἐκ μόνου γεννᾶται πατρός. Ὁ γὰρ πατὴρ, αὐτοῦ μόνον ἐστὶ πατὴρ, οὐ μὴν καὶ υἱός τινος, ὡς οἱ ἄλλοι πατέρες· καὶ ὅτι μόνον γεννᾶται υἱὸς, οὐ μὴν καὶ πατήρ τινος, ὡς οἱ ἄλλοι υἱοί· καὶ ὅτι μονοτρόπως γεννᾶται, ἤγουν, ἰδιοτρόπως, καὶ ὑπὲρ ἔννοιαν καὶ λόγον, καὶ οὐχ ὡς τὰ σώματα. *Υἱὸς* δὲ λέγεται, ὅτι ταὐτὸν ἐστι τῷ πατρὶ κατ᾽ οὐσίαν, καὶ οὐκ ἐκεῖνο μόνον, ἀλλ᾽ ὅτι κἀκεῖθεν. *Κόλπον* δὲ τοῦ πατρὸς εἶπεν, οὐχ ὡς τοῦ θεοῦ κόλπον ἔχοντος· τῶν σωμάτων γὰρ ὁ κόλπος· ἀλλὰ διὰ τοῦ εἰπεῖν, *ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς*, τὸ γνήσιον τοῦ υἱοῦ καὶ ὁμοούσιον καὶ ἀχώριστον ἐσήμανεν.

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι τοῦ ῥητοῦ, τοῦ λέγοντος, ὅτι *Θεὸν οὐδεὶς ἑώρακε πώποτε*, ἐπιβεβαίωσίς ἐστι τὸ ἕτερον ῥητὸν, τὸ φάσκον ὅτι Ὁ *μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο*, τουτέστιν, ἐκεῖνος ἐδίδαξεν, ὅτι θεὸν οὐδεὶς ἑώρακε πώποτε. Περὶ τούτου γὰρ διαφόρως ὁ Χριστὸς εἶπεν, ὡς προβαίνοντες εὑρήσομεν. Οὐδεὶς δὲ κτιστὸς, οὐ μόνον ὑλικὸς, ἀλλ᾽ οὐδὲ ἄϋλος. Καὶ αὐταῖς γὰρ ταῖς ἀΰλοις δυνάμεσιν ἀόρατός ἐστι κατὰ φύσιν, ὁρώσαις, ὡς ἐφικτὸν, αὐταῖς.

(α) Ἡσ. Ϛʹ, 1. (β) Ἰεζ. Ιʹ, 18. (γ) Δαν. Ζʹ, 9.
(δ) Ὠσηὲ ΙΒʹ, 10.

19 Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου,

Αὕτη, περὶ ἧς εἰπεῖν μέλλει προϊών.

19 Ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ λευΐτας, ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ;

Η γενομένη δηλονότι, *ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι*, καὶ τὰ ἑξῆς. Οἱ γὰρ ἀρχιερεῖς καὶ πρεσβύτεροι τοῦ λαοῦ, πυνθανόμενοι μὲν τὰ κατὰ τὸν τόκον τοῦ Χριστοῦ παράδοξα, λαβόντες δὲ καὶ πεῖραν τῆς συνέσεως αὐτοῦ, ὅτε δωδεκαετὴς ὢν συνέμιξε τοῖς διδασκάλοις, ἀκούων καὶ ἐπερωτῶν αὐτοὺς, ὡς ὁ Λουκᾶς (α) ἱστόρησεν, ἐθορυβοῦντο, καὶ φθόνον ὠδίνειν ἤρχοντο· θεασάμενοι δὲ καὶ τὸν Ἰωάννην ὕστερον πολλὰ καὶ μεγάλα περὶ αὐτοῦ λέγοντα πρὸς τοὺς ἐρχομένους ἐπὶ τὸ βάπτισμα· συνῆκαν γὰρ, ὅτι περὶ ἐκείνου τὰ τοιαῦτα λέγει· μᾶλλον ἐταράχθησαν, καὶ ἀποστείλαντες ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ λευΐτας, ἤτοι διακόνους, ἐπηρώτουν αὐτόν· *Σὺ τίς εἶ;* οὐχ ὡς ἀγνοοῦντες· πᾶσι γὰρ ἦσαν γνώριμα τά τε κατὰ τὴν γέννησιν αὐτοῦ, καὶ τὰ κατὰ τὴν περιτομὴν καὶ κλῆσιν, ὡς καὶ λέγειν ἅπαντας (α)· *Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται;* ἀλλὰ κακοήθως ἄγνοιαν ὑποκρίνονται. Καὶ οὐ λέγουσιν, ὅτι Τίς εἶ; ἀλλ᾽ ὅτι Σὺ τίς εἶ; ἐμφαίνοντες, ὡς εἰ μείζων σου ἐστὶν ὁ παρὰ σοῦ κηρυττόμενος· λοιπὸν σὺ τίς εἶ, πρὸς ὃν πάντες ἀνεπτερώθημεν, καὶ περὶ οὗ μεγάλην ὑπόληψιν ἔσχομεν, καὶ ὃν διαφερόντως ἐσεβάσθημεν; Ὠιήθησαν γὰρ ἀνοήτως, ὅτι τοῦ λοιποῦ περιφρο-

(α) Λουκ. Βʹ, 46. (β) Λουκ. Αʹ, 66.

νηθῆναι δόξας, ἀνθρώπινόν τι πείσεται καὶ αὐτὸς, ὡς ἄνθρωπος, καὶ ὑπὸ φιλοδοξίας ἑαυτὸν εἶναι τὸν Χριστὸν ἂν εἴποι, καὶ λοιπὸν ἡ περὶ τοῦ Ἰησοῦ σβεσθήσεται φήμη, καθ' ἧς πάντα ἐπραγματεύοντο. Διὰ τοῦτο γὰρ καὶ ἀπέστειλαν οὐχ ἁπλῶς τινὰς, ἀλλὰ ἱερεῖς καὶ λευΐτας, καὶ τούτους ἐξ Ἱεροσολύμων, ὡς διαφορωτέρους τῶν ἐξ ἁπάσης ἑτέρας πόλεως καὶ πανουργοτέρους.

20 **Καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο·**

Ὡμολόγησε, τὴν ἀλήθειαν δηλονότι, ὡς ἀληθὴς καὶ στεῤῥός.

20 **Καὶ ὡμολόγησεν· Ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.**

Τὸ αὐτὸ πάλιν λέγει, τὴν ἀρετὴν αὐτοῦ βεβαιῶν, ὅτι οὐ μόνον οὐκ ἔπαθέ τι φιλόδοξον, οὐδ' ἐπεπήδησε τῇ δόξῃ τῇ δεσποτικῇ, ἀλλὰ καὶ δεδομένην παρὰ τῶν πολλῶν, οὐ προσήκατο. Καὶ ὅρα σύνεσιν! Οὐκ εἶπε, τίς ἐστιν, ὅπερ ὕστερον ἐποίησεν, ἀλλὰ πρὸς τὴν διάνοιαν αὐτῶν ἀπιδὼν, καὶ, τί βούλονται, γνοὺς, εὐθέως ἐκ προοιμίων ἀνεῖλεν, ὅπερ εἰπεῖν αὐτὸν ἤλπιζον. Εἶπε γὰρ, ὅτι *Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.*

21 **Καὶ ἠρώτησαν αὐτόν· Τί οὖν; Ἠλίας εἶ σύ; Καὶ λέγει· Οὐκ εἰμί.**

Ἀποτυχόντες ἤδη τῆς μηχανῆς, ἐφ' ἕτερον τρέπονται, συσκιάσαι τὸν σκοπὸν αὐτῶν βουλόμενοι, καὶ λέγουσι· *Τί οὖν; Ἠλίας εἶ σύ;* ἵνα δόξωσιν ἁπλῶς καὶ ἀπεριέργως ἐρωτᾷν. Καὶ γὰρ προσεδόκων ἥξειν καὶ τὸν Ἠλίαν. Γέγραπται γὰρ ἐν τῷ προφήτῃ Μαλαχίᾳ· *Ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱόν* (α). Πάλιν οὖν ἐρωτῶσιν, ἵνα ἀνύποπτοι γένωνται.

21 **Ὁ προφήτης εἶ σύ; Καὶ ἀπεκρίθη· Οὔ.**

Οὐ λέγουσιν, ὅτι Προφήτης εἶ σύ· ᾔδεισαν γὰρ, ὅτι προφήτης ἐστίν· ἀλλ' ὅτι *Ὁ προφήτης εἶ σύ;* δηλαδὴ ἐκεῖνος, περὶ οὗ ἔγραψε Μωϋσῆς. Ἔγραψε γὰρ αὐτοῖς (β), ὅτι *Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. Αὐτοῦ ἀκούσεσθε.* Οὗτος δὲ ἦν ὁ Χριστός.

(α) Μαλαχ. Δ', 4. 5. (β) Δευτερ. ΙΗ', 15.

22 **Εἶπον οὖν αὐτῷ· Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς**
23 **πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ; Ἔφη·**
Ἐγὼ « φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν Κυρίου· » καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης.

Ἀνεξικάκως αὐτοῖς ἐπὶ πᾶσιν ἀποκριθεὶς, νῦν λέγει, καὶ τίς ἐστιν· ὅτι ἐγώ εἰμι, περὶ οὗ τὸ, *Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν Κυρίου,* καὶ τὰ ἑξῆς. Τοῦτο δὲ τὸ ῥητὸν ἡρμήνευται καλῶς ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν αὐτοῦ.

24 **Καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων.**

Ἐπεσημήνατο καὶ τὴν αἵρεσιν αὐτῶν, ἐμφαίνων τὸ περίεργον τούτων, καὶ σκολιόν.

25 **Καὶ ἠρώτησαν αὐτὸν, καὶ εἶπον αὐτῷ· Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, οὔτε ὁ Ἠλίας, οὔτε ὁ προφήτης;**

Μὴ δυνηθέντες ἀνῦσαι τὸ σπουδαζόμενον, ἐπιχειροῦσιν ἐγκλήματι τοῦτον ὑποβαλεῖν, ἵνα φοβηθεὶς ἀναγκασθῇ εἰπεῖν, ὅπερ οὐκ ἦν· ὁ δὲ πάλιν ἐνδείκνυται πολλὴν ἐπιείκειαν.

26 **Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης, λέγων· Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε·**

Ἦν γὰρ ὁ Χριςὸς ἀναμεμιγμένος τότε τῷ λαῷ· ὡς εἷς γὰρ τῶν πολλῶν ἤρχετο ἐπὶ τὸ βάπτισμα, καὶ ἐγνώσθη τοῦτο τῷ Ἰωάννῃ διὰ θείας ἀποκαλύψεως. Τὸ δὲ, *Ὃν ὑμεῖς οὐκ οἴδατε,* περὶ τῆς θεότητος αὐτοῦ εἴρηται.

27 **Αὐτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν·**

Περὶ οὗ δηλονότι τὸν λόγον τοῦτον ἔλεγον. Ἡρμηνεύθη δὲ ἀνωτέρω.

27 Οὗ ἐγὼ οὐκ εἰμὶ ἄξιος, ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος.

Τὸ καθ' ὑπεροχὴν ἀσύγκριτον τοῦ Χριστοῦ δείκνυσιν ἐντεῦθεν, λέγων· ὅτι Οὐδ' εἰς τοὺς ἐσχάτους αὐτοῦ δούλους ταχθῆναι δύναμαι, διὰ τὸ μέγεθος τῆς ἡνωμένης αὐτῷ θεότητος. Τοῖς γὰρ ἐσχάτοις οἰκέταις ἐπιτέτραπται ἡ τοιαύτη ὑπηρεσία.

Ζήτησον δὲ καὶ ἐν προοιμίοις τοῦ κατὰ Μάρκον εὐαγγελίου τὴν ἐξήγησιν τοῦ, *Καὶ ἐκήρυσσε λέγων· Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ* (α).

28 Ταῦτα ἐν Βηθαβαρᾷ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων.

Τὰ ἀκριβῆ τῶν ἀντιγράφων, *ἐν Βηθαβαρᾷ*, γράφουσιν (1)· ἡ γὰρ Βηθανία, οὐ πέραν τοῦ Ἰορδάνου, οὐδ' ἐπὶ τῆς ἐρήμου ἐστίν· ἀλλ' ἐγγύς που τῶν Ἱεροσολύμων. Ἐπισημαίνεται δὲ τὸν τόπον, δεικνύων, ὅτι, πολλῶν παρόντων, ὁ Ἰωάννης ἐκήρυττε τὰ περὶ τοῦ Χριστοῦ. Τὰ μεταξὺ δὲ πάντα παραδραμὼν, πῶς τε ἐβαπτίσθη, καὶ πῶς ἄνωθεν ἐμαρτυρήθη, καὶ τὴν ἐν τῇ ἐρήμῳ τεσσαρακονθήμερον νηστείαν; καὶ τοὺς πειρασμοὺς, ὡς τοῖς ἄλλοις εὐαγγελισταῖς ἀπηγγελμένα, λοιπὸν διηγεῖται τὰ μετὰ τὴν ἀπὸ τῆς ἐρήμου κάθοδον αὐτοῦ, παραλελειμμένα τούτοις.

29 Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν,

Τῇ *ἐπαύριον*, μετὰ τὴν ἀπὸ τῆς ἐρήμου κάθοδον αὐτοῦ δηλονότι. Ἔτι γὰρ παρὰ τὸν Ἰορδάνην διέτριβεν ὁ Ἰωάννης.

Καὶ τίνος ἕνεκεν ἤρχετο πρὸς αὐτόν; Ἐπείπερ ὑπώπτευόν τινες, ὅτι ὡς ἁμαρτωλὸς ἐβαπτίσθη καὶ αὐτὸς εἰς μετάνοιαν ἐπίσης τοῖς ἄλλοις, ἔρχεται νῦν πρὸς τὸν Ἰωάννην, διδοὺς αὐ-

(α) Μαρκ. Α', 7. (1) Ἴδ. Χρυσοστ. Τομ. Η'. Σελ. 98. D. Ὠριγ. εἰς Ἰωαν. τομ. ς'. 24.

τῷ ἀφορμὴν, διορθώσασθαι τὴν τοιαύτην ὑποψίαν, διὰ μαρτυρίας ἐντελεστέρας.

29 Καὶ λέγει· Ἴδε, ὁ ἀμνὸς τοῦ θεοῦ,

Ἀμνὸν αὐτὸν προσηγόρευσεν, ἀναμιμνήσκων αὐτοὺς τῆς τε τοῦ νόμου σκιᾶς, καὶ τῆς Ἡσαΐου προφητείας, καὶ λέγων· Ἰδοὺ, ὁ ἀμνὸς, ὁ ἐν τῷ νόμῳ (1) σκιαγραφούμενος, καὶ ὑπὸ Ἡσαΐου (2) καταγγελλόμενος. Εἶτα προστίθησι καὶ τὸ ἰδιαίτατον καὶ ἐξαίρετον αὐτοῦ, ὅτι ὁ παρὰ θεοῦ πεμφθεὶς εἰς σφαγὴν ὑπὲρ σωτηρίας τῶν ἀνθρώπων. Ἤ, ὁ θεῖος, διὰ τὴν ἐν αὐτῷ θεότητα.

29 Ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

Ὁ μὲν γὰρ *ἀμνὸς* τοῦ νόμου θυόμενος, *ἁμαρτίαν* ἑνὸς γένους ἀφῄρει, τοῦ *ἰσραηλιτικοῦ*, ὡς τύπος καὶ προχάραγμα, καὶ σκιὰ τῆς ἀληθείας· ὁ δὲ ἀμνὸς τοῦ θεοῦ σφαγιασθεὶς, τὴν ἁμαρτίαν τοῦ κόσμου παντὸς ἀφαιρεῖ, καὶ καθαίρει τοὺς ἐν τῷ κόσμῳ, ὡς ἀλήθεια. Ἐκεῖνος μὲν γὰρ, ἄλογος· οὗτος δὲ, λογικός· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ θεῖος. Ἁμαρτίας δὲ νόει, μὴ μόνον τὰς ψυχικὰς κηλῖδας, ὧν ἐλευθεροῖ τοὺς τὰς ἐντολὰς αὐτοῦ φυλάσσοντας, ἀλλὰ καὶ τὰς σωματικὰς ἀῤῥωστίας, ὧν ἀπαλλάττει τοὺς κάμνοντας.

Εἰπὼν δὲ, ὅτι *Ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου*, ἔλυσε τὴν προειρημένην ὑποψίαν. Ὁ γὰρ τὰς τῶν ἄλλων ἀνθρώπων ἁμαρτίας ἀφαιρῶν, εὔδηλον, ὅτι οὐκ ἔχει ἁμαρτίας· μὴ ἔχων δὲ ἁμαρτίας, δι' ἑτέραν πάντως αἰτίαν ἦλθεν ἐπὶ τὸ βάπτισμα, ἣν αὐτὸς ὁ βαπτιστὴς ἐρεῖ μετὰ μικρόν.

30 Οὗτός ἐστι, περὶ οὗ ἐγὼ εἶπον· Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν· ὅτι πρῶτός μου ἦν.

Πάλιν δὲ λέγει τὸ, *ἔμπροσθέν μου γέγονε*, καὶ τὸ, *πρῶτός*

(1) ἐν ταῖς θυσίαις, παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ. (2) Ἡσ. ΝΓ', 7.

μου ἦν, ἀνυποστόλως ἑαυτὸν μὲν ἐξευτελίζων, ὡς δοῦλον· ἐκεῖνον δὲ ἀσυγκρίτως ὑπερτιθεὶς, ὡς δεσπότην.

31 Κἀγὼ οὐκ ᾔδειν αὐτόν·

Ἵνα μὴ νομίσωσιν, ὅτι ἔκπαλαι γνωρίζων αὐτὸν, τοιαῦτα περὶ αὐτοῦ μαρτυρεῖ, χαριζόμενος, ὡς συγγενεῖ, φησὶν, ὅτι Οὐκ ἐγίνωσκον αὐτὸν πρὸ τοῦ ἐλθεῖν ἐπὶ τὸν Ἰορδάνην, ἅτε τὸν ἅπαντα χρόνον ἐν ταῖς ἐρήμοις διατρίβων.

Καὶ μὴν ἔμβρυον ὢν, ἔμβρυον ὄντα τοῦτον ἐγνώρισε, καὶ ἐσκίρτησεν ἐν ἀγαλλιάσει, ὡς ὁ Λουκᾶς ἔγραψεν (α)· ἀλλ' οὐ κατὰ φύσιν, ὑπερφυῶς δὲ αὐτὸν ἐγνώρισε τότε, καὶ ὡς οὐδεὶς τῶν πάντων ἀνθρώπων. Νῦν δὲ, τριῶν οὐσῶν γνώσεων, τῆς δι' ὄψεως, καὶ τῆς δι' ἀκοῆς, καὶ τῆς προφητικῆς, κατ' οὐδεμίαν αὐτῶν ἐγίνωσκε τὸν Χριστὸν, πρὸ τοῦ ἐλθεῖν ἐπὶ τὸν Ἰορδάνην· τότε δὲ λοιπὸν καὶ κατὰ τὰς τρεῖς ἔγνω αὐτόν. Καὶ γὰρ ἀπεκαλύφθη τε αὐτῷ προφητικῶς τὰ περὶ αὐτοῦ· διὸ καὶ ἔλεγεν· *Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονε*. Καὶ εἶδεν αὐτόν· διὸ καὶ διεκώλυεν αὐτὸν λέγων· *Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι* (β)· καὶ ἤκουσε περὶ αὐτοῦ, ὅτι *Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα*, ὡς οἱ ἄλλοι εὐαγγελισταὶ ἐδίδαξαν (γ).

31 Ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων.

Ἰδοὺ, εἶπε καὶ τὴν αἰτίαν, δι' ἣν αὐτός τε ἦλθε βαπτίζειν, καὶ ὁ Χριστὸς παρεγένετο βαπτισθῆναι. Μία γὰρ καὶ ἡ αὐτὴ καὶ τούτου κἀκείνου, ὅτι ἵνα φανερωθῇ τοῖς Ἰσραηλίταις. Ἐπέμφθη γὰρ ὁ Ἰωάννης ὑπὸ θεοῦ πρὸς τὸν Ἰορδάνην κηρύσσων βάπτισμα μετανοίας, ἵνα διὰ τὸ βάπτισμα συνδράμωσι πολλοὶ, καὶ ἐπιστὰς ὁ Χριστὸς, ὡς βαπτισθησόμενος, μέσον πολλῶν μαρτυρηθῇ, κάτωθεν μὲν παρὰ Ἰωάννου, ἄνωθεν δὲ, παρὰ τοῦ

(α) Λουκ. Α', 41. (β) Ματθ. Γ', 14. (γ) Ματθ. Γ', 17. Μαρκ. Α', 11. Λουκ. Γ', 22.

πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος, καὶ ἐντεῦθεν ἐπισπασάμενος αὐτοὺς, ἄρξηται μυσταγωγεῖν καὶ θαυματουργεῖν. Οὐδὲ γὰρ ἂν οὕτω συνέδραμον ἅπαντες, οὐδ' ἂν ἤκουσαν τῆς τοιαύτης οὕτω μαρτυρίας, εἰ μὴ τοῦτο γέγονεν.

32 Καὶ ἐμαρτύρησεν Ἰωάννης, λέγων· Ὅτι τεθέαμαι τὸ
πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ
33 ἔμεινεν ἐπ' αὐτόν. Κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ'
ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν·
Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ'
αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.

Πάλιν τὸ, *Οὐκ ᾔδειν αὐτὸν*, ἵνα ἀνύποπτον πάντῃ τὴν οἰκείαν μαρτυρίαν ἐργάσηται.

Ἀλλὰ πότε εἶπεν αὐτῷ ὁ θεὸς, *Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον*, καὶ τὰ ἑξῆς; Ὅτε δηλονότι, μήπω φανέντος, τὰ περὶ αὐτοῦ ἀπεκάλυψεν αὐτῷ. Τότε μὲν γὰρ τά τε ἄλλα καὶ τοῦτο εἶπεν· ὕστερον δὲ καὶ ὑπέδειξεν αὐτὸν παραγενόμενον ἐπὶ τὸ βαπτισθῆναι.

Ὁ μὲν οὖν παρὼν εὐαγγελιστὴς, ὡς εἴρηται, παρέδραμε τὰ κατὰ τὸ βάπτισμα τοῦ Σωτῆρος, ὡς τοῖς ἄλλοις προϊσορηθέντα· ὁ δὲ Ματθαῖος πλατύτερον τῶν ἄλλων ἀπήγγειλεν αὐτὰ, καὶ ἀνάγνωθι κἀκεῖνα πρὸς ἐντελεστέραν διάγνωσιν.

34 Κἀγὼ ἑώρακα,

Τὸ πνεῦμα, δηλαδὴ, καταβαῖνον καὶ μένον ἐπ' αὐτόν.

34 Καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ.

Καὶ ποῦ τοῦτο μεμαρτύρηκεν; οὐδαμοῦ γὰρ ἀναγέγραπται. Μεμαρτύρηκε μὲν τοῦτο πάντως· παραλέλειπται δὲ τοῖς εὐαγγελισταῖς, ὥσπερ καὶ ἄλλα πολλά.

35 Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ τῶν
36 μαθητῶν αὐτοῦ δύο. Καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ.

Οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε, τὰ αὐτὰ περὶ αὐτοῦ φθέγγεται·

ἀλλ᾽ ἐπείπερ οὔπω καθίκετο τῆς ἀναισθησίας τῶν Ἰουδαίων· οὐδεὶς γὰρ αὐτὸν οὐδὲν ἠρώτησε περὶ αὐτοῦ· ἀναγκάζεται τὰ αὐτὰ λέγειν πάλιν, καὶ δευτέραις φωναῖς ἀφυπνίζει τὴν διάνοιαν αὐτῶν, ὥσπερ κοιμωμένην.

Καὶ ὃν τρόπον ὁ μὲν νυμφίος οὐδὲν τέως λέγει πρὸς τὴν νύμφην, οὐδ᾽ ἀφ᾽ ἑαυτοῦ λαμβάνει ταύτην· ὁ δὲ νυμφαγωγὸς πάντα διαλέγεται, καὶ παραδίδωσιν αὐτήν· ὅτε δὲ λάβῃ ταύτην ἐκεῖνος, οὕτω διατίθησιν, ὡς ἐπιλαθέσθαι πάντων· οὕτω καὶ νῦν, ὁ μὲν Χριστὸς ἔτι σιγᾷ· ὁ δὲ Ἰωάννης τὰ περὶ αὐτοῦ διαπραγματεύεται· διὸ καὶ φίλος αὐτοῦ κέκληται, ὡς τῷ γάμῳ παρὼν, καὶ πάντα ὑπὲρ τοῦ νυμφίου διακονῶν· λαβὼν δὲ τὴν νυμφευθεῖσαν ἐκκλησίαν ἐκεῖνος, οὕτως αὐτὴν διέθηκεν, ὡς ἐπιλαθέσθαι πάντων αὐτίκα. Καὶ καθάπερ ἐπὶ τῶν γάμων, οὐχ ἡ νύμφη πρὸς τὸν νυμφίον ἄπεισιν, ἀλλ᾽ οὗτος πρὸς αὐτὴν, κἂν ὁ μὲν εἴη βασιλέως υἱὸς, ἡ δὲ, παντάπασιν εὐτελής· οὕτω καὶ ἐνταῦθα γέγονεν. Αὐτὸς ὁ τοσοῦτος πρὸς τὴν εὐκαταφρόνητον παραγέγονε, καὶ ἁρμοσάμενος, οὐκ εἴασεν αὐτὴν ἐνταῦθα μένειν λοιπὸν, ἀλλά παραλαβὼν, εἰς τὸν πατρικὸν ἀνήγαγεν οἶκον, τὸν οὐρανόν.

37 Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ
ἠκολούθησαν τῷ Ἰησοῦ.

Πολλῶν ἀκροασαμένων, οὗτοι μόνοι ἤκουσαν, τοῖς ὠσὶ δηλονότι τῆς ψυχῆς, τῶν ἄλλων τοῖς ὠσὶ τοῦ σώματος ἀκουσάντων. Ἐκ μὲν γὰρ τῶν μαθητῶν τοῦ Ἰωάννου δύο τότε παρῆσαν· ἄλλοι δὲ πολλοὶ παρειστήκεισαν. Ἠκολούθησαν δὲ αὐτῷ, βουλόμενοι πεῖραν λαβεῖν αὐτοῦ.

38 Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκο-
λουθοῦντας, λέγει αὐτοῖς· Τί ζητεῖτε;

Οὐκ ἀγνοῶν, ὁ τοῖς λογισμοῖς τῶν ἀνθρώπων ἐμβατεύων· ἀλλ᾽ ἵνα διὰ τῆς ἐρωτήσεως οἰκειώσηται τούτους, καὶ παράσχῃ θαῤῥεῖν. Εἰκὸς γὰρ αὐτοὺς ἐρυθριᾷν ἔτι καὶ ἀγωνιᾷν, ὡς ἀγνῶτας.

39 Οἱ δὲ εἶπον αὐτῷ· Ῥαββὶ, (ὃ λέγεται ἑρμηνευόμενον,
διδάσκαλε,) ποῦ μένεις;

Μήπω μηδὲν παρ᾽ αὐτοῦ μαθόντες, διδάσκαλον αὐτὸν ὀνομάζουσι, τὴν αἰτίαν τε, δι᾽ ἣν ἦλθον, δηλοῦντες ἐντεῦθεν, ὅτι ἀκουσόμενοί τι τῶν χρησίμων, καὶ εἰς μαθητὰς εἰσωθοῦντες ἑαυτούς. Λέγουσι δέ· *Ποῦ μένεις;* βουλόμενοι κατὰ μόνας ἐντυχεῖν αὐτῷ καὶ μεθ᾽ ἡσυχίας.

40 Λέγει αὐτοῖς· Ἔρχεσθε καὶ ἴδετε.

Οὐ λέγει τὰ σύσσημα τῆς οἰκίας, θέλων αὐτοὺς ἀκολουθεῖν, ἵνα καὶ πλέον θαῤῥήσωσιν.

40 Ἦλθον καὶ εἶδον, ποῦ μένει· καὶ παρ᾽ αὐτῷ ἔμειναν
τὴν ἡμέραν ἐκείνην· ὥρα ἦν ὡς δεκάτη.

Ἐπισημαίνεται τὴν ὥραν, αἰνιττόμενος τούτων τε τὸ φιλομαθὲς, κἀκείνου τὸ φιλάνθρωπον, ὅτι οὐδ᾽ ὑπὸ τῆς ὥρας ἀπετράπησαν, ἤδη πρὸς δυσμὰς ὄντος τοῦ ἡλίου, οὐδ᾽ ἐπροφασίσαντο τὸν καιρὸν, εἴ τέ τι ἕτερον.

Εἰ δὲ ἀλλαχοῦ λέγει, μὴ ἔχειν (α)· ποῦ τὴν κεφαλὴν κλίνῃ, οὐ περὶ οἰκίας ἁπλῶς τοῦτό φησιν, ἀλλὰ περὶ ἰδίας. Ἰδίαν γὰρ οὐκ εἶχεν, ἀλλ᾽ ἀλλοτρίαις ἐκέχρητο.

Ὅτι μὲν οὖν παρ᾽ αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην, εἶπεν ὁ εὐαγγελιστής· ὅτι δὲ ἐδιδάχθησαν, ὡς πρόδηλον, ἀφῆκε νοεῖσθαι. Τοσοῦτον γὰρ ἐν μιᾷ νυκτὶ ὠφελήθησαν, ὡς μεθ᾽ ἡμέραν ἐφ᾽ ἑτέρων θήραν ἐλθεῖν αὐτούς.

Χρὴ τοίνυν καὶ ἡμᾶς μηδένα προφασίζεσθαι καιρὸν εἰς ἀκρόασιν θείαν, ἀλλὰ πάντα δεύτερα ταύτης λογίζεσθαι. Τἄλλα μὲν γὰρ, ὅσα βιωτικὰ, καιρὸν ἐχέτω· πρὸς ταύτην δὲ πᾶς ἡμῖν ἔστω καιρὸς ἐπιτήδειος.

41 Ἦν Ἀνδρέας, ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ

(α) Ματθ. Η´, 20.

τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ.

Τοῦ ἑτέρου παρεσιώπησε τὴν κλῆσιν, ἢ διότι οὐκ ἦν τῶν ἐπισήμων καὶ γνωρίμων ἐκεῖνος, ἢ ὅτι αὐτὸς ἦν, ὁ ταῦτα γράφων, ὥς τινες φασίν.

42 Εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν Μεσσίαν, (ὅ ἐστι μεθερμηνευόμενον, Χριστός)·

Σφόδρα χαίροντος ὁ λόγος. *Εὑρήκαμεν*, ὃν ἐζητοῦμεν, ὃν προσεδοκῶμεν ἥξειν, ὃν αἱ Γραφαὶ κατήγγελλον. Ἀφ᾽ ὧν γὰρ ἐμυσταγωγήθη, συνῆκεν, ὅτι αὐτός ἐστιν.

Ὅρα δὲ, ὅτι καὶ ἁλιεῖς ὄντες προσεῖχον ταῖς Γραφαῖς· ἡμεῖς δὲ, καὶ ὁμιλοῦντες αὐταῖς, οὐδ᾽ οὕτω προσέχομεν.

43 Καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν.

Εἰπὼν, ἃ ἤκουσε δηλονότι παρ᾽ αὐτοῦ. Τοῦτο γνησιότητος ἀδελφικῆς, τοῦτο φιλίας εἰλικρινοῦς, κοινωνὸν τοῦ ἀγαθοῦ προσλαμβάνειν καὶ τὸν ἀδελφόν. Ἴσως δὲ καὶ οὐδὲ εἶπεν, ἃ ἐμυσταγωγήθη, ἀλλὰ μόνον εἰπὼν, *Εὑρήκαμεν τὸν μεσσίαν*, ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν, τοῦτο μόνον σπουδάζων, ἀγαγεῖν αὐτὸν καὶ παραδοῦναι τῷ Χριςῷ, γινώσκων, ὅτι τὸ πᾶν ἐκεῖνος αὐτὸν, διδάξει.

43 Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε· Σὺ εἶ Σίμων, ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος.

Ἄρχεται λοιπὸν παρανοίγειν τὰ τῆς θεότητος ἀπὸ προῤῥήσεως. Οὐχ ἧττον γὰρ τῶν σημείων αἱ προφητεῖαι προσάγονται τοὺς ἀνθρώπους· ἔτι δὲ καὶ τὸ ἀνεπαχθέστερον ἔχουσι· τὰ μὲν γὰρ σημεῖα καὶ διέβαλλον οἱ ἀνόητοι· ἐν Βεελζεβοὺλ γάρ, φασιν, ἐκβάλλει τὰ δαιμόνια (α)· περὶ δὲ τῶν προφητειῶν οὐδὲν ἔλεγον τοιοῦτον.

(α) Ματθ. ΙΒ΄, 24. Λουκ. ΙΑ΄, 15.

Καὶ ἐπὶ μὲν τοῦ Σίμωνος καὶ τοῦ Ναθαναὴλ τούτῳ κέχρηται τῷ τρόπῳ· ἐπὶ δὲ τοῦ Ἀνδρέου καὶ τοῦ Φιλίππου οὐδὲν προφητεύει· διότι Ἀνδρέας μὲν προκατείληπτο διά τῆς μαρτυρίας Ἰωάννου· Φίλιππος δὲ, ὁρῶν τοὺς ἀκολουθοῦντας αὐτῷ, πρὸς πίστιν καὶ αὐτὸς ἐχειραγωγεῖτο. Προεφήτευσε δὲ περὶ τοῦ Πέτρου, τίνος τέ ἐστιν υἱὸς, καὶ τί κληθήσεται.

Ζήτησον δὲ καὶ πρὸς τῷ τέλει τοῦ τρίτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον τὴν ἐξήγησιν τοῦ, *Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφοὺς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν* (α). Ἔτι δὲ καὶ ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Μάρκον τὴν ἑρμηνείαν τοῦ, *Καὶ ἐπέθηκε τῷ Σίμωνι ὄνομα Πέτρον* (β). Ἀλλὰ καὶ πρὸς τῷ τέλει τοῦ δεκάτου κεφαλαίου τοῦ κατὰ Λουκᾶν τὴν διασάφησιν τοῦ, *Οἱ δὲ ἁλιεῖς, ἀποβάντες ἀπ᾽ αὐτῶν, ἀπέπλυναν τὰ δίκτυα* (γ). Συντελοῦσι γὰρ ἅπαντα εἰς τὸ προκείμενον.

Τοῦτον μὲν οὖν Πέτρον ὠνόμασεν, Ἰάκωβον δὲ καὶ Ἰωάννην, Υἱοὺς βροντῆς, δεικνύων, ὅτι αὐτός ἐστιν, ὁ καὶ ἐν τῇ Παλαιᾷ τὰ ὀνόματα μεταῤῥυθμίσας, καὶ τὸν μὲν Ἄβραμ, Ἀβραὰμ καλέσας, τὴν δὲ Σάραν, Σάῤῥαν, καὶ τὸν Ἰακὼβ, Ἰσραήλ. Τισὶ μὲν οὖν ἐκ γενετῆς ἐπέθηκε τὰ ὀνόματα, τισὶ δὲ, ὕστερον. Ὧν μὲν γὰρ ἡ ἀρετὴ διαλάμπειν ἔμελλεν ἐκ πρώτης τριχὸς (1), τούτους ἐξ ἀρχῆς ὠνόμασεν· ὧν δὲ, ὕστερον, τούτους, ὕστερον.

44 Τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ·
45 Ἀκολούθει μοι. Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδὰ, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου.

Τῇ ἐπαύριον μὲν ἠθέλησεν ἐξελθεῖν, οὐ τῇ ἐπαύριον δὲ εὑρίσκει τὸν Φίλιππον, ἀλλ᾽ ὕστερον, μετὰ τὸ ἐπισπάσασθαι Πέ-

(α) Ματθ. Δ΄, 18. (β) Μαρκ. Γ΄, 16. (γ) Λουκ. Ε΄, 2.

(1) Χρυσοστομ. Τομ. Η΄. Σελ. 113. Β. «ἐκ πρώτης ἡλικίας».

τρον καὶ Ἀνδρέαν, καὶ Ἰάκωβον καὶ Ἰωάννην, ὡς ἀπὸ τῶν ἄλλων εὐαγγελιστῶν ἔξεστι διαγινώσκειν.

Ἀλλὰ τίνος ἕνεκεν οὐκ ἐμνημόνευσε, πῶς αὐτοὺς εἵλκυσε, περιπατῶν παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας; Διότι Ματθαῖος καὶ Μάρκος τοῦτο παραδεδώκασιν· ἐπεὶ δὲ τὰ κατὰ τὸν Φίλιππον ἐκεῖνοι παρέδραμον, ταῦτα νῦν οὗτος ἀπαγγέλλει. Λέγει δὲ αὐτῷ ὁ Ἰησοῦς, *Ἀκολούθει μοι*, γινώσκων, ὅτι ποθεῖ μὲν ἀκολουθῆσαι καὶ αὐτὸς, ἀκηκοὼς περὶ αὐτοῦ παρὰ τῶν ἀκολουθούντων· εὐλαβεῖται δέ. Λύει οὖν αὐτοῦ τὴν αἰδῶ. Λέγει δὲ ὁ εὐαγγελιστὴς, καὶ ποίας πόλεως ἦν, ὅτι ἀπὸ Βηθσαϊδὰ, τῆς εὐτελοῦς καὶ φαύλης, ἵνα μάθῃς, ὅτι τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ θεός.

46 **Εὑρίσκει Φίλιππος τὸν Ναθαναήλ,**

Μετὰ τὸ ἀκολουθῆσαι τῷ Χριστῷ δηλονότι.

46 **Καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται, εὑρήκαμεν·**

Πεῖραν αὐτοῦ λαβὼν, κῆρυξ αὐτοῦ γίνεται παραυτίκα· καὶ γινώσκων τὸν Ναθαναὴλ ἀκριβέστατον ἔν τε ταῖς νομικαῖς, καὶ ταῖς προφητικαῖς γραφαῖς· καὶ γὰρ ἦν τὰ τοιαῦτα ἄριστα διεσκεμμένος, ὡς καὶ ὁ Χριστὸς ἐμαρτύρησε, καὶ τὸ ἔργον ἔδειξεν· ἐπὶ τὸν Μωϋσέα καὶ τοὺς προφήτας αὐτὸν παραπέμπει, κατασκευάζων ἐκεῖθεν ἀξιόπιστον τὴν περὶ τοῦ Χριστοῦ μαρτυρίαν ἑαυτοῦ.

46 **Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσήφ·**

Ἐπι γὰρ τούτου υἱὸς εἶναι ἐνομίζετο.

46 **Τὸν ἀπὸ Ναζαρέτ.**

Ἐκ Ναζαρὲτ ἐλέγετο, διὰ τὸ τραφῆναι ἐν αὐτῇ.

47 **Καὶ εἶπεν αὐτῷ Ναθαναήλ· Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι;**

Ἀκούων τοῦ προφήτου λέγοντος· *Καὶ σὺ Βηθλεὲμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν Ἰσραήλ·* ἐκ Βηθλεὲμ προσεδόκα τὸν Χριστόν. Μαθὼν δὲ νῦν, ὅτι ἀπὸ Ναζαρέτ ἐστιν, ἐθορυβήθη, καὶ διηπόρησεν, οὐχ εὑρίσκων συμβαίνοντα τῇ προφητείᾳ τὸν λόγον τοῦ Φιλίππου. Διὸ καὶ λογισάμενος, ἐσφάλθαι τοῦτον περὶ τὸν τόπον, ἐπιεικῆ ποιεῖται παραίτησιν, οὐ τοῦ εὑρεθῆναι αὐτὸν, ἀλλὰ τοῦ ἀπὸ Ναζαρὲτ εἶναι, καὶ ὁμαλῶς πως, ἐν ἐρωτήσεως τάξει, διωθεῖται τοῦτο, δεικνύων τὸ περὶ τὰς Γραφὰς ἀκριβὲς αὐτοῦ, καὶ τὸ τῶν τρόπων ἀνεξαπάτητον.

Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἆρα ἐκ Ναζαρὲτ ἐνδέχεταί τι ἀγαθὸν εἶναι, καὶ ταῦτα τοιοῦτον (1), τῆς οὕτω φαύλης καὶ ἀπεῤῥιμμένης; Διεβάλλετο γὰρ παρὰ τοῖς Ἰουδαίοις ἡ Γαλιλαία· τῆς δὲ Γαλιλαίας ἐστὶ πόλις ἡ Ναζαρέτ. Ἔλεγε δὲ τοῦτο, πεπληροφορημένος, ὅτι ὁ προσδοκώμενος οὐκ ἔστιν ἀπὸ Ναζαρὲτ, ἀλλ' ἐκ Βηθλεέμ.

47 **Λέγει αὐτῷ Φίλιππος· Ἔρχου καὶ ἴδε.**

Ἀγνοῶν τὸν τρόπον, δι' ὃν εἶπε τοῦτο, καὶ ἁπλῶς αὐτὸν διαβάλλειν τὴν Ναζαρὲτ οἰηθεὶς, ἕλκει τοῦτον ἐπὶ τὸν Χριστὸν, ὡς αὐτίκα πεισθησόμενον, εἰ μόνον γεύσεται τῆς διδασκαλίας καὶ ὁμιλίας αὐτοῦ.

48 **Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης,**

Ἐπῄνεσεν αὐτὸν, ἐπιγινώσκοντα, ἃ ἀναγινώσκει· τοῦτο γὰρ τοῦ ἀληθῶς Ἰσραηλίτου. Οἱ γὰρ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ κατ' ἐκείνους, οὐ προσέχοντες, οἷς ἀνεγίνωσκον, ψευδώνυμοι ἦσαν Ἰσραηλῖται.

48 **Ἐν ᾧ δόλος οὐκ ἔστι.**

Δόλον λέγει, τὴν ἐπικάλυψιν τῆς ἀληθείας, τὴν πονηρίαν.

(1) Οἷον, δηλονότι, ὁ Μεσσίας.

49 Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις;

Οὐκ ἐχαυνώθη τοῖς ἐπαίνοις, ἀλλ' ἐζήτησε μαθεῖν, πόθεν αὐτὸν γινώσκει τοιοῦτον, οἷον λέγει.

49 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε.

Ὁ μὲν, ὡς ἄνθρωπον αὐτὸν ἐξήταζεν ἔτι· αὐτὸς δὲ, ὡς θεὸς αὐτῷ ἀποκρίνεται· λέγει γὰρ ἰδεῖν, ὃ οὐδεὶς ἑώρακε. Πρὸ τοῦ ἐντυχεῖν γὰρ αὐτῷ τὸν Φίλιππον, ἦν ὑπὸ τὴν συκῆν, οὐδενὸς παρόντος, ἢ ὁρῶντος αὐτόν. Δέδωκεν οὖν τεκμήριον ἀναντίῤῥητον τοῦ γινώσκειν αὐτὸν, καὶ ὁρᾷν τὰ τοῖς ἀνθρώποις ἀθέατα· διὸ καὶ τὸν καιρὸν εἶπε, καὶ τὸν τόπον, καὶ τὸ δένδρον. Καὶ ἅμα ἔδειξεν, ὅτι καὶ ἤκουσε πάντως ὃ εἶπεν, ὅτι Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι· καὶ ἐκ τούτου μᾶλλον συνῆκεν, ὅτι αὐτός ἐστιν ὁ Χριστός. Ἐλογίσατο γὰρ, ὅτι εἰ μὴ ἦν, οὐκ ἂν ἐπῄνεσεν αὐτόν· ἀλλ' ἀπώσατο ἄν. Λοιπὸν οὖν ἔκ τε τῆς προφητείας, ἔκ τε τοῦ ἐπαίνου πεπίστευκεν, ὅτι αὐτός ἐστι.

Προφητεία δέ ἐστιν, οὐκ ἐπὶ τῶν μελλόντων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν παρελθόντων, ὡς ἡ Μωϋσέως περὶ τῆς κοσμογενείας· καὶ ἐπὶ τῶν ἐνεστώτων, ὡς ὅταν ὁ Χριστὸς λέγῃ τὰ ἐν ταῖς καρδίαις τῶν ἀνθρώπων.

50 Ἀπεκρίθη Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ῥαββὶ, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ.

Ἔγνω ψυχὴν ὑπὸ περιχαρείας σκιρτῶσαν, καὶ περιπτυσσομένην αὐτὸν τοῖς ῥήμασι τούτοις· Σὺ εἶ, φησὶν, αὐτὸς ἐκεῖνος, ὁ προσδοκώμενος.

Ἀλλὰ τίνος ἕνεκεν ὁ Πέτρος μὲν, μετὰ τοσαῦτα θαύματα καὶ τοσαύτην διδασκαλίαν, ὁμολογήσας αὐτὸν υἱὸν τοῦ θεοῦ, ἐμακαρίσθη· ὁ Ναθαναὴλ δὲ, καὶ πρὸ τῶν θαυμάτων, καὶ πρὸ τῆς διδασκαλίας τὸ αὐτὸ ποιήσας, οὐκ ἐμακαρίσθη; Διότι εἰ καὶ τὸ αὐτὸ ἐφθέγξαντο, ἀλλ' οὐ μετὰ τῆς αὐτῆς διανοίας. Ὁ Πέτρος μὲν γὰρ, φύσει υἱὸν τοῦ θεοῦ τοῦτον ὡμολόγησεν· ὁ Να-

θαναὴλ δὲ, υἱὸν τοῦ θεοῦ θέσει· καὶ ὁ μὲν, θεὸν κυρίως· ὁ δὲ, θεὸν κατὰ χάριν. Καὶ τοῦτο δῆλον ἀπὸ τοῦ ἐπαγαγεῖν· *Σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ.* Ὁ γὰρ φύσει υἱὸς τοῦ θεοῦ, οὐ μόνον τῶν Ἰσραηλιτῶν, ἀλλὰ πάντων βασιλεύς ἐστιν. Οὐκ ἐντεῦθεν δὲ μόνον τοῦτο δῆλον, ἀλλὰ καὶ ἀφ' ὧν ὁ Χριστὸς ἀπεκρίθη, προάγων τοῦτον ἐπὶ τελειοτέραν ὁμολογίαν, καὶ διδάσκων, μὴ ὡς ἀνθρώπῳ ψιλῷ προσέχειν αὐτῷ.

51 Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ὅτι εἶπόν σοι· Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει.

Ἵνα καὶ μεῖζον πιστεύσῃς. Ἔτι γὰρ μικρὰ ἀκούσας, μικρὰ ἐπίστευσεν.

52 Καὶ λέγει αὐτῷ· Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

Ὡς γὰρ ἐπὶ γνήσιον υἱὸν τοῦ θεοῦ, ἀνέβαινον καὶ κατέβαινον οἱ ἄγγελοι τοῦ θεοῦ ἐπ' αὐτὸν, διακονοῦντες· τοῦτο μὲν, παρὰ τὸν καιρὸν τοῦ πάθους, τοῦτο δὲ, παρὰ τὸν τῆς ἀναστάσεως, τοῦτο δὲ, παρὰ τὸν τῆς ἀναλήψεως. Ὧ δὲ ἄγγελοι διακονοῦσι δουλοπρεπῶς, οὗτος οὐκ ἔστιν ἄνθρωπος ἁπλῶς, ἀλλὰ καὶ θεὸς καὶ δεσπότης αὐτῶν. *Ἀμὴν, ἀμὴν λέγω ὑμῖν*, τοῖς πιστοῖς· *Ἀπ' ἄρτι ὄψεσθε*, μετὰ τὸ πιστεῦσαι γνησίως. Ταῦτα δέ εἰσι τὰ μείζω, περὶ ὧν εἶπεν, ὅτι *Μείζω τούτων ὄψει.*

Ὄψιν δὲ νόησον, καὶ τὴν γνῶσιν. Ἔγνωσαν γὰρ ταῦτα πάντες οἱ μαθηταὶ, οἱ μὲν, ἰδόντες, οἱ δὲ, ἀκούσαντες παρὰ τῶν ἰδόντων.

Ὅπερ δὲ ἐν ἄλλοις, τοῦτο καὶ νῦν ποιεῖ. Δύο γὰρ εἰπὼν προῤῥήσεις, τὴν μὲν, ὁμολογουμένην· ὅτι Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε· τὴν δὲ, ἀμφίβολον· ὅτι Ὄψονται τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τὰ ἑξῆς· ἀπὸ τῆς ὁμολογουμένης βεβαιοῖ τὴν ἀμφίβολον. Διὸ καὶ σεσίγηκε μὲν ὁ Ναθαναὴλ, ἔστησε δὲ καὶ ὁ Χριστὸς μέχρι τούτου τὸν λόγον, ἀφεὶς

αὐτὸν κατ' ἰδίαν ἀναλογίσασθαι τὰ λεχθέντα. Καταβαλὼν γὰρ εἰς γῆν καλὴν τὸν σπόρον, κατέλιπεν ἐπὶ σχολῆς βλαστῆσαι λοιπόν.

[Ἀναβαίνοντας(1) εἶπε πρῶτον, δηλῶν τοὺς ἄχρι τούτου(2) συμπαρόντας καὶ διακονοῦντας αὐτῷ.]

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τοῦ ἐν Κανᾷ γάμου.

ΚΕΦ. ΙΙ, 1 Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας·

Τῇ τρίτῃ, μετὰ τὴν ἀπὸ τῆς ἐρήμου κάθοδον τοῦ Χριστοῦ.

1 Καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ.

Κληθεῖσα παρὰ τῶν τελούντων τὸν γάμον, ὡς γνώριμος.

2 Ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον.

Καὶ αὐτοί, ὡς γνώριμοι. Καὶ ἀπῆλθεν ὁ Σωτὴρ, οὐ πρὸς τὴν ἑαυτοῦ βλέπων ἀξίαν, ἀλλὰ πρὸς τὴν τῶν ἀνθρώπων ὠφέλειαν. Καὶ ὁ τὸν γάμον νομοθετήσας, ἦλθε τιμήσων τὸν γάμον, καὶ ἁγιάσων αὐτὸν τῇ παρουσίᾳ· καὶ ὁ μορφὴν δούλου λαβὼν, οὐκ ἀπηξίωσεν εἰς γάμον δούλων παραγενέσθαι, εἰ καὶ τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν οὐκ εἶχον οἱ καλέσαντες. Ὡς γὰρ ἁπλῶς γνώριμον, καὶ τῶν πολλῶν ἕνα, τοῦτον ἐκάλεσαν.

3 Καὶ ὑστερήσαντος οἴνου, λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· Οἶνον οὐκ ἔχουσι.

Ὑστερήσαντος, ἤτοι, ἐνδεήσαντος, ἐλλείψαντος. Οὔπω μὲν οὖν ἕως τότε θαῦμα πεποίηκεν. Ἐπεὶ δὲ μεμάθηκεν ἡ μήτηρ τὰ κατ' αὐτὸν, ὅτι τε δι' αὐτὸν ἦλθεν ὁ Ἰωάννης, καὶ ὅτι μεμαρτύρηκε περὶ τῆς θεότητος αὐτοῦ, καὶ ὅτι καὶ οὐρανόθεν ἐμαρτυρήθη, ἅμα δὲ καὶ εἶδεν, ὅτι μαθητὰς προσελάβετο, συνῆκεν, ὅτι ἤρξατο λοιπὸν ἀποκαλύπτεσθαι. Διὸ καὶ θαῤῥήσασα παρεκάλεσεν αὐτὸν εἰς θαυματουργίαν οἴνου ἐλλείποντος, βουλομένη καὶ τοῖς καλέσασι καταθεῖναι χάριν, καὶ ἑαυτὴν λαμπροτέραν ἀποφῆναι διὰ τῆς τοῦ υἱοῦ δυνάμεως. Διὸ καὶ ἐπιτιμᾷ αὐτῇ, οὐκ ἀτιμάζων, ἀλλὰ διορθούμενος, ὡς ἀκαίρως παρακαλέσασαν. Ὅτι γὰρ σφόδρα ταύτην ἐτίμα, δῆλον ἀπό τε πολλῶν ἄλλων, καὶ ἀπὸ τοῦ πληρῶσαι τὴν τοιαύτην αὐτῆς παράκλησιν. Ἐπετίμησε μὲν γὰρ αὐτῇ, παιδεύων, μηκέτι τοιαῦτα ζητεῖν, ἀλλ' ἐᾷν τὰ θαύματα κατὰ λόγον γίνεσθαι· ἐπήκουσε δὲ αὐτῆς, τιμῶν, ὡς μητέρα.

4 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Τί ἐμοὶ καὶ σοί, γύναι;

Τί ἡμῖν ἀναγκαῖον, περὶ οὗ παρακαλεῖς; τί τὸ κατεπεῖγον οὕτως ἡμᾶς; Ἔστι δὲ καὶ ἑτέρως νοῆσαι· Τί κοινὸν ἐμοὶ καὶ σοί; ἐγὼ μὲν γὰρ οἶδα τοὺς προσήκοντας καιροὺς τῶν θαυμάτων, ὡς θεός· σὺ δὲ ἀγνοεῖς αὐτούς, ὡς ἄνθρωπος. Οὐκ εἶπε δὲ, *μῆτερ*, ἀλλὰ, *γύναι*, ὡς θεός.

4 Οὔπω ἥκει ἡ ὥρα μου.

Οὔπω πάρεστιν ἡ ὥρα μου, ἡ τοῦ θαυματουργῆσαι, ὃ ζητεῖς. Τότε γὰρ πάρεστιν, ὅταν οἱ δεόμενοι τοῦ θαύματος ἐπιγνῶσιν, ὅτι δύναμαι τοιαῦτα ποιεῖν, καὶ αὐτοί με παρακαλέσωσι. Νῦν δὲ ἡ τῆς μητρὸς παράκλησις, οὐ μόνον ἄκαιρος, ἀλλὰ καὶ ὕποπτος, καὶ τοῖς μεμψιμοίροις εὐεπηρέαστος.

Τὸ δὲ, *Οὔπω ἥκει ἡ ὥρα μου*, καὶ τὸ, Οὐκ ἠδύναντο αὐτὸν πιάσαι, ὅτι *οὔπω ἥκει ἡ ὥρα αὐτοῦ* (α), καὶ τὸ, Οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, ὅτι *οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ* (β), καὶ τὸ, Πάτερ, *ἐλήλυθεν ἡ ὥρα* (γ), καὶ τὰ τοιαῦτα, οὐ δη-

---

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ. (2) ἄχρι τότε, παρὰ τῷ Α.

(α) Ἰωαν. Η', 20. (β) Ἰωαν. Ζ', 30. (γ) Ἰωαν. ΙΖ', 1.

λοῦσιν, ὅτι καιρῶν ἀνάγκαις καὶ ὡρῶν παρατηρήσεσιν ὑπέκειτο· πῶς γάρ; ὁ τούτων ποιητής; ἀλλὰ ταῦτα, περὶ τῶν προσηκόντων καιρῶν εἴρηται, ἐμφαίνοντα, ὅτι πάντα ἔδει κατὰ λόγον καὶ τάξιν γίνεσθαι. Εἰπὼν οὖν, ὅτι *Οὔπω ἥκει ἡ ὥρα μου*, ἐποίησε τὸ θαῦμα, τιμῶν τε, ὡς εἴρηται, τὴν μητέρα, καὶ δεικνύων, ὅτι οὐ δουλεύει καιροῖς, ἀλλὰ κυριεύει τούτων.

5 Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· Ὅ,τι ἂν λέγῃ
ὑμῖν, ποιήσατε.

Συνεῖσα τὸν τοῦ λόγου σκοπὸν, καὶ ὅτι οὐκ ἀδυναμίας ἡ παραίτησίς ἐστιν, ἀλλ' ἵνα μὴ δοκῇ τοῖς θαύμασιν ἐπιπηδᾷν, καὶ θεατρίζειν ἑαυτὸν, καὶ ὅτι οὐ παρόψεται τὴν ταύτης παράκλησιν, τοὺς διακόνους τῆς τραπέζης εὐτρεπεῖς αὐτῷ παριστᾷ, τρόπον ἕτερον καὶ αὐτοὺς συμπαρακαλοῦντας.

6 Ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ, κείμεναι κατὰ τὸν
καθαρισμὸν τῶν Ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητὰς
δύο ἢ τρεῖς.

Ὑδρίαι μὲν, τὰ σκεύη τοῦ ὕδατος· *μετρηταὶ* δὲ, τὰ μέτρα. Ἔκειντο δὲ πρὸς τὸν καθαρισμὸν τῶν Ἰουδαίων, ὑπηρετοῦσαι τούτοις εἰς τὸν καθαρισμὸν, ἵνα εἴ ποτε ἀκάθαρτοι γένοιντο, μὴ πόῤῥω βαδίζοιεν εἰς πηγὰς καὶ κρήνας.

[Τοῦ ἁγίου Μαξίμου (1). *Ἓξ ὑδρίας* νόει μοι, τοὺς ἓξ τρόπους τῆς ἐλεημοσύνης, τὸν τοῦ τρέφειν τοὺς πεινῶντας, τὸν τοῦ ποτίζειν τοὺς διψῶντας, τὸν τοῦ συνάγειν τοὺς ξένους, τὸν τοῦ περιβάλλειν τοὺς γυμνοὺς, τὸν τοῦ ἐπισκέπτεσθαι τοὺς ἀσθενοῦντας, τὸν τοῦ ἔρχεσθαι πρὸς τοὺς ἐν φυλακῇ. Ταύτας οὖν τὰς ὑδρίας, κενὰς οὔσας τῶν οἰκείων ἐνεργειῶν, διὰ τὸ ψυγῆναι τὴν ἀγάπην, ἀφ' ἧς, ὡς ἀπὸ πηγῆς, ἐπληροῦντο, παραγενόμενος ὁ θεῖος λόγος τῶν εὐαγγελικῶν ἐντο-

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περιθωρίῳ.

λῶν (1), πρῶτον μὲν ἐπλήρωσεν ὕδατος, λέγω δὴ, τῆς σωματικῶς ἐνεργουμένης εὐποιΐας, εἶτα μετέβαλε ταύτην εἰς τὴν πνευματικῶς ἐπιτελουμένην. ὡς εἰς οἶνον, θερμαίνουσαν μὲν τὴν ψυχὴν, εὐφραίνουσαν δὲ τὸν νοῦν, ἐξιστῶσαν δὲ τοὺς οὕτω θεραπευομένους τῆς προτέρας διαθέσεως. Ἑκάστη δὲ ὑδρία χωρητική ἐστι δύο ἢ τριῶν μετρητῶν· δύο μὲν, διὰ τὸ διπλοῦν, ὡς εἴρηται, τῆς καθ' ἕκαστον τρόπον εὐποιΐας, οὐ μόνον σωματικῶς, ἀλλὰ καὶ πνευματικῶς λαμβανομένης· τριῶν δὲ, διὰ τὸ κατὰ τὴν τῆς ἁγίας Τριάδος θεολογίαν ἔστιν ὅτε τὴν εὐεργεσίαν ἐπιτελεῖσθαι. Ἀντλοῦσι δὲ τὸ δηλωθὲν ὕδωρ οἱ ἀγαθοὶ λογισμοὶ, τῷ λόγῳ διακονοῦντες. Τούτου δὲ τοῦ οἴνου γευσάμενος ὁ ἀρχιτρίκλινος, ἤγουν, ὁ διακριτικὸς λογισμὸς, φησὶν, ὅτι ἔδει τὸν καλὸν τοῦτον οἶνον πρῶτον ποθῆναι· τῆς γὰρ σωματικῆς ἐπιμελείας προτιμοτέρα ἡ ψυχική. Νυμφίος δὲ ἐνταῦθα, ὁ ἀνθρώπινος νοῦς, ὡς νύμφην ἁρμοζόμενος ἑαυτῷ τὴν ἀρετὴν πρὸς συμβίωσιν, ὧν τὴν συζυγίαν τιμῶν ὁ Θεὸς καὶ λόγος, παραγίνεται διασφίγγων αὐτῶν τὴν ἕνωσιν.]

[Ἔστι (2) δὲ καὶ ἑτέρως ἐπιβαλεῖν τῇ θεωρίᾳ τῶν ἓξ ὑδριῶν. Εἶεν γὰρ ἂν αὗται, ἡ ποιητικὴ τῶν καθηκόντων δύναμις τῆς ἀνθρωπίνης φύσεως, ἣν, κενὴν καὶ ἀνενέργητον κειμένην, ἐπλήρωσεν ὁ θεῖος λόγος, πρῶτον μὲν τῆς κατὰ σωματικὴν ἐπιμέλειαν γνώσεως, εἶτα τῆς κατὰ ψυχικήν· ἢ πρῶτον μὲν τῆς κατὰ πρᾶξιν, εἶτα τῆς κατὰ θεωρίαν· ἢ καὶ πρῶτον μὲν τῆς κατὰ φύσιν, εἶτα τῆς ὑπὲρ φύσιν. Τῶν δὲ δύο μετρητῶν, εἷς μὲν, ἡ τῶν αἰσθητῶν γνῶσις, ἕτερος δὲ, ἡ τῶν νοητῶν, καὶ τρίτος, ἡ περὶ τῆς ἀκαταλήπτου θεότητος ἔλλαμψις. Εἰς δὲ τὸν ἓξ ἀριθμὸν ἐλάβομεν τὴν ποιητικὴν τῶν καθηκόντων δύ-

(1) Αἱ λέξεις «τῶν εὐαγγελικῶν ἐντολῶν» δύνανται καὶ ν' ἀφαιρεθῶσιν ἐντεῦθεν χωρίς τινος βλάβης τῆς ἐννοίας. Πλὴν καὶ εἰς τὸ τέλος τοῦ ἐπιμένου σχολίου ἀναγινώσκεται πάλιν «τοῦ θείου λόγου, τοῦ εὐαγγελικοῦ κηρύγματος».

(2) Καὶ ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περιθωρίῳ

ναμιν τῆς φύσεως, ἢ ὅτι ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ θεὸς τὸν κόσμον· κόσμος δὲ καὶ ὁ ἄνθρωπος· ἢ ὅτι ταῖς πέντε ψυχικαῖς δυνάμεσι συναριθμοῦμεν καὶ αὐτὴν τὴν ψυχὴν, ὡς ταῖς πέντε τοῦ σώματος αἰσθήσεσι καὶ αὐτὸ τὸ σῶμα. Ὥσπερ δὲ ἡ καθαρὰ καὶ ἀληθὴς παρθένος Μαρία, μήτηρ ἐγένετο τοῦ θεοῦ λόγου· οὕτως ἡ καθαρὰ καὶ ἀληθὴς πίστις, μήτηρ γίνεται τοῦ θείου λόγου, τοῦ εὐαγγελικοῦ κηρύγματος.]

7 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Γεμίσατε τὰς ὑδρίας ὕδατος. Καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω.

Τοὺς διακόνους τῆς τραπέζης, ποιεῖται διακόνους τοῦ θαύματος, ἵνα αὐτοὶ μάρτυρες ὦσι τοῦ πράγματος. Οὐ προσέταξε δὲ γεμίσαι τὰ ἀγγεῖα τοῦ οἴνου, ἀλλὰ τὰ δοχεῖα τοῦ ὕδατος, ἵνα μή τινες ὑποπτεύσωσιν, ὅτι, τρυγὸς ἐναποκειμένης, κρᾶσις τοῦ ὕδατος γέγονεν.

Καὶ διὰ τί οὐκ αὐτὸς λόγῳ μόνῳ τὰς ὑδρίας ἐπλήρωσεν, ἀλλὰ τοῖς διακόνοις ἐπέταξεν; Ἵνα μὴ δόξῃ φαντάζειν, ἀλλ' ἵνα οἱ ἀντλήσαντες τὸ ὕδωρ ἐπιστομίζοιεν τοὺς τὸ θαῦμα συκοφαντοῦντας.

8 Καὶ λέγει αὐτοῖς· Ἀντλήσατε νῦν, καὶ φέρετε τῷ
9 ἀρχιτρικλίνῳ. Καὶ ἤνεγκαν. Ὡς δὲ ἐγεύσατο ὁ ἀρ-
χιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον· (καὶ οὐκ
ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν, οἱ ἠντλη-
κότες τὸ ὕδωρ·) φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος,
10 καὶ λέγει αὐτῷ· Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν
οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι, τότε τὸν ἐλάσ-
σω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι.

Ἀρχιτρίκλινον ὀνομάζει τὸν συμποσίαρχον, τὸν ἐπιμελητὴν τοῦ συμποσίου· τρίκλινοι γὰρ ἐκαλοῦντο, οἱ οἶκοι τῶν συμποσίων. Οὐχ ἁπλῶς δὲ οἶνον ἐποίησε τὸ ὕδωρ, ἀλλὰ καλὸν οἶνον, ὡς ὁ ἀρχιτρίκλινος ἐμαρτύρησε. Τοιαῦτα γὰρ τοῦ Χριστοῦ τὰ θαύματα, πολλῷ τῶν φυσικῶν ὡραιότερα. Τοῦ μὲν οὖν τὸ ὕδωρ οἶνον γενέσθαι, τοὺς διακόνους εἶχε μάρτυρας· τοῦ δὲ καὶ

καλὸν οἶνον, τὸν ἀρχιτρίκλινον καὶ τὸν νυμφίον. Καὶ λοιπὸν οὐκ ἔμελλε τὸ θαῦμα λαθεῖν, οὕτως ἀναγκαίας ἔχον τὰς μαρτυρίας.

Εἰκὸς δὲ, καὶ τὸν νυμφίον εἰπεῖν τι πρὸς ταῦτα· πλὴν παρῆκε τοῦτο τὸ μέρος ὁ εὐαγγελιστὴς, ὡς οὐκ ἀναγκαῖον.

Γένοιτο δὲ κἀμὲ, τὸν ψυχρὸν, καὶ χαῦνον, καὶ διαῤῥέοντα, καὶ κατὰ τοῦτο μηδὲν ὕδατος διαφέροντα, μεταβληθῆναι πρὸς θέρμην πνευματικὴν, καὶ στῦψιν ἐνάρετον, καὶ πῆξιν ἠθῶν, ὥστε καὶ ἑτέρους εὐφραίνειν δύνασθαι.

11 Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας,

Οὐ μόνον ἀνέγραψε τὸ θαῦμα, ἀλλὰ καὶ ἐδίδαξεν, ὅτι τοῦτο ἦν ἀρχὴ τῶν σημείων. Ἐπεὶ γὰρ οὐκ ἄχρηστον ἦν, εἰδέναι καὶ τοῦτο, λοιπὸν, ὡς παρασιωπηθὲν τοῖς ἄλλοις, ἱστόρησεν αὐτὸ, χρησιμεῦον εἰς τὸ μὴ πιστεύειν τοῖς λεγομένοις παιδικοῖς θαύμασι τοῦ Χριστοῦ (1)· τοῦτο γὰρ ἀρχὴ τῶν σημείων· ἐκεῖνα δὲ, πλάσμα ἐστὶν ἀνδρὸς λυμαινομένου τῇ ἀληθείᾳ. Εἰ γὰρ παῖς ὢν ἐθαυματούργει, πᾶσιν ἂν ἐγένετο γνώριμος αὐτίκα· παραδοξότερα γὰρ τὰ παρὰ μειρακίου θαυματουργούμενα· καὶ οὐκ ἂν ἐδεήθησαν οἱ Ἰσραηλῖται τοῦ Ἰωάννου φανερώσαντος αὐτόν. Εἴρηκε γὰρ αὐτὸς ὁ Ἰωάννης, ὅτι *Ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων* (a). Εἰκότως οὖν ἀνέμεινε τὴν ἀνδράσι πρέπουσαν ἡλικίαν, ἵνα μὴ νομίσωσι φαντασίαν εἶναι τὰ γινόμενα. Εἰ γὰρ ἐν τελείᾳ ἡλικίᾳ θαυματουργοῦντος, πολλοὶ τοῦτο ὑπώπτευον, πολλῷ μᾶλλον ἐν ἀτελεῖ. Καὶ θᾶττον δὲ, καὶ πρὸ τοῦ προσήκοντος καιροῦ, ὥρμησαν ἂν ἐπὶ τὸν σταυρὸν, τῇ βασκανίᾳ τηκόμενοι, καὶ λοιπὸν ἔμελλεν οὐ μόνον ἀπιστηθῆναι ἡ οἰκονομία τῆς ἐνανθρωπήσεως, ἀλλὰ καὶ ἐμποδισθῆναι τὸ εὐαγγέλιον.

(1) Ἴδ. περὶ τούτου καὶ Χρυσόστομον Τομ. Η'. Σελ. 121. D, καὶ ἑξῆς.
(a) Ἰωαν. Α', 31.

Ζήτησον δὲ καὶ ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, διὰ τί μετὰ τριακοστὸν ἔτος ὁ Χριστὸς ἦλθεν ἐπὶ τὸ βάπτισμα, ἔνθα κεῖται τό· *Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας* (α), καὶ εὑρήσεις αἰτίας εὐλογωτάτας.

11 Καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ·

Τὴν δύναμιν αὐτοῦ, τὸ μεγαλεῖον τῆς θεότητος αὐτοῦ.

Πῶς καὶ τίνι τρόπῳ (1); ὀλίγοι γὰρ προσέσχον τῷ γεγενημένῳ, μόνοι γὰρ οἱ ὑπηρέται, καὶ ὁ ἀρχιτρίκλινος, καὶ ὁ νυμφίος, καὶ οἱ μαθηταὶ αὐτοῦ (2). Τό γε εἰς αὐτὸν ἧκον, ἐφανέρωσεν αὐτὴν διὰ τοῦ τοιούτου θαύματος. Εἰ γὰρ καὶ μὴ τότε πολλοὶ προσέσχον, ἀλλ' ὕστερον διεδόθη τὸ θαῦμα, καὶ πολλοὺς εἵλκυσεν. Ὅτι δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐδεὶς τῶν ἄλλων ἐπίστευσε, δῆλον ἀπὸ τῶν ἑξῆς. Ἐπήγαγε γάρ·

11 Καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ.

Οἱ καὶ πρὸ τούτου θαυμάζοντες αὐτόν. Ὁρᾷς, ὅτι τότε χρὴ γίνεσθαι τὰ σημεῖα, ὅταν οἱ ὁρῶντες εὐγνωμονεῖν καὶ προσέχειν μέλλοιεν.

12 Μετὰ τοῦτο κατέβη εἰς Καπερναοὺμ, αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ μαθηταὶ αὐτοῦ· καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας.

Κατέβη εἰς Καπερναοὺμ, ἵνα διαναπαύσῃ τὴν μητέρα. Ἀδελφοὶ δὲ αὐτοῦ, νόμῳ, καὶ οὐ φύσει, οἱ υἱοὶ Ἰωσὴφ, τοῦ νόμῳ, καὶ οὐ φύσει πατρὸς αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Β.

Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ·

13 Καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη

(α) Ματθ. Γ΄, 1. (1) Νόει τὸ, ἐφανέρωσεν αὐτήν. (2) Προσέσχον δηλονότι αὐτῷ, ἢ ἔγνωσαν αὐτό.

14 εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς. Καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστερὰς,
15 καὶ τοὺς κερματιστὰς καθημένους. Καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων, πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα καὶ τοὺς βόας· καὶ τῶν κολλυβιστῶν ἐξέχεε τὸ κέρμα, καὶ τὰς τραπέζας ἀνέστρεψε·

Παραπλήσια καὶ ὁ Ματθαῖος ἱστόρησεν ἐν τῷ τέλει τοῦ τεσσαρακοστοῦ πέμπτου κεφαλαίου αὐτοῦ, καὶ ἀνάγνωθι τὴν ἐκείνων ἐξήγησιν, μεγάλα καὶ πρὸς ταῦτα συμβαλλομένην.

Κερματισταὶ δὲ, οἱ καταλλάκται, οὓς ὁ Ματθαῖος *κολλυβιστὰς* ὠνόμασεν (α). Ὥσπερ δὲ *κόλλυβος*, ὁ ὀβολὸς, οὕτω καὶ *κέρμα*, ἡ σωρεία τῶν τε ὀβολῶν καὶ τῶν καταλλασσομένων λεπτῶν. *Φραγέλλιον* δέ ἐστιν εἶδος μάστιγος· πλεκτὸν δὲ ἦν, ὅτι καὶ ἡ πολιτεία τῶν ἀπελαυνομένων πεπλεγμένη ἦν ἐξ ἀτόπων λόγων καὶ πράξεων, καὶ ἡ πολιτεία τοῦ ἀπελαύνοντος πεπλεγμένη πάλιν, ἐξ ὑπερφυῶν λόγων καὶ πράξεων, καὶ ἐκ θείων καὶ ἀνθρωπίνων. Πρᾶγμα οὖν ἐποίησε πολλῆς αὐθεντίας γέμον. Ἐπειδὴ γὰρ ἔμελλεν ἐν σαββάτῳ θεραπεύειν, καὶ πολλὰ τοιαῦτα ποιεῖν, ἅπερ ἐδόκει τοῖς Ἰουδαίοις νόμων παράβασις, ἵνα μὴ δοκῇ ταῦτα πράττειν, ὡς ἀντίθεος, ἐντεῦθεν προαναιρεῖ τὴν τοιαύτην ὑπόληψιν. Ὁ γὰρ τοσοῦτον ζῆλον ἐπιδειξάμενος ὑπὲρ τοῦ οἴκου τοῦ θεοῦ, καὶ τοσαύτῃ σφοδρότητι καὶ ἀγανακτήσει διὰ τοῦτον χρησάμενος, καὶ μηδενὸς ὅλως φεισάμενος, ἀλλὰ καὶ εἰς κίνδυνον ἑαυτὸν καταστήσας, καὶ τούς τε καπήλους ἐκείνους, τούς τε παραχωροῦντας (1) αὐτοῖς Ἰουδαίους καθ' ἑαυτοῦ παροξύνας, καὶ πάντα παθεῖν ἕτοιμος ὢν ὑπὲρ τῆς εὐκοσμίας τοῦ ἱεροῦ, οὐκ ἂν ἐναντίος εἴη τῷ δεσπότῃ τοῦ ἱεροῦ.

16 Καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· Ἄρατε ταῦτα

(α) Ματθ. ΚΑ΄, 12. (1) Νοεῖ τοὺς παραχωροῦντας τοῦτο γίνεσθαι ἐν τῷ ἱερῷ ἄρχοντας τῶν Ἰουδαίων.

ἐντεῦθεν· μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου.

Οὐ μόνον, ἀφ' ὧν ἔπραξεν, ἀλλὰ καὶ, ἀφ' ὧν εἶπε, *δείκνυσιν*, ὅτι οὐκ ἔστιν ἀντίθεος. Ἀλλ' αὐτὸς μὲν, φύσει πατέρα τὸν θεὸν ἐκάλεσεν· οἱ δὲ Ἰουδαῖοι, θέσει πατέρα τοῦτον ὀνομάσαι οἰηθέντες, οὐκ ἐταράχθησαν ἐπὶ τῷ τοιούτῳ ῥήματι. Ἀλλ' οὐδ', ἐφ' οἷς ἐποίησεν, ἠγριώθησαν· ἤλεγχε γὰρ αὐτοὺς τὸ συνειδὸς καὶ κατῄσχυνεν, ὡς εὐλόγως ἐκείνου καὶ ποιοῦντος καὶ λέγοντος. *Οἶκον* δὲ *ἐμπορίου*, ἀντὶ τοῦ, οἶκον καπηλείου.

Ἐν δὲ τῷ προῤῥηθέντι κεφαλαίῳ τοῦ Ματθαίου, *σπήλαιον λῃστῶν* εἶπεν (α), ἐν ᾧ καὶ παρεσημειωσάμεθα, ὅτι τὸν ζῆλον τοῦτον καὶ τὴν παῤῥησίαν δὶς ἐπεδείξατο κατὰ τῶν ἐν τῷ ἱερῷ καπηλευόντων, ἐν ἀρχῇ τε τοῦ εὐαγγελίου, καὶ πρὸς τῷ τέλει· καὶ τὰ μὲν ἐν ἀρχῇ, νῦν ὁ Ἰωάννης ἀνέγραψε· τὰ δὲ πρὸς τῷ τέλει, Ματθαῖος.

[Οἶκον (1) *ἐμπορίου* ποιοῦσι τὸν οἶκον τοῦ θεοῦ, καὶ τὰς περιστερὰς ἐν αὐτῷ πωλοῦσι, καὶ οἱ τὰς χειροτονίας πιπράσκοντες· περιστερᾶς γὰρ τύπος ἡ χάρις τοῦ ἁγίου Πνεύματος, τοῦ ἐν εἴδει περιστερᾶς ὀφθέντος (2)· οἱ δ' αὐτοὶ καὶ θεοκάπηλοι (3), τὰ τοῦ θεοῦ καπηλεύοντες δι' αἰσχροκέρδειαν. Τὸ δὲ, *Ἄρατε ταῦτα ἐντεῦθεν*, τὴν μετάστασιν καὶ ἀποβολὴν τῆς νομικῆς λατρείας ᾐνίξατο.]

17 Ἐμνήσθησαν δὲ οἱ μαθηταὶ αὐτοῦ, ὅτι γεγραμμένον ἐστίν· « Ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί με.»

Γέγραπται γὰρ ἐν τῇ βίβλῳ τῶν ψαλμῶν (ϐ). *Ζῆλον* δὲ λέγει νῦν, τὴν δικαίαν ἀγανάκτησιν· *καταφάγεται* δὲ, ἀντὶ τοῦ, σφόδρα περιλήψεται, καταφλέξει.

Χρὴ δὲ γινώσκειν, ὅτι ποιήσας τὸ φραγέλλιον, οὐ τοὺς

(α) Ματθ. ΚΑ', 13. (1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ παρασελιδίῳ. (2) πεμφθέντος, παρὰ τῷ Α. (3) Γρηγορ. Ναζ. Σελ. 106. καὶ Σελ. 232. (ϐ) Ψαλμ. ΞΗ, 10.

ἀνθρώπους ἔτυψεν, ἀλλὰ τούτους μὲν ἐφόβησε, καὶ ἀπήλασε· τὰ δὲ πρόβατα καὶ τοὺς βόας ἔτυψε καὶ ἐξέβαλεν.

18 Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ· Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς;

Κατεγνωσμένους ἑαυτοὺς εἰδότες, ἐπιτιμῆσαι μὲν οὐκ ἐτόλμησαν, εἶπον δὲ αὐτῷ· Ἐπειδὴ ταῦτα ποιεῖς, ἤγουν, ἐπειδὴ αὐθεντεῖς, τί σημεῖον δεικνύεις ἡμῖν τῆς αὐθεντίας;

Ὦ πολλῆς ἀνοίας! Δέον γὰρ εὐγνωμονῆσαι, καὶ ἐπαινέσαι αὐτὸν, ὡς ἀπαλλάξαντα τὸν οἶκον τοῦ θεοῦ τοιαύτης αἰσχύνης· οἱ δὲ σημεῖον ἐπιζητοῦσι τῆς ἐξουσίας, φθόνῳ τηκόμενοι, καὶ μελετῶντες ἐπισκῆψαι τῷ γενησομένῳ σημείῳ. Καὶ γὰρ καὶ ἄλλοτε ἔλεγον, *Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς* (α);

19 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.

Σημεῖον τῆς αὐθεντίας δίδωσιν αὐτοῖς, τὴν τριήμερον ἀνάστασιν αὐτοῦ. *Ναὸν* γὰρ, τὸ ἑαυτοῦ σῶμα λέγει· ναὸς γὰρ καὶ οἶκος τοῦτό ἐστιν, οὐ μόνον τῆς ψυχῆς, ἀλλὰ καὶ τῆς θεότητος.

Λύσατε δὲ εἶπεν, οὐ προτρέπων αὐτοὺς εἰς τὸν καθ' ἑαυτοῦ φόνον, ἀλλ' ὅπερ ἐγίνωσκεν, ὅτι δράσουσιν, εἶπεν ἠθικῶς ἐν τοιούτῳ σχήματι λόγου. *Λύσατε* δὲ, ἤτοι, καταστρέψατε εἰς γῆν, διαζεύξατε τῆς ψυχῆς, λύσατε τοῦ συνδέσμου.

20 Εἶπον οὖν οἱ Ἰουδαῖοι· Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν
ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις
21 ἐγερεῖς αὐτόν; Ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ
σώματος αὐτοῦ.

Ἡ προτέρα μὲν οἰκοδομὴ δι' ἐτῶν εἴκοσι κατεσκευάσθη παρὰ Σολομῶντος· ἡ ὑστέρα δὲ, διὰ τεσσαράκοντα καὶ ἓξ παρὰ Ζοροβάβελ. Τῆς προτέρας γὰρ καθαιρεθείσης ὑπὸ Βαβυλωνίων, ἤρξατο ἡ ὑστέρα, κατὰ τὸ πρῶτον ἔτος τῆς βασιλείας Κύρου. Εἶτα φθόνῳ καὶ διαβολῇ τῶν προσοίκων Σαμαρειτῶν ἐπισχε-

(α) Ματθ. ΚΑ', 23.

θεῖσα, διέμεινεν οὕτως ἔτη τεσσαράκοντα. Κατὰ δὲ τὸ δεύτερον ἔτος τῆς βασιλείας Δαρείου τοῦ Ὑστάσπου, Ζοροβάβελ ἀποσταλεὶς ἐτελείωσεν αὐτὴν ἐν ἔτεσιν ἕξ. Καὶ οὕτως ἐν ἔτεσι τεσσαράκοντα καὶ ἓξ ᾠκοδομήθη ὁ ναὸς, ἀριθμουμένοις ἀπὸ τῆς ἐνάρξεως μέχρι τῆς τελειώσεως.

22 Ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθη-
ταὶ αὐτοῦ, ὅτι τοῦτο ἔλεγεν αὐτοῖς· καὶ ἐπίστευ-
σαν τῇ γραφῇ, καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς.

Ὅτε δὲ τοῦτο ἔλεγεν, ἠπόρουν, τί ποτε λέγει, καὶ οὐκ ἐπίστευον. Πολλὰ δὲ τοιαῦτα φθέγγεται, παραυτίκα μὲν ἄδηλα τοῖς ἀκούουσι, μετὰ τοῦτο δὲ δῆλα, ἵνα δειχθῇ προειδὼς, ἃ ἔλεγεν.

Καὶ διὰ τί οὐκ ἔλυσε τὸ αἴνιγμα, ὅτι ναὸν λέγει τὸ σῶμα αὐτοῦ; Διότι οὐκ ἔμελλε πιστευθῆναι. Δύο γὰρ ἦσαν τὰ προσιστάμενα τέως, ἓν μὲν, τὸ τῆς ἐγέρσεως· ἕτερον δὲ, τὸ θεὸν εἶναι τὸν ἐνοικοῦντα τῷ τοιούτῳ ναῷ.

23 Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ
ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεω-
ροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει.

Ἐπίστευσαν εἰς αὐτὸν, ἀλλ᾿ οὐ βεβαίως. Ἐκεῖνοι γὰρ ἀκριβέστερον ἐπίστευον, ὅσοι μὴ διὰ τὰ σημεῖα μόνον, ἀλλὰ καὶ διὰ τὴν διδασκαλίαν αὐτοῦ ἐπίστευον· τοὺς μὲν γὰρ παχυτέρους, τὰ σημεῖα ἐφείλκετο· τοὺς δὲ λεπτοτέρους (1) εἰς νοῦν, ἡ διδασκαλία καὶ αἱ προφητεῖαι. Διὸ καὶ οὗτοι μᾶλλον ἐκείνων βεβαιότεροι· οἷς ἁρμόζει καὶ τὸ, *Μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες* (α).

24 Αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς,

Οὐ κατεπίστευεν, οὐκ ἐθάῤῥει, ὡς γνησίοις μαθηταῖς. Διὰ τί;

24 Διὰ τὸ αὐτὸν γινώσκειν πάντας·

Πάντα ἄνθρωπον (2), εἴτε βέβαιός ἐστιν, εἴτε ἀβέβαιος. Ἢ *πάντα*, τὰ πάντων.

(1) ὀξυτέρους, ἀκριβεστέρους. (α) Ἰωαν. Κ΄, 29.

(2) Ὁ Εὐθύμιος ἀνέγνωσε, πάντα, ἀντὶ τοῦ, πάντας, καὶ ἐν τῷ κειμένῳ ἐκ τοῦ Χρυσοστόμου, Ἰδ. Τομ. Η΄. Σελ. 137. C.

25 Καὶ ὅτι οὐ χρείαν εἶχεν, ἵνα τις μαρτυρήσῃ περὶ τοῦ
ἀνθρώπου·

Περὶ τοῦ οἱουδήποτε ἀνθρώπου.

25 Αὐτὸς γὰρ ἐγίνωσκε, τί ἦν ἐν τῷ ἀνθρώπῳ.

Ἐν τῷ παντὶ ἀνθρώπῳ, ὡς καρδιογνώστης θεός.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ Νικοδήμου.

ΚΕΦ. III, 1 Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νι-
2 κόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων. Οὗτος
ἦλθε πρὸς τὸν Ἰησοῦν νυκτός·

Ἐφοβεῖτο γὰρ ἐλθεῖν φανερῶς διὰ τὴν ὑποψίαν τῶν Ἰουδαίων, ἀποστρεφομένων τοὺς προσιόντας αὐτῷ.

2 Καὶ εἶπεν αὐτῷ· Ῥαββὶ, οἴδαμεν, ὅτι ἀπὸ θεοῦ ἐλή-
λυθας διδάσκαλος·

Ὤιετο γὰρ, ὅτι προφήτης ἐστὶν, ἀπὸ θεοῦ πεμφθεὶς εἰς τὸ διδάσκειν αὐτούς.

2 Οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν, ἃ σὺ
ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ᾿ αὐτοῦ.

Ἐπεὶ προφήτην αὐτὸν ᾤετο, ἀκολούθως ὑπελάμβανεν, ὅτι οὐκ ἐξ οἰκείας δυνάμεως ταῦτα ποιεῖ, ἀλλ᾿ ἐκ τῆς τοῦ θεοῦ, δεόμενος αὐτῆς.

3 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ἀμὴν ἀμὴν
λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται
ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ.

Ἐνόμισεν ὁ Νικόδημος γνῶναι αὐτὸν, καὶ ὀρθὰ φρονεῖν περὶ αὐτοῦ. Δεικνύων δὲ ὁ Χριστὸς, ὅτι πόῤῥω πλανᾶται τῆς ἀληθείας, φησὶν, ὅτι *Ἐὰν μή τις ἀναγεννηθῇ* διὰ τῆς παλιγγενεσίας τοῦ θείου βαπτίσματος, *οὐ δύναται ἰδεῖν*, ἤτοι, γνῶναι τὴν

ἀξίαν καὶ μεγαλειότητα αὐτοῦ. *Θεὸν* γὰρ ἑαυτὸν λέγει νῦν· ἀσυμφανῶς δὲ, ἵνα φύγῃ τὸν κόμπον. Τότε γὰρ ἡ διὰ τοῦ ἱεροῦ βαπτίσματος διδομένη θεία χάρις ῥωννύει τὸν νοῦν, καὶ ὁρᾷν ὀρθῶς παρέχει, τῆς ἐπισκοτούσης ἀσθενείας ἀποσκεδασθείσης.

4 Λέγει πρὸς αὐτὸν ὁ Νικόδημος· Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆναι;

Τί τοῦτο, Νικόδημε; Ῥαββὶ αὐτὸν καλεῖς, καὶ ἀπὸ θεοῦ ἐληλυθέναι λέγεις, καὶ οὐ πιστεύεις οἷς λέγει; Βαβαὶ τῆς Ἰουδαϊκῆς παχύτητος! Ἤκουσεν ἀναγέννησιν, ἀλλὰ πνευματικήν· οὐκ ἠδυνήθη ταύτην νοῆσαι, καὶ νοεῖ σαρκικήν· καὶ εἰκότως ἀπορεῖ, καὶ ζητεῖ τὸν τρόπον.

5 Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.

Σαφηνίζει μὲν τὸν τρόπον, λέγων, ὅτι *ἐξ ὕδατος καὶ πνεύματος*, δηλαδὴ, τοῦ ἁγίου· οὔπω δὲ τέλεον, ἵνα προσεκτικώτερος ὁ ἐρωτῶν γένηται. Πολλάκις γὰρ τὸ ἀσαφὲς ἐγείρει τὴν διάνοιαν, καὶ περιεργότερον καὶ σπουδαῖον ἀπεργάζεται τὸν ἀκροατήν. Ὁ μὲν οὖν Νικόδημος, ἀδύνατον ἔλεγε τὴν ἀναγέννησιν· ὁ δὲ Χριστὸς, καὶ σφόδρα δυνατήν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἀναγκαίαν, ὡς μηδὲ δύνασθαί τινα χωρὶς αὐτῆς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Τὸ δὲ, *εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ*, ἢ τὸ γνῶναι τὴν ἀξίαν καὶ μεγαλειότητα αὐτοῦ δηλοῖ νῦν, ἢ τὸ τυχεῖν τῆς ἀπολαύσεως τῆς θείας.

Ὁ λόγος δὲ περὶ τῶν μετὰ τὸ βαπτισθῆναι τὸν Χριστόν. Ἔκτοτε γὰρ ἡ ἀναγέννησις ἤρξατο. Λοιπὸν οὖν καὶ οἱ ἀπόστολοι ἀνεγεννήθησαν, δι' ὕδατος μὲν, παρὰ Ἰωάννου· διὰ πνεύματος δὲ, ὅτε ἐπεφοίτησεν αὐτοῖς ἐν εἴδει πυρίνων γλωσσῶν.

Γράφουσι δέ τινες, ἐγγίζοντες τοῖς χρόνοις τῶν ἀποστόλων, ὅτι ὁ μὲν Χριστὸς ἐβάπτισε τὸν Πέτρον καὶ τὴν Θεοτόκον· ο δὲ Πέτρος, πάντας τοὺς ἀποστόλους.

6 Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι.

Οὐ σαρκική ἐστιν ἡ γέννησίς, φησιν, ἀλλὰ πνευματική· τὸ μὲν γὰρ γεγεννημένον ἐκ τῆς σαρκὸς, σαρκικόν ἐστι γέννημα· τὸ δὲ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνευματικόν ἐστι γέννημα. Λοιπὸν οὖν ἡ μὲν σαρκικὴ γέννησις, αἰσθητή ἐστιν· ἡ δὲ πνευματικὴ, νοητὴ, καὶ οὐ χρὴ αἰσθητῶς ἐξετάζειν τὸ νοητὸν, οὐδὲ ἀνθρωπίνως τὸ θεῖον πρᾶγμα. Ἐπεὶ γὰρ ἡ πρώτη γέννησις ἠχρειώθη, δευτέρα δέδοται ἀναγέννησις, ὑψηλοτέρα τε καὶ τιμιωτέρα. Θεοῦ ἔργον ἡ πρώτη· θεοῦ ἔργον καὶ ἡ δευτέρα. Θεὸς γὰρ τὸ Πνεῦμα.

Ὅταν οὖν ἀκούῃς, ὅτι τὸ Πνεῦμα ἀναγεννᾷ, μὴ ζήτει τὸν τρόπον. Εἰ γὰρ ἀκατάληπτος ἡ ἐν τῇ μήτρᾳ διάπλασις, ἀκαταληπτοτέρα πάντως ἡ ἐν τῷ ὕδατι. Καὶ εἰ περὶ ἐκείνης οὐκ ἀμφιβάλλομεν, τῇ παντοδυνάμῳ τοῦ θεοῦ σοφίᾳ πιστεύοντες, πολλῷ μᾶλλον τοῦτο χρὴ ποιεῖν περὶ ταύτης.

Ὥσπερ δὲ ἐν ἀρχῇ ὑπέκειτο στοιχεῖον, ἡ γῆ· τὸ πᾶν δὲ τοῦ διαπλάττοντος ἦν· οὕτω καὶ νῦν ὑπόκειται στοιχεῖον, τὸ ὕδωρ· τὸ πᾶν δὲ τοῦ πνεύματός ἐστιν.

Ἐὰν ἐρωτήσῃς με, Διὰ τί νῦν τὸ ὕδωρ; ἀντεπερωτήσω σε, Διὰ τί τότε ἡ γῆ; Καὶ γὰρ ἠδύνατο καὶ δίχα γῆς ποιῆσαι τὸν ἄνθρωπον. Καὶ ὅτι μὲν ὁ θεὸς οὐδὲν ποιεῖ χωρὶς λόγου, συνομολογῶ· ὅτι δὲ τοὺς λόγους πάντων μόνος οἶδεν αὐτὸς ἀκριβῶς, καὶ λέγω καὶ πείθω (1).

Ὅπερ δὲ ἐπὶ τῆς σαρκικῆς γεννήσεως ἡ μήτρα, τοῦτο ἐπὶ τῆς πνευματικῆς, τὸ ὕδωρ. Ἀλλ' ἐκεῖ μὲν τὸ γεννώμενον χρόνου δεῖται, ἐνταῦθα δὲ οὐχ οὕτως· διότι τὰ μὲν σαρκικὰ, χρόνῳ προσλαμβάνει τὸ τέλειον· τὰ δὲ πνευματικὰ, τέλεια ἐξ ἀρχῆς

---

(1) Ὀρθότερον ἴσως τὸ, πείθομαι.

διαπλάττεται. Ὁ μὲν οὖν ἀκριβὴς λόγος τῆς χρείας τοῦ ὕδατος, μόνῳ τῷ θεῷ δῆλος· ὁ δὲ καταληπτὸς τοῖς θείοις Πατράσιν, οὗτος· Ὅτι θεῖα τελεῖται ἐν αὐτῷ σύμβολα, ταφὴ καὶ ἀνάστασις. Καθάπερ γὰρ ἔν τινι τάφῳ καταδυνόντων ἡμῶν τὰς κεφαλὰς ἐν αὐτῷ, ὁ παλαιὸς ἄνθρωπος θάπτεται καὶ καταποντίζεται· εἶτα ἀνανευόντων ἡμῶν, ὁ καινὸς ἀνίσταται καὶ ἀναδείκνυται. Ὥσπερ γὰρ εὔκολον ἡμῖν καταδῦναι καὶ ἀνανεῦσαι· οὕτως εὐχερὲς τῷ θεῷ θάψαι τὸν παλαιὸν, καὶ ἀναστῆσαι τὸν νέον. Τρίτον δὲ τοῦτο γίνεται, ἵνα μάθῃς ὅτι, δύναμις Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος τὰ πάντα ποιεῖ.

Ἀποροῦσι δέ τινες, ὅτι Εἰ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι, πνεῦμα ἄρα ἡ τοῦ Χριστοῦ σάρξ· περὶ γὰρ τῆς Παρθένου λέγων ὁ ἄγγελος, εἴρηκεν· ὅτι *Τὸ ἐν αὐτῇ γεννηθὲν, ἐκ πνεύματός ἐστιν ἁγίου* (α). Πρὸς οὓς λέγομεν, ὅτι τοῦτο εἶπε, διδάσκων, ὅτι οὐκ ἐξ ἀνδρός ἐστιν, οὐμὴν ὅτι οὐδ' ἐκ γυναικός. Φησὶ γὰρ ὁ Παῦλος, *Γενόμενον ἐκ γυναικός* (β)· εἰ δ' ἐκ γυναικὸς, ἄρα ἐκ σαρκὸς σάρξ. Ἐκ τῆς σαρκὸς οὖν τῆς παρθενικῆς ἐγεννήθη, ἵνα μὴ ἀλλότριος τῆς ἀνθρωπίνης φύσεως εἴη. Εἰ γὰρ, καὶ τούτου γενομένου, τινὲς διαπιστοῦσιν, ὅτι σεσάρκωται· ποῦ οὐκ ἂν ἐξέπεσον ἀσεβείας, εἰ μὴ τοῦτο γέγονεν; Ἐν τῇ Παρθένῳ δὲ ἐγεννήθη, ἐκ Πνεύματος ἁγίου, ἤγουν, ὑπερφυῶς, διὰ τὸ μὴ ἐξ ἀνδρός. Τοῦτο γὰρ δηλοῖ τὸ, *Ἐκ Πνεύματος ἁγίου*.

7 Μὴ θαυμάσῃς, ὅτι εἶπόν σοι· Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν.

Ἰδὼν αὐτὸν, οὔπω τῆς παχύτητος ἀφιστάμενον, ἀλλ' ἔτι θορυβούμενον, καταστέλλει πρῶτον· εἶτα εὐμηχάνως ἐπὶ παράδειγμα φέρει τοῦτον· αἰσθητὸν μὲν, διὰ τὴν ἀσθένειαν αὐτοῦ· μέσον δὲ σωματικῆς παχύτητος καὶ ἀσωμάτου λεπτότητος, ἵνα ἐντεῦθεν ἀναγάγῃ τὴν αὐτοῦ διάνοιαν. Φησὶ γάρ·

(α) Ματθ. Α', 20. (β) Γαλ. Δ', 4.

8 Τὸ πνεῦμα ὅπου θέλει πνεῖ· καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας, πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος.

Πνεῦμα νῦν, τὸν ἄνεμον λέγει. Ἔστι δὲ ὁ σκοπὸς τοιοῦτος, ὅτι Ὥσπερ ὁ ἄνεμος, *ὅπου θέλει, πνεῖ*, τουτέστιν, ὅπου κινηθῇ· θέλησις γὰρ ἀνέμου, ἡ κίνησις· καὶ *τὴν μὲν φωνὴν αὐτοῦ ἀκούεις*, ἤτοι τὸν ἦχον καὶ πάταγον αὐτοῦ· οὐ καταλαμβάνεις δὲ, *πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει*· οὕτως ἔσται καὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος, ἀκατάληπτος δηλονότι κατὰ τὴν τοιαύτην γέννησιν.

Εἰ γὰρ τοῦ *αἰσθητοῦ* πνεύματος οὐ δύνασαι καταλαβεῖν τὴν ὁρμὴν, καὶ τὴν ὁδὸν, οὗ τὴν αἴσθησιν δέχῃ, ἔν τε τῷ ἀκούειν τὸν ἦχον αὐτοῦ, καὶ καταπνεῖσθαι, καὶ ψύχεσθαι, πολλῷ μᾶλλον τοῦ νοητοῦ (1). Καὶ εἰ τὴν ἐνέργειαν ἐκείνου τοῦ σωματικοῦ πνεύματος μὴ καταλαμβάνων, ὅμως οὐκ ἀπιστεῖς, πῶς τὴν τούτου, τοῦ ἀσωμάτου, μὴ καταλαμβάνων, διαπιστεῖς;

9 Ἀπεκρίθη Νικόδημος, καὶ εἶπεν αὐτῷ· Πῶς δύναται ταῦτα γενέσθαι;

Ἔτι ὁ Νικόδημος ἐπὶ τῆς ἰουδαϊκῆς εὐτελείας (2) μένει, μηδὲν ὑπὲρ τὴν αἴσθησιν ἐννοῆσαι δυνάμενος, καίτοι παραδείγματος οὕτω σαφοῦς λεχθέντος αὐτῷ. Λέγει οὖν, *Πῶς δύναται ταῦτα γενέσθαι*, τὰ τῆς εἰρημένης ἀναγεννήσεως; Καὶ λοιπὸν ὁ Χριστὸς πληκτικώτερον αὐτῷ διαλέγεται.

10 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις;

Οὐδαμοῦ πονηρίαν αὐτοῦ καταγινώσκει, ἀλλ' εὐήθειαν καὶ ἀμαθίαν. Ἔδει γὰρ αὐτὸν, ὄντα διδάσκαλον, ταῦτα γινώσκειν ἀπὸ

(1) οὐ δυνήσῃ δηλονότι καταλαβεῖν. (2) Ὁ Ἑντένιος ἀνέγνωσεν, ὡς φαίνεται, ἀτελείας· ἀλλ', εὐτελείας. ἔχει καὶ ὁ Χρυσόστομος. Τομ. Η'. Σελ. 151. Α.

τῶν Γραφῶν. Σύμβολα γὰρ τῆς πνευματικῆς ἀναγεννήσεως αἱ τῶν Ἰουδαίων περιέχουσι βίβλοι· οἷον τὰ κατὰ τὴν Ἐρυθρὰν, ἐν οἷς τύπος ἦν ἡ θάλασσα μὲν τοῦ ὕδατος, ἡ νεφέλη δὲ, τοῦ πνεύματος· καὶ τὰ κατὰ τὸν λεπρὸν Νεεμὰν, ὅτε ἐλούσθη ἐν τῷ Ἰορδάνῃ, *καὶ ἐπέστρεψεν ἡ σὰρξ αὐτοῦ ἐπ' αὐτὸν, ὡς παιδαρίου μικροῦ* (α), καὶ ἄλλα πολλὰ τοιαῦτα. Ναὶ μὴν καὶ προφητείας (1). Εἶπε γὰρ ὁ Δαυΐδ· *Καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος* (β)· καὶ· *Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι* (γ)· καὶ· *Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου* (δ). Τὰς τῶν ἄλλων γὰρ νῦν ἐατέον, διὰ τὸ πλῆθος.

11 Ἀμὴν ἀμὴν λέγω σοι, ὅτι ὃ οἴδαμεν λαλοῦμεν,

Η περὶ ἑαυτοῦ καὶ τοῦ πατρὸς τοῦτό φησιν, ἢ περὶ ἑαυτοῦ μόνου, ὅτι Εἰ καὶ σὺ ἀπιστεῖς, ἀλλ' ἡμεῖς, ὃ οἴδαμεν ἀκριβῶς, τοῦτο λαλοῦμεν.

11 Καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν·

Τὸ αὐτὸ λέγει, βεβαιώσεως ἕνεκεν, ὅτι καὶ ὃ οἴδαμεν, μαρτυροῦμεν. Οὐ γὰρ αἰσθητὴν ὅρασιν νοήσεις· οὔπω γὰρ ἦν γεγενημένον.

11 Καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε.

Τοῦτο εἶπεν, οὐ δυσχεραίνων, ἀλλ' ἡμέρως τὸ γινόμενον ἀπαγγέλλων, καὶ πρᾴως τὸ συμβησόμενον προαναφωνῶν, καὶ οἷον διαμαρτυρόμενος, καὶ παιδεύων ἡμᾶς, ὅταν πρός τινας διαλεγόμενοι, μὴ πείθωμεν, μὴ δυσχεραίνειν, μηδὲ κράζειν καὶ ἀγριαίνειν· ὕλη γὰρ ὀργῆς, ἡ κραυγή· ἀλλ' ἀνεξικάκως ἀποκρίνεσθαι, καὶ πειρᾶσθαι ποιεῖν ἀξιόπιστον τὸ λεγόμενον.

12 Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε·

(α) Δ' Βασιλ. Ε', 14. (1) περιέχουσιν. (β) Ψαλμ. ΚΑ', 32. (γ) Ψαλμ. ΛΑ', 1. (δ) Ψαλμ. ΡΒ', 5.

πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε;

Πολλάκις μέλλων ἅπτεσθαι λόγων ἀξίων τῆς μεγαλωσύνης αὐτοῦ, παρατρέχει τούτους, διὰ τὴν τῶν ἀκροωμένων παχύτητα καὶ ἀσθένειαν, καὶ προτιμᾷ τοὺς ταπεινοτέρους, συγκαταβατικῶς τε καὶ οἰκονομικῶς, ὃ δὴ κἀνταῦθα πεποίηκεν. Ἐπεὶ γὰρ περὶ τῆς πνευματικῆς γεννήσεως εἶπεν, ἐβούλετο μὲν εἰπεῖν καὶ περὶ τῆς ἑαυτοῦ γεννήσεως, τῆς προαιωνίου καὶ πάντα νοῦν καὶ λόγον ὑπερβαινούσης· ἰδὼν δὲ τὸν Νικόδημον, μηδὲ τὴν πνευματικὴν παραδέξασθαι δυνάμενον, οὐδὲν μὲν λέγει περὶ ἐκείνης, διδάσκει δὲ τὴν αἰτίαν τῆς τοιαύτης σιγῆς, ὅτι διὰ τὴν ἀπιστίαν τῶν ἀκροωμένων. Ὥστε, ὅταν μέτρια φθέγγηται καὶ ταπεινὰ, καὶ ἀνάξια πολλάκις τῆς αὐτοῦ θεότητος, τῇ ἀπιστίᾳ καὶ ἀσθενείᾳ τούτων λογιστέον αὐτά.

Ἐπίγεια δὲ νῦν, τινὲς περὶ τοῦ ἀνέμου φασὶν εἰρῆσθαι· ὅτι Εἰ ἐπίγειον παράδειγμα εἶπον, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω οὐράνιόν τι καὶ ὑψηλότερον, πιστεύσετε;

Τινὲς δὲ, *ἐπίγεια*, περὶ τῆς ἀναγεννήσεως ῥηθῆναι λέγουσιν, ἑρμηνεύοντες, ὅτι ἐπίγειον τοῦτο εἶπε, καίτοι οὐράνιον καὶ θεῖον ὄν, ὡς ἐπὶ γῆς τελούμενον· ἢ καὶ πρὸς σύγκρισιν τῆς φρικωδεστάτης αὐτοῦ γεννήσεως. Πρὸς γὰρ τὸ ὕψος ἐκείνης, ἐπίγειός ἐστιν αὕτη καὶ χθαμαλή.

13 Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς,

Ἐπεὶ προλαβὼν εἶπεν ὁ Νικόδημος, ὅτι οἴδαμεν, ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος, τοῦτο αὐτὸ διορθοῦται νῦν, ὡσανεὶ λέγων· Μὴ νομίσῃς με τοιοῦτον διδάσκαλον, ὡς ἕνα τῶν προφητῶν· καὶ γὰρ *οὐδεὶς ἐκείνων ἀναβέβηκεν* εἰς *τὸν οὐρανὸν*, ἤγουν, ἐπέβη τοῦ οὐρανοῦ, εἰ μὴ ἐγὼ, *ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς*· διὸ καὶ ὑψηλὰ δόγματα κομίζω.

Καὶ ἑτέρως δὲ εἶπεν, ὅτι *Ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς*· διότι παρὰ τῇ παλαιᾷ Γραφῇ κατὰ διαφόρους οἰκονομίας ὁ

θεὸς καταβῆναι καὶ ἀναβῆναι λέγεται, ὡς τό· *Καταβὰς ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται* (α)· καὶ τό· *Ἀνέβη ὁ θεὸς ἀπὸ Ἀβραὰμ, ἡνίκα ἐπαύσατο λαλῶν αὐτῷ* (β), καὶ πολλὰ τοιαῦτα.

13 Ὁ υἱὸς τοῦ ἀνθρώπου,

Ὁ κατὰ τὴν ἀνθρωπότητα υἱὸς τοῦ ἀνθρώπου.

Χρὴ δὲ γινώσκειν, ὅτι πολλάκις μὲν ἀπὸ τῆς θεότητος· πολλάκις δὲ ἀπὸ τῆς ἀνθρωπότητος, ὀνομάζει ἑαυτόν.

13 Ὁ ὢν ἐν τῷ οὐρανῷ.

Ὁ κατὰ τὴν θεότητα *ὢν ἐν τῷ οὐρανῷ*, εἴπουν, ὁ οὐράνιος. Ὅρα δὲ, πῶς, εἰ καὶ ὑψηλοὶ δοκοῦσιν οἱ λόγοι, ἀλλὰ καὶ οὕτως ἀνάξιοί εἰσι τῆς μεγαλωσύνης αὐτοῦ; Καὶ ἐν τῷ οὐρανῷ γὰρ ὢν, οὐκ ἀπελιμπάνετο τῆς γῆς· καὶ ἐκ τοῦ οὐρανοῦ καταβὰς, οὐκ ἀφίστατο τοῦ οὐρανοῦ, ἀλλὰ πανταχοῦ ἦν· ἀπερίγραπτος γὰρ ἡ θεότης. Ὅμως φθέγγεται τοιαῦτα, φειδόμενος τῆς ἀσθενείας τοῦ ἀκροατοῦ, καὶ κατὰ μικρὸν ἀνάγειν βουλόμενος τὴν αὐτοῦ διάνοιαν.

14 Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ,
15 οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου· ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

Εἰπὼν τὴν μεγίστην εἰς ἀνθρώπους εὐεργεσίαν, τὴν διὰ τοῦ βαπτίσματος, λέγει καὶ ἑτέραν οὐκ ἐλάττονα, τὴν διὰ τοῦ σταυροῦ. Τὰς δύο γὰρ καὶ Παῦλος ὁμοῦ τέθεικε, γράφων Κορινθίοις· *Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε* (γ); Τὰ δύο γὰρ ταῦτα τὴν ἄφατον αὐτοῦ δεικνύουσιν ἀγάπην, ὅτι καὶ ἀναγέννησιν ἐχαρίσατο, ἵνα καθαρίσῃ ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἐσταυρώθη, ἵνα ζήσωμεν αἰωνίως. Προεσήμανε μὲν οὖν τὴν σταύρωσιν αὐτοῦ, δει-

(α) Γενεσ. ΙΗ΄, 21. (β) Γενεσ. ΙΖ΄, 22. (γ) Α΄ Κορ. Α΄, 13.

κνὺς, ὅτι προγινώσκει ταύτην, καὶ λοιπὸν ἑκουσίως ἐπὶ ταύτην ἔρχεται, διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων. Οὐκ ἐξ εὐθείας δὲ περὶ αὐτῆς εἶπεν, ἀλλὰ τὸν παρὰ Μωϋσέως ὑψωθέντα ὄφιν ἔλαβε παράδειγμα, διδάσκων, ὅτι συγγενῆ τὰ παλαιὰ τοῖς καινοῖς, καὶ τύποι τούτων ἐκεῖνα.

Ἔστι δὲ ἡ κατὰ τὸν ὄφιν ἱστορία τοιαύτη τίς· Ἐν τῇ ἐρήμῳ πάλαι δάκνοντες οἱ ὄφεις τοὺς Ἰσραηλίτας, ἀνῄρουν. Ἐκέλευσεν οὖν ὁ θεὸς τῷ Μωϋσεῖ κατασκευάσαι χαλκοῦν ὄφιν, καὶ ὑψῶσαι τοῦτον ἐπὶ ξύλου, καὶ τοὺς δεδηγμένους ἀτενίζειν εἰς αὐτὸν, καὶ οὕτως οἱ δηχθέντες ἔζων (α). Καὶ ἦν τύπος ὁ χαλκοῦς ὄφις τοῦ στεῤῥοῦ καὶ ἀνενδότου πρὸς κακίαν σώματος τοῦ Χριστοῦ· ὁ χωρὶς ἰοῦ, τοῦ χωρὶς ἰοῦ τῆς ἁμαρτίας· ὁ ὑψωθεὶς ἐπὶ ξύλου, τοῦ ὑψωθέντος ἐπὶ ξύλου τοῦ σταυροῦ· ὁ παρέχων ζωὴν τοῖς δεδηγμένοις ὑπὸ τῶν ὄφεων καὶ ἀτενίζουσιν εἰς αὐτὸν, τοῦ παρέχοντος ζωὴν αἰώνιον τοῖς δεδηγμένοις ὑπὸ τῶν νοητῶν ὄφεων, καὶ ἀτενίζουσιν εἰς αὐτὸν ἐν πίστει.

Διὰ τοῦτο τοίνυν ὁμοιωματικῶς εἶπεν, ὅτι *Καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν*, καὶ τὰ ἑξῆς. Εἶτα προσέθηκε καὶ τὴν αἰτίαν τῆς τοιαύτης ὑψώσεως. Ὥσπερ γὰρ ἐκεῖνος ὕψωσε τὸν ὄφιν, ἵνα οἱ ἀτενίζοντες εἰς αὐτὸν, ἔχωσι ζωήν· οὕτω καὶ οὗτος ὑψώθη, ἵνα οἱ ἀτενίζοντες εἰς αὐτὸν, ἤγουν, οἱ πιστεύοντες, ἔχωσι ζωὴν αἰώνιον. Ἀλλ' ὄφις μὲν ἐκεῖ, διὰ τοὺς δάκνοντας ὄφεις· ἄνθρωπος δὲ ἐνταῦθα, διὰ τοὺς δακνομένους ἀνθρώπους. Καὶ ἐκεῖ μὲν, ἐπεὶ δι' ὄφεως ἡ βλάβη, δι' ὄφεως καὶ ἡ θεραπεία· ἐνταῦθα δὲ, ἐπεὶ δι' ἀνθρώπου ὁ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, δι' ἀνθρώπου καὶ ἡ ζωὴ παρεγένετο· νεκροῦ δὴ, ἵνα νεκρωθῇ τὸ νεκροῦν.

Εἰπὼν δὲ, ὅτι *Ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον*, ἐνέφηνεν, ὅτι οὗ ὁ θάνατος ἑτέροις παρέχει ζωὴν αἰώνιον, θεός ἐστι πάντως· θανὼν μὲν, ὡς ἄνθρωπος, παρέχων δὲ ζωὴν αἰώνιον, ὡς θεός· καὶ ὁ κωλύων

(α) Ἀριθ. ΚΑ΄, 8. 9.

τὴν ἑτέρων ἀπώλειαν, οὐκ ἄν ποτε αὐτὸς ἀπωλεῖται. Ὁ ςαυρὸς οὖν πηγὴ ζωῆς αἰωνίου. Ὁ λογισμὸς μὲν ῥαδίως οὐ παραδέχεται, πίστις δὲ παραδέχεται, νευροῦσα τοῦ λογισμοῦ τὴν ἀσθένειαν. Χρεία τοίνυν πίστεως.

16 Οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν· ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

Οὕτως ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ἤγουν, τοσοῦτον ἐστι φιλάνθρωπος, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν ἀγαπητὸν ἐξέδωκεν ὑπὲρ τῶν ἀνθρώπων εἰς θάνατον, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, ζῇ αἰωνίως, τὴν μακαρίαν ζωὴν, τὴν πρέπουσαν τοῖς ἁγίοις. Ἔδειξε τοίνυν, ὅτι καὶ τῷ πατρὶ κατὰ γνώμην ἡ σταύρωσις· ἓν γὰρ καὶ τὸ αὐτὸ θέλημα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Πάλιν δὲ τὸ, *Ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον*, εἰς βεβαίωσιν τοῦ λόγου.

Ἀλλὰ τίνος ἕνεκεν ὁ θεὸς ἠγάπησε τὸν κόσμον; Πάντως δι' οὐδὲν ἕτερον, ἢ δι' ὑπερβολὴν ἀγαθότητος.

Αἰσχυνθῶμεν οὖν αὐτοῦ τὴν ἀγάπην. Αὐτὸς μὲν γὰρ οὐδὲ τοῦ υἱοῦ τοῦ μονογενοῦς ἐφείσατο δι' ἡμᾶς· ἡμεῖς δὲ καὶ χρημάτων φειδόμεθα δι' αὐτὸν, ὃ πᾶσαν ὑπερβέβηκεν ὄντως ἀχαριστίαν· ὡς εἶναι τὸ ἐκείνου μὲν ὑπερβολὴν ἀγαθότητος· τὸ ἡμέτερον δὲ, ὑπερβολὴν ἀχαριστίας. Ἀλλὰ καὶ πρὸς τὸν υἱὸν τὴν ἴσην ἀγνωμοσύνην τηροῦμεν. Ἀνθρώπῳ μὲν γὰρ, ὑπὲρ ἡμῶν κινδυνεύοντι, πᾶσαν προθύμως ἐπιδώσομεν ἂν τὴν οὐσίαν· τῷ δὲ Χριςῷ δι' ἡμᾶς ἀποθανόντι, οὐδὲ τοῦτο τὸ μέτρον τῆς εὐγνωμοσύνης φυλάττομεν, ἀλλὰ παρορῶμεν τοὺς ἀδελφοὺς αὐτοῦ, τοὺς ἐλαχίστους, πεινῶντας καὶ διψῶντας, καὶ τἄλλα πάντα κακοπαθοῦντας, μᾶλλον δὲ αὐτὸν ἐκεῖνον, τὸν τὰ ἐκείνων συμπαθῶς οἰκειούμενον.

17 Οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν

κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.

Δείκνυσι καὶ ἄλλην τοῦ θεοῦ φιλανθρωπίαν καὶ κηδεμονίαν ἄφατον. Οὐ μόνον γὰρ τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἀλλὰ καὶ τὴν κρίσιν ἀνεβάλετο, καὶ εἰς τὴν δευτέραν παρουσίαν αὐτὴν ἐταμιεύσατο.

Δύο γὰρ αἱ τοῦ Χριστοῦ παρουσίαι, ἡ ἤδη γεγενημένη, καὶ ἡ μέλλουσα. Οὐκ ἐπὶ τοῖς αὐτοῖς δὲ αἱ δύο· ἀλλ' ἡ πρώτη μὲν, οὐχ ἵνα ἐξετάσῃ τὰ πεπραγμένα τοῖς ἀνθρώποις, ἀλλ' ἵνα ἀφῇ· ἡ δευτέρα δὲ, οὐχ ἵνα ἀφῇ, ἀλλ' ἵνα ἐξετάσῃ. Νῦν οὖν περὶ τῆς πρώτης φησίν.

Καίτοι καὶ ἡ πρώτη κρίσεως ἦν ἂν κατὰ τὸν τοῦ δικαίου λόγον· διότι πρὸ ταύτης καὶ νόμος ἦν φυσικὸς, καὶ νόμος γραπτὸς, καὶ προφῆται, καὶ διδασκαλίαι, καὶ σημείων ἐπιδείξεις, καὶ πολλὰ τὰ διορθοῦντα τὴν πολιτείαν· καὶ ἀκόλουθον ἦν, εὐθύνας πάντων ἀπαιτηθῆναι· ἀλλ' ὡς ἄγαν φιλάνθρωπος, οὐκ εὐθὺς ἐν τῇ πρώτῃ ἐποιήσατο ἐξέτασιν, ἀλλὰ συγχώρησιν· εἰ γὰρ ἐξήτασε, πάντες ἂν ἀθρόον ἀνηρπάσθησαν· *πάντες γὰρ ἥμαρτον* (α), φησι. Νῦν μὲν οὖν ἦκε, συγχωρῶν μὲν τὰ πρότερα, ἀσφαλιζόμενος δὲ πρὸς τὰ μέλλοντα· ὕστερον δὲ ἥξει κρῖναι, καὶ τοὺς μὴ πεισθέντας εὐθῦναι. *Εἰ μὴ ἦλθον γὰρ*, φησι, *καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν* (β).

18 Ὁ πιστεύων εἰς αὐτὸν, οὐ κρίνεται·

Ὁ πιστεύων γνησίως, ἤγουν, ὁ καὶ φυλάττων τὰς ἐντολὰς αὐτοῦ. Περὶ γὰρ τῶν μὴ τοιούτων φησὶν ὁ Παῦλος, ὅτι *Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται* (γ).

18 Ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται· ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ.

Ὥσπερ γὰρ ἐκεῖνον ἡ πίστις ἐξείλετο τῆς κρίσεως πρὸ τῆς

(α) Ῥωμ. Γ', 23. (β) Ἰωαν. ΙΕ', 22. (γ) Τιτ. Α', 16.

κρίσεως, οὕτω καὶ τοῦτον ἡ ἀπιστία κατέκρινε πρὸ τῆς κατακρίσεως. Καὶ ὁ φονεὺς γὰρ, καὶ πᾶς πλημμελήσας, τῇ φύσει μὲν τοῦ ἁμαρτήματος αὐτίκα καταδεδίκασται· τῇ ἀποφάσει δὲ τοῦ ἄρχοντος, ὕστερον.

Καὶ καθ' ἕτερον δὲ τρόπον. Ἐπείπερ ἔμελλεν ἡ κρίσις, καὶ οὐ παρῆν, ἐγγὺς ἤγαγε τὸν φόβον τῆς καταδίκης.

Εἰς τὸ ὄνομα δὲ, ἀντὶ τοῦ, εἰς αὐτόν. Ἰδίωμα γὰρ καὶ τοῦτο τῆς ἑβραΐδος γραφῆς, ἐπὶ τοῦ θεοῦ τὸ ὄνομα αὐτοῦ λαμβάνειν, ἀντ' αὐτοῦ, δι' εὐλάβειαν.

19 Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς·

Αὕτη ἐστὶν ἡ κατάκρισις τῶν μὴ πιστευόντων, διὰ τοῦτο κατακρίνονται, ὅτι, ἐλθόντος τοῦ φωτὸς τῆς γνώσεως, καὶ τῆς ἀληθείας εἰς αὐτούς· λέγει δὲ τοῦτο περὶ ἑαυτοῦ· ἠγάπησαν μᾶλλον τὸ σκότος τῆς ἀγνοίας καὶ τοῦ ψεύδους παρὰ τὸ φῶς. Ὁ μὲν γὰρ, ἀπόντος τοῦ φωτὸς, μένων ἐν τῷ σκότει, λόγον ἴσως ἕξει τινά· καὶ γὰρ (1) καὶ τοῦτον ἔδει μὴ οὕτως ἔχειν, ἀλλὰ ζητεῖν τὸ φῶς· ὁ δὲ, τοῦ φωτὸς ἐλθόντος εἰς αὐτὸν, ἔτι προσεδρεύων τῷ σκότει, πάσης ἀπολογίας ἐστέρηται. Ψυχῆς γὰρ διεστραμμένης, μύειν πρὸς τὸ φῶς, καὶ ἐθελουσίως σκοτίζεσθαι, καὶ μὴ μόνον μὴ αὐτὸν ἐλθεῖν πρὸς τὸ φῶς, ἀλλὰ καὶ τοὐναντίον, τοῦ φωτὸς μᾶλλον πρὸς αὐτὸν ἐλθόντος, φεύγειν, καὶ ἀποστρέφεσθαι τὴν ἑαυτοῦ σωτηρίαν. Εἶτα τίθησι καὶ τὴν αἰτίαν, δι' ἣν ἠγάπησαν τὸ σκότος.

19 Ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα.

Διὰ τοῦτο οὖν ἔφυγον τὸ φῶς, ἵνα μὴ φανερώσῃ αὐτά. Καίτοι οὐκ ἦλθεν, ἵνα ἐξετάσῃ, ἀλλ' ἵνα συγχωρήσῃ· διὸ καὶ μᾶλλον ἔδει προσδραμεῖν.

---

(1) Προτιμότερον ἴσως τὸ, κἂν γάρ.

20 Πᾶς γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς·

Ἕως ἂν φαῦλα πράσσοι, ἕως ἂν τούτοις ἐγκαταμένοι.

20 Καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ.

Φοβούμενος δηλονότι.

21 Ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς·

Ὁ πράττων τὸ εὐθὲς, ὁ πολιτευόμενος ὀρθῶς, ἔρχεται πρὸς τὸ φῶς, ἀγαπᾷ τὸ φῶς.

21 Ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα·

Ὑπὸ τοῦ φωτός. Οὐκ ἐπαισχύνεται γὰρ αὐτά.

21 Ὅτι ἐν θεῷ ἐστιν εἰργασμένα.

Ὅτι κατὰ θεόν εἰσιν, ὅτι ἀρεστὰ τῷ θεῷ.

Τὸ δὲ, *ἵνα φανερωθῇ*, εἴρηται, οὐχ ὡς ἐκείνου τοῦτο ζητοῦντος, ἀλλ' ὡς τῆς ἀκολουθίας τοῦ πράγματος τοῦτο ποιούσης. Εἴωθε γὰρ τὸ φῶς φανεροῦν τὰ ἐγγίζοντα.

22 Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς, καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν· καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν, καὶ ἐβάπτιζεν.

Αὐτοὶ ἐβάπτιζον, οὐκ ἐκεῖνος. Φησὶ γὰρ προϊὼν ὁ εὐαγγελιστής· ὅτι *Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ* (α). Ἵνα γὰρ μὴ περιτρέχοντες, οὕτω συνάγωσι τοὺς ὀφείλοντας πιστεύειν, ὅπερ ἐπὶ τοῦ Σίμωνος ὁ Ἀνδρέας ἐποίησε, καὶ τοῦ Ναθαναὴλ ὁ Φίλιππος, τὸ βαπτίζειν ἐνεστήσαντο, δυνάμενον πολλοὺς ἅμα συνάγειν, οἷς ὁμοῦ τὰ περὶ τοῦ Χριστοῦ διδάσκοντες, προσέφερον αὐτοὺς ἐγγὺς ὄντι τῷ Σωτῆρι.

Τινὰ δὲ τῶν ἀντιγράφων (1), *καὶ ἐβάπτιζε*, γράφουσιν,

(α) Ἰωαν. Δ', 2. (1) Ὁ Εὐθύμιος καὶ ἐν τῷ κειμένῳ γράφει, ἐβάπτιζον, ἀντὶ τοῦ κοινοῦ, ἐβάπτιζεν· ἔλαβε δὲ τὴν ἀνάγνωσιν ταύτην ἐκ τοῦ Χρυσοστόμου Τόμ. Η'. Σελ. 164. D. Ὁ δὲ Θεοφύλακτος ἀναγινώσκει καὶ ἑρμηνεύει, ἐβάπτιζεν. Θεοφυλ. Σελ. 600. C· Παρὰ τῷ Κυρίλλῳ λείπουσι ταῦτα παντελῶς ἐκ τοῦ κειμένου. Ἐν δὲ τῇ ἑρμηνείᾳ ἔχει οὕτω «Βαπτίζει τοιγαροῦν ὁ Χριστὸς διὰ τῶν ἑαυτοῦ μαθητῶν» Τόμ. Δ'. Σελ. 156. E.

ὃ καὶ αὐτὸ νοεῖται, ὅτι οὐ δι' ἑαυτοῦ, ἀλλὰ διὰ τῶν μαθητῶν αὐτοῦ.

23 Ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν, ἐγγὺς τοῦ
Σαλεὶμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ· καὶ παρεγίνοντο,
24 καὶ ἐβαπτίζοντο. Οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν
φυλακὴν ὁ Ἰωάννης.

Καὶ ὁ Αἰνὼν καὶ ὁ Σαλεὶμ, τόποι τινὲς ἦσαν, οὕτω καλούμενοι. Ἔτι δὲ ὁ Ἰωάννης ἐβάπτιζεν ἄχρι τοῦ βληθῆναι εἰς τὴν φυλακὴν, ἵνα διηνεκῶς ἔχοι διδάσκειν περὶ τοῦ Χριστοῦ, καὶ τοὺς βαπτιζομένους παραπέμπειν εἰς αὐτόν· καὶ ἵνα μὴ δόξῃ ζήλῳ ἢ ὀργῇ παύσασθαι, ἀλλ' ἵνα μᾶλλον ὑποπτεύηται συμπράττειν τοῖς μαθηταῖς τοῦ Χριστοῦ, καὶ προσάγειν τοὺς βαπτιζομένους· καὶ τρίτον, ἵνα μὴ τοὺς ἑαυτοῦ μαθητὰς εἰς πλείονα ζηλοτυπίαν ἐξάψῃ. Εἰ γὰρ μυριάκις βοῶν, καὶ ἀεὶ τῶν πρωτείων τῷ Χριστῷ παραχωρῶν, καὶ τοσοῦτον ἑαυτὸν ἐλαττῶν, οὐκ ἔπεισεν αὐτοὺς ἐκείνῳ προσδραμεῖν· εἰ λοιπὸν ἀπέστη καὶ τοῦ βαπτίζειν, ἠναισχύντησαν ἂν, καὶ, προφάσει τοῦ ὑπερτιμᾶν τὸν διδάσκαλον, ἐλύττησαν ἂν κατὰ τῶν ἀποστόλων καὶ τοῦ Χριστοῦ. Τοῦτο καὶ ὁ Χριστὸς εἰδὼς, τότε μᾶλλον ἤρξατο κηρύσσειν, ὅτε ὁ Ἰωάννης ἐκ μέσου γέγονεν.

Φησὶ δὲ ὁ Χρυσόστομος (1), ὅτι Οἶμαι διὰ τοῦτο συγχωρηθῆναι ταχίστην αὐτῷ γενέσθαι τὴν τελευτὴν, ἵνα πᾶσα τοῦ πλήθους ἡ διάθεσις ἐπὶ τὸν Χριστὸν μετέλθῃ, καὶ μηκέτι σχίζωνται ταῖς περὶ ἀμφοτέρων γνώμαις.

Εἰ δέ τις ἐξετάζοι, τί πλέον εἶχε τὸ τῶν μαθητῶν βάπτισμα παρὰ τὸ τοῦ Ἰωάννου, φαμὲν, ὅτι οὐδέν. Ἑκάτερα γὰρ ὁμοίως τῆς τοῦ πνεύματος χάριτος ἄμοιρα ἦν, καὶ ἀμφοτέροις αἰτία μία, τὸ προσάγειν τῷ Χριστῷ τοὺς βαπτιζομένους.

(1) Τομ. Η'. Σελ. 165. Β.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ζήτησις περὶ καθαρισμοῦ.

25 Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ
Ἰουδαίου περὶ καθαρισμοῦ.

Ἐγένετο διάλεξις ἐκ τῶν μαθητῶν Ἰωάννου πρὸς Ἰουδαῖόν τινα, βαπτισθέντα παρὰ τῶν μαθητῶν τοῦ Χριστοῦ· ἡ δὲ ζήτησις ἦν περὶ καθαρισμοῦ, ἤτοι, βαπτίσματος, ὡς τοῦ παρ' αὐτοῖς πλέον τι τοῦ τῶν μαθητῶν (1) ἔχοντος· ζηλοτυποῦντες γὰρ ἐπεχείρουν πείθειν.

26 Καὶ ἦλθον πρὸς τὸν Ἰωάννην, καὶ εἶπον αὐτῷ· Ῥαββὶ,
ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε, οὗτος βαπτίζει,

Μὴ δυνηθέντες πεῖσαι τὸν Ἰουδαῖον, ἦλθον πρὸς τὸν διδάσκαλον ἑαυτῶν, καὶ εἶπον, ὅτι Ὦ σὺ μεμαρτύρηκας τοσαῦτα καὶ τοιαῦτα, ὃν διὰ τῆς σῆς μαρτυρίας ἐδόξασας, οὗτος ἀντιπράττει σοι, καὶ ὑφαρπάζει τὴν δόξαν σου. Ἔτι δὲ παρακνίζειν αὐτὸν ἐθέλοντες, προστιθέασι·

26 Καὶ πάντες ἔρχονται πρὸς αὐτόν.

Σὲ καταλιμπάνοντες.

27 Ἀπεκρίθη Ἰωάννης, καὶ εἶπεν· Οὐ δύναται ἄνθρωπος
λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ
οὐρανοῦ.

Οὐ δύναται ἄνθρωπος ἀφ' ἑαυτοῦ λαμβάνειν οὐδὲν τοιοῦτον, οἷον, οὐράνιον καὶ θεῖον· γήϊνα γὰρ καὶ ἀνθρώπινα πολλοὶ πολλάκις καὶ ἀφ' ἑαυτῶν λαμβάνουσι. Τοῦτο δὲ εἰπὼν, μυστικώτερον μὲν ὑπέφηνεν, ὅτι οὐκ ἔστιν ἄνθρωπος ἁπλῶς, ἀλλὰ

(1) Σαφηνείας χάριν προσθετέον ἐνταῦθα, τοῦ Χριστοῦ, τὸ ὁποῖον ὑπάρχει καὶ παρὰ τῷ Χρυσοστόμῳ. Τομ. Η'. Σελ. 165. Ε.

καὶ θεός· φανερώτερον δὲ ἐδήλωσεν, ὅτι ἐκ θεοῦ ἔλαβε τὸ δοξάζεσθαι καὶ πάντας ἐφέλκεσθαι.

Εἶτα, ἐπεὶ τὴν αὐτοῦ μαρτυρίαν προεβάλοντο πρὸς ὑποβιβασμὸν του Χριστοῦ, περιτρέπει ταύτην κατ' αὐτῶν, καὶ ἀπ' αὐτῆς μᾶλλον δείκνυσιν ἐκεῖνον ὑπερκείμενον. Λέγει γάρ·

28 Αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε, ὅτι εἶπον· Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου.

Ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου, ἤτοι, διάκονος καὶ ὑπηρέτης αὐτοῦ. Εἰ οὖν τὴν ἐμὴν προβάλλεσθε (1) μαρτυρίαν, αὕτη μείζονα ἐκεῖνον ἐμαρτύρησεν.

29 Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν·

Αὐτὸς, ὁ ἔχων τὴν νύμφην, αὐτός ἐστι νυμφίος, ἤγουν, κύριος. *Νύμφη* μὲν οὖν, ὁ λαὸς τῶν πιστῶν, ἡ ἐκκλησία μυστικῶς συναπτομένη διὰ πίστεως· *νυμφίος* δὲ ὁ Χριστὸς, ἀῤῥήτως συνάπτων ἑαυτῷ καὶ οἰκειῶν ταύτην ἐπιλεγεῖσαν· ἐπεὶ καὶ ἀλλαχοῦ, γάμους τὸ πρᾶγμα ὁ Σωτὴρ ὠνόμασεν (2).

29 Ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου·

Ἀνωτέρω μὲν, διάκονον καὶ ὑπηρέτην· ἐνταῦθα δὲ, φίλον ἑαυτὸν ἐκείνου καλεῖ, οὐκ ἐπαίρων ἑαυτὸν, οὐδὲ κομπάζων, ἀλλὰ τὴν ἐπὶ τῷ πράγματι χαρὰν ἐνδεικνύμενος, διὰ τῆς τοῦ φίλου προσηγορίας. Οὐχ οὕτω γὰρ οἱ ὑπηρέται χαίρουσιν ἐν τοῖς γάμοις τῶν κυρίων, ὡς οἱ φίλοι.

Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι Ἐκεῖνος μὲν ἐστι νυμφίος καὶ κύριος· ἐγὼ δὲ φίλος καὶ νυμφαγωγὸς, ὃς ἑστηκὼς ἤδη, ὡς ἀνύσας τὴν νυμφαγωγίαν, καὶ ὡς πληρώσας τὸ ἐντεταλμένον μοι, καὶ λοιπὸν ἀκούων αὐτοῦ διαλεγομένου πρὸς τὴν νύμφην, καὶ ῥυθμίζοντος αὐτὴν καὶ παιδεύοντος, χαίρω διὰ τὴν φωνὴν αὐτοῦ,

(1) προβάλεσθε, παρὰ τῷ Β.

(2) Ὡς Ματθ. ΚΒ', 2. παρβλ. Θ', 15.

τὴν οὕτω γλυκεῖαν, τὴν οὕτως ἐπέραστον, τὴν οὕτω σωτήριον.

29 Αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται.

Παραδόντος ἐκείνῳ τὴν νύμφην, καὶ πεπληρωκότος, ὡς εἴρηται, τὴν ἐγχειρισθεῖσαν μοι διακονίαν. Ἐκεῖνοι μὲν οὖν ᾤοντο παρακνίζειν τὸν διδάσκαλον ἑαυτῶν, καὶ εἰς ζηλοτυπίαν ἐρεθίζειν· αὐτὸς δὲ, τὰ ῥηθέντα εἰπὼν, ἔδειξεν, ὅτι οὐ μόνον οὐ ζηλοτυποῖ παρευδοκιμούμενος, ἀλλ' ὅτι καὶ μᾶλλον χαίρει, καὶ ὅτι καὶ αὐτὸς τοῦτο ἐσπούδαζεν. Εἶτα προφητεύει καὶ περὶ τοῦ μέλλοντος.

30 Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι.

Ἐλαττοῦσθαι, ὡς, ἡλίου ἀνατείλαντος, ἑωσφόρον.

Εἶδες, πῶς ἠρέμα καὶ εὐμηχάνως τὴν βασκανίαν αὐτῶν ἐσωφρόνισε, καὶ ἀδυνάτοις ἐπιχειροῦντας ἔδειξε; Διὰ τοῦτο γὰρ καὶ ᾠκονομήθη, ἔτι ζῶντος αὐτοῦ καὶ βαπτίζοντος, ταῦτα γενέσθαι, ἵνα αὐτὸν ἀξιόπιστον μάρτυρα τῆς ὑπεροχῆς ἔχωσι, καὶ μηδεμία τούτοις ἀντιλογία περιλειφθείη. Οὐδὲ γὰρ ἀφ' ἑαυτοῦ ταῦτα εἶπεν, ἀλλ' ἐκείνων παρορμησάντων.

31 Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστίν.

Ὁ ἐπουράνιος μείζων πάντων ἐστί· διὰ τοῦτο κἀγὼ ἐλάττων αὐτοῦ.

Ἢ καὶ ἑτέρως· Ὁ ἐπουράνιος ἀπροσδεὴς πάντων ἐστί· διὰ τοῦτο οὐδὲ τῆς ἐμῆς προσδεῖται μαρτυρίας, αὐτὸς ἑαυτῷ ἀρκῶν.

31 Ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστί,

Ὥσπερ ἐκεῖνο περὶ ἐκείνου, οὕτω καὶ τοῦτο περὶ ἑαυτοῦ λέγει, ὅτι *Ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστὶν*, ἤγουν, ὑποκάτω ἐκείνου· καὶ γὰρ καὶ ὁ οὐρανὸς μὲν, ἐπάνω καὶ ὑψηλός· ἡ γῆ δὲ, ὑποκάτω καὶ ταπεινή.

31 Καὶ ἐκ τῆς γῆς λαλεῖ·

Καὶ μὴν θεῖα ἐλάλει· ἀλλ' ὥσπερ ὁ Χριστὸς προλαβὼν εἴρη-

κεν· *Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε* (α), ἐπίγειον λέγων, τὴν θείαν ἀναγέννησιν· οὐκ ἐπειδὴ ἐπίγειος ἦν, ἀλλὰ πρὸς σύγκρισιν τῆς προαιωνίου καὶ ὑπὲρ νοῦν καὶ λόγον γεννήσεως αὐτοῦ· οὕτω καὶ νῦν ὁ Ἰωάννης ἐκ τῆς γῆς λαλεῖν ἑαυτὸν λέγει, πρὸς σύγκρισιν τῶν ὑπερφυῶν λόγων τοῦ Χριστοῦ, δεικνύων, ὅτι τὰ ἑαυτοῦ μικρὰ καὶ εὐτελῆ τοῖς ἐκείνου παραβαλλόμενα. Καθάπερ γὰρ διὰ τοῦ οὐρανοῦ τὸ ὑψηλὸν ἐμφαίνει· οὕτω καὶ διὰ τῆς γῆς, τὸ ταπεινόν.

31 Ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος, ἐπάνω πάντων ἐστί.

Τὸ αὐτὸ λέγει πάλιν, βεβαιῶν τὸν λόγον.

32 Καὶ ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ·

Μεταφορικὸς ὁ λόγος, ἀπὸ τῶν ὄψει καὶ ἀκοῇ *παραλαμβανόντων* ἃ μαρτυροῦσιν. Οὐ γὰρ αὐτὸς ἐδεῖτο γνώσεως, τῆς ἐξ ὁράσεως ἢ ἀκοῆς ἐγγινομένης, φύσει πάντα εἰδὼς, ὡς ἀνενδεὴς καὶ τέλειος θεός· ἀλλ᾽ ἐπειδήπερ ἡμῖν ἡ ἀκριβὴς γνῶσις ἐκ τούτων ἐγγίνεται, καὶ ἀξιόπιστον κρίνομεν τὸν ἢ ὄψει ἢ ἀκοῇ παραλαβόντα, περὶ ὧν ἀπαγγέλλει, ἀπὸ τῶν παρ᾽ ἡμῖν καὶ τὰ περὶ ἐκείνου πιστοῦται. Εἰπὼν οὖν, *Ὃ ἑώρακε, καὶ ὃ ἤκουσε, τοῦτο μαρτυρεῖ*, ταπεινῶς μὲν εἶπε, διὰ τὴν ἀσθένειαν τῶν ἀκροωμένων· οὐδὲν δὲ ἕτερον εἶπεν, ἢ ὅτι ἀληθῆ μαρτυρεῖ. Καὶ γὰρ καὶ ἡμεῖς, ὅταν θέλωμεν βεβαιῶσαι περί τινος, ὅτι ἀληθῆ λέγει, φαμὲν, ὅτι ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ.

Λοιπὸν οὖν, ὅταν ἀκούῃς καὶ αὐτοῦ λέγοντος· *Καθὼς ἀκούω, κρίνω* (β)· *καὶ πάλιν· Ἡ ἐμὴ διδαχὴ, οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με* (γ)· καὶ αὖθις· *Ἃ ἤκουσα παρ᾽ αὐτοῦ, ταῦτα λέγω εἰς τὸν κόσμον* (δ), καὶ ὅσα τοιαῦτα, γίνωσκε, ὅτι οἰκονομικῶς τὰ τοιαῦτά φησιν, ἵνα μόνον δόξῃ ἀληθῆ λέγειν, διὰ τὸ μήπω τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν ἔχειν τοὺς ἀκροατάς.

(α) Ἰωαν. Γ΄, 12 (β) Ἰωαν. Ε΄, 30. (γ) Ιωαν. Ζ΄, 16.
(δ) Ιωαν. Η΄, 26.

32 Καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει.

Οὐδεὶς τῶν ἀπιστούντων. Τοῦτο δὲ περὶ τῶν ἀναισθήτων Ἰουδαίων εἴρηκεν ὁ Ἰωάννης· ἐξαιρέτως δὲ περὶ τῶν ἑαυτοῦ μαθητῶν, τῶν ὑπὸ φιλοδοξίας καὶ βασκανίας παρακνίζειν αὐτὸν ἐπιχειρούντων.

33 Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν, ὅτι ὁ θεὸς ἀληθής ἐστιν.

Ἐσφράγισεν, ἤγουν, ἐβεβαίωσεν, ἔδειξεν, ὅτι ὁ πατὴρ ἀληθής ἐστιν. Εἶτα κατασκευάζει τὸ ῥηθέν.

34 Ὃν γὰρ ἀπέστειλεν ὁ θεὸς, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ·

Ἐπεὶ γὰρ, ἀπεσταλμένος ὢν, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ, λοιπὸν ὁ μὲν λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, καὶ πιστεύων αὐτῷ, ἐβεβαίωσεν, ἔδειξεν, ὅτι ὁ θεὸς ἀληθής ἐστιν, ὁ ἀποστείλας αὐτὸν, οὗτινός εἰσι τὰ ῥήματα, ἃ λαλεῖ· ὁ δὲ μὴ λαβὼν αὐτὴν, καὶ ἀπιστῶν αὐτῷ, τοὐναντίον ποιεῖ, καὶ οὐδὲν ἕτερον, ἢ προδήλως θεομαχεῖ.

Ὅρα, πῶς αὐτοὺς ἐντεῦθεν ἐφόβησε καὶ κατέπληξε, μαθόντας, ὅτι ὁ παρακούων αὐτοῦ, παρακούει τοῦ θεοῦ, τοῦ πέμψαντος αὐτόν. Δείξας τοίνυν τὴν διδασκαλίαν αὐτοῦ ἀξιόπιστον ἀπὸ τοῦ πατρὸς, δείκνυσιν αὐτὴν ἀξιόπιστον καὶ ἀπὸ τοῦ ἁγίου Πνεύματος.

34 Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ θεὸς τὸ πνεῦμα.

Οὐ μεμετρημένην δίδωσιν αὐτῷ ὁ πατὴρ τὴν τοῦ πνεύματος ἐνέργειαν, ὥσπερ τοῖς ἄλλοις ἁγίοις, ἀλλ᾽ ἀμέτρητον ἔχει ταύτην, καὶ ὅλην, ὡς ὁμοφυῆ. *Πνεῦμα* γὰρ νῦν λέγει, τὴν τοῦ πνεύματος ἐνέργειαν. Τὸ πνεῦμα μὲν γὰρ ἀμέτρητον, ἡ ἐνέργεια δὲ αὐτοῦ μετρεῖται, καὶ διανέμεται κατ᾽ ἀξίαν τῶν λαμβανόντων αὐτήν.

Ἔδειξε δὲ τὴν διδασκαλίαν αὐτοῦ ἀξιόπιστον, ἀπὸ τοῦ πατρὸς, καὶ τοῦ ἁγίου πνεύματος, οὐχ ὡς δεομένου τῆς ἐκεῖθεν

ἀξιοπιστίας· ἀρκεῖ γὰρ αὐτὸς ἑαυτῷ, τῆς αὐτῆς αὐτοῖς ὢν φύσεως καὶ ἀξίας· ἀλλ᾽ ἐπειδὴ τὸν μὲν πατέρα ἐγίνωσκον, καὶ ὅτι πνεῦμά ἐστιν, ἠπίσταντο, τὸν υἱὸν δὲ ἠγνόουν, ἀπ᾽ ἐκείνων τὴν περὶ τούτου (1) δόξαν συνίστησιν, οἰκονομικῶς τὰ τοιαῦτα φθεγγόμενος, καὶ κατὰ μικρὸν αὐτοὺς ἀνάγειν πειρώμενος.

Χρὴ τοίνυν, μὴ ἁπλῶς τὰ ἐν ταῖς Γραφαῖς κείμενα παρατρέχειν, ἀλλὰ καὶ τὸν σκοπὸν τοῦ λέγοντος ἐξετάζειν, καὶ τὴν ἀσθένειαν τῶν ἀκουόντων. Οὐ πάντα γὰρ οἱ διδάσκαλοι, ὡς βούλονται, λέγουσιν, ἀλλὰ τὰ πολλὰ, ὡς ἡ ἕξις ἀπαιτεῖ τῶν διδασκομένων. Φησὶ γὰρ καὶ Παῦλος· *Οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ᾽ ὡς σαρκικοῖς. Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα* (α). Οὐκ ἠδυνήθη δὲ, παρὰ τὴν ἐκείνων ἀδυναμίαν (2).

35 Ὁ πατὴρ ἀγαπᾷ τὸν υἱόν,

Ἐπεὶ προλαβὼν εἶπεν, ὅτι *Ὃν ἀπέστειλεν ὁ θεὸς*, ἵνα μὴ ἐντεῦθεν νομίσωσιν, ἑτέρας αὐτὸν εἶναι φύσεως, ὑποδεεστέρας καὶ διακονικῆς, θεραπεύει τὸ ῥηθὲν, καὶ ἀνακηρύττει τοῦτον υἱὸν τοῦ ἀποστείλαντος. Εἰ γὰρ υἱὸς, ἄρα καὶ ὁμοούσιος· καὶ εἰ ἀγαπητὸς, ἄρα πᾶς προσκρούων αὐτῷ, τῷ πατρὶ αὐτοῦ προσκρούει.

35 Καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ.

Πάντα εἶχεν, ὡς θεός· *Πάντα γὰρ δι᾽ αὐτοῦ ἐγένετο* (β)· δέδωκε δὲ αὐτῷ ταῦτα, καὶ ὡς ἀνθρώπῳ. Τὸ δὲ, *ἀγαπᾷ*, καὶ τὸ, *δέδωκεν*, ἀνθρωποπρεπῶς εἴρηται. Εἰώθασι γὰρ οἱ πατέρες ἀγαπᾶν τοὺς υἱοὺς, καὶ παραχωρεῖν αὐτοῖς τῶν ἰδίων.

(1) περὶ τούτων, παρὰ τῷ Α. (α) Α᾽ Κορ. Γ᾽, 1. 2.

(2) Ἄριστα περὶ τούτου λαλεῖ καὶ ὁ Θεοφύλακτος εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον Σελ. 795. Α. « Ταῦτα πάντα τὰ ταπεινὰ καὶ ἀνάξια δοκοῦντα τῆς τοῦ υἱοῦ δόξης, διὰ τοὺς ἀκροατὰς εἴρηται, οὐχ ἵνα ἡμεῖς πρὸς τὰ δόγματα τούτοις χρώμεθα. Ἐλέχθησαν γὰρ τοῖς ἀποστόλοις πρὸς παρηγορίαν. » Πρόσθες καὶ Χρυσόστομον Τόμ. Α᾽, Σελ. 468 Α. (β) Ἰωαν. Α᾽, 3.

36 Ὁ πιστεύων εἰς τὸν υἱὸν, ἔχει ζωὴν αἰώνιον·

Ὁ πιστεύων εἰς τὴν διδασκαλίαν τοῦ υἱοῦ, ὁ πειθόμενος αὐτῷ.

36 Ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται ζωήν·

Προειρήκαμεν, ὅτι ζωὴ αἰώνιός ἐστι καὶ λέγεται, ἡ ζωὴ ἡ μακαρία, ἡ ἁγιοπρεπής.

36 Ἀλλ᾽ ἡ ὀργὴ τοῦ θεοῦ μενεῖ ἐπ᾽ αὐτόν.

Οὐκ εἶπεν, ἡ ὀργὴ τοῦ υἱοῦ, καίτοι τοῦ υἱοῦ κρῖναι μέλλοντος, ἀλλὰ τὴν ὀργὴν τοῦ πατρὸς αὐτοῖς ἐπεκρέμασε, μᾶλλον φοβῆσαι βουλόμενος. Τὸ δὲ, *Μενεῖ ἐπ᾽ αὐτὸν*, ἀντὶ τοῦ, Οὐδέποτε ἀποστήσεται αὐτοῦ, διηνεκῶς κολάσει αὐτόν.

ΚΕΦ. IV, 1 Ὡς οὖν ἔγνω ὁ Κύριος, ὅτι ἤκουσαν οἱ
Φαρισαῖοι, ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ
2 βαπτίζει ἢ Ἰωάννης· (καίτοι γε Ἰησοῦς αὐτὸς οὐκ
3 ἐβάπτιζεν, ἀλλ᾽ οἱ μαθηταὶ αὐτοῦ·) ἀφῆκε τὴν
Ἰουδαίαν, καὶ ἀπῆλθε πάλιν εἰς τὴν Γαλιλαίαν.

Ἀφῆκε τὴν Ἰουδαίαν, περικόπτων τὴν βασκανίαν αὐτῶν.

4 Ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας.

Δείκνυσιν αὐτὸν ὁ εὐαγγελιστὴς, οὐ προηγούμενον ἔργον, ἀλλ᾽ ὁδοῦ πάρεργον, τὰ κατὰ τὴν Σαμαρείτιδα ποιούμενον, διὰ τὴν τῶν Ἰουδαίων πρὸς τοὺς Σαμαρείτας ὑποψίαν.

Ἡ Σαμάρεια δὲ, χώρα τίς ἦν διαφόρους ἔχουσα πόλεις καὶ κώμας. Ἐν ταύτῃ δὲ πάλαι μὲν Ἰσραηλῖται κατῴκουν· ὕστερον δὲ, μετὰ διαφόρους πολέμους, ἐρημώσας αὐτὴν ὁ βασιλεὺς Ἀσσυρίων, τοὺς ὑπολειφθέντας μὲν εἰς Βαβυλῶνα κατήγαγεν, ἐκ Βαβυλωνίων δὲ καὶ Μήδων καὶ Χαλδαίων μιγάδας ἀνθρώπους συναγαγὼν, ἐκεῖ κατῴκισε. Δεῖξαι δὲ βουλόμενος ὁ θεὸς, ὅτι δι᾽ ἁμαρτίαν ἐξεδόθησαν τοῖς Ἀσσυρίοις οἱ Ἰσραηλῖται, καὶ οὐ δι᾽ ἀσθένειαν, λέοντας ἐπαφῆκε τοῖς ἐγκατοικισθεῖσι βαρβάροις· ὅπερ μαθὼν ὁ βασιλεὺς, καὶ συνεὶς, πέμπει ἱερέα τῶν Ἰσραηλιτῶν, παραδώσοντα κἀκείνοις τὸν τοῦ θεοῦ νόμον, ἵνα

τῆς ἀπὸ τῶν λεόντων λύμης ἀπαλλαγῶσιν. Ἐξ ἡμισείας δὲ τότε τῆς ἀσεβείας ἀποστάντες, ὕστερον ὁλοτελῶς ἀπεπήδησαν τῶν εἰδώλων. Πλὴν οὐ μικρὰν εἶχον ἔτι πρὸς τοὺς Ἰουδαίους διαφοράν· μόνας γὰρ τὰς Μωσαϊκὰς βίβλους δεχόμενοι, τῶν ἄλλων οὐ πολὺν ἐποιοῦντο λόγον.

†† Ἄξιον εἰπεῖν (1), πόθεν οἱ Σαμαρεῖται τὴν προσηγορίαν ταύτην ἔλαβον. Σομὸρ ὄρος ἦν, καθὰ καὶ Ἡσαΐας φησὶν (α), *Ἡ κεφαλή Σομόρων Ἐφραίμ*. Ἀλλ' οἱ κατοικοῦντες, οὐ Σαμαρεῖται, ἀλλ' Ἰσραηλῖται ἐλέγοντο. Χρόνου δὲ προϊόντος, προσέκρουσαν τῷ θεῷ, καὶ βασιλεύοντος Φακεὲ, ἀνελθὼν Θεγλὰθ Φαλασὰρ πόλεις τε εἷλε πολλὰς, καὶ ἐπέθετο τῷ Ἠλᾶ, καὶ ἀνελὼν αὐτὸν, Ὠσηὲ τὴν βασιλείαν ἔδωκεν. Ἐπὶ τοῦτον ἐλθὼν ὁ Σαλμανασὰρ, εἷλε πόλεις ἑτέρας, καὶ ὑποφόρους ἐποίησεν· οὗτος δὲ πρὸς τὴν τῶν Αἰθιόπων κατέφυγε συμμαχίαν. Ἔγνω τοῦτο ὁ Ἀσσύριος, καὶ ἐπιστρατεύσας, καὶ ἀνελὼν αὐτὸν, οὐκέτι τὸ ἔθνος ἐκεῖ μένειν ἀφίησιν· ἀλλὰ τούτους μὲν εἰς Βαβυλῶνα ἤγαγεν, ἐκεῖθεν δὲ ἔθνη, ἐκ διαφόρων τόπων ἀγαγὼν, κατῴκισεν ἐν τῇ Σαμαρείᾳ, ὥστε λοιπὸν ἀσφαλῆ αὐτῷ τὴν ἀρχὴν εἶναι, τῶν οἰκείων ἐχόντων τὸν τόπον. Βουλόμενος δὲ ὁ θεὸς δεῖξαι τὴν αὐτοῦ δύναμιν, καὶ ὡς οὐ δι' ἀσθένειαν ἐξέδωκεν Ἰουδαίους, ἀλλὰ δι' ἁμαρτίας αὐτῶν, ἐπαφίησι λέοντας τοῖς βαρβάροις· χρόνου δὲ προϊόντος, τῶν εἰδώλων καὶ τῆς δυσσεβείας ἀπέστησαν.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς Σαμαρείτιδος.

5 Ἔρχεται οὖν εἰς πόλιν τῆς Σαμαρείας, λεγομένην

(1) Ταῦτα οὔτε παρὰ τῷ Α, οὔτε παρὰ τῷ Β εὑρίσκονται· ἐλήφθησαν δὲ μέρος μὲν ἐκ τοῦ Χρυσοστόμου. Τομ. Η'. Σελ· 177. C. μέρος δὲ ἐκ τοῦ Θεοφυλάκτου. Σελ. 606. B. (α) Ἡσ. Ζ', 9.

Συχὰρ, πλησίον τοῦ χωρίου, ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ.

Ἐκεῖνο τὸ χωρίον ἦν, τὸ κατ' ἐξαίρετον δοθὲν τῷ Ἰωσὴφ, λεγόμενον Σίκιμα.

6 Ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ.

Πηγὴν λέγει, τὸ φρέαρ, ὡς πηγάζον κάτωθεν· ἐκαλεῖτο δὲ τοῦ Ἰακὼβ, ὡς παρ' αὐτοῦ ὀρυγέν.

6 Ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ. Ὥρα ἦν ὡσεὶ ἕκτη.

Κεκοπιακὼς, κατὰ τὴν ἰδιότητα τῆς ἀνθρωπότητος. Πεζῇ γὰρ βαδίζων, οὕτω σύντονον ἐποιεῖτο τὴν ὁδοιπορίαν, ὡς καὶ κοπιάσαι.

Τί δέ ἐστι τὸ, *ἐκαθέζετο οὕτως*; *Ἁπλῶς, ὡς ἔτυχεν*, ἐπ' ἐδάφους. Τὸ ἄτυφον γὰρ ὁ λόγος διδάσκει.

Ἐκαθέζετο δὲ, τὸ σῶμα διαναπαύων, καὶ περὶ τὴν πηγὴν ἀναψύχων· αὐτὸ γὰρ τῆς ἡμέρας ἦν τὸ μεσαίτατον, ὅτε λοιπὸν ὁ ἥλιος σφοδρότερον καθικνεῖται τῶν ἀνθρωπίνων σωμάτων· ἅμα δὲ καὶ τοὺς μαθητὰς ἀνέμενεν, ἀπελθόντας εἰς ἀγορὰν τροφῶν. Ὅρα δὲ τοῦ εὐαγγελιστοῦ τὴν ἀκρίβειαν! Οὐ γὰρ εἶπεν, *ὥρα ἦν ἕκτη*, ἀλλ', *ὡσεὶ ἕκτη*, παιδεύων ἡμᾶς, μηδ' ἐπὶ τοῖς ἐλαχίστοις ἀδιαφορεῖν, ἀλλὰ καὶ ἐν τοῖς τυχοῦσιν ἐπιτηδεύειν ἀλήθειαν. Ἵνα γὰρ μὴ, ἀποφαινόμενος, ἴσως ἀποτύχῃ, ἐκόλασε τὴν λέξιν, καὶ στοχαστικῶς ἔλεξεν.

7 Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ·

Ἐκεῖθεν γὰρ οἱ τῆς εἰρημένης πόλεως ὑδρεύοντο, διὰ τὸ μὴ συχνὰ φρέατα περὶ τὸν τόπον εἶναι.

8 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Δός μοι πιεῖν.

Ὥσπερ ἐπὶ τῆς ξηρανθείσης συκῆς (α), οὐ πεινῶν ἐζήτει σῦκα,

(α) Ματθ. ΚΑ', 18. Μαρκ. ΙΑ', 12.

ἀλλ' οἰκονομῶν' ἵνα εὐαφόρμως ἐπὶ τὴν θαυματουργίαν ἔλθῃ· οὕτω καὶ νῦν ἐπὶ τῆς πηγῆς, οὐ διψῶν ἐζήτει ὕδωρ, ἀλλ' οἰκονομῶν, ἵνα εὐαφόρμως τῇ γυναικὶ διαλεχθῇ· προεγίνωσκε γὰρ αὐτὴν πιστεύσουσαν, καὶ πολλοῖς αἰτίαν πίστεως γενησομένην· διὸ καὶ τῆς διαλέξεως ἀψάμενος, ἀφῆκε τὸ ὕδωρ.

8 (Οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι.)

Οὐκ ἐπεφέροντο γὰρ ἐφόδια, παιδευθέντες καταφρονεῖν γαστρός, καὶ μὴ περισπούδαστον ἡγεῖσθαι τὴν λειτουργίαν αὐτῆς, ἀλλὰ τότε μόνον ἐπιστρέφεσθαι ταύτης, ὅτε λοιπὸν ἡ φύσις ἐπείγοι.

Πῶς οὖν οὐκ ἐθαυματούργησε καὶ τότε περὶ τὰς τροφὰς τῶν μαθητῶν; Διότι ἐὰν πάντα ὡς θεὸς ἐτερατούργει, ἠπιστήθη ἄν, ὅτι ἄνθρωπός ἐστιν· ὥσπερ πάλιν, ἐὰν πάντα ὡς ἄνθρωπος ἔπραττεν, ἠπιστήθη ἄν, ὅτι θεός ἐστι. Διὰ τοῦτο ποτὲ μέν, ὡς ἄνθρωπος πράττει, βεβαιῶν, ὅτι ἄνθρωπός ἐστι· ποτὲ δὲ, ὡς θεὸς τερατουργεῖ, πιστούμενος, ὅτι θεός ἐστι.

Μόνος δὲ ἐκαθέζετο παρὰ τῇ πηγῇ, παιδεύων καὶ ἐκ τούτου τὸ ἄτυφον.

9 Λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις· Πῶς σὺ, Ἰουδαῖος ὢν, παρ' ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος; (Οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις.)

Οὐ *συγχρῶνται*, ἤγουν, οὐ κοινωνοῦσι, βδελυττόμενοι τούτους, ὡς ἐξ ἡμισείας ἰουδαΐζοντας.

Ἀλλὰ πόθεν ἔγνω, ὅτι Ἰουδαῖός ἐστιν; Ἀπὸ τοῦ σχήματος, ἢ καὶ ἀπὸ τῆς διαλέξεως. Ὁ μὲν οὖν Χριστὸς, οἷα μὴ ἁπλῶς Ἰουδαῖος, ἀλλὰ καὶ θεὸς, παρεῖδε τὴν τοιαύτην παρατήρησιν, προοιμιαζόμενος τὴν οἰκείωσιν, οὐ μόνον τῶν Σαμαρειτῶν, ἀλλὰ καὶ τῶν ἁπανταχοῦ γῆς ἐθνῶν· ἡ δὲ Σαμαρεῖτις, οἰομένη τοῦτον ἁμαρτάνειν, διορθοῦται δῆθεν, ὑπομιμνήσκουσα περὶ τῆς παρατηρήσεως.

10 Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῇ· Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι· Δός μοι πιεῖν· σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν.

Ἐντεῦθεν μάλιστα φανερὸν, ὡς ὑπεκρίθη τότε τὴν δίψαν, ἵνα ἐγγὺς ἀγάγῃ τὴν πλανωμένην, καὶ θηρεύσῃ τῷ δικτύῳ τῆς διαλέξεως. Ἐδίψα μὲν γὰρ, ἀλλὰ τὴν τῶν πεπλανημένων ἐπιστροφήν· ἐπεὶ καὶ προϊὼν, ἴδιον βρῶμα ταύτην καλεῖ, λέγων· *Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με* (α)· νῦν δέ φησιν· *Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ*, εἰ ἐγίνωσκες, ὁποῖα δωρεῖται ὁ θεός. Ἔλεγε δὲ τοῦτο περὶ ἑαυτοῦ, κατὰ μικρὸν ἑαυτὸν ἀποκαλύπτων αὐτῇ, ὡς ἀξίᾳ τοιαύτης διδασκαλίας, διὰ τὸ πρὸς ἐπιστροφὴν ἐπιτήδειον αὐτῆς.

Ὕδωρ δὲ *ζῶν* ὠνόμασε τὸ νᾶμα τῆς διδασκαλίας αὐτοῦ· *ὕδωρ* μὲν, ὅτι δίκην ὕδατος καθαίρει τὸν ῥύπον τῆς ἁμαρτίας, καὶ σβεννύει τὴν φλόγα τῶν παθῶν, καὶ θεραπεύει τὴν τῆς ἀπιστίας ξηρότητα καὶ ἀκαρπίαν· *ζῶν* δὲ, ὡς ἀένναον καὶ ἀεικίνητον. Ζωὴ γὰρ ὕδατος, τὸ νάειν καὶ κινεῖσθαι.

Φησὶ δὲ ὁ Χρυσόστομος (1), *ὕδωρ ζῶν* νοεῖσθαι, τὴν χάριν τοῦ θείου πνεύματος· τοῦτο γὰρ διαφόρως ὀνομάζεσθαι, πρὸς τὰς διαφόρους ἐνεργείας αὐτοῦ, νῦν μὲν ὕδωρ, ἄλλοτε δὲ, πῦρ· ἀλλ' ὕδωρ μὲν, διότι, καθάπερ τὸ ὕδωρ ἐξ οὐρανοῦ κατιὸν, ζωοποιεῖ καὶ τρέφει· καὶ μονοειδὲς ὂν ἐνεργεῖ πολυτρόπως, λευκαῖνον μὲν ἐν κρίνῳ, μελαῖνον δὲ ἐν ναρκίσσῳ, ἐρυθραῖνον δὲ ἐν ῥόδῳ, πορφυρίζον δὲ ἐν ἴῳ· καὶ γλυκαῖνον μὲν ἐπὶ τῆς συκῆς, πικραῖνον δὲ ἐπὶ τῆς ἀψίνθου· οὕτω καὶ τὸ θεῖον πνεῦμα, ἐξ οὐρανοῦ κατιὸν, ζωοποιεῖ καὶ τρέφει τὴν ψυχήν· καὶ ἓν ὂν, εἰς διαφόρους ἐνεργείας διαιρεῖ τὴν χάριν καὶ δύναμιν. Πῦρ δὲ, διότι, καθάπερ τὸ πῦρ, μονοειδὲς ὂν, διαφόρως ἐνεργεῖ, θερμαῖνον, φλέγον, φωτίζον, καθαῖρον, οὕτω δὴ καὶ τὸ θεῖον πνεῦμα.

(α) Ἰωαν. Δ', 34. (1) Τομ. Η. Σελ. 183. D.

11 **Λέγει αὐτῷ ἡ γυνή· Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν;**

Μὴ δυνηθεῖσα νοῆσαι τὸ ῥηθὲν, ὑπώπτευσεν, ὅτι ὕδωρ ζῶν λέγει, τὸ ἀπὸ τοῦ φρέατος ἐκείνου, ὡς ἀναβλύζον καὶ ἀλλόμενον· καὶ ὑπενόησε ῥηθῆναι τὸν λόγον, ὡς ἐκείνου δυναμένου συντομώτερον ἀνιμήσασθαι, δὶ ἀνδρείαν καὶ ἐπιτηδειότητα.

Τέως δὲ Κύριον αὐτὸν προσηγόρευσε, νομίσασα, μέγαν εἶναί τινα. Καὶ γὰρ ἤκουσεν· *Εἰ ᾔδεις, τίς ἐστιν ὁ λέγων σοι· Δός μοι πιεῖν*, καὶ τὰ ἑξῆς· καὶ αὐτίκα τετίμηκεν αὐτὸν τῇ τοιαύτῃ προσηγορίᾳ, καὶ μετὰ πάσης ἐπιεικείας καὶ τὰ λοιπὰ διαλέγεται. *Ἄντλημα* δέ φησι, τὸ ἀγγεῖον.

12 **Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακὼβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ;**

Καὶ οἱ Σαμαρεῖται, πατρίδα τὴν Σαμάρειαν ἤδη κεκτημένοι, πατέρα λοιπὸν ἑαυτοῖς ἐπεγράφοντο τὸν Ἰακὼβ, ὡς προκάτοχον καὶ πατέρα τῆς τοιαύτης αὐτῶν πατρίδος, κἀντεῦθεν εἰσώθουν ἑαυτοὺς εἰς τὴν ἰουδαϊκὴν εὐγένειαν.

Φασὶ δέ τινες, ὅτι ἡ Σαμαρεῖτις αὕτη γυνὴ, καὶ ἄλλοι πολλοὶ τῶν τὴν Σαμάρειαν οἰκούντων, ἐξ Ἰακὼβ μὲν εἷλκον τὸ γένος· αἰχμαλωτισθέντων δὲ πάλαι τῶν προγόνων αὐτῶν, καὶ δουλευσάντων παρὰ Βαβυλωνίοις, μιγάδες οὗτοι συνῆσαν τοῖς Σαμαρείταις, τῷ μακρῷ χρόνῳ καὶ ταῖς πολυτρόποις συμφοραῖς πρὸς τὰ ἐκείνων ἤθη μεταστάντες.

Ἢ πατέρα ἐπεγράφοντο τὸν Ἰακὼβ, ὡς ἐκ Χαλδαίων καὶ αὐτὸν ἕλκοντα τὸ γένος.

Λέγει δὲ νῦν ἡ Σαμαρεῖτις, ὅτι Εἰ μὴ περὶ τούτου λέγεις τοῦ ὕδατος, *μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακὼβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ τουτὶ*, τὸ περιβόητον, ἵνα καὶ δύνῃ δοῦναι κρεῖττον ὕδωρ; Τὸ δὲ, *Καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ*, πρὸς ἔπαινον τοῦ τοιούτου

φρέατος εἴρηται. Ὅτι, ἐὰν εἶχεν ἕτερον κρεῖττον, οὐκ ἂν ἐκ τούτου ἔπιε πανοικί. Λοιπὸν οὖν, εἰ σὺ δύναιο δοῦναι κρεῖττον, μείζων εἶ τοῦ Ἰακώβ.

Ἡ μὲν οὖν Σαμαρεῖτις αὕτη προσηνῶς αὐτῷ περὶ τοῦ Ἰακὼβ διαλέγεται, καὶ παραμένει, ποθοῦσα εὑρεῖν τὸ ζητούμενον· οἱ δὲ Ἰουδαῖοι καὶ λιθάζειν αὐτὸν ἐπεχείρησαν, ὅτι τοῦ Ἀβραὰμ ἐμνημόνευσε. Πῶς οὖν εἰκὸς ἦν, ἀποστραφῆναι τοιαύτην γυναῖκα, σπουδαίαν καὶ φιλομαθῆ, καὶ γλιχομένην ὠφεληθῆναι;

13 **Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῇ· Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν·**

Δίψαν ὕδατος.

14 **Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα·**

Οὐ μὴ διψήσῃ ποτὲ, τὴν ἐξ ἀπιστίας δίψαν.

14 **Ἀλλὰ τὸ ὕδωρ, ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος**

Διὰ τῆς πηγῆς, τὸ ἀέναον καὶ ἀνελλιπὲς τοῦ τοιούτου ὕδατος ἐνέφηνεν.

14 **Ἁλλομένου εἰς ζωὴν αἰώνιον.**

Αναβλύζοντος διὰ ζωὴν αἰώνιον, εἰς (1) τὸ παρέχειν ζωὴν αἰώνιον. Ὅρα δὲ, πῶς, εἰρηκυίας τῆς γυναικὸς, *Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακὼβ*, οὐκ εἶπε, *Ναὶ, μείζων εἰμί*· ἔδοξε γὰρ ἂν κομπάζειν· ἀφ' ὧν δὲ εἴρηκε, τοῦτο κατεσκεύασεν. Ἡ διαφορὰ γὰρ τῶν ὑδάτων, τὴν διαφορὰν τῶν παρεχόντων αὐτὰ κηρύττει· ἐκείνῳ μὲν γὰρ τῷ ὕδατι φύσις, δαπανᾶσθαι· τούτῳ δὲ, πηγάζειν ἀεί.

15 **Λέγει πρὸς αὐτὸν ἡ γυνή· Κύριε, δός μοι τοῦτο τὸ**

(1) Αἱ προθέσεις Διὰ καὶ Εἰς φαίνονται παρακεκινημέναι ἀπὸ τῶν οἰκείων τόπων. Ὁ Ἑντένιος φαίνεται, ὅτι ἀνέγνωσεν: Ἀναβλύζοντος εἰς ζωὴν αἰώνιον, διὰ τὸ παρέχειν —

ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν.

Κατὰ μικρὸν ἀνάγεται πρὸς τὸ τῶν δογμάτων ὕψος. Ἀπὸ τῆς ὑπεροχῆς γὰρ, οὗ δίδωσιν ὕδατος, μείζονα τοῦτον τοῦ Ἰακὼβ εἶναι πεπίστευκε. Καὶ ὅτι μὲν ἑτέρας φύσεως ὕδωρ δίδωσιν ὑψηλοτέρας, ἐνόησεν· οὔπω δὲ τὸ τέλειον ἔγνω· οὔτε γὰρ, τίς ἐστιν ὁ τοῦτο διδοὺς, οὔτε τί ἐστι τοῦτο, κατέλαβεν· ὑπέλαβε δὲ τὸ διδόμενον ἀναιρετικὸν τυγχάνειν ταύτης τῆς δίψης τῆς αἰσθητῆς. Οὔτε οὖν εὔκολος ἡ γυνὴ αὕτη· οὐ γὰρ ἁπλῶς ἐδέξατο τὰ λεγόμενα, ἀλλὰ μετὰ πολλῆς συζητήσεως· οὔτε ἀπειθὴς καὶ φιλόνεικος· εὑροῦσα γὰρ τὸν μείζονα τοῦ Ἰακὼβ, οὐκ ἐναπέμεινε τῇ προλήψει. Καίτοι καὶ Ἰουδαίοις εἶπεν [ὁ Χριστὸς], ὅτι *Ὁ ἐρχόμενος πρός με, οὐ μὴ πεινάσῃ· καὶ ὁ πιστεύων εἰς ἐμὲ, οὐ μὴ διψήσῃ πώποτε* (α)· ἀλλ' οὐ μόνον οὐκ ἐπίστευσαν, ἀλλὰ καὶ ἐσκανδαλίσθησαν.

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε.

Ἐγκειμένης καὶ ζητούσης λαβεῖν, λέγει· *Ὕπαγε, κάλεσον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε*, προσποιούμενος, ὅτι χρὴ κἀκεῖνον κοινωνῆσαι ταύτῃ τοῦ δώρου. Καὶ ὅτι μὲν οὐκ ἔχει ἄνδρα νόμιμον, ἐγίνωσκεν, ὡς πάντα εἰδώς· ἐβούλετο δὲ ταύτην εἰπεῖν, ὅτι οὐκ ἔχει ἄνδρα, ἵνα λοιπὸν, προφάσεως δραξάμενος, προφητεύσῃ τὰ κατ' αὐτὴν, καὶ διορθώσηται ταύτην. Θέλει γὰρ τῶν προῤῥήσεων καὶ τῶν θαυμάτων τὰς ἀφορμὰς παρ' αὐτῶν λαμβάνειν τῶν προσιόντων, ὥστε καὶ τὴν τοῦ κενοδοξεῖν ὑπόνοιαν διαφεύγειν, καὶ οἰκειοῦσθαι μᾶλλον αὐτούς. Τὸ μὲν γὰρ εἰπεῖν προηγουμένως, ὅτι Πολύγαμος γέγονας, καὶ νῦν ἔχεις ἄνδρα παράνομον, ἄκαιρον ἐδόκει, καὶ περιττόν· τὸ δὲ παρ' αὐτῆς λαβόντα τὴν αἰτίαν, σφόδρα εὔκαιρον καὶ ἀκόλουθον.

(α) Ιωαν. ϛ', 35.

17 Ἀπεκρίθη ἡ γυνὴ, καὶ εἶπεν· Οὐκ ἔχω ἄνδρα.

Οἰομένη πρὸς ἄνθρωπον ἁπλῶς διαλέγεσθαι, ἐπεχείρησε λαθεῖν, κρύπτουσα τὸ αἰσχρὸν τοῦ πράγματος.

17 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Καλῶς εἶπας· Ὅτι ἄνδρα
18 οὐκ ἔχω. Πέντε γὰρ ἄνδρας ἔσχες· καὶ νῦν ὃν
ἔχεις, οὐκ ἔστι σου ἀνήρ· τοῦτο ἀληθὲς εἴρηκας.

Ἀψάμενος ἀφορμῆς, ὡς εἴρηται, προφητεύει, καὶ διελέγχει ταύτην, ἀκριβῶς ἄγαν τούς τε φανεροὺς καὶ νομίμους ἄνδρας αὐτῆς ἀριθμῶν, καὶ τὸν νῦν λαθραῖον καὶ παράνομον ἀποκαλύπτων. Πέντε μὲν γὰρ ἄνδρας ἔσχε φανερῶς, κατὰ διαδοχήν· τοῦτο γὰρ ἀκώλυτον ἦν· τοῦ πέμπτου δὲ τελευτήσαντος, οὐκ ἔτι λοιπὸν οὐδεὶς αὐτὴν φανερῶς εἰς γυναῖκα λαβεῖν ἠθέλησεν. Αὕτη δὲ μὴ φέρουσα τὴν ἐπιθυμίαν, λαθραῖον εἶχε τὸν αὐτῇ συγγινόμενον. Οἱ πέντε μὲν οὖν, ἄνδρες αὐτῆς ἦσαν, διὰ τὸ φανερόν· ὁ δὲ τότε μιγνύμενος, οὐκ ἦν ἀνὴρ αὐτῆς, διὰ τὸ λαθραῖον.

[Τοῦ ἁγίου Μαξίμου (1). Ἡ Σαμαρεῖτις ὑπεδήλου τὴν ἀνθρωπίνην φύσιν, λαβοῦσαν πέντε νόμους, ὡς ἄνδρας, τόν τε ἐν τῷ παραδείσῳ δοθέντα τῷ Ἀδὰμ, καὶ τὸν ἐκτὸς τοῦ παραδείσου τῷ αὐτῷ πάλιν δοθέντα, καὶ τὸν τῷ Νῶε, κατὰ τὸν κατακλυσμὸν, καὶ τὸν τῷ Ἀβραὰμ περὶ τῆς περιτομῆς, καὶ τὸν τῷ αὐτῷ πάλιν, περὶ τῆς κατὰ τὸν Ἰσαὰκ θυσίας· ἀλλ' οὗτοι μὲν οἱ πέντε παρῆλθον, καὶ οἷον ἀπετεθνήκεισαν· εἶχε δὲ τότε τὸν μωσαϊκόν. Οὐκ ἦν δὲ οὗτος ἀνὴρ αὐτῆς, ἢ ὅτι οὐ καθ' ὁλόκληρον ἐστέργετό τε καὶ ἐφυλάσσετο, ἢ ὅτι οὐ διὰ παντὸς, ἀλλὰ μέχρι τῆς τοῦ Σωτῆρος ἐπιδημίας, ἐδόθη τῇ κατὰ τοὺς Ἰουδαίους φύσει τῶν ἀνθρώπων. Ἔκτοτε δὲ οὐκ ἦν ἀνὴρ αὐτῆς, ἄλλου ταύτην ἁρμοζομένου ἑαυτῷ, λέγω δὴ, τοῦ εὐαγγελικοῦ νόμου. Φρέαρ μὲν οὖν τοῦ Ἰακὼβ, ἡ θεία ἐστὶ Γραφή· ὕδωρ δὲ τούτου, ἡ ταύτης γνῶσις· βάθος δὲ, τὸ βάθος

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

τῶν νοημάτων· ἄντλημα δὲ, ἡ διὰ τῶν γραμμάτων μάθησις τοῦ θείου λόγου, ἣν οὐκ εἶχεν ὁ Κύριος, ὡς αὐτὸ τοῦτο, λόγος καὶ αὐτοσοφία, καὶ οὐ τὴν διὰ γραμμάτων μάθησιν διδοὺς τοῖς μαθηταῖς αὐτοῦ, ἀλλὰ τὴν διὰ πνευματικῆς χάριτος.]

19 Λέγει αὐτῷ ἡ γυνή· Κύριε, θεωρῶ, ὅτι προφήτης εἶ σύ.

Οὐκ ἐδυσχέρανεν ἐλεγχθεῖσα προδήλως, οὐδὲ ὕβριν ἡγήσατο τὸν ἔλεγχον, ἀλλὰ ἐκπλαγεῖσα τὴν ἀκριβεστάτην πρόγνωσιν αὐτοῦ, κατενόησεν, ὅτι ὄντως προφήτης ἐστίν. *Θεωρῶ* γάρ, φησιν, ἤτοι, συνίημι. Εἶτα οὐδὲν βιωτικὸν αὐτὸν ἐρωτᾷ, ἀλλὰ περὶ δογμάτων εὐθύς. Φησὶ γάρ·

20 Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν.

Πατέρας εἶπε, τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαάκ. Καὶ γὰρ ἐν ἐκείνῳ τῷ ὄρει, λόγος ἀρχαῖος ἱστορεῖ, τὸν Ἀβραὰμ ἀνενηνοχέναι τὸν Ἰσαὰκ εἰς θυσίαν τῷ θεῷ. Ἢ πατέρας εἶπε, τὸν Ἰακὼβ καὶ τοὺς υἱοὺς αὐτοῦ. Καὶ γὰρ ὁ Ἰακὼβ ἔστησεν ἐκεῖ θυσιαστήριον, καὶ προσεκύνησε τὸν θεόν. Ἡ μὲν οὖν γυνὴ προσήγαγε τὴν ἐρώτησιν, οἰομένη κρεῖττον εἶναι τὸ δόγμα τῶν Σαμαρειτῶν, παρὰ τὸ τῶν Ἰουδαίων, καὶ τὸν τόπον τιμιώτερον τοῦ ὄρους ἐκείνου παρὰ τὸν τῶν Ἱεροσολύμων· ὁ δὲ Χριστὸς πρῶτον μὲν καὶ ἀμφοτέρων τῶν τόπων ἀναιρεῖ τὰ πρεσβεῖα, διὰ τὸ μέλλειν ὅσον οὔπω παυθῆναι τὰς ἐν ἐκείνοις λατρείας· εἶτα ἀποφαίνει τοὺς Ἰουδαίους συνετωτέρους· ἔπειτα παρανοίγει τὸ δόγμα τῆς εὐσεβείας.

21 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, πίστευσόν μοι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί.

Ἐντεῦθεν προαναφωνεῖ τὴν κατάλυσιν τῆς σαμαρειτικῆς ὁμοῦ καὶ ἰουδαϊκῆς λατρείας, ἣν πεπόνθασιν ἐξολοθρευθέντες ὑπὸ Ῥωμαίων, μετὰ τὴν χριστοκτονίαν. *Ὥραν* δὲ νόει, τὸν καιρόν.

[Σοφονίου (1). *Καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ* (α).]

22 Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν·

Εἰ γὰρ καὶ τὸν αὐτὸν θεὸν ἐσέβοντο Σαμαρεῖται καὶ Ἰουδαῖοι· ἀλλὰ Σαμαρεῖται μὲν ἠγνόουν, ὅτι πάντων τῶν ἐθνῶν Κύριός ἐστι· μόνων γὰρ Σαμαρειτῶν καὶ Ἰουδαίων δεσπόζειν αὐτὸν ὑπελάμβανον· Ἰουδαῖοι δὲ ἐγίνωσκον, ὅτι παντοκράτωρ ἐστί. Διὰ τοῦτο πρὸς αὐτὴν εἶπεν, ὅτι *Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε*, τουτέστιν, οὗ τὴν ἐξουσίαν οὐκ οἴδατε· καὶ ἑαυτὸν δὲ συνέταξε τοῖς Ἰουδαίοις· *ἡμεῖς* γάρ, φησι, *προσκυνοῦμεν ὃ οἴδαμεν*· διότι καὶ ἐξ Ἰουδαίων ἐβλάστησε, καὶ Ἰουδαῖος τῇ Σαμαρείτιδι ἔδοξεν. Εἶτα ἐπάγει καὶ τὸ μεῖζον·

22 Ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστιν.

Ἡ σωτηρία τῶν Σαμαρειτῶν ἐκ τῶν Ἰουδαίων ἐστιν· ἐξ αὐτῶν γὰρ ἔμαθον εἰδέναι τὸν θεὸν, καὶ καταγινώσκειν τῶν εἰδώλων. Ἢ καὶ ἑτέρως· Ἡ σωτηρία τοῦ κόσμου ἐκ τῶν Ἰουδαίων· ἐξ αὐτῶν γὰρ ὁ Χριστὸς ἐνηνθρώπησεν.

23 Ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ·

Προτιμήσας τῶν Σαμαρειτῶν τοὺς Ἰουδαίους, νῦν προτιμᾷ πάλιν τῶν Ἰουδαίων τοὺς χριστιανοὺς, ἵνα ἀνύποπτος ἡ προτίμησις γένηται, καὶ μὴ δόξῃ καταχαρίζεσθαι τοῖς Ἰουδαίοις, ὡς Ἰουδαῖος. Εἰπὼν δὲ, ὅτι *Ἔρχεται ὥρα*, ἵνα μὴ νομίσῃ βραδύνειν αὐτὴν, προσέθηκεν ὅτι *Καὶ νῦν ἐστιν*, ἤγουν, ἐνέστηκεν ἤδη.

---

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

(α) Σοφον. Β', 11.

Ἀληθινοὺς δὲ προσκυνητὰς λέγει, τοὺς πιστεύοντας εἰς αὐτὸν, τοὺς τῆς ἐκκλησίας, ὡς ἀληθῶς σέβοντας, καὶ οὐκ ἐν σκιαῖς λατρεύοντας, ὡς Ἰουδαῖοι καὶ Σαμαρεῖται· πᾶσα γὰρ ἡ λατρεία τούτων σκιὰ ἦν καὶ προτύπωσις τῆς ἀληθείας. Οὗτοι γοῦν οἱ ἀληθινοὶ προσκυνηταὶ λατρεύουσι (1) τῷ πατρὶ, οὐκ ἐν σώματι, ἀλλ' *ἐν πνεύματι*, τουτέστιν, οὐ διὰ σωματικῶν θυσιῶν, ἀλλὰ διὰ πνευματικῶν· καὶ οὐκ ἐν σκιαῖς καὶ τύποις, ἀλλ' ἐν ἀληθείᾳ· καὶ οὐ τόπῳ τὴν λατρείαν περιγράφοντες, ὡς Ἰουδαῖοι καὶ Σαμαρεῖται, ἀλλ' ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλογοῦντες τὸν Κύριον.

Περὶ τοῦ πατρὸς δὲ μόνου νῦν ποιεῖται τὸν λόγον, διὰ τὴν ἀσθένειαν τῆς γυναικός. Οὐκ ἔδει γὰρ ἀθρόον αὐτῇ τὸ δόγμα προσαγαγεῖν.

23 Καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν.

Ἤγουν, οὐ τυπικοὺς, ἀλλ' ἀληθινοὺς, οὐ σωματικῶς θύοντας, ἀλλὰ πνευματικῶς. Εἰπὼν δὲ, ὅτι *ζητεῖ*, ἐνέφηνεν, ὅτι ἀπαρέσκεται τῇ νομικῇ λατρείᾳ, καὶ λοιπὸν συγκαταβατικῶς αὐτὴν ἐνομοθέτησε πάλαι, καὶ συνεχώρησεν ἄχρι τότε, διὰ τὴν τῶν Ἑβραίων παχύτητα καὶ ἀσθένειαν.

24 Πνεῦμα ὁ θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.

Πνεῦμα, τουτέστιν, ἀσώματος· διὸ καὶ τοὺς λατρεύοντας αὐτῷ, πνευματικῶς χρὴ λατρεύειν, καὶ οὐκ ἐν σκιᾷ, ἀλλ' ἐν ἀληθείᾳ· τοῦτο γὰρ θεοπρεπὴς καὶ κατάλληλος λατρεία. Πνευματικὴ δὲ λατρεία ἐστὶν, ἡ ταπεινοφροσύνη· *Θυσία* γάρ, φησι, *τῷ θεῷ, πνεῦμα συντετριμμένον* (α)· καὶ ἡ προσευχή· *Θῦσον* γάρ, φησι, *τῷ θεῷ, θυσίαν αἰνέσεως* (β)· καὶ ἁπλῶς πᾶσα πνευματικὴ ἀρετή· *Τότε* γάρ, φησιν, *εὐδοκήσεις θυσίαν δικαιοσύνης* (α), ἐνταῦθα δικαιοσύνης νοουμένης καθολικῶς, πάσης ἀρετῆς, δι' ἧς ὁ ἄνθρωπος δικαιοῦται.

(1) Ἴσως, λατρεύσουσιν, ὡς καὶ παρὰ τῷ Ἐντενίῳ. Καὶ ἐν τῷ κειμένῳ, προσκυνήσουσιν, ὑπάρχει. (α) Ψαλμ. Ν', 19. (β) Ψαλμ. ΜΘ', 14.

25 Λέγει αὐτῷ ἡ γυνή· Οἶδα, ὅτι Μεσσίας ἔρχεται, ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα.

Ἰλιγγίασε πρὸς τὸ τῶν ῥηθέντων ὕψος, καὶ λοιπὸν ἀπαγορεύει τὴν περὶ τῶν τοιούτων ἀκρόασιν. Ἀλλὰ πόθεν Σαμαρείταις προσδοκία τῆς τοῦ Χριστοῦ ἐπιδημίας; Ἀπὸ τῶν Μωσαϊκῶν γραφῶν. Ἔγραψε γὰρ Μωϋσῆς· *Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. Αὐτοῦ ἀκούσεσθε* (α).

26 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι, ὁ λαλῶν σοι.

Τοῖς μὲν Ἰουδαίοις ἐπικειμένοις καὶ λέγουσιν· *Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; Εἰπὲ ἡμῖν, εἰ σὺ εἶ ὁ Χριστὸς* (β); οὐκ ἀπεκρίνατο τοῦτο σαφῶς· ταύτῃ δὲ αὐτίκα ἑαυτὸν ἐφανέρωσεν· εὐγνωμονεστέρα γὰρ αὐτῶν ἦν. Ἐκεῖνοι μὲν γὰρ, οὐχ ἵνα πιστεύσωσιν ἐζήτουν μαθεῖν, ἀλλ' ὑπὲρ τοῦ κωμῳδῆσαι αὐτόν· αὕτη δὲ μαθοῦσα, ἐπίστευσεν.

27 Καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ·

Ἐπὶ τούτῳ, ἀντὶ τοῦ, τούτων λεγομένων.

27 Καὶ ἐθαύμασαν, ὅτι μετὰ γυναικὸς ἐλάλει.

Ὅτι τηλικοῦτος ὢν, μετὰ γυναικὸς εὐτελοῦς διελέγετο.

27 Οὐδεὶς μέντοι εἶπε· Τί ζητεῖς; ἤ, τί λαλεῖς μετ' αὐτῆς;

Ἐσίγησαν, τιμῶντες αὐτόν· πεπαιδευμένου γάρ, τὸ μὴ πάντα τὰ τοῦ διδασκάλου περιεργάζεσθαι· ἅμα δὲ καὶ ἐγίνωσκον, ὅτι τοῖς ψυχικοῖς τραύμασιν αὐτῆς φάρμακον ἐπιτίθησιν.

28 Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ, καὶ ἀπῆλ-

(α) Ψαλμ. Ν', 21. (β) Δευτερ. ΙΗ', 15. (γ) Ἰωαν. Ι', 24.

29 θεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις· Δεῦτε,
ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα·
μήτι οὗτός ἐστιν ὁ Χριστός;

Ἦλθεν ἐπὶ τὴν αἰσθητὴν πηγὴν, εὗροῦσα δὲ τὴν νοητὴν, οὕτως ἀνήφθη τῷ πυρὶ τῶν πνευματικῶν ναμάτων, ὡς καὶ τὸ ἄγγος ἀφεῖναι, καὶ τὴν χρείαν, δι' ἣν παρεγένετο, καὶ δραμεῖν εἰς τὴν πόλιν, καὶ πάντα τὸν δῆμον ἑλκῦσαι πρὸς τὸν Ἰησοῦν, παιδεύουσα ἡμᾶς, ὅταν ἐντύχωμεν πνευματικοῖς, ὑπερορᾷν πάντων τῶν βιωτικῶν.

Καὶ ὅρα σοφίαν γυναικός! Οὐκ εἶπε, Δεῦτε, ἴδετε τὸν Χριστόν· καίτοι πιστεύουσα, ὅτι ὁ Χριστός ἐστιν· ἵνα μὴ δόξῃ κρίνειν ἀφ' ἑαυτῆς περὶ τηλικούτου πράγματος· μέγιστον γὰρ ἐδόκει τὸ ἐπιγνῶναι τὸν προσδοκώμενον· ἀλλ' ἑτέρους καλεῖ κριτὰς, ἵνα καὶ μᾶλλον αὐτοὺς ἐπισπάσηται. Προτείνει δὲ τούτοις, καθάπέρ τι δέλεαρ, τὴν ἀποκάλυψιν τῶν ἰδίων ἁμαρτιῶν. Ἐγίνωσκε γὰρ, ὡς εἰ μόνον γεύσωνται τῶν λόγων αὐτοῦ, σαγηνευθήσονται καὶ αὐτοὶ παραυτίκα. Τὸ δὲ, *Μήτι οὗτός ἐστιν ὁ Χριστός;* ἀντὶ τοῦ, Μήποτε οὗτός ἐστιν; Ὑποκρίνεται γὰρ, οἷον ἐπιδιστάζειν, ὥστε παρ' αὐτῶν γενέσθαι τὴν κρίσιν.

30 Ἐξῆλθον οὖν ἐκ τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν.
31 Ἐν δὲ τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ, λέ-
γοντες· Ῥαββὶ, φάγε.

Ὁρῶντες αὐτὸν κεκμηκότα, ὑπό τε τῆς ὁδοιπορίας καὶ τῆς ἐπικειμένης ἡλιακῆς φλογὸς, *ἠρώτων αὐτὸν*, ἤτοι, παρεκάλουν φαγεῖν. Τοῦτο δὲ φιλοστοργίας ἦν, οὐ προπετείας.

32 Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν
33 ὑμεῖς οὐκ οἴδατε. Ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς
ἀλλήλους· Μήτις ἤνεγκεν αὐτῷ φαγεῖν;

Αὐτὸς μὲν *βρῶσιν* ἔλεγε, τὴν σωτηρίαν τῶν ἀνθρώπων· οἱ μαθηταὶ δὲ περὶ βρώσεως αἰσθητῆς νοοῦντες, ἀποροῦσι πρὸς ἀλλήλους· ηὐλαβοῦντο γὰρ ἐκεῖνον ἐρωτῆσαι. Λοιπὸν οὖν ἑρμηνεύει τὸν λόγον.

34 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐμὸν βρῶμά ἐστιν, ἵνα
ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με, καὶ τελειώσω
αὐτοῦ τὸ ἔργον.

Θέλημα τοῦ πέμψαντος αὐτὸν πατρὸς, καὶ ἔργον αὐτοῦ ἐπιταγὲν αὐτῷ, ἡ σωτηρία τῶν ἀνθρώπων· ταύτην δὲ βρῶσιν ἑαυτοῦ καλεῖ, διὰ τῆς λέξεως ταύτης ἐμφαίνων τὴν ἐπιθυμίαν τῆς σωτηρίας τῶν ἀνθρώπων. Ὥσπερ γὰρ ὁ τρώγων, ἐπιθυμεῖ τῆς βρώσεως· οὕτω καὶ αὐτὸς τῆς σωτηρίας ἡμῶν. Πεμφθῆναι δὲ παρὰ τοῦ πατρός, φησιν, ὡς ἄνθρωπος, ἢ καὶ ὡς λόγος ἐκ τοῦ γεννήσαντος νοῦ, ἢ καὶ ὡς τιμῶν τὸν πατέρα.

35 Οὐχ ὑμεῖς λέγετε, ὅτι ἔτι τετράμηνός ἐστι, καὶ ὁ
θερισμὸς ἔρχεται; Ἰδοὺ, λέγω ὑμῖν, ἐπάρατε τοὺς
ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι
λευκαί εἰσι πρὸς θερισμὸν ἤδη.

Οἱ μαθηταὶ μὲν περὶ τοῦ αἰσθητοῦ θερισμοῦ ἔλεγον· αὐτὸς δὲ νῦν περὶ τοῦ νοητοῦ φησὶ, καὶ δείκνυσι τοῦτον ἐνεστῶτα· χώρας μὲν ὀνομάζων, τὰ πλήθη τῶν ἐρχομένων ἤδη πρὸς αὐτὸν Σαμαρειτῶν· *λευκὰς* δὲ αὐτὰς καλῶν, ὡς ἑτοίμους πρὸς πίστιν· θερισμὸς γὰρ καὶ ἡ πίστις, θερίζουσα ἀπὸ τῆς ἀπιστίας, καὶ συγκομίζουσα πρὸς τὸν Χριστόν. Ὥσπερ γὰρ τὰ λευκὰ γήδια ἕτοιμα πρὸς θερισμόν εἰσιν· οὕτω κἀκεῖνοι πρὸς πίστιν.

36 Καὶ ὁ θερίζων, μισθὸν λαμβάνει,

Καὶ ὁ θερίζων τοιαύτας χώρας, ἀμοιβὴν ἐκ θεοῦ λαμβάνει. Καθολικώτερον γὰρ ἐνταῦθα περὶ πάντων λέγει τῶν μελλόντων πιστεύειν Σαμαρειτῶν καὶ Ἰουδαίων.

36 Καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον·

Ὁ μὲν θερίζων αἰσθητὸν γήδιον, συνάγει καρπὸν εἰς ζωὴν πρόσκαιρον· οὗτος δὲ, εἰς ζωὴν αἰώνιον.

36 Ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ, καὶ ὁ θερίζων.

Ἵνα, συναχθέντος ἐκεῖ τοῦ τοιούτου καρποῦ, καὶ ὁ σπείρας ὁμοῦ χαίρῃ, καὶ ὁ θερίσας, βλέποντες αὐτὸν συναχθέντα ἐκεῖ,

καὶ τοὺς ὑπὲρ αὐτοῦ μισθοὺς ὁμοῦ κομιζόμενοι, ὁ μὲν, ὡς σπείρας, ὁ δὲ, ὡς θερίσας.

Σπείροντες μὲν οὖν εἰσιν, οἱ προφῆται, Μωϋσῆς καὶ οἱ μετ' ἐκεῖνον· οἷα σπείραντες τὰς περὶ Χριστοῦ προῤῥήσεις· θερίζοντες δὲ, οἱ ἀπόστολοι· θερίσαντες τοὺς ἀνθρώπους ἀπὸ τῆς ἀπιςίας, καὶ συγκομίσαντες εἰς τὰς ἀποθήκας τῶν αἰωνίων σκηνῶν.

37 Ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ὁ ἀληθινὸς, «ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων.»

Ο λόγος ὁ ἀληθινὸς, τῆς παροιμίας.

38 Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε·

Εἰς ὃ οὐχ ὑμεῖς κεκοπιάκατε.

38 Ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε.

Ταῦτα λέγει, δεικνύων, ὅτι τὸ ἐγχειρισθὲν τούτοις ἔργον, ῥᾴδιόν ἐστι καὶ εὔκολον, καὶ θάρσος αὐτοῖς ἐντεῦθεν ἐμβάλλων, ὡς τοῦ ἐπιπονωτέρου προανυσθέντος. Τὸ σπείρειν μὲν γὰρ, μετὰ πόνου καὶ βραδέως γίνεται· τὸ θερίζειν δὲ, μετὰ ἀνέσεως καὶ ταχέως· καὶ τοῦ σπόρου ἔργον, τὸ θέρος.

Τροπικαῖς δὲ καὶ μεταφορικαῖς κέχρηται λέξεσι πολλαχοῦ τοῦ εὐαγγελίου, ποιῶν τὴν διδασκαλίαν ἐμφαντικωτέραν, καὶ τὴν μνήμην τῶν λεγομένων μονιμωτέραν, διὰ τῶν γνωρίμων εἰκόνων καὶ παραδειγμάτων· τῆς μὲν (1), ἡδύτερον εἰσδυομένης ταῖς ἀκοαῖς· τῆς δὲ (2), βαθύτερον ἐντυπουμένης τῇ καρδίᾳ· καὶ αἰσθητὰ μὲν τὰ ῥήματα· πνευματικὰ δὲ τὰ νοήματα.

39 Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικὸς, μαρτυρούσης· Ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα.

Πάντα, νόησον τὰ περὶ τοὺς ἄνδρας, καὶ τὸν οὐκ ἄνδρα· ἢ καὶ ἄλλα ἴσως εἶπεν αὐτῇ πολλὰ κεκρυμμένα.

(1) τῆς διδασκαλίας. (2) τῆς μνήμης.

40 Ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς·

Παρεκάλουν αὐτόν.

41 Καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. Καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ.

Τὸν τῆς διδασκαλίας.

42 Τῇ τε γυναικὶ ἔλεγον· Ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου, ὁ Χριστός.

Εξ ὧν ἤκουσαν αὐτοῦ διδάσκοντος, ἔγνωσαν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ τοῦ κόσμου, ὁ Χριστὸς, ὅτι, τῆς οἰκουμένης ἀπολωλυίας, ἦλθεν οὗτος σῶσαι αὐτήν. Εὐγνωμονέστεροι δὲ πολλῷ τῶν Ἰουδαίων οἱ Σαμαρεῖται· οὗτοι μὲν καὶ ἐξῆλθον πρὸς αὐτὸν, καὶ παρεκάλουν αὐτὸν, μεῖναι παρ' αὐτοῖς, καὶ μηδὲν σημεῖον ἰδόντες ἐπίστευσαν εἰς αὐτόν· ἐκεῖνοι δὲ, ἐρχόμενον μᾶλλον πρὸς αὐτοὺς, ἐδίωκον, καὶ θέλοντα μένειν παρ' αὐτοῖς, ἐξαρύνοντο, καὶ πολλὰ σημεῖα βλέποντες, ἠπίστουν. Πῶς οὖν εἰκὸς, τούτους παραδραμεῖν; ἢ ποίας δικαιοσύνης, τοῖς μὲν μισοῦσι προσεδρεύειν, τῶν δὲ ἀγαπώντων ἀποπηδᾷν;

Ἐν ἑτέρῳ δὲ καιρῷ οἱ Σαμαρεῖται οὐκ ἐδέξαντο αὐτὸν, ὡς φίλον Ἰουδαίων, τῶν ἐχθραινόντων αὐτοῖς. Τοῦτο γὰρ ὁ Λουκᾶς (α) ἱστόρησεν ἐν τῷ τριακοστῷ δευτέρῳ κεφαλαίῳ. Ἀλλ' ἐκεῖνοι ἕτεροι ἦσαν παρὰ τούτους· ἐκεῖνοι μὲν γὰρ κώμην τινὰ τῆς Σαμαρείας ᾤκουν· οὗτοι δὲ, πόλιν.

43 Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν, καὶ
44 ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν. Αὐτὸς γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει.

Διότι τότε οὐκ ἀπῆλθεν ἰδικῶς (1) εἰς Καπερναοὺμ, τὴν

(α) Λουκ. Θ', 52. 53. (1) Καθόλου μὲν ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν, ἧς ἡ Καπερναούμ· οὐκ ἰδικῶς δὲ, ἤτοι ἐξαιρέτως, ἦλθεν εἰς Καπερναούμ.

δοκοῦσαν πατρίδα αὐτοῦ, τίθησιν αἰτίαν, ὅτι οὐ προσεῖχον αὐτῷ οἱ ἐν αὐτῇ, καταφρονοῦντες, ὡς συνήθους. Τὸ σύνηθες γὰρ εὐκαταφρόνητον.

Ποῦ δὲ ὁ Ἰησοῦς ἐμαρτύρησεν, *Ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει;* ζήτησον ἐν τῷ τέλει τοῦ εἰκοστοῦ τετάρτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον (α), καὶ εὑρήσεις. Καὶ γὰρ ἡ μὲν Ναζαρὲτ ἦν πατρὶς αὐτοῦ, ὡς πατρὶς τῆς μητρὸς αὐτοῦ καὶ τοῦ δοκοῦντος πατρὸς αὐτοῦ, καὶ ὡς ἐν αὐτῇ τεθραμμένου· ἡ δὲ Καπερναοὺμ ἐδόκει πατρὶς αὐτοῦ, ὡς κατοικοῦντος εἰς αὐτήν. Φησὶ γὰρ ὁ Ματθαῖος, ὅτι *Καταλιπὼν τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ* (β).

45 Ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ·

Γαλιλαίαν νόει τὰς ἄλλας πόλεις καὶ κώμας τῆς Γαλιλαίας, παρὰ τὴν δηλωθεῖσαν ἰδικῶς πατρίδα αὐτοῦ. Ἑορτὴν δὲ, τὴν τοῦ πάσχα, ὡς ἐν τῷ δευτέρῳ κεφαλαίῳ δεδήλωται.

45 Καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν.

Ὁμοῦ γὰρ ἐν Ἱεροσολύμοις Ἑβραῖοι πάντες πανταχόθεν συνερχόμενοι ἑώρταζον.

ΚΕΦΑΛΑΙΟΝ Ϛʹ.

Περὶ τοῦ βασιλικοῦ.

46 Ἦλθεν οὖν ὁ Ἰησοῦς πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον.

Εἰς τὴν Γαλιλαίαν μὲν ἦλθε, διὰ τὸν φθόνον τῶν κατοικούντων τὴν Ἰουδαίαν· εἰς τὴν ῥηθεῖσαν δὲ πατρίδα αὐτοῦ οὐκ ἀπῆλθεν, ὡς μὴ προσέχουσαν αὐτῷ, καὶ ἵνα μὴ μεῖζον αὐτῇ

(α) Ματθ. ΙΓʹ, 57. (β) Ματθ. Δʹ, 13.

γένηται τὸ κρίμα. Εἰς τὴν Κανᾶ δὲ ἦλθε, πρῶτον μὲν, κληθεὶς εἰς τὸν γάμον· νῦν δὲ, τὴν ἀπὸ τοῦ προγεγονότος θαύματος ἐγγενομένην πίστιν βεβαιῶν τῇ παρουσίᾳ, καὶ μᾶλλον αὐτοὺς ἐφελκόμενος, ὡς ἐλθὼν αὐτόκλητος, καὶ προτιμήσας αὐτοὺς τῆς πατρίδος.

46 Καὶ ἦν τις βασιλικὸς, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ.

Βασιλικὸς ἐλέγετο, ἢ ὡς ἐκ γένους βασιλικοῦ, ἢ ὡς ἀξίωμά τι κεκτημένος, ἀφ᾽ οὗπερ ἐκαλεῖτο βασιλικὸς, ἢ ὡς ὑπηρέτης βασιλικός. Τινὲς μὲν οὖν φασὶν, ὅτι οὗτός ἐστιν ὁ παρὰ τῷ Ματθαίῳ καὶ τῷ Λουκᾷ μνημονευόμενος ἑκατόνταρχος (α)· οὐκ ἔστι δέ· καὶ γὰρ, ἵνα τὰς ἄλλας ἐάσωμεν διαφορὰς αὐτῶν, ἐκεῖνος μὲν, ἑκατόνταρχος· οὗτος δὲ, βασιλικός· κἀκείνου μὲν δοῦλος ἠσθένει· τούτου δὲ, υἱός· καὶ ἐκεῖ μὲν ἡ νόσος παράλυσις· ἐνταῦθα δὲ, πυρετός.

47 Οὗτος ἀκούσας, ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, ἀπῆλθε πρὸς αὐτὸν, καὶ ἠρώτα αὐτὸν, ἵνα καταβῇ, καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν· ἤμελλε γὰρ ἀποθνήσκειν.

Ἠρώτα, ἤτοι, παρεκάλει.

48 Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν· Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε.

Οὐ κατ᾽ ἐρώτησιν ἀναγνωστέον, ἀλλὰ κατὰ ἀπόφασιν. Εἶπε γὰρ τοῦτο κοινῶς μὲν, τῶν Σαμαρειτῶν ὑποβιβάζων τοὺς Ἰουδαίους, ὡς ἐκείνων πιστευσάντων δίχα σημείων καὶ τεράτων· ἰδιαίτερον δὲ, τοῦ βασιλικοῦ καθαπτόμενος. Εἰ γὰρ καὶ πίστεως ἦν τὸ ἀπελθεῖν, καὶ παρακαλεῖν, καὶ ἐπείγειν αὐτόν· καὶ γὰρ καὶ ὁ εὐαγγελιστής φησιν· ὅτι εἰπόντος τοῦ Ἰησοῦ· *Πορεύου, ὁ υἱός σου ζῇ* (β)· ἐπίστευσε τῷ λόγῳ αὐτοῦ· ἀλλ᾽ οὖν οὐχ ὑγιῶς ἐπίστευσε· καὶ τοῦτο δῆλον ἀπὸ τοῦ πυνθάνεσθαι, πότε ἀφῆκε

(α) Ματθ. Ηʹ, 5. Λουκ. Ζʹ, 2. (β) Ἰωαν. Δʹ, 50.

τὸν νοσοῦντα ὁ πυρετός· ἐβούλετο γὰρ μαθεῖν, εἴτε αὐτομάτως, εἴτε κατ' ἐπιταγὴν τοῦ Χριστοῦ τοῦτο γέγονε.

49 Λέγει πρὸς αὐτὸν ὁ βασιλικός· Κύριε, κατάβηθι πρὶν
50 ἀποθανεῖν τὸ παιδίον μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς·
Πορεύου, ὁ υἱός σου ζῇ. Καὶ ἐπίστευσεν ὁ ἄνθρωπος
τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ Ἰησοῦς· καὶ ἐπορεύετο.

Κατάβηθι, φησι, πρὶν ἀποθανεῖν τὸ παιδίον μου· προσεδόκα γὰρ, ὅτι μετὰ τὸ ἀποθανεῖν, οὐ δύναται ἀναστῆσαι αὐτό.

51 Ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ἀπήν-
τησαν αὐτῷ, καὶ ἀπήγγειλαν, λέγοντες· Ὅτι ὁ παῖς
52 σοῦ ζῇ. Ἐπύθετο οὖν παρ' αὐτῶν τὴν ὥραν, ἐν ᾗ
κομψότερον ἔσχε·

Κομψότερον ἐνταῦθα λέγει, τὸ ῥᾳότερον, τὸ κουφότερον, τὸ ἐλευθεριώτερον (1).

52 Καὶ εἶπον αὐτῷ· Ὅτι χθὲς ὥραν ἑβδόμην ἀφῆκεν
αὐτὸν ὁ πυρετός.

Πόῤῥω γὰρ τῆς Κανᾶ ἡ Καπερναοὺμ ἦν, ὥστε μὴ δυνηθῆναι αὐτοὺς ἐν αὐτῇ τῇ ἡμέρᾳ κομίσαι τὰ εὐαγγέλια τῆς ζωῆς τοῦ παιδίου.

53 Ἔγνω οὖν ὁ πατὴρ, ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν
αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ὁ υἱός σου ζῇ.

Ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, δηλονότι ἀφῆκεν αὐτὸν ὁ πυρετός.

53 Καὶ ἐπίστευσεν αὐτὸς, καὶ ἡ οἰκία αὐτοῦ ὅλη.

Νῦν ἐπίστευσεν ὑγιῶς, μετὰ τὸ ὑγιᾶναι τὸν υἱὸν αὐτοῦ. Καλῶς οὖν καθήψατο αὐτοῦ ὁ τὴν καρδίαν αὐτοῦ γινώσκων Χριστὸς, εἰπών· ὅτι Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε (α).

Κυρίως οὖν σημεῖα μέν εἰσι, τὰ κατὰ φύσιν, ὡς τὸ ὑγιάζειν νοσοῦντας· τέρατα δὲ, τὰ ὑπὲρ φύσιν, ὡς τὸ ζωοποιεῖν νεκροὺς,

(1) Κομψότερον· ἐλαφρότερον· βελτιώτερον. Ἡσύχιος (α) Ἰωαν. Δ', 48.

καὶ ὀμματοῦν τυφλούς· καταχρηστικῶς δὲ λέγονται καὶ τοὐναντίον.

54 Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς,
ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

Καὶ πρότερον εἰπών· ὅτι Ἦλθε πάλιν ὁ Ἰησοῦς εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον (α)· οὐ μάτην ἀνέμνησε τοῦ θαύματος, ἀλλ' ἐμφαίνων, ὅτι, καὶ τούτου γεγονότος, ἐλάττους τῶν Σαμαρειτῶν εἰς πίστιν ἐφάνησαν (1)· καὶ νῦν δὲ λέγων· ὅτι Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς· ὁμοίως καθάπτεται αὐτῶν, ὅτι καὶ δεύτερον σημεῖον ἰδόντες, οὐκ ἠδυνήθησαν ἐφικέσθαι τοῦ μέτρου τῆς πίστεως τῶν οὐδὲν ἑωρακότων Σαμαρειτῶν.

Δεύτερον γὰρ τοῦτο εἶπεν, οὐχ ὡς μετὰ τὸ πρῶτον μηδενὸς ἑτέρου παρὰ τοῦτο γεγονότος ἐν ὅλῃ τῇ Παλαιστίνῃ, ἀλλ' ὅτι μετὰ τὸ πρῶτον δεύτερον τοῦτο ἐν Κανᾶ γέγονεν.

ΚΕΦ. V, 1 Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων,

Ἡ Πεντηκοστή.

1 Καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα.

Συνεχῶς ἐν ταῖς ἑορταῖς ἐπιχωριάζει τῇ πόλει ταύτῃ, τοῦτο μὲν, συνεορτάζων διὰ τὸν νόμον· τοῦτο δὲ, τὰ πλήθη τῶν ἀπονήρων ἐπισπώμενος. Ἐν ταῖς ἑορταῖς γὰρ ἐκεῖ πανδημεὶ συνέῤῥεον.

2 Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ
κολυμβήθρα, ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά,

Ἔστιν ἐν Ἱεροσολύμοις κολυμβήθρα, ἐπὶ τῇ τοποθεσίᾳ τῇ καλουμένῃ προβατικῇ (2). Οὕτω δὲ ταύτην ὠνόμαζον ἁπλῶς,

(α) Ἰωαν Δ', 46. (1) οἱ ἐν τῇ Γαλιλαίᾳ. (2) Ἐπὶ τῇ προβατικῇ πύλῃ ἔστι κολυμβήθρα, ἡ ἐπιλεγομένη Βηθεσδά. Νεεμ. Γ', 1· « Καὶ ᾠκοδόμησαν τὴν πύλην τὴν Προβατικήν». Γ', 32. ΙΒ', 39. Ὅθεν Προβατικὴ μὲν, ἡ πύλη· διότι δι' αὐτῆς εἰσήγοντο εἰς τὴν πόλιν καὶ εἰς τὸν ναὸν τὰ εἰς θυσίαν διωρισμένα πρόβατα· Βηθεσδὰ δὲ, ἡ κολυμβήθρα· διότι παρεῖχε χάριν ἰαματικήν. Διότι Βηθεσδὰ σημαίνει οἶκον ἐλέους· ἢ οἶκον χάριτος, εὐποιΐας. Charité.

κατὰ παράδοσιν ἀρχαίαν, ἤ, ὥς τινες λέγουσι, διὰ τὸ ἐκεῖσε τὰ πρόβατα συνάγεσθαι πάλαι, τὰ μέλλοντα ἐν ταῖς ἑορταῖς θυσιάζεσθαι, καὶ τὰ τούτων ἔγκατα ἐξ ἐκείνου τοῦ ὕδατος ἀποπλύνεσθαι.

2 Πέντε στοὰς ἔχουσα.

Στοά ἐστιν ἡ παρ' ἡμῖν λεγομένη καμάρα, ἢ καὶ ὁ θόλος· κύκλῳ δὲ ταύτας εἶχεν. Ὡς οὖν θείας δυνάμεως ἐνεργούσης ἐκεῖ, κολυμβήθρα κατεσκεύαστο, καὶ στοαὶ, διὰ τοὺς νοσοῦντας.

3 Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθε-
νούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν
4 τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ κατὰ καιρὸν
κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσε τὸ ὕδωρ.
Ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος,
ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι.

Διὰ μὲν τῶν ἀπηριθμημένων καὶ τὰ ἄλλα νοσήματα δεδήλωται. Εἰπὼν δὲ, ὅτι *κατὰ καιρὸν κατέβαινεν*, ἐδίδαξεν, ὅτι οὐ πάντοτε τὸ θαῦμα ἐγίνετο, ἀλλὰ κατὰ καιρὸν μὲν ἄγνωστον τοῖς ἀνθρώποις· πολλάκις δὲ, οἶμαι, τοῦ ἐνιαυτοῦ· διὰ τοῦτο γὰρ καὶ ἐν ταῖς στοαῖς κατέκειτο πολὺ πλῆθος τῶν ἀσθενούντων.

Ἀλλ' οἱ μὲν χωλοὶ καὶ ξηροὶ ἠδύναντο παρατηρεῖν τὸν καιρόν· ἑώρων γὰρ ταρασσόμενον τὸ ὕδωρ· οἱ δὲ τυφλοὶ πῶς; Ἀπὸ τοῦ γινομένου θορύβου τοῦτο ἐμάνθανον. Εἶχον δὲ καὶ ὑπηρέτας παρατηροῦντας.

Ἐκείνη δὲ ἡ κολυμβήθρα, τύπος ἦν τῆς κολυμβήθρας τοῦ ἁγίου βαπτίσματος. Ὥσπερ γὰρ ἐκείνη νόσους ἰᾶτο, οὕτω καὶ αὕτη· ἀλλ' ἐκείνη μὲν, σωματικὰς, αὕτη δὲ, ψυχικάς· καὶ ἐκείνη μὲν κατά τινα καιρὸν, αὕτη δὲ, ἀεί· κἀκείνη μὲν, καταβαίνοντος ἀγγέλου, αὕτη δὲ, ἐπιφοιτῶντος τοῦ ἁγίου πνεύματος. Μείζονα γὰρ τῶν παλαιῶν τὰ καινά.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ τριακονταοκτὼ ἔτη ἔχοντος ἐν τῇ ἀσθενείᾳ.

5 Ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριακονταοκτὼ ἔτη ἔχων
ἐν τῇ ἀσθενείᾳ.

Πάρεσις ἦν, ἡ ἀσθένεια. Ἕτερος δέ ἐστιν οὗτος παρὰ τὸν ὑπὸ Ματθαίου (α) μνημονευθέντα παραλυτικὸν, ὡς ἐν τῇ ἐξηγήσει τοῦ τρισκαιδεκάτου κεφαλαίου αὐτοῦ σαφέστατα δεδήλωται.

6 Τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι
πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· Θέλεις ὑγιὴς
γενέσθαι;

Τὸν πολυχρονίῳ προσεδρίᾳ χρώμενον καὶ καρτερικώτατον προτιμᾷ τῶν ἄλλων, τοῦτο μὲν, ὡς ἐλεεινότερον, τοῦτο δὲ, καὶ διδάσκων, ὅτι τῶν δεομένων τῆς ἄνωθεν ἰατρείας, οἱ καρτερικώτατοι μᾶλλον ἐπικάμπτουσι τὸν θεόν.

Οὐκ εἶπε δὲ, Θέλεις, θεραπεύσω σε, διὰ τὸ ἀκόμπαστον, καὶ διότι οὐκ ἐγνώριζε τοῦτον ὅλως ὁ ἀσθενῶν· διὰ τοῦτο γὰρ οὐδὲ πίστιν αὐτὸν ἀπήτησεν.

Ἐρωτᾷ δὲ, οὐχ ἵνα μάθῃ· περιττὸν γὰρ περὶ προδήλου πράγματος μανθάνειν· ἀλλ' ἵνα διὰ τῆς ἀποκρίσεως φανῇ πᾶσιν ἡ καρτερία αὐτοῦ. Ὅρα γὰρ, τί ἀποκρίνεται·

7 Ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· Κύριε, ἄνθρωπον οὐκ
ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν
κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ
ἐμοῦ καταβαίνει.

Ὑπώπτευσεν, ὅτι διὰ τοῦτο αὐτὸν ἠρώτησε τοῦτο, ἵνα ἐλέγξῃ, διὰ ῥαθυμίαν προϊέμενον τὴν ἴασιν, ἢ ὅτι βουλόμενος χρησιμεῦσαι πρὸς τὸ βαλεῖν αὐτὸν εἰς τὴν κολυμβήθραν· διὸ καὶ

(α) Ματθ. Θ', 2.

ἀπολογεῖται, ὅτι παρὰ τὸ μὴ ἔχειν ἄνθρωπον ἀποτυγχάνει.

Εἰπὼν δέ, ὅτι *Ἐν ᾧ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει*, ἔδειξε τὴν καρτερίαν αὐτοῦ, πῶς ἐν τοσούτοις ἔτεσιν ἀποτυγχάνων, ἔτι παρέμενε, καὶ οὐκ ἀφίστατο, καὶ ταῦτα οὐ ῥαθυμῶν, ἀλλὰ παραγκωνιζόμενός τε καὶ ἐπηρεαζόμενος, καὶ οὐδὲ οὕτω ναρκῶν.

Ἡμεῖς δὲ βραχύν τινα καιρὸν προσεδρεύοντες τῷ θεῷ σπουδαίως, ἐὰν μὴ τύχωμεν, ὀκνοῦμεν λοιπὸν, καὶ ἀποφοιτῶμεν, καὶ ἀναπίπτομεν. Ἀλλ' ἐπίπονόν, φησιν, ἡ διηνεκὴς προσευχή! Καὶ ποία ἀρετὴ οὐκ ἐπίπονος; Διότι δὲ ἐπίπονος, διὰ τοῦτο καὶ ἐπικερδής.

8 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἔγειρε, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει.

Οὐ μόνον ἀνίστησιν, ἀλλὰ καὶ τὸν κράββατον ἆραι κελεύει, ἵνα πιστωθῇ τὸ θαῦμα, καὶ μὴ δόξῃ φαντασία τις. Εἰ γὰρ μὴ συνεπάγη τὰ μέλη βεβαίως, οὐκ ἂν τὸν κράββατον ἠδύνατο φέρειν.

Τοῦτο δὲ πολλαχοῦ πεποίηκεν, ἐπιστομίζων τοὺς ἀναισχυντεῖν βουλομένους. Καὶ γὰρ καὶ ἐπὶ τοῦ παρὰ τῷ Ματθαίῳ παραλύτου ὁμοίως ἐπεποιήκει (α)· καὶ ἐπὶ τῶν ἄρτων, διὰ τοῦτο λείψανα πολλὰ παρεσκεύασεν ὑπολειφθῆναι (β)· καὶ τῷ καθαρισθέντι λεπρῷ προσέταξε (γ), δεῖξαι ἑαυτὸν τῷ ἱερεῖ· καὶ τὸ ὕδωρ οἶνον ποιήσας, εἶπεν ἀντλῆσαι, καὶ ἐνεγκεῖν τῷ ἀρχιτρικλίνῳ (δ)· καὶ νεκρὸν ἀναστήσας, ἐνετείλατο δοῦναι αὐτῷ φαγεῖν (ε)· διὰ τῶν τοιούτων πάντων πείθων τοὺς ἀνοήτους, ὅτι οὐκ ἔστιν ἀπατεὼν, ἀλλὰ σωτὴρ ἀληθὴς τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως.

9 Καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος· καὶ ἦρε τὸν κράββατον αὐτοῦ, καὶ περιεπάτει.

Ἅμα τε ἤκουσε, καὶ ἅμα τῆς ὑγείας αἰσθόμενος, ἠγέρθη, καὶ

(α) Ματθ. Θ', 6. (β) Ματθ. ΙΔ', 20. (γ) Ματθ. Η', 4.
(δ) Ἰωαν. Β', 8. (ε) Λουκ. Η', 55.

λοιπὸν μηδὲν ὑπολογισάμενος, ἦρε τὸν κράββατον αὐτοῦ, καὶ περιεπάτει.

10 Ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Ἔλεγον οὖν
οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· Σάββατόν ἐστιν·
11 οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατον. Ἀπεκρίθη
αὐτοῖς· Ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν·
Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει.

Ὅρα παῤῥησίαν! Οὐ μόνον γὰρ οὐκ ἐπείσθη τούτοις, ἀλλὰ καὶ τὸν εὐεργέτην ἀνεκήρυξε, καὶ προτιμότερον πάντων ἀπέφηνε, λέγων· *Ἐκεῖνός μοι εἶπεν*· ἐκείνῳ πείθομαι· καὶ γὰρ ἐκεῖνός με ἰασάμενος, ἐκεῖνον μείζονα πάντων νομίζειν παρεσκεύασεν.

12 Ἠρώτησαν οὖν αὐτόν· Τίς ἐστιν ὁ ἄνθρωπος, ὁ εἰ-
13 πών σοι· Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει; Ὁ
δὲ ἰαθεὶς οὐκ ᾔδει, τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξ-
ένευσεν, ὄχλου ὄντος ἐν τῷ τόπῳ.

Ἅμα τῷ θεραπεῦσαι τὸν ἄνθρωπον, ἐξένευσε διὰ τὸν ὄχλον, τοῦτο μὲν, φεύγων τὸν παρὰ τῶν εὐγνωμονεστέρων ἔπαινον· τοῦτο δὲ, περικόπτων τὸν παρὰ τῶν ἀγνωμονεστέρων φθόνον. Εἴωθε γὰρ πολλάκις ὄψις μόνον τοῦ φθονουμένου, πολλὴν ἐνιέναι φλόγα.

14 Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ· Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.

Παρακμάσαντος ἤδη καὶ τοῦ θαύματος, καὶ τοῦ θυμοῦ τῶν Ἰουδαίων, ἐντυγχάνει λοιπὸν τῷ θεραπευθέντι, θέλων βελτιῶσαι καὶ τὴν ψυχὴν αὐτοῦ. Εὑρίσκει δὲ αὐτὸν, οὐκ ἐν ἀνέσει καὶ ῥαθυμίᾳ, ἀλλ' ἐν τῷ ἱερῷ, προσευχόμενον, οἶμαι, καὶ εὐχαριστήρια τῷ θεῷ ἀποδιδόντα. Καὶ παραινεῖ μὲν, μηκέτι ἁμαρτάνειν, δεικνύων, ὅτι ἐξ ἁμαρτιῶν ἐνόσει· ἀπειλεῖ δὲ, εἰ πάλιν ἁμαρτήσει, χείρονα κόλασιν, διδάσκων, ὡς οἱ μετὰ τὴν ἐξ ἁμαρτίας τιμωρίαν πάλιν ἁμαρτάνοντες, χαλεπώτερόν τι-

μωρηθήσονται, ὡς ἀναίσθητοι καὶ καταφρονηταί, εἴτε ἐν τῇ παρούσῃ ζωῇ, εἴτε ἐν τῇ μελλούσῃ, εἴτε καὶ ἐν ἀμφοτέραις.

Εἰ δὲ ἐνταῦθα κόλασις ἁμαρτιῶν παρετάθη εἰς τριακονταοκτὼ ἔτη, τί ἂν τις εἴποι περὶ τῆς ἐκεῖ κολάσεως; Ὄντως γὰρ ἀτελεύτητός ἐστι καὶ αἰώνιος! Οὔτε δὲ πᾶσαι αἱ νόσοι ἐξ ἁμαρτιῶν τίκτονται, οὔτε πάντες οἱ ἁμαρτάνοντες νοσοῦσι. Καὶ ὁ μνημονευόμενος δὲ ὑπὸ Ματθαίου παραλυτικός, ἐξ ἁμαρτιῶν ἐνόσει, καθὼς ἐκεῖ διείληπται· διὸ καὶ πρὸς ἐκεῖνον εἴρηκεν· *Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου* (α). Διὰ τῶν τοιούτων δὲ παραγγέλλει πᾶσι, τοῖς μὲν μήπω νοσήσασι, φοβεῖσθαι, μὴ νοσήσωσι, καὶ διορθοῦσθαι· τοῖς δὲ ἤδη νοσήσασι, φοβεῖσθαι, μὴ νοσήσωσι χεῖρον, καὶ ἀσφαλίζεσθαι πρὸς τὸ μέλλον.

Καὶ ἡμῶν οὖν ἕκαστος, εἰ μὲν ἤδη νενόσηκε, λεγέτω πρὸς ἑαυτόν· Ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται· εἰ δὲ οὔπω νενόσηκεν, ἐπᾳδέτω ἑαυτῷ τὸ ἀποστολικὸν λόγιον· ὅτι Τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει· κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργήν (α). Οὐ μόνον δὲ τῷ σφίγξαι τὸ σῶμα παρέσχεν αὐτῷ τῆς οἰκείας θεότητος ἀπόδειξιν, ἀλλὰ καὶ τῷ εἰπεῖν· *Μηκέτι ἁμάρτανε*· καὶ γὰρ ἐδήλωσεν, ὅτι πάντα οἶδε, καὶ τὰ ἀπόῤῥητα.

15 Ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ ἀνήγγειλε τοῖς Ἰουδαίοις, ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ.

Ἀπῆλθε καὶ ἀνήγγειλεν, οὐχ ὡς ἀγνώμων, ἵνα προδώσῃ, ἀλλ᾽ ὡς εὐγνώμων, ἵνα ἀνακηρύξῃ τὸν εὐεργέτην· ἱκανὴ γὰρ καὶ ἡ εὐεργεσία καὶ ἡ ἀπειλὴ ἐπισχεῖν αὐτόν· καὶ οὐ μόνον ᾐδέσθη ἄν, ἀλλὰ καὶ ἐφοβήθη, μήτι χεῖρον πάθῃ, μεγίστην λαβὼν ἀπόδειξιν τῆς τοῦ εὐεργέτου δυνάμεως. Ἄλλως τε καί, εἰ προδοῦναι τοῦτον ἐβούλετο, οὐκ ἂν εἶπεν· *Ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας με ὑγιῆ*· ἀλλ᾽ ὅτι Ἰησοῦς ἐστιν, ὁ εἰπών μοι· *Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει*. Οἱ γὰρ Ἰουδαῖοι μαθεῖν ἐζήτουν, οὐ τίς ἐποίησεν αὐτὸν ὑγιῆ, ἀλλὰ τίς ὁ εἰπὼν αὐτῷ, Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει· οὗτος δέ, τὸ δοκοῦν ἔγκλημα σιγήσας, τὴν εὐεργεσίαν ἐδημοσίευσεν. Εὐγνώμων οὖν, καὶ πεπαῤῥησιασμένος ὁ ἄνθρωπος οὗτος, καὶ μέμψεως ἁπάσης ἐκτός.

(α) Ματθ. Θ', 2.

(α) Ῥωμ. Β', 4. 5.

16 Καὶ διὰ τοῦτο ἐδίωκον τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι, καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ.

Τῷ φαινομένῳ μέν, διὰ τοῦτο· τῷ κεκρυμμένῳ δέ, διὰ τὸν φθόνον.

17 Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς· Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.

Ἔδειξεν ἑαυτὸν ἴσον τῷ θεῷ ἑκατέρωθεν, ἀπό τε τοῦ εἰπεῖν, πατέρα ἴδιον τὸν θεόν, καὶ ἀπὸ τοῦ εἰπεῖν, ἐργάζεσθαι, καθὼς ἐκεῖνος, ἵνα μηκέτι, ὡς ἀνθρώπῳ ψιλῷ, τούτῳ προσέχωσιν, ἀλλὰ καὶ ὡς θεῷ. Τὸ μὲν οὖν, *ἕως ἄρτι*, τὸ διηνεκὲς τῆς ἐργασίας δηλοῖ. Διττῆς δὲ νοουμένης ἐπὶ θεοῦ τῆς ἐργασίας· ἡ μὲν γὰρ σημαίνει, τὴν κατ᾽ ἀρχὰς δημιουργίαν τῶν φύσεων· ἡ δέ, τὴν μετ᾽ ἐκείνην οἰκονομίαν καὶ πρόνοιαν, καὶ συντήρησιν αὐτῶν· κατὰ μὲν τὸ πρῶτον σημαινόμενον, κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ τῶν ἔργων αὐτοῦ· κατὰ δὲ τὸ δεύτερον, ἀεὶ ἐργάζεται, οἰκονομῶν τὴν κτίσιν, καὶ προνοούμενος καὶ συνέχων αὐτήν. Καὶ νόμος οὐδεὶς κωλύει τὸν νομοθέτην ἐργάζεσθαι πάντοτε τὴν σωτηρίαν τῶν κτισμάτων αὐτοῦ.

Παρατήρησον δέ, ὅτι διαφόρως περὶ τῆς τοῦ σαββάτου λύσεως ἐγκαλούμενος, ποτὲ μὲν θεοπρεπῶς ἀπολογεῖται, καθάπερ καὶ νῦν· ποτὲ δέ, ἀνθρωποπρεπῶς· ἐβούλετο γὰρ ἀμφότερα πιστεύεσθαι, καὶ τὴν θεότητα αὐτοῦ, καὶ τὴν ἐνανθρώπησιν.

[Τοῦ ἁγίου Μαξίμου (1). Τοὺς μὲν πρώτους τῶν γεγονότων λόγους ὁ θεὸς, καὶ τὰς καθόλου τῶν ὄντων οὐσίας, ἅπαξ, ὡς οἶδε, συμπληρώσας, ἔτι ἐργάζεται, οὐ μόνον τὴν τούτων αὐτῶν πρὸς τὸ εἶναι συντήρησιν, ἀλλὰ καὶ τὴν κατ' ἐνέργειαν δημιουργίαν τῶν ἐν αὐτοῖς δυνάμει μερῶν. Ἐν γὰρ τῇ ὕλῃ, τουτέστι, τῇ καθόλου τῶν ὄντων οὐσίᾳ, δυνάμει ὑπάρχουσι τὰ κατὰ μέρος, ἐκ τῆς ὕλης γινόμενα μερικὰ, ὧν τὴν γένεσιν ἀεὶ ὁ θεὸς ἐργάζεται. Ἔτι μὴν ἐργάζεται καὶ τὴν πρὸς τὰ καθόλου τῶν μερικῶν ἐξομοίωσιν, λέγω δὴ, τὴν πάντων ἀνθρώπων, κατὰ μίαν τῆς γνώμης ἐπὶ τὰ καλὰ κίνησιν, πρὸς τὸν λόγον τῆς φύσεως ἕνωσιν, ἵνα γένηται πάντων, ὥσπερ μία καὶ ἡ αὐτὴ φύσις, οὕτω καὶ γνώμη μία, σύμφωνός τε καὶ ταυτοκίνητος, θεῷ τε καὶ ἀλλήλοις συναφθέντων, διὰ τῆς προνοίας αὐτοῦ.]

18 Διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι
ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ
καὶ πατέρα ἴδιον ἔλεγε τὸν θεὸν, ἴσον ἑαυτὸν ποιῶν
τῷ θεῷ.

Λέγων γὰρ, ὅτι *Ὁ πατήρ μου*, τὸ γνήσιον ἐνέφαινεν· ὁ δὲ γνήσιος υἱὸς, ἴσος τῷ πατρὶ κατ' οὐσίαν καὶ φύσιν.

19 Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Ἀμὴν
ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυ-
τοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα·

Ἐπειδήπερ, ὑψηλὰ περὶ ἑαυτοῦ λέγων, ἐδιώκετο, μὴ δυναμένων ἐκείνων ἐφικέσθαι τοῦ ὕψους τῶν λεγομένων, ἀλλ' ὡς ἀντίθεον αὐτὸν διωκόντων, συγκαταβαίνει τῇ ἀσθενείᾳ τῆς διανοίας αὐτῶν, καὶ ταπεινὰ φθέγγεται κατ' οἰκονομίαν, ἵνα εὐπαράδεκτος αὐτοῖς γένηται. Εἶτα πάλιν ἐπὶ τὰ ὑψηλὰ τὸν λόγον ἀνάγει, καὶ αὖθις ἐπὶ τὰ ταπεινὰ τοῦτον κατάγει· καὶ πάλιν ἐπὶ τὸ ὑψηλότερον, καὶ αὖθις ἐπὶ τὸ ταπεινότερον· καὶ οὕτω δι' ὑψηλῶν ὁμοῦ καὶ ταπεινῶν ῥημάτων, τῶν μὲν ἰσότητα ἐμ-

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

φαινόντων, τῶν δὲ ἐλάττωσιν ἐμφαίνειν δοκούντων, ὑφαίνει τὸν λόγον αὐτοῦ, καὶ οἰκονομεῖ τοῦτον ἐν κρίσει (1), ὥστε τοὺς μὲν ὀξυτέρους τὴν διάνοιαν καὶ εὐγνώμονας, ἀπὸ τῶν ὑψηλῶν, καὶ περὶ τῶν ταπεινῶν τὴν προσήκουσαν ἔννοιαν λαμβάνειν· τοὺς δὲ ἀμβλυτέρους καὶ ἀγνώμονας, ἀπὸ τῶν ταπεινῶν παραμυθεῖσθαι, καὶ ὡς περὶ ἀνθρώπου ταῦτα νοοῦντας, μὴ ταράττεσθαι.

Πλὴν, εἰ καὶ ταπεινὰ τὰ ῥήματα, ἀλλὰ καὶ οὕτως ὑψηλὰ τὰ ὑποκεκρυμμένα τούτοις νοήματα· καὶ ταῖς μὲν λέξεσι καθυφίησι· τοῖς δὲ νοήμασιν, οὐδαμῶς. Τί οὖν φησι νῦν; *Οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα*· τοῖς μὲν παχύτερον νοοῦσιν, ἐλάττωσιν δυνάμεως ὁ λόγος προφαίνει, διὰ τὴν ῥηθεῖσαν οἰκονομίαν· τοῖς δὲ λεπτότερον, ἰσότητα μᾶλλον καὶ ταυτότητα, διὰ τὴν ἀλήθειαν. Οὐ δύναται γὰρ, οὐ κατ' ἔλλειψιν δυνάμεως, ἀλλὰ κατὰ τὸ ἀνεγχώρητον (2)· ἀνένδεκτον γὰρ ποιεῖν τι τὸν υἱὸν, ὧν οὐ ποιεῖ ὁ πατήρ· διότι οὐκ ἔστι τῷ υἱῷ δύναμις ἰδία παρὰ τὴν τοῦ πατρὸς, ἀλλ' ἡ αὐτή· εἰ δὲ ἡ αὐτὴ, ἴσος ἄρα ὁ υἱὸς τῷ πατρί.

Φησὶ δὲ ὁ θεολόγος Γρηγόριος (3), ὅτι τῶν αὐτῶν πραγμάτων τοὺς τύπους ἐνσημαίνεται μὲν ὁ πατὴρ, ἐπιτελεῖ δὲ ὁ υἱὸς, οὐ δουλικῶς, οὐδὲ ἀμαθῶς, ἀλλ' ἐπιστημονικῶς τε καὶ δεσποτικῶς, καὶ οἰκειότερον εἰπεῖν, πνευματικῶς, ἤτοι κατὰ τὴν τοῦ πατρὸς ἐπιστήμην καὶ δεσποτείαν.

Διὰ τὰ ῥηθέντα οὖν εἴρηται, τὸ *Οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα*. Εἰ γὰρ μὴ διὰ ταῦτα, πῶς ἡ δύναμις οὐ δύναται; ἢ πῶς ἡ σοφία δεῖται διδασκάλου; ἢ πῶς πάντα δι' αὐτοῦ ἐγένετο;

(1) τ. ε. εὐλόγως. (2) Ἀνεγχείρητον, παρὰ τῷ Β. Προτιμότερον τὸ ἀνεγχώρητον διὰ τὸ ἑπόμενον ἀνένδεκτον. Τοῦτο ἔχει καὶ Γρηγόριος ὁ Ναζιανζηνὸς Σελ. 215, καὶ τὸ χωρίον τοῦτο εἶχεν ἴσως κατὰ νοῦν ὁ Εὐθύμιος. Λέγει δὲ ὁ Θεολόγος « Οὕτως ἀδύνατον καὶ ἀνεγχώρητον ποιεῖν τι τὸν υἱὸν, ὃ οὐ ποιεῖ ὁ πατήρ » (3) Γρηγορ. Ναζ. Σελ 216.

ἢ πῶς οὐ καὶ τῶν ἀνθρώπων ἀσθενέστερος ἔσται, τῶν πολλὰ ποιούντων ἀφ᾽ ἑαυτῶν; Καὶ γὰρ καὶ ἀρετὴν ἀφ᾽ ἑαυτῶν αἱρούμεθα, καὶ κακίαν. Καὶ πολλὰ πολλαχόθεν ἄτοπα ἐπακολουθήσει.

Περὶ μέντοι τοῦ δηλωθέντος ῥητοῦ λεπτομερέστερον διέλαβεν ὁ θεολόγος Γρηγόριος ἐν τῷ ἕκτῳ κεφαλαίῳ τοῦ Περὶ υἱοῦ δευτέρου λόγου.

19 Ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ.

Ἀπὸ τῶν ταπεινῶν ἐπὶ τὰ ὑψηλὰ μετέβη πάλιν, ὡς προδεδήλωται. Εἰ γὰρ *Ἃ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ*, ἴσος ἄρα οὗτος ἐκείνῳ. Τὸ δὲ, *ὁμοίως*, πρόσκειται, οὐχ ἁπλῶς, ἀλλ᾽ ἵνα μάθωμεν, ὅτι μετὰ τῆς ἴσης ἐπιστήμης καὶ δεσποτείας, ὡς προείρηται.

20 Ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ, ἃ αὐτὸς ποιεῖ·

Πάλιν ἀπὸ τῶν ὑψηλῶν ἐπὶ τὰ ταπεινὰ μετεχώρησε. Φιλεῖ δὲ τὸν υἱὸν, οὐ μόνον, ὡς μονογενῆ, ἀλλὰ καὶ, ὡς τὰ αὐτὰ ποιοῦντα, καὶ μηδὲν ἀθέλητον τῷ πατρὶ ἐργαζόμενον. Οὔτε δὲ ἄνω, ἐπὶ τοῦ υἱοῦ, τὸ, *βλέπῃ*, οὔτε ἐνταῦθα, ἐπὶ τοῦ πατρὸς, τὸ, *δείκνυσιν*, ἀνθρωπίνως χρὴ νοεῖν, ἀλλὰ θεοπρεπῶς καὶ ὑπερφυῶς. Οὔτε γὰρ ὁ υἱὸς βλέπει, ὡς μαθητὴς, οὔτε ὁ πατὴρ δείκνυσιν, ὡς διδάσκαλος· ἀλλ᾽ ὁ μὲν, δείκνυσιν, ὡς νοῦς τῶν αὐτῶν πραγμάτων τοὺς τύπους ἐνσημαινόμενος· ὁ δὲ, βλέπει, ὡς λόγος, ἐπιτελῶν τὰ ἐνσημανθέντα, καὶ οὕτω κοινὰ τούτοις πάντα τὰ θεοπρεπῆ πράγματα.

20 Καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε.

Ἐπειδὴ παράλυτον ἔσφιγξε, καὶ ἦν μέγα τὸ γεγονὸς, ἔμελλε δὲ καὶ νεκρὸν ἐγείρειν, διὰ τοῦτο εἶπεν, ὅτι *Καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε* μεῖζον, καὶ οὕτως ἐναχθῆτε (1) πρὸς τὸ πιστεύειν.

(1) ἐναχθῆτε, παρὰ τῷ Α. Ἀμφότερα δόκιμα.

21 Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ.

Ἀπὸ τῶν ταπεινῶν μετῆλθεν αὖθις ἐπὶ τὰ ὑψηλά. Εἰ γὰρ, ὥσπερ ἐκεῖνος, οὕτω καὶ οὗτος, *οὓς θέλει, ζωοποιεῖ*, ἰσοδύναμος ἄρα ὁ υἱὸς τῷ πατρί. Τὸ μὲν οὖν, *ὥσπερ ὁ πατὴρ ζωοποιεῖ*, τῆς δυνάμεως διδάσκει τὴν ἰσότητα· τὸ δὲ, *οὓς θέλει*, τῆς ἐξουσίας τὴν ἀπαραλλαξίαν. Ἐπεὶ δὲ καὶ δύναται, καὶ ἐξουσίαν ἔχει, πῶς οὐ δύναται ὁ υἱὸς ποιεῖν ἐφ᾽ ἑαυτοῦ οὐδέν; Οὐ δύναται οὖν χωρὶς τοῦ πατρός· διότι μία καὶ ἡ αὐτὴ τούτοις δύναμίς τε καὶ βούλησις.

22 Οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν
23 πᾶσαν δέδωκε τῷ υἱῷ· ἵνα πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα.

Ἀπὸ τῶν ὑψηλῶν μετέστη πάλιν ἐπὶ τὰ ταπεινά. Κἀνταῦθα τοίνυν τὸ, *δέδωκε*, θεοπρεπῶς νοητέον. Τὰ τοιαῦτα γὰρ, καθὼς εἰρήκαμεν, οἰκονομικῶς λέγει, οὐ μόνον ἐντεῦθεν θεραπεύων τὴν ἀσθένειαν τῶν Ἰουδαίων, ἀλλὰ καὶ, ἵνα τὸν αἴτιον εἰδῶμεν, καὶ μὴ ἀγέννητον εἶναι τὸν υἱὸν ὑπολάβωμεν, μηδ᾽ εἰς τὴν Σαβελλίου νόσον καταπέσωμεν, τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα νοοῦντος, καὶ ἓν πρόσωπον τὴν ἁγίαν Τριάδα δογματίζοντος ἀνοήτως.

Πότε δὲ τὴν κρίσιν δέδωκε τῷ υἱῷ; Ὑπὲρ τὸ πότε ἡ ἀπόκρισις. Εἰ δὲ χρή τι καὶ τολμηρῶς ἀποκριθῆναι, ἅμα τῷ τοῦτον γεγεννῆσθαι. Πότε δὲ οὗτος γεγέννηται; Ὅτε ὁ πατὴρ οὐ γεγέννηται. Οὐκ ἔστι γὰρ, οὐκ ἔστιν εὑρεῖν ἔννοιάν τινα χρόνου ἢ αἰῶνος, καθ᾽ ἣν ἐφικέσθαι τινὸς ἄκρου δυνηθείημεν, εἰ καὶ ὅτι μάλιστα βιαζοίμεθα.

Τὴν κρίσιν δὲ πᾶσαν δέδωκε τῷ υἱῷ, ἵνα διὰ τοῦτο φοβούμενοι, τιμῶσιν αὐτὸν, καθὼς τιμῶσι τὸν πατέρα. *Πᾶσαν* δὲ εἰπὼν, ἐδήλωσεν ἅμα τήν τε τοῦ κολάζειν, καὶ τὴν τοῦ τιμᾶν, οὓς ἂν ἐθέλῃ. Οὐ μὴν ἐξέβαλε τὸν πατέρα τῆς ἐξου-

σίας τοῦ κρίνειν· εἰ γὰρ πάντα, ὅσα ἔχει ὁ πατὴρ, τοῦ υἱοῦ ἐστι, πλὴν ἀγεννησίας (1), πρόδηλον, ὅτι καὶ πάντα, ὅσα ἔχει ὁ υἱὸς, τοῦ πατρός ἐστι, πλὴν γεννήσεως (2). Κρινεῖ τοίνυν ὁ Υἱὸς, εὐδοκοῦντος μὲν τοῦ Πατρὸς, συνεργοῦντος δὲ τοῦ ἁγίου Πνεύματος, ὥσπερ ἄρα νοοῦμεν καὶ ἐπὶ πάντων αὐτοῦ τῶν ἔργων.

Χρὴ δὲ γινώσκειν, ὅτι, τὸ, *ὥσπερ*, καὶ τὸ, *καθὼς*, καὶ τὰ τοιαῦτα, ἐπὶ μὲν τῆς ἀκτίστου Τριάδος, τὴν ἰσότητα δηλοῦσιν· ἐπὶ δὲ τῶν κτιστῶν πολλάκις, καὶ εἰκασίαν, καὶ ὁμοιότητά τινα μερικήν. Διὰ τί δὲ τὴν κρίσιν δέδωκε τῷ υἱῷ; Διότι οὗτος τὸν ἄνθρωπον ἔπλασε, καὶ φθαρέντα ἀνέπλασε, καὶ τὰς σωτηρίους ἐντολὰς ἔδωκε· καὶ ἵνα ὁ ἐνανθρωπήσας, κρίνῃ τοὺς ἀνθρώπους, μὴ μόνον, ὡς θεὸς, εἰδὼς τὴν φύσιν τῶν ἀνθρώπων, ἀλλὰ καὶ, ὡς ἄνθρωπος, πεπειραμένος αὐτῆς. Καὶ διὰ τί ἔπλασεν ὁ υἱὸς τὸν ἄνθρωπον; Διότι οὗτός ἐστι σοφία καὶ λόγος καὶ δύναμις τοῦ πατρός. Καὶ διὰ τί ὁ Υἱὸς, ἀλλ' οὐχ ὁ Πατὴρ, ἢ τὸ Πνεῦμα τὸ ἅγιον, ἐνηνθρώπησε; Διότι ἔδει τὸν ἄνω υἱὸν, μένειν καὶ κάτω υἱὸν, ἵνα μὴ δύο εἶεν υἱοί· καὶ διότι ἔδει τὸν δημιουργὸν, ἀνακαινίσαι τὸ συντριβὲν αὐτοῦ δημιούργημα· καὶ διότι ἔδει τὸν λογικὸν, διὰ τοῦ λόγου ἐλευθερωθῆναι τῆς ἀλογίας τῶν παθῶν· καὶ διότι πρέπον ἦν διὰ τῆς ἀπαραλλάκτου εἰκόνος τοῦ πατρὸς, τὸν κατ' εἰκόνα θεοῦ πεποιημένον καὶ παραλλάξαντα αὐτὴν, εἰς τὸ πρότερον ἐπαναχθῆναι ἀξίωμα, καὶ οὕτω καταλλήλως πάντα γενέσθαι.

Εἰ οὖν τιμήσωμεν αὐτὸν, καθὼς τιμῶμεν τὸν πατέρα, πάντως καὶ πατέρα τοῦτον προσαγορεύσομεν; Οὐδαμῶς· ἀλλ' υἱὸν αὐτὸν εἰδότες, πατέρα μὲν οὐκ ὀνομάσομεν, ἵνα μὴ συγχέωμεν τὰς ἰδιότητας· ὡς τὸν πατέρα δὲ τιμήσομεν· περὶ γὰρ τιμῆς ὁ λόγος, οὐ περὶ προσηγορίας. Καταχρηστικῶς δὲ, καὶ πατέρα τοῦτον καλοῦμεν, ὡς ποιητὴν καὶ κηδεμόνα καὶ διδάσκαλον ἡμῶν.

(1) ἀγέννητος γὰρ ὁ πατήρ. (2) γεννητὸς γὰρ ὁ υἱός.

Εἶδες τὴν σοφωτάτην καὶ θαυμασίαν πλοκὴν τῶν ὑψηλῶν ἅμα καὶ ταπεινῶν ῥημάτων· ὥστε καὶ τοῖς τότε γίνεσθαι τὸν λόγον εὐπαράδεκτον, καὶ τοὺς μετὰ τοῦτο μὴ βλάπτεσθαι. Εἰ γὰρ μὴ διὰ συγκατάβασιν τὰ ταπεινὰ ἔλεγε, διὰ τί καὶ τὰ ὑψηλὰ προσέπλεκεν; Ὁ μὲν γὰρ ὀφείλων μεγάλα περὶ ἑαυτοῦ λέγειν, ὅταν μικρὰ φθέγγηται, πρόφασιν ἔχει τὴν οἰκονομίαν· οἰκονομικῶς γὰρ τοῦτο ποιεῖ· ὁ δὲ μικρὰ λέγειν ὀφείλων, τίνος ἕνεκεν μεγάλα φθέγγεται; τοῦτο γὰρ οὐκ ἔστιν οἰκονομίας, ἀλλ' ἐσχάτης ἀλαζονείας. Εἰ δὲ καὶ ἐλάττων ἦν ὁ υἱὸς, ὡς οἱ περὶ τὸν Ἄρειον ἐλήρουν, διὰ τί τὴν ἴσην τῷ πατρὶ τιμὴν ἀπήτει; καὶ οὐκ ἀπήτει μόνον, ἀλλὰ καὶ ἐφόβει, λέγων·

23 Ὁ *μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα, τὸν πέμψαντα αὐτόν.*

Ὁ μὴ τιμῶν, ὡς ἔλεγεν ἀνωτέρω, ἤγουν, καθὼς τὸν πατέρα. Τὸν πέμψαντα δὲ εἶπεν, οὐκ ἐλάττωσιν ἑαυτοῦ ἐμφαίνων, ἀλλὰ τὰ στόματα τῶν Ἰουδαίων ἐμφράττων. Διὰ τοῦτο γὰρ καὶ συνεχῶς ἐπὶ τὸν πατέρα καταφεύγει, τιθεὶς μεταξὺ τὴν οἰκείαν εὐγένειαν. Εἴ τε γὰρ πάντα πρὸς τὴν ἑαυτοῦ ἀξίαν ἐλάλει, οὐκ ἂν παρεδέξαντο, νομίζοντες ἀντίθεον, ὅπου γε καὶ ἀπὸ βραχέων τοιούτων ῥημάτων ἐδίωξαν αὐτὸν, καὶ ἐλίθασαν· εἴτε πάντα συγκαταβατικῶς ἐφθέγγετο, ὑφορώμενος αὐτοὺς, πολλοὶ ἂν ἐβλάβησαν. Διόπερ, ὡς εἰρήκαμεν, ἀναμίγνυσι καὶ κιρνᾷ τὴν διδασκαλίαν· πρὸς γὰρ τὸ εὐπαράδεκτον γενέσθαι αὐτὴν, οὐ τοσοῦτον τὰ ὑψηλὰ, ὅσον τὰ ταπεινὰ συνεβάλλετο. Λοιπὸν οὖν, ὅταν εὑρίσκωμεν ταπεινὰς φωνὰς, οἰκονομικῶς αὐτὰς λογιζώμεθα, ἢ καὶ τῇ ἀνθρωπότητι αὐτοῦ ταύτας προσάπτωμεν, ὥσπερ καὶ τὰς ὑψηλὰς, τῇ θεότητι.

24 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον·

Πάλιν οἰκονομικῶς φησιν. Οὐκ εἶπε γὰρ, Καὶ πιστεύων ἐμοὶ,

ἵνα μὴ δόξῃ κομπάζειν· ἀλλὰ, *Τῷ πέμψαντί με*, ἵνα δόξῃ μὴ ἀφ' ἑαυτοῦ λέγειν, ἀλλ' ἀπὸ τοῦ πέμψαντος αὐτὸν, καὶ οὕτω πιστεύσωσι τῷ λόγῳ αὐτοῦ, ὡς δι' αὐτοῦ τῷ πέμψαντι αὐτὸν πιστεύοντες. Ὁρᾷς, πῶς τὸ ταπεινὰ λέγειν, λυσιτελεῖ τοῖς ὑψηλοῖς.

24 Καὶ εἰς κρίσιν οὐκ ἔρχεται,

Εἰς κατάκρισιν κολάσεως. Ὁ γὰρ πιστεύων τῷ λόγῳ αὐτοῦ, πάντως καὶ τηρεῖ αὐτόν. Λοιπὸν οὖν, ὁ μὴ τηρῶν αὐτὸν, οὐ πιστεύει αὐτῷ. Φρίξωμεν οἱ μὴ φυλάσσοντες τὰς ἐντολὰς τοῦ θεοῦ· μετὰ τῶν ἀπίστων γὰρ τετάγμεθα. Ζήτησον δὲ καὶ ἐν τῷ τρίτῳ κεφαλαίῳ τὸ, *Ὁ πιστεύων εἰς αὐτὸν, οὐ κρίνεται* (α).

24 Ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ *θανάτου εἰς τὴν ζωήν.*

Θάνατον, οὐ τὸν ἐνταῦθά φησιν, ἀλλὰ τὸν ἐκεῖ, τουτέστι τὴν κόλασιν· ὥσπερ καὶ ζωὴν, τὴν ἀπόλαυσιν τὴν ἐκεῖ. Μεταβὰς γὰρ ἀπὸ τῆς ἀπιστίας εἰς τὴν πίστιν, μεταβέβηκε λοιπὸν καὶ ἀπὸ τῆς κολάσεως τῶν ἀπίστων ἐπὶ τὴν ἀπόλαυσιν τῶν πιστῶν.

25 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν
ἔστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ
υἱοῦ τοῦ θεοῦ· *καὶ οἱ ἀκούσαντες ζήσονται.*

Εἰπὼν ἀνωτέρω, ὅτι *Ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς, οὓς θέλει, ζωοποιεῖ* (ϐ)· ἵνα μὴ δόξῃ κομπάζειν, ἐπαγγέλλεται νῦν, οὐκ εἰς μακρὰν ζωοποιῆσαι νεκροὺς, καὶ τὸν λόγον ἔργῳ πιστώσασθαι. Καὶ ἐπὶ τῆς Σαμαρείτιδος δὲ ὁμοίως εἰρηκὼς, *Ὅτι ἔρχεται ὥρα*, προσέθηκεν, ὅτι *Καὶ νῦν ἐστι* (γ), καὶ εἰρήκαμεν ἐκεῖ τὴν αἰτίαν. Οἱ νεκροὶ δὲ ἀκούσονται τῆς φωνῆς αὐτοῦ, πῶς; Ἅμα τῷ θελῆσαι αὐτὸν, τῆς ἑκάστου ψυχῆς ἐπιστραφείσης εἰς τὸ ἴδιον

(α) Ἰωαν. Γ', 18. (ϐ) Ἰωαν. Ε', 21. (γ) Ἰωαν. Δ', 23.

σῶμα· καὶ οἱ ἀκούσαντες νεκροὶ, ζήσονται πάλιν τὴν ἐν τῷ κόσμῳ ζωήν. Ὑψηλὰ οὖν εἰρηκὼς ἐνταῦθα, τῷ καλέσαι ἑαυτὸν υἱὸν τοῦ θεοῦ, πάλιν ἐπισκιάζει τὸν λόγον, προσπλέκων ταπεινά.

26 Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως
ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ.

Τὸ, *ἔδωκε*, ταπεινὸν καὶ οἰκονομικόν· *Ἔχει δὲ ζωὴν ἐν ἑαυτῷ*, ἀντὶ τοῦ, πηγάζει.

27 Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν,

Κρίσιν, τὴν τῶν βεβιωμένων ἑκάστῳ. Συνεχῶς δὲ στρέφει τὴν κρίσιν, ἐπὶ πλέον ἐκφοβῶν αὐτοὺς, ἵνα κατὰ μικρὸν πειθόμενοι, τοῦτον εἶναι κριτὴν, προσδράμωσιν αὐτῷ, κατασκευάζοντες ἐντεῦθεν ἥμερον ἑαυτοῖς τὸν δικαστήν.

27 Ὅτι υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο·

Διότι (1) δὲ ἄνθρωπός ἐστιν, ὁ τὴν κρίσιν τῶν ἀνθρώπων λαβὼν, καὶ τὰ προῤῥηθέντα διδάξας περὶ ἑαυτοῦ, τὰ μεγάλα, καὶ μὴ μόνον ὑπὲρ ἄνθρωπον, ἀλλὰ καὶ ὑπὲρ ἄγγελον, καὶ μόνου ὄντα θεοῦ, μὴ θαυμάζετε τοῦτο. Προείρηται γὰρ, ὅτι καὶ υἱὸς θεοῦ ἐστι, καὶ λοιπὸν οὐ χρὴ σκανδαλίζεσθαι. Ἃ γὰρ φορτικὰ φαίνεται, διὰ τὸ ταπεινὸν τῆς ἀνθρωπείας φύσεως, ταῦτα φορητὰ φαινέσθω, διὰ τὸ ὕψος τῆς θείας. Εἶτα προστίθησι περὶ ἑαυτοῦ καὶ ἑτέραν φοβερὰν καὶ ἄῤῥητον δύναμιν.

28 Ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημεί-
29 οις ἀκούσονται τῆς φωνῆς αὐτοῦ· καὶ ἐκπορεύσον-
ται, οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς·
οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως.

Ὥραν μὲν λέγει, τὸν καιρὸν τῆς συντελείας τοῦ κόσμου, τὸν τῆς παγκοσμίου κρίσεως· ἐν τοῖς μνημείοις δέ, φησι, τοὺς νε-

(1) Ὁ Εὐθύμιος ἀναγινώσκει καὶ ἑρμηνεύει, Ὅτι υἱὸς ἀνθρώπου ἐστὶ, μὴ θαυμάζετε τοῦτο. Ἀκολουθεῖ ἄρα κατὰ τὴν στίξιν τὸν Χρυσόστομον, κατὰ Παύλου τοῦ Σαμοσατέως διαλεγόμενον. Ἰδ. Τομ. Η'. Σελ. 230. Α. Παρθ. καὶ Θεοφυλ. Σελ. 632. Α.

κρούς, οὓς ὁμοῦ πάντας ἀθρόον καὶ ἀῤῥήτῳ δυνάμει συμπήξει, καὶ ψυχώσει, καὶ ἐξαναστήσει ἡ φωνὴ αὐτοῦ, ἤτοι, τὸ κέλευσμα τὸ διὰ τοῦ ἀρχαγγέλου τηνικαῦτα φωνούμενον· *Ἐν κελεύσματι γάρ*, φησιν, *ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι θεοῦ* (α).

Καὶ μὴν οὐ πάντες ἐν τοῖς μνημείοις εἰσίν· ἀλλ' ἀπὸ τῶν ἐν τοῖς μνημείοις ἐδήλωσε καὶ τοὺς οὐκ ἐν τοῖς μνημείοις, ἀπὸ τῶν κατὰ φύσιν ταφέντων, καὶ τοὺς μὴ κατὰ φύσιν ταφέντας. Ἐκ τῶν μνημείων δὲ πορεύσονται, οἱ μέν, εἰς ἀνάστασιν ζωῆς αἰωνίου· οἱ δέ, εἰς ἀνάστασιν κατακρίσεως· οἱ μέν, εἰς τὸ ἀπολαύειν ἀεί· οἱ δέ, εἰς τὸ κολάζεσθαι ἀεί. Ἀλλαχοῦ δὲ ἔλεγε· *Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι, εἰς ζωὴν αἰώνιον* (β).

30 Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. Καθὼς ἀκούω, κρίνω·

Ὥσπερ ἀνωτέρω περὶ τοῦ ἐργάζεσθαι ἔλεγεν· *Οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα* (γ)· οὕτω καὶ νῦν περὶ τοῦ κρίνειν φησίν· *Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. Καθὼς ἀκούω, κρίνω*, τουτέστιν, οὐ κρίνω ἀπ' ἐμαυτοῦ, ἀλλὰ καθὼς ἀκούω παρὰ τοῦ πατρός, ἤγουν, ὡς ὁ πατήρ, ὅπερ ὑποδηλοῖ τὸ πρὸς τὸν πατέρα ἴσον καὶ ἀπαράλλακτον. Ὥσπερ γὰρ ἄνω τό, *βλέπειν*· οὕτω κἀνταῦθα τό, *ἀκούειν*, νοητέον· οἰκονομικῶς μέν, θεοπρεπῶς δέ. Οὐ γὰρ δεῖται τοῦ ἀκούειν· ἀνενδεὴς γὰρ ὁ θεός.

30 Καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός.

Κρίνω δίκαιά, φησι· διότι οὐ κρίνω κατὰ τὸ θέλημα τὸ ἐμόν· οὐδὲ γὰρ ἔχω θέλημα ἴδιον· ἀλλὰ κατὰ τὸ τοῦ πατρός· τοῦτο γὰρ καὶ ἐμόν· ἓν γὰρ καὶ τὸ αὐτὸ θέλημα πατρὸς καὶ υἱοῦ.

(α) Α' Θεσσαλ. Δ', 16. (β) Ματθ. ΚΕ', 46. (γ) Ιωαν. Ε', 19.

Καὶ λοιπόν, εἰ ὁ πατὴρ κριτὴς δίκαιος, καὶ ὁ υἱὸς ἄρα κριτὴς δίκαιος.

Χρὴ τοίνυν ἐπὶ τῶν τοιούτων συγκαταβατικῶν τε καὶ οἰκονομικῶν ῥημάτων, μὴ πρὸς αὐτὰ βλέπειν μόνον, ἀλλὰ καὶ πρὸς τὴν αἰτίαν, δι' ἣν ἐῤῥήθησαν. Αἰτία γὰρ ἐπὶ τούτων, ἡ ἀσθένεια τῆς διανοίας τῶν ἀκουόντων, καὶ τὸ μὴ δοκεῖν αὐτὸν ἀντίθεον, ὡς διαφόρως εἰρήκαμεν.

31 Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής.

Χρὴ τοὺς τὰς ἱερὰς Γραφὰς ἀναγινώσκοντας, τόν τε σκοπὸν τοῦ λέγοντος, καὶ τὴν ἕξιν τοῦ ἀκούοντος ἐξετάζειν, καὶ καιροῖς καὶ τόποις ἔστιν ὅτε προσέχειν, καὶ τὰ ἰδιώματα παρατηρεῖν, καὶ μὴ ἁπλῶς καὶ καθ' ἕνα τρόπον ἐπιέναι πάντα, εἰ βούλοιντο τὰ γνήσια νοήματα καταλαμβάνειν, καὶ μὴ ψιλοῖς τοῖς ῥήμασιν ἐναπομένειν, καὶ πλανᾶσθαι κατὰ τοὺς αἱρετικούς. Αὐτίκα γὰρ τὸ προκείμενον χωρίον ἔχει μὲν πολὺν θησαυρόν, ἔχει δὲ τοῦτον πολλῇ κατακεχωσμένον ἀσαφείᾳ. Τίς γὰρ οὐκ ἂν εὐθέως θορυβηθείη, ἀκούων τοῦ Χριστοῦ λέγοντος· *Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής*; Καὶ γὰρ αὐτὸς ἔλεγεν· *Ἐγώ εἰμι ἡ ἀλήθεια* (α)· καὶ ἐὰν ἡ ἀλήθεια οὐκ ἀληθεύῃ, τίς ἀληθεύσει; Ἐάν, ἃ περὶ ἑαυτοῦ μεμαρτύρηκεν, οὐκ εἰσιν ἀληθῆ, πάντως οἴχεται ἡμῖν τὸ κεφάλαιον τοῦ κηρύγματος. Ἵνα γὰρ ἐάσωμεν τἄλλα, μυρία ὄντα, καὶ συνεκτικὰ τῆς πίστεως, ποῦ θήσομεν, ἃ πρὸ βραχέος ἐμαρτύρησε περὶ ἑαυτοῦ· ὅτι υἱός ἐστι τοῦ θεοῦ, ὅτι ἴσος αὐτῷ κατὰ φύσιν καὶ δύναμιν καὶ θέλησιν, ὅτι δημιουργός, ὅτι ζωοποιός, ὅτι κριτής, καὶ ὅσα τοιαῦτα;

Τί οὖν ἐςὶν εἰπεῖν; Ὅτι, ἐπειδὴ τοιαῦτα περὶ ἑαυτοῦ μαρτυρήσας, ἔγνω τοὺς Ἰουδαίους ἐνθυμουμένους ἀντιθεῖναι καὶ εἰπεῖν· ὅτι Ἐὰν σὺ μαρτυρῇς περὶ σεαυτοῦ, ἡ μαρτυρία σου οὐκ ἔστιν

(α) Ιωαν. ΙΔ'. 6.

ἀληθής (1)· οὐδεὶς γὰρ, ἑαυτῷ μαρτυρῶν, ἀξιόπιστος ἐν ἀνθρώποις, δι' ὑποψίαν φιλαυτίας· προέλαβε, καὶ εἶπεν, ὃ ἔμελλον εἰπεῖν ἐκεῖνοι, λέγων· *Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθὴς*, ὡς ὑμῖν δοκεῖ. Καὶ λοιπὸν παράγει μάρτυρας, συγκαταβαίνων κἀνταῦθα τῇ ἀσθενείᾳ αὐτῶν, καὶ ἐκ περιουσίας ἐπιστομίζων αὐτούς.

Ὥστε τὸ, *Ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθὴς*, οὐχ ὡς ἀποφαινόμενος εἶπεν, ἀλλ' ὡς ἐκείνων τοῦτο εἰπεῖν ἐνθυμουμένων. Ὅτι δὲ ἀληθῆ ταῦτα, δῆλον ἐντεῦθεν. Ἐπεὶ γὰρ προϊὼν ἐλάλησε λέγων· *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου*, καὶ τὰ ἑξῆς· εἰπόντων τῶν Φαρισαίων, *Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής*, ἀντεῖπε, *Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου* (α). Πρόδηλον οὖν, ὅτι ἐκεῖνο μὲν τῆς ἐκείνων ἀντιθέσεως ἦν· τοῦτο δὲ, τῆς τούτου γνώμης. Ἐκεῖνοι μὲν γὰρ ᾤοντο, μὴ ἀξιόπιστον αὐτὸν εἶναι περὶ ἑαυτοῦ μαρτυροῦντα, ὡς ἄνθρωπον· οὗτος δὲ τοὐναντίον ἔλεγεν ἀξιόπιστον ἑαυτὸν, ὡς θεόν. Πρῶτον μὲν οὖν κατέλυσε τὴν μελετωμένην ἀντίθεσιν αὐτῶν, εἰπὼν, ὅπερ εἰπεῖν ἐνεθυμοῦντο, καὶ δείξας, ὅτι γινώσκει τὰς διανοίας αὐτῶν· εἶτα καὶ μάρτυρας παράγει σαφεῖς καὶ ἀναντιῤῥήτους τρεῖς, τὸν Ἰωάννην, τὰ οἰκεῖα ἔργα, καὶ τὸν πατέρα. Πρώτην δὲ τίθησι τὴν ἐλάττω μαρτυρίαν, τὴν Ἰωάννου.

32 Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ· καὶ οἶδα, ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία, ἣν μαρτυρεῖ περὶ ἐμοῦ.

Οἶδα τοῦτόν, φησιν· διότι παρὰ πάντων ἔχει τὸ ἀξιόπιστον, ὡς προφήτης θεοῦ, καὶ ὑπὸ θεοῦ ἐνηχούμενος, ἃ φθέγγεται. Εἶτα, ἵνα μὴ ἀντιθήσῃ τίς· Τί οὖν, εἰ πρὸς χάριν μεμαρτύρηκε; προαναιρεῖ καὶ ταύτην τὴν ἀντίθεσιν, λέγων·

(1) Καὶ τοῦτο ἀντέθεσαν τῷόντι εἰς αὐτόν. Ἰδ. Ιωαν. Η', 13.
(α) Ιωαν. Η', 12. 13. 14.

33 Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ.

Ἐν προοιμίοις, μετὰ τὴν θεολογίαν, φησὶν ὁ εὐαγγελιστής· *Ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ λευΐτας, ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ*; καὶ τὰ ἑξῆς (α)· τότε οὖν ἐμαρτύρησε περὶ τοῦ Χριστοῦ πολλὰ καὶ μεγάλα. Διὰ τοῦτο λέγει νῦν· *Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην ἐρωτῶντες*· οὐκ ἂν δὲ ἀπεστείλατε, εἰ μὴ ἀξιόπιστον αὐτὸν ἐγινώσκετε. Λοιπὸν οὖν οὐ δύνασθε παραγράψασθαι τὴν μαρτυρίαν αὐτοῦ.

34 Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω·

Τουτέστιν, οὐκ ἀνθρωπίνης μαρτυρίας δέομαι, θεὸς ὤν. Καὶ πῶς τὸν Ἰωάννην μάρτυρα παράγεις, ἄνθρωπον ὄντα; Πρῶτα μὲν, διότι ἡ μαρτυρία αὐτοῦ, οὐκ ἦν αὐτοῦ, ἀλλὰ τοῦ θεοῦ· εἶπε γὰρ, ὅτι *Ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν* (β). Ἔπειτα δὲ τίθησι καὶ ἄλλην αἰτίαν. Ὅρα γάρ·

34 Ἀλλὰ ταῦτα λέγω, ἵνα ὑμεῖς σωθῆτε.

Οὐκ ἀνθρωπίνης μαρτυρίας δέομαί, φησιν, ἀλλὰ τὰ περὶ τῆς μαρτυρίας τοῦ Ἰωάννου λέγω οἰκονομικῶς, ἵνα τῷ καὶ ὄντι καὶ δοκοῦντι ὑμῖν ἀξιοπίστῳ πειθόμενοι, σωθῆτε.

35 Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων·

Ὁ λύχνος, ὁ ἀνακαιόμενος τῷ πυρὶ τοῦ θείου πνεύματος, καὶ φαίνων τοῖς ἐν τῷ σκότει τῆς ἁμαρτίας. *Λύχνον* δὲ αὐτὸν ἐκάλεσεν, ὡς ἀμαυρωθέντα τῷ ὑπερβάλλοντι φωτὶ τοῦ ἡλίου τῆς δικαιοσύνης. Ἔφη γὰρ αὐτὸς περὶ τοῦ Χριστοῦ· ὅτι *Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι* (γ).

Καὶ ἑτέρως δὲ λύχνον αὐτὸν ὠνόμασεν, ὡς μὴ οἴκοθεν ἔχοντα τὸ φῶς τῆς διδασκαλίας, ἀλλ' ἐκ τῆς χάριτος τοῦ

(α) Ιωάαν. Α', 19. (β) Ιωαν. Α', 33. (γ) Ἰωαν. Γ', 30.

ἁγίου Πνεύματος. Οἶμαι δὲ, περὶ τούτου προεῖπε διὰ τοῦ Δαυὶδ ὁ Θεός· *Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου* (α).

35 Ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιασθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ.

Καθάπτεται τούτων, ὡς μὴ μέχρι τέλους τηρησάντων αὐτῷ τὴν σπουδήν. Ἠθελήσατε γάρ, φησιν, ἀγαλλιασθῆναι πρὸς καιρόν τινα ἐν τῷ φωτὶ τῆς διδασκαλίας αὐτοῦ, ὅτε πανταχόθεν πάντες πρὸς αὐτὸν συνετρέχετε· εἶτα ἐψυχράνθητε, εἰ καὶ μέχρι νῦν θαυμάζετε τοῦτον· εἰ γὰρ μὴ ἐψυχράνθητε, πάντως ἂν ἐπιστεύσατε τῇ μαρτυρίᾳ αὐτοῦ. Ἐλέγχεσθε οὖν, τὸν αὐτὸν καὶ ἀξιόπιστον ὁμολογοῦντες, καὶ μὴ πιστεύοντες τῇ μαρτυρίᾳ αὐτοῦ.

36 Ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου· τὰ γὰρ ἔργα, ἃ ἔδωκέ μοι ὁ πατὴρ, ἵνα τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ πατήρ με ἀπέσταλκε.

Τὴν μὲν γὰρ τοῦ Ἰωάννου μαρτυρίαν ἠδύνατό τις διαβαλεῖν, ὡς πρὸς χάριν γεγενημένην, καίτοι οὐδὲ τοῦτο ἐξῆν εἰπεῖν κατ᾽ ἀνδρὸς μετὰ πάσης ἀκριβείας φιλοσοφοῦντος, καὶ σφόδρα θαυμασθέντος αὐτοῖς· τὰ δὲ ἔργα, πάσης ὑποψίας ἀπηλλαγμένα, πᾶν ἐμφράττει στόμα φιλόνεικον, ἤγουν (1), ἡ τοῦ παραλύτου σύσφιγξις, καὶ τὰ λοιπὰ θαύματα· παρ᾽ αὐτοῖς ὄντων δὴ τῶν θεραπευθέντων, καὶ πληροφορούντων αὐτούς. **Αὐτά**, *φησι, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ πατήρ με ἀπέσταλκεν.*

Οὐκ εἶπε δὲ, Μαρτυρεῖ, ὅτι ἶσός εἰμι τῷ πατρὶ, ἀλλ᾽ ὅτι Ὁ πατήρ με ἀπέσταλκε· καίτοι καὶ τοῦτο κἀκεῖνο ἐμαρτύρουν. Ὅμως, εἰ καὶ μεῖζον ἦν τὸ πιστευθῆναι, ὅτι ἶσός ἐστι τῷ πατρὶ, ἀλλά γε τὸ ἧττον τέθεικεν, ὡς μάλιστα τηνικαῦτα σπουδαζόμενον. Ἐβούλετο γὰρ πρῶτον πιστευθῆναι, ὅτι ὁ Θεὸς ἀπέστειλεν αὐτόν· τούτου γὰρ πιστευθέντος καὶ τὸ ἄλλο ῥᾴδιον ἦν.

(α) Ψαλμ. ΡΛΑ, 17. (1) Προτιμότερον τὸ, οἷον, ἀντὶ τοῦ, ἤγουν.

Ἀλλὰ πῶς τὰ ἔργα ἐμαρτύρουν, ὅτι ὁ θεὸς αὐτὸν ἀπέσταλκεν; Ὡς μόνης ἔργα θείας δυνάμεως· τοιαῦτα γὰρ ἀντίθεος ποιεῖν οὐκ ἠδύνατο. Εἰ γὰρ καὶ τοῖς θαύμασιν ἀντειπεῖν ἀναισχύντως ἐτόλμησαν, ὡς ἐν τῷ εἰκοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ἱστόρηται, λέγοντες· *Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ, ἄρχοντι τῶν δαιμονίων* (α)· ἀλλ᾽ οὖν ταχέως ἐπεστομίσθησαν ἐκεῖ, καὶ μάτην φλυαροῦντες ἠλέγχθησαν.

37 Καὶ ὁ πέμψας με πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ.

Ποῦ μεμαρτύρηκε περὶ αὐτοῦ, δηλώσει προϊὼν, ὅτι ἐν ταῖς Γραφαῖς. Καὶ μὴν καὶ βαπτιζομένου μεμαρτύρηκε περὶ αὐτοῦ, λέγων· *Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα* (β)· καὶ αὖθις μεταμορφουμένου. Ἀλλὰ βαπτιζομένου μὲν, εἰ καὶ ἤκουσαν, ἀμφέβαλλον· μεταμορφουμένου δὲ, οὐδὲ ἤκουσαν αὐτοί. Διὰ τοῦτο τὰς τοιαύτας μαρτυρίας παραδραμὼν, πρὸς τὰς Γραφὰς αὐτοὺς παραπέμπει, τὰς ἐν χερσὶν οὔσας ἀεὶ, καὶ ἀναντιῤῥήτους. Ἀλλὰ τοῦτο μὲν ποιεῖ προϊών· νῦν δὲ, ἵνα μὴ ἀπαιτήσωσιν αὐτὸν αὐτόφωνον καὶ αὐτοπρόσωπον μαρτυρίαν τοῦ θεοῦ, λέγοντες· ὅτι Οὔτε φωνὴν αὐτοῦ ἀκηκόαμεν πώποτε, οὔτε εἶδος αὐτοῦ ἑωράκαμεν· συνομολογεῖ μὲν, ὃ ἔμελλον λέγειν· διὰ δὲ τοῦ συνομολογεῖν, εἰς φιλόσοφον αὐτοὺς ἀνάγει δόγμα, διδοὺς νοεῖν, ὅτι οὔτε φωνὴ περὶ θεὸν, οὔτε εἶδος· ταῦτα μὲν γὰρ σωμάτων εἰσίν· ὁ δὲ θεὸς, ἀσώματος φύσις, μᾶλλον δὲ, ὑπερασώματος καὶ ὑπερφυής.

37 Οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε.

Καὶ μὴν πολλοὶ πολλάκις καὶ φωνὴν αὐτοῦ ἤκουσαν, καὶ εἶδος αὐτοῦ ἑωράκασιν, ὡς ἐν ταῖς Γραφαῖς περὶ διαφόρων δια-

(α) Ματθ. ΙΒ΄, 24. (β) Ματθ. Γ΄, 17.

φόρως ἱστόρηται. Ἀλλὰ φωνὴν καὶ εἶδος, οὐ κατὰ φύσιν θεοῦ, καθ' ὁμοίωσιν δὲ ἀνθρώπου.

38 Καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν·

Καὶ τί λέγω, φησὶ, περὶ φωνῆς αὐτοφώνου καὶ εἴδους αὐτοπροσώπου; ἀλλ' οὐδὲ τὸν λόγον αὐτοῦ ἔχετε μένοντα ἐν ὑμῖν, τὸν διὰ νόμου καὶ προφητῶν λαληθέντα, εἰ καὶ οἴεσθε, τοῦτον ἔχειν μένοντα ἐν ὑμῖν, καὶ ἐπὶ τούτῳ σεμνύνεσθε. Εἶτα κατασκευάζει, ὃ εἴρηκεν, ἀποδεικνύων αὐτό.

38 Ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε.

Ἐπεὶ γὰρ ὁ μὲν διὰ νόμου καὶ προφητῶν δοθεὶς λόγος βοᾷ, ὅτι ὁ πατὴρ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἐπὶ σωτηρίᾳ ὑμῶν, καὶ ὅτι χρὴ ὑμᾶς τούτῳ πιστεύειν· ὑμεῖς δὲ, ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ οὐ πιστεύετε· πάντως οὐ προσέχετε τῷ δηλωθέντι λόγῳ αὐτοῦ· μὴ προσέχοντες δὲ αὐτῷ, οὐκ ἔχετε αὐτόν, ἤγουν, τὴν χάριν αὐτοῦ· ἀπέπτη γὰρ ἀφ' ὑμῶν. Ἵνα δὲ μὴ εἴπωσιν, ὅτι καὶ εἰ μὴ φωνὴν αὐτοῦ ἀκηκόαμεν, πῶς ἐμαρτύρησέ σοι; φησίν·

39 Ἐρευνᾶτε τὰς γραφάς,

Τὰς νομικὰς καὶ προφητικάς· ἐκεῖθεν γὰρ ἡ παρὰ τοῦ πατρὸς μαρτυρία. Ὅρα δὲ, πῶς οὐκ εἶπεν, Ἀναγινώσκετε, ἀλλ' Ἐρευνᾶτε· ἀνεγίνωσκον μὲν γὰρ, οὐκ ἠρεύνων δέ· διὰ τοῦτο κελεύει ἐρευνᾷν. Ἐπεὶ γὰρ συνεσκίαστο τὰ περὶ αὐτοῦ (1) γεγραμμένα, συμφερόντως καὶ οἰκονομικῶς, διὰ τὴν τῶν προγόνων αὐτῶν ἀσθένειαν, ἵνα μὴ ἐκπέσωσιν εἰς πολυθεΐαν, ἐπιτάττει νῦν διορύττειν, ἵνα τὰ ἐν τῷ βάθει κείμενα, καθάπερ τις θησαυρὸς (2), δυνηθῶσιν εὑρεῖν.

39 Ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν·

Δοκεῖτε μὲν ἔχειν, οὐκ ἔχετε δέ· διότι ἐπιπολαίως ταύτας ἀναγινώσκοντες, οὐχ εὑρίσκετε ταύτην, ἥτις ἐστὶν ὁ Χριστὸς,

(1) ἐν τῷ νόμῳ καὶ τοῖς προφήταις. (2) Ἴσως, — τινὰ θησαυρόν.

ἡ πηγὴ τῆς αἰωνίου ζωῆς. Ἐπεὶ οὖν δοκεῖτε μὲν ἀπὸ τῶν Γραφῶν ζωὴν αἰώνιον ἔχειν, οὐκ ἔχετε δὲ, διὰ τὴν ῥηθεῖσαν αἰτίαν, λοιπὸν ἐρευνᾶτε ταύτας εἰς βάθος, ἵνα εὑρόντες ἔχητε.

39 Καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ·

Αἱ *μαρτυροῦσαί*, φησι, *περὶ ἐμοῦ*, προσώπῳ τοῦ πατρὸς, οἷα παρὰ τοῦ πατρὸς ἐμπνευσθεῖσαι ἀποῤῥήτως τοῖς γεγραφόσιν αὐτάς. Περιττὸν δὲ ἐνταῦθα τὸ, *Καὶ*, καθ' ἑβραϊκὸν ἰδίωμα.

40 Καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε.

Ζωὴν αἰώνιον δηλονότι. Εἶτα, ἵνα μὴ ὑπολάβωσιν, ὅτι φιλοδοξῶν λέγει τὰ τοιαῦτα, φησίν·

41 Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω·

Οὐ φιλῶ, οἷα μὴ χρήζων αὐτῆς· οὐδὲ γὰρ ὁ ἥλιος δεῖται λυχνιαίου φωτός. Καὶ τίνος ἕνεκεν τὰ τοιαῦτα ἔλεγεν; Ἵνα παντοιοτρόπως ἐπισπάσηται αὐτοὺς εἰς πίστιν, δι' ἧς ἔμελλον ἔχειν ζωὴν αἰώνιον.

42 Ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς.

Ὑμεῖς μέν, φησιν, ὡς δῆθεν ἀγαπῶντες τὸν θεὸν, ἀποθεῖσθέ με, ὅτι ποιῶ ἐμαυτὸν ἴσον τῷ θεῷ· ἐλέγχεσθε δὲ ψευδόμενοι· ἔγνωκα γὰρ ὑμᾶς, ὅτι οὐκ ἀγαπᾶτε τὸν θεόν· Πῶς; Ὅτι περὶ οὗ ἐκεῖνος μαρτυρεῖ, καὶ διὰ τοῦ Ἰωάννου, καὶ διὰ τῶν ἔργων, καὶ διὰ τῶν Γραφῶν, τοῦτον ὑμεῖς οὐ προσίεσθε. Ὥσπερ οὖν πρότερον, νομίζοντες εἶναί με ἀντίθεον, ἠλαύνετε· οὕτω νῦν, ὑπὸ τῶν εἰρημένων μαρτυριῶν ἀποδειχθείσης τῆς ἀληθείας, ὠφείλετε προσδραμεῖν. Ἀλλὰ μάτην κομπάζετε δι' ἀγάπην τοῦ θεοῦ ἀποστρέφεσθαί με! Διὰ βασκανίαν γὰρ τοῦτο ποιοῦντες, συσκιάζειν ταύτην ἐπιχειρεῖτε.

43 Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με·

Ἐν *τῷ ὀνόματι τοῦ πατρός μου*, ἤγουν, ἀποσταλεὶς παρὰ τοῦ

πατρός μου, ὡς αὐτός τε μαρτυρεῖ, κἀγὼ ὁμολογῶ, καὶ οὐ δέχεσθέ με·

43 Ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.

Περὶ τοῦ Ἀντιχρίστου τοῦτό φησιν, ὅς ἐλεύσεται ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, τουτέστιν, ἀφ' ἑαυτοῦ, ὡς δῆθεν αὐτὸς ὢν ὁ ἐπὶ πάντων θεός. Καθάπτεται οὖν τῆς ἀναισχυντίας τῶν Ἰουδαίων, ὡς αὐτὸν μὲν, τὸν λέγοντα εἰδέναι τὸν θεὸν, καὶ ὁμολογοῦντα, ἀπεστάλθαι παρ' αὐτοῦ, καὶ μὴ ἐλεγχόμενον ἀντίθεον, ἀποσειομένων· τὸν δὲ φάσκοντα, μὴ εἰδέναι ἐκεῖνον, καὶ κομπάζοντα ἀφ' ἑαυτοῦ ἥκειν, καὶ προδηλότατα διαγινωσκόμενον ἀντίθεον, προσϊεμένων.

Εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς ἀπιστίας αὐτῶν, ὅτι διὰ φιλοδοξίαν οὐ πιστεύουσι. Μὴ θέλοντες γὰρ προτιμηθῆναι αὐτῶν ὑπὸ τοῦ πλήθους τὸν Χριστὸν, ἐκώφευον, καὶ ἔμυον ἐθελουσίως πρὸς τὴν ἀλήθειαν, καὶ πάντα ἐποίουν, ὑπὲρ τοῦ μὴ ἐκπεσεῖν τῆς δόξης, ἣν εἶχον παρὰ τοῦ πλήθους.

44 Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες,

Ἐμποδίζει γὰρ αὕτη.

44 Καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε;

Ἣν μόνην ἔδει ζητεῖν, τῆς παρὰ ἀνθρώπων καταφρονοῦντας, εἰ καὶ ὑμεῖς τοὐναντίον ποιεῖτε. Πανταχόθεν τοίνυν ἐπιστομίσας αὐτοὺς, καὶ ἀποδείξας πάσης συγγνώμης ἀναξίους, λοιπὸν ἐφίστησιν αὐτοῖς κατήγορον αὐτὸν τὸν Μωϋσέα, τὸν νομοθέτην αὐτῶν.

45 Μὴ δοκεῖτε, ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα·

Κατ' ἐρώτησιν ἠθικὴν ὁ λόγος, ὅτι Εἰ καὶ ἔδει με τοῦτο ποιῆσαι, ἀλλ' οὐ ποιήσω, ἀνεξίκακος ὤν.

45 Ἔστιν ὁ κατηγορῶν ὑμῶν, Μωσῆς,

Ὡς ἀπιστούντων, οἷς περὶ ἐμοῦ ἔγραψε, καὶ οὕτως ἀπειθούντων αὐτῷ.

45 Εἰς ὃν ὑμεῖς ἠλπίκατε.

Ὡς εἰς δημαγωγὸν, καὶ προστάτην, καὶ μεσίτην τὰ πρὸς θεόν. Ὥσπερ δὲ περὶ τῶν Γραφῶν ἔλεγε· Δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· οὕτω καὶ περὶ Μωϋσέως φησίν· *Εἰς ὃν ἠλπίκατε*· ἀπὸ τῶν οἰκείων χειρούμενος αὐτούς.

46 Εἰ γὰρ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν.

Εἰ πιστὸν ἐκεῖνον ἐνομίζετε, ἐπιστεύετε ἂν ἐμοί· ἐνετείλατο γὰρ ὑμῖν ἐμοῦ ἀκούειν.

47 Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε;

Εἰ ταῖς ἐκείνου συγγραφαῖς ἀπιστεῖτε, ὃν διαφερόντως τιμᾷν καὶ εὐφημεῖν κομπάζετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε, ὃν διαφερόντως ἀτιμάζετε καὶ βλασφημεῖτε; Ὥσπερ οὖν πρότερον ἐπὶ τοῦ Ἰωάννου, δοκοῦντας αὐτὸν θαυμάζειν, ἤλεγξε καταφρονοῦντας· οὕτω καὶ νῦν ἐπὶ τοῦ Μωϋσέως, δοκοῦντας αὐτῷ πιστεύειν, ἔδειξεν ἀπιστοῦντας· καὶ ἀεὶ εὐμηχάνως εἰς τὴν κεφαλὴν αὐτῶν περιτρέπει πάντα τὰ δοκοῦντα ὑπὲρ αὐτῶν. Τίς οὖν παράνομος; ὁ συνήγορον ἔχων τὸν νομοθέτην, ἢ οἱ κατήγορον αὐτὸν ἔχοντες.

ΚΕΦ, VI, 1 Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας, τῆς Τιβεριάδος.

Τῆς θαλάσσης τῆς Γαλιλαίας, ἤτοι, τῆς Τιβεριάδος. Θάλασσαν γὰρ τῆς Γαλιλαίας, τὴν Τιβεριάδα λίμνην φησὶν, ὡς ἐν τῷ κατὰ Ματθαῖον δεδήλωται. Ἀπῆλθε δὲ ἐκεῖ, ὑπεξιστάμενος τῷ θυμῷ τῶν ἀρχόντων τοῦ λαοῦ, ἀπὸ τῶν εἰρημένων λόγων ἀναφθέντι.

2 Καὶ ἠκολούθει αὐτῷ ὄχλος πολὺς, ὅτι ἑώρων αὐτοῦ τὰ σημεῖα, ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων.

Διὰ τί οὐκ ἀπαγγέλλει κατ' εἶδος τὰ σημεῖα; Διότι ὁ εὐαγγελιστὴς οὗτος περὶ τὰς διδασκαλίας, καὶ δημηγορίας, καὶ τὰ δόγματα μᾶλλον καταγίνεται. Διὰ τὰ σημεῖα δὲ, καὶ οὐ διὰ τὰς διδασκαλίας, ὁ ὄχλος οὗτος ἠκολούθει, παχύτερον διακείμενος· ὁ δὲ παρὰ τῷ Ματθαίῳ, ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ τοῦ Σωτῆρος (α).

3 Ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ.

Ἀνῆλθεν εἰς τὸ ὄρος, παιδεύων ἡμᾶς διαναπαύεσθαι ἀπὸ τῶν θορύβων καὶ τῆς ἐν μέσῳ ταραχῆς. Ἐπιτήδειον γὰρ πρὸς φιλοσοφίαν ἡ ἐρημία.

Πολλάκις δὲ καὶ μόνος αὐτὸς τὸ ὄρος καταλαμβάνει, καὶ διανυκτερεύει, καὶ εὔχεται, διδάσκων ἡμᾶς, ὅτι δεῖ τὸν μάλιστα Θεῷ προσιόντα, πάσης ἀπηλλάχθαι ταραχῆς, καὶ τόπον ἐπιζητεῖν καθαρὸν θορύβου καὶ ταραχῆς.

4 Ἦν δὲ ἐγγὺς τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων.

Καὶ πῶς οὐκ ἀναβαίνει καὶ αὐτὸς εἰς τὴν ἑορτὴν, ἀλλὰ πάντων ἐπειγομένων εἰς τὰ Ἱεροσόλυμα, αὐτὸς ἔρχεται εἰς τὴν Γαλιλαίαν; καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τοὺς μαθητὰς ἐπαγόμενος; Διότι ἠρέμα λοιπὸν ὑπεξέλυε τὸν τυπικὸν νόμον, ἀφορμὴν λαμβάνων ἀπὸ τοῦ φθόνου τῶν Ἰουδαίων. Καὶ γὰρ οὐκ εἰς μακρὰν ἔμελλε παυθῆναι τὸ τυπικὸν πάσχα, παραδιδομένου λοιπὸν τοῦ ἀληθινοῦ.

(α) Ματθ. Ζ', 28. ΚΒ', 33.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων.

5 Ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς, καὶ θεασάμενος, ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν, λέγει πρὸς τὸν Φίλιππον· Πόθεν ἀγοράσομεν ἄρτους, ἵνα φάγωσιν οὗτοι;

Εἴρηται περὶ τούτων ἐν τῷ τέλει τοῦ εἰκοστοῦ πέμπτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον, ἔνθα κεῖται τό· Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν (α).

6 (Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς γὰρ ᾔδει, τί ἔμελλε ποιεῖν.)

Ἐκεῖ καὶ περὶ τούτου διασεσάφηται. Τὸ δὲ, *πειράζων αὐτὸν*, ἀνθρωποπρεπῶς μὲν νοεῖται, κατὰ τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν· θεοπρεπῶς δὲ, ἀντὶ τοῦ Εἰς ἀπορίαν ἐμβάλλων αὐτὸν, ἵνα τὴν ἀπορίαν ὁμολογήσας, ἀκριβέστερον καταμάθῃ τοῦ μέλλοντος γενέσθαι θαύματος τὸ μέγεθος· εἰ γὰρ ἁπλῶς ἐγένετο, οὐκ ἂν ἐφάνη τηλικοῦτον. Ὡς Θεὸς γὰρ ἐγίνωσκε, τί ἔμελλεν ὁ Φίλιππος ἀποκριθῆναι.

Φασὶ δέ τινες, ὅτι λέγεται ὁ Θεὸς πειράζειν τινὰ κατὰ δύο τρόπους, ἢ ἵνα ἐλέγξῃ τὴν ἀσθένειαν αὐτοῦ, ὥσπερ νῦν ἐπὶ τοῦ Φιλίππου, ἢ ἵνα δείξῃ τὴν ἀνδρείαν αὐτοῦ, ὥσπερ πάλαι ἐπὶ τοῦ Ἀβραάμ. Γέγραπται γὰρ, ὅτι Καὶ *ἐπείραζεν ὁ Θεὸς τὸν Ἀβραὰμ* (β), ὅτε δηλαδὴ ἀνενεγκεῖν αὐτῷ τὸν υἱὸν αὐτοῦ εἰς ὁλοκάρπωσιν ἐνετέλλετο.

7 Ἀπεκρίθη αὐτῷ Φίλιππος· Διακοσίων δηναρίων

(α) Ματθ. ΙΔ', 16. (β) Γενεσ. ΚΒ', 1.

ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος αὐτῶν βραχύ τι λάβῃ.

Ορα τὴν ἀσθένειαν τῆς διανοίας τοῦ Φιλίππου, μὴ δυνηθέντος ἐννοῆσαι τὴν δύναμιν τῆς θεότητος αὐτοῦ.

8 Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας,
9 ὁ ἀδελφὸς Σίμωνος Πέτρου· Ἔστι παιδάριον ἓν
ὧδε, ὃ ἔχει πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια·
ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;

Εν τῷ εἰκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ Ματθαίου καὶ περὶ τούτου διείληπται. Ὑψηλοτέραν μὲν οὖν ἔσχε διάνοιαν ὁ Ἀνδρέας παρὰ τὸν Φίλιππον· οὐκ ἔφθασε δὲ πρὸς τὸ τέλειον· ἐνόμισε γὰρ, ὅτι ἀπὸ μὲν ἐλαττόνων ἐλάττονα ποιήσει· ἀπὸ δὲ πλειόνων, πλείονα. Διὰ τοῦτο προσέθηκεν· *Ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;*

10 Εἶπε δὲ ὁ Ἰησοῦς· Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν. Ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. Ἀνέπεσον οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι.

Εν τῷ δηλωθέντι κεφαλαίῳ πλατύτερον περὶ τούτων εἴρηται. Οὐκ ἐθορυβήθησαν δὲ οἱ μαθηταὶ, ἀλλ' αὐτίκα γνόντες, ὅτι θαυματουργῆσαι μέλλει, ἀδιστάκτως ὑπήκουσαν.

11 Ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ εὐχαριστήσας διέδωκε τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ἀνακειμένοις· ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων, ὅσον ἤθελον.

Εν ἐκείνῳ καὶ περὶ τούτων εὑρήσεις.

12 Ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ·
Συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή
13 τι ἀπόληται. Συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα
κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ ἐπερίσσευσε τοῖς βεβρωκόσιν.

Ομοίως καὶ περὶ τούτων. Ἐκέλευσε δὲ συναγαγεῖν τὰ περισ-

σεύσαντα, οὐκ ἐπιδείξεως ἕνεκεν, ἀλλ' ἵνα μὴ δόξῃ φαντασία τις τὸ γινόμενον. Ἐξ ὑποκειμένης δὲ ὕλης ἐπλήθυνε καὶ τοὺς ἄρτους καὶ τοὺς ἰχθύας, δι' αὐτό τε τοῦτο, καὶ ἵνα ἐμφραγῇ τὰ στόματα τῶν Μαρκιωνιστῶν, οἵτινες διαβάλλουσι τὴν κτίσιν, ληροῦντες, ὅτι οὐκ ἔστιν αὕτη ποίημα τοῦ θεοῦ.

14 Οἱ οὖν ἄνθρωποι, ἰδόντες ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς, ἔλεγον· Ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης, ὁ ἐρχόμενος εἰς τὸν κόσμον.

Ω προδήλου γαστριμαργίας! Μυρία μὲν πρότερον θαυμαστότερα τούτου θεασάμενοι, οὐδὲν τοιοῦτον ὡμολόγησαν· ὅτε δὲ ἐνεπλήσθησαν, τότε τοῦτον εἶναι τὸν προφήτην ἔλεγον, τὸν προσδοκώμενον αὐτοῖς ἀπὸ τῆς Μωϋσέως ἐπαγγελίας.

15 Ἰησοῦς οὖν γνοὺς, ὅτι μέλλουσιν ἔρχεσθαι, καὶ ἁρπάζειν αὐτὸν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα, ἀνεχώρησε πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος.

Βαβαί! Πόση τῆς γαστριμαργίας ἡ τυραννίς! πόση τῆς γνώμης τούτων ἡ εὐκολία! Τῆς γαστρὸς γὰρ ἐμπλησθείσης, πάντα ἦν αὐτοῖς, καὶ προφήτης, καὶ βασιλείας ἄξιος. Ὁ δὲ Χριστὸς φεύγει, παιδεύων φεύγειν τὰ ἀνθρώπινα ἀξιώματα, καὶ τὰς γηΐνους τιμὰς, καὶ καταφρονεῖν τῶν ἐνταῦθα λαμπρῶν.

Καὶ μὴν ὁ προφήτης εἶπεν· *Ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς* (α). Ἀλλὰ βασιλείαν εἶπε, τὴν οὐράνιον, περὶ ἧς καὶ αὐτὸς ἔλεγεν ὁ Χριστός· *Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου* (β).

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.

16 Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ

(α) Ζαχ. Θ', 9. (β) Ἰωαν. ΙΗ', 36.

17 ἐπὶ τὴν θάλασσαν. Καὶ ἐμβάντες εἰς τὸ πλοῖον, ἤρ-
χοντο πέραν τῆς θαλάσσης εἰς Καπερναούμ.

Κατέβησαν οὐχ ἑκόντες, ἀλλ' ἀναγκασθέντες ὑπ' αὐτοῦ. Εἴρηκε γὰρ ὁ Ματθαῖος ἐν τῷ ῥηθέντι εἰκοστῷ ἕκτῳ κεφαλαίῳ· ὅτι «Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς, ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. Καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. Ὀψίας δὲ γενομένης, ἦν ἐκεῖ μόνος (α).»

Τούτων δὲ πάντων τὰς αἰτίας ἐδηλώσαμεν ἐκεῖ, καὶ ἀνάγνωθι ταύτας. Ἐπίστησον δὲ, ὅτι μεθὸ ἀπέλυσεν αὐτοὺς, ὑπερεξεπλάγησαν τὸ σημεῖον, καθ' ἑαυτοὺς γενόμενοι, καὶ λοιπὸν ἐβουλεύσαντο στραφῆναι, καὶ ἁρπάσαι αὐτὸν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα.

17 Καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς
18 αὐτοὺς ὁ Ἰησοῦς. Ἥ τε θάλασσα, ἀνέμου μεγά-
19 λου πνέοντος, διηγείρετο. Ἐληλακότες οὖν ὡς στα-
δίους εἰκοσιπέντε ἢ τριάκοντα, θεωροῦσι τὸν Ἰη-
σοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ ἐγγὺς τοῦ
20 πλοίου γινόμενον· καὶ ἐφοβήθησαν. Ὁ δὲ λέγει αὐ-
21 τοῖς· Ἐγώ εἰμι· μὴ φοβεῖσθε. Ἤθελον οὖν λαβεῖν
αὐτὸν εἰς τὸ πλοῖον· καὶ εὐθέως τὸ πλοῖον ἐγένετο
ἐπὶ τῆς γῆς, εἰς ἣν ὑπῆγον.

Οὐκ *ἐληλύθει πρὸς αὐτοὺς*, ἀντὶ τοῦ, Οὐκ ἐπεφάνη αὐτοῖς, ὡς ἐποίησεν ὕστερον· ἀλλ' ἀφῆκεν αὐτοὺς πειράζεσθαι. Ἐν τῷ τέλει δὲ τοῦ προμνημονευθέντος εἰκοστοῦ ἕκτου κεφαλαίου, καὶ ἐν τῷ εἰκοστῷ ἑβδόμῳ περὶ πάντων τούτων εὑρήσεις. Τὰ ἑξῆς δὲ παρῆκεν ὁ Ἰωάννης, ὡς τοῖς ἄλλοις ἱστορηθέντα· καὶ λοιπὸν ἱστορεῖ τὰ ἐκείνοις παρεθέντα (1).

Ἡμεῖς μὲν οὖν, τοῖς ἄλλοις ἐξηγηταῖς ἀκολουθήσαντες, ἀπε-

(α) Ματθ. ΙΔ', 22. 23. (1) παρεαθέντα, παρὰ τῷ Α.

δείξαμεν τὸν αὐτὸν εἶναι ἐπὶ τῆς θαλάσσης περίπατον, ὃν ὁ Ματθαῖος καὶ ὁ Μάρκος ἀνέγραψαν (α).

Ὁ δὲ Χρυσόστομος (1), στοχαζόμενός, φησιν, ἕτερον εἶναι τοῦτον παρ' ἐκεῖνον. Εἰκὸς γὰρ, ἐκεῖνον γενέσθαι πρότερον· εἶτα, μεθ' ἡμέρας τινὰς τοὺς ὄχλους βουλεύσασθαι ἁρπάσαι αὐτὸν, ὡς εἴρηται, καὶ λοιπὸν, γνόντα τοῦτο τὸν Χριστὸν, αὖθις διαπεράσαι πρὸς τὸ ὄρος μετὰ τῶν μαθητῶν, καὶ ἀναχωρῆσαι ἐκεῖ μόνον, ἤτουν, ἡσυχάσαι μόνον· τοὺς δὲ μαθητὰς ἐκεῖθεν καταβῆναι ἐπὶ τὴν θάλασσαν, προσταχθέντας τοῦτο, καὶ ἐμβάντας εἰς τὸ πλοῖον, ἔρχεσθαι πρὸς τὴν Καπερναοὺμ, οἰομένους αὐτὸν πεζεῦσαι πάλιν ἐπὶ τῆς θαλάσσης, καὶ ἐλθεῖν πρὸς αὐτοὺς οὐκ εἰς μακράν· διὰ τοῦτο γὰρ καὶ τὸν εὐαγγελιστὴν εἰπεῖν, ὅτι *Καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς* (β), καὶ τὰ λοιπὰ γενέσθαι, καθὼς οὗτος ἔγραψε. Καὶ ἐπὶ μὲν ἐκείνου τοῦ περιπάτου τοὺς μαθητὰς φοβηθέντας ἀνακραγεῖν· ἐπὶ δὲ τούτου, φοβηθῆναι μόνον, ἐλάττονος φόβου γενομένου, διὰ τὴν ἤδη συνήθειαν. Καὶ ἐκεῖ μὲν, εἰπόντος· *Ἐγώ εἰμι· μὴ φοβεῖσθε*, οὔπω ἐπληροφορήθησαν· διὸ καὶ ὁ Πέτρος ἔλεγεν· *Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα* (γ)· ἐνταῦθα δὲ εὐθέως ἐπληροφορήθησαν, ἐθάδες λοιπὸν γενόμενοι. Καὶ τότε μὲν οὐκ ἐκόπασεν ὁ ἄνεμος, ἄχρις ἂν εἰσῆλθεν εἰς τὸ πλοῖον· νῦν δὲ, φωνήσαντος μόνον, γαλήνη γέγονε· καὶ οὐδὲ εἰσῆλθεν εἰς τὸ πλοῖον, ἀλλὰ θελόντων λαβεῖν αὐτὸν, αὐτό τε εἰς τὴν γῆν ἐξῆλθε, καὶ αὐτὸς ὀπίσω αὐτοῦ.

22 Τῇ ἐπαύριον ὁ ὄχλος, ὁ ἑστηκὼς πέραν τῆς θαλάσ-
σης, ἰδὼν, ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἓν
ἐκεῖνο, εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι
οὐ συνεισῆλθε τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ
πλοιάριον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον·
23 (ἄλλα δὲ ἦλθε πλοιάρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ

(α) Μαρκ. ϛ', 47 καὶ ἑξῆς. (1) Τομ. Η'. Σελ. 255. D.
(β) Ἰωαν. ϛ', 17· (γ) Ματθ. ΙΔ', 27.28.

τόπου, ὅπου ἔφαγον τὸν ἄρτον, εὐχαριστήσαντος τοῦ
24 Κυρίου·) ὅτε οὖν εἶδεν ὁ ὄχλος, ὅτι Ἰησοῦς οὐκ ἔστιν
ἐκεῖ, οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν καὶ αὐτοὶ
εἰς τὰ πλοῖα, καὶ ἦλθον εἰς Καπερναοὺμ, ζητοῦν-
τες τὸν Ἰησοῦν.

Ὄχλον ἑστηκότα πέραν τῆς θαλάσσης λέγει, τοὺς ἐλθόντας ἁρπάσαι αὐτὸν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα· μὴ εὑρόντες γὰρ αὐτὸν, ἵσταντο ἐν τῷ αἰγιαλῷ, διαλογιζόμενοι, τί γέγονε. Δοκεῖ οὖν ἐλλείπειν ὁ λόγος. Μήπω γὰρ ἀναπαύσας τοῦτον ὁ εὐαγγελιστὴς, αὖθις ἑτέρωθεν ἤρξατο, εἰπών· *Ὅτε οὖν εἶδεν ὁ ὄχλος, ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ*, καὶ τὰ ἑξῆς. Σχῆμα δὲ ἐστι τοῦτο συντομίας.

Τὸ δὲ, *Ἄλλα δὲ ἦλθε πλοιάρια ἐκ Τιβεριάδος, ἐγγὺς τοῦ τόπου, ὅπου ἔφαγον τὸν ἄρτον, εὐχαριστήσαντος τοῦ* Κυρίου, μεταξυλογία ἐστὶν, εἰς δήλωσιν τοῦ ὕστερον ἐλθεῖν αὐτά· τέως δ' οὖν ἐξαπορηθέντες, ὑπώπτευσαν, ὅτι ἐπέζευσεν ἐπὶ τῆς θαλάσσης. Διὰ τοῦτο γὰρ καὶ ἦλθον εἰς Καπερναοὺμ, ζητοῦντες αὐτόν· ἐκεῖ γὰρ τὰ πολλὰ διατρίβειν εἰώθει.

25 Καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης, εἶπον
αὐτῷ· Ῥαββὶ, πότε ὧδε γέγονας;

Οὐκ ἠρώτησαν αὐτὸν, πῶς διέβη, ἵνα τὸ τηλικοῦτον σημεῖον μάθωσιν, οὐδὲ περὶ τῆς βασιλείας εἶπον· ἀλλὰ ταῦτα παρέντες, ἤρξαντο κολακεύειν, λέγοντες· Πότε ὧδε παραγέγονας, λαθὼν ἡμᾶς τοὺς ἐκκρεμαμένους σου; Ἐκολάκευον δὲ, ἵνα πάλιν τράπεζαν αὐτοῖς παραθήσῃ· ἅπαξ γὰρ ἐμπλησθέντες, καὶ λοιπὸν λιχνευσάμενοι, τἄλλα πάντα δεύτερα ἐνόμιζον. Οὐ πάντες δὲ ἦσαν τὰ τοιαῦτα ἐξαμαρτάνοντες. *Πέραν* δὲ λέγεται, ἑκάτερον τῶν ἐπ' εὐθείας ἀντικειμένων περάτων τῆς θαλάσσης, δηλοῦντος τοῦ τοιούτου ὀνόματος, νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο.

26 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἀμὴν ἀμὴν

λέγω ὑμῖν· Ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα,
ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε.

Τὸ προσηνὲς καὶ ὁμαλὸν, οὐ πανταχοῦ χρήσιμον· ἀλλ' ὅταν ὁ μαθητὴς παχὺς εἴη καὶ νωθὴς, τότε κέντρου χρεία τῷ διδασκάλῳ, καὶ λόγου πληκτικωτέρου πρὸς τὸ καθικέσθαι καὶ διεγεῖραι αὐτὸν, ὅπερ ὁ Ἰησοῦς ἐνταῦθα πεποίηκεν, ἅμα μὲν ἐπιπλήττων αὐτοῖς, ὡς κόλαξιν, ἅμα δὲ καὶ τὴν γνώμην αὐτῶν ἀνακαλύπτων, καὶ ἀμφοτέρωθεν αὐτοὺς διορθούμενος. Λέγει γὰρ, ὅτι Ζητεῖτέ με, οὐχ ὡς σημεῖα δείξαντα ἡμῖν, ἀλλ' ὡς θρέψαντα καὶ χορτάσαντα ὑμᾶς· οὐχ ἵνα σημεῖα βλέποντες πιστεύητε, ἀλλ' ἵνα βρώματα ἐσθίοντες χορτάζησθε, ὅπερ ἐστὶ κοιλιοδούλων καὶ γαστριμάργων. Προσηνῶς δὲ καὶ μετὰ φειδοῦς ἐλέγχει· καὶ οὐχ ἵσταται μέχρι τῶν ἐλέγχων, ἀλλὰ καὶ διδασκαλίαν προστίθησιν.

27 Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ
τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον,

Φροντίζετε, μὴ τῆς βρώσεως τῆς φθειρομένης, ἀλλὰ τῆς ἀφθάρτου, μὴ τῆς τρεφούσης τὴν σάρκα, ἀλλὰ τῆς τρεφούσης τὴν ψυχήν· αὕτη δέ ἐστιν ἡ πίστις, ὡς προϊὼν ἐρεῖ. *Ἐργασίαν* γὰρ νῦν λέγει, οὐ τὴν *ἀναγκαίαν*, ἀλλὰ τὴν περιττὴν, ἤτοι, τὴν ἔμμονον καὶ διηνεκῆ φροντίδα τῆς βρώσεως τῆς αἰσθητῆς· ἡ *ἀναγκαία* γὰρ ἀκώλυτος. Διὸ καὶ ὁ Παῦλος πολλαχοῦ τῶν ἐπιστολῶν, οὐ μόνον ἐπέτρεψεν ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν, ἀλλὰ καὶ διαῤῥήδην ἐνετείλατο, ὅτι *Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω*(α).

Ὥσπερ οὖν ἐπὶ τῆς Μάρθας εἰπὼν ὁ Χριστός· *Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δὲ ἐστι χρεία* (β)· οὐκ ἐκώλυσε τὴν φιλοξενίαν, ἀλλὰ προετίμησε τὴν τῶν θείων λογίων ἀκρόασιν· οὕτω καὶ νῦν, εἰπών· *Ἐργάζεσθε, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς*

(α) Β' Θεσσαλ. Γ', 10. (β) Λουκ. Ι', 41.

ζωὴν αἰώνιον· οὐκ ἐκώλυσε τὸ ἐργάζεσθαι τὴν βρῶσιν τῆς σαρκός· ἀναγκαία γάρ· ἀλλὰ προετίμησε τὸ ἐργάζεσθαι τὴν τῆς ψυχῆς· ἀναγκαιοτέρα γάρ· καὶ παρήνεσεν ἔχειν πάρεργον μὲν τὴν σωματικὴν βρῶσιν· ἔργον δὲ τὴν ψυχικήν. Ἐργάζεσθέ, φησιν, ὁλοψύχως, παντοιοτρόπως, διηνεκῶς, μὴ τόδε, ἀλλὰ τόδε· μᾶλλον μὲν οὖν τοῦτο, ἔλαττον δὲ ἐκεῖνο.

27 Ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει·

Ἣν ἐγὼ δώσω ὑμῖν ἐργάζεσθαι, ἣν αὐτὸς ὑποδείξω κτᾶσθαι. Ἵνα δὲ μὴ δόξῃ κομπάζειν, ἐπὶ τὸν πατέρα πάλιν ἀνατρέχει, λέγων·

27 Τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν, ὁ θεός.

Ἐσφράγισεν, ἤγουν, προεχειρίσατο εἰς τοῦτο, εἰς τὸ διδόναι ταύτην ὑμῖν· ἢ ἀπέδειξεν, ἐφανέρωσε, διὰ τῆς ἑαυτοῦ μαρτυρίας. *Σφραγίζειν* γὰρ λέγεται καὶ τὸ ἀποδεικνύειν, ὡς τό· *Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν*, ὅτι ὁ θεὸς *ἀληθής ἐστι* (α).

28 Εἶπον οὖν πρὸς αὐτόν· Τί ποιῶμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ;

Ἔργα τοῦ θεοῦ καλοῦσι, τὴν εὐαρέστησιν τοῦ θεοῦ. Ἐρωτῶσι δέ, οὐχ ἵνα ἐργάσωνται αὐτά, ἀλλὰ κολακεύοντες, ἵνα δόξωσι μαθηταὶ καὶ αὐτοί, καὶ οὕτως ἐπισπάσωνται (1) πρὸς χορηγίαν τροφῆς.

29 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστι τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος.

Προεδίδαξε γὰρ διαφόρως, ὅτι παρὰ τοῦ θεοῦ ἀπέσταλται.

30 Εἶπον οὖν αὐτῷ· Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ;

Ὅρα πολλὴν ἄνοιαν! Πρὸ βραχέος ἐχόρτασεν αὐτοὺς τροφῆς,

(α) Ἰωάν. Γ', 33. (1) τὸν Χριστόν.

καὶ τοῦ τοιούτου θαύματος αὐτίκα ἐπιλαθόμενοι, σημεῖον ἐπιζητοῦσιν· εἶτα καὶ τὸ εἶδος λέγουσι τοῦ ἐπιζητουμένου σημείου.

31 Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον· «Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν.»

Γέγραπται ἐν τῇ βίβλῳ τῶν ψαλμῶν (α). Πολλῶν δὲ σημείων γεγονότων ἐπὶ τῶν πατέρων αὐτῶν, τούτου μάλιστα μνημονεύουσι, διὰ τὴν τῆς γαστρὸς τυραννίδα, νομίζοντες ἐρεθίζειν αὐτόν, εἰς τὸ ποιῆσαι καὶ αὐτὸν τοιοῦτον σημεῖον, ὅπερ ἔμελλεν ἐμπλήσειν αὐτοὺς τροφῆς. Ἀλλ', ὦ ἀμνήμονες καὶ ἀχάριστοι! Οὐ καὶ αὐτοὶ πρὸ μικροῦ ἄρτους καὶ ἰχθύας εἰς κόρον ἐφάγετε ἐν ἐρήμῳ τόπῳ;

Καὶ παρατήρει μοι κἀνταῦθα τὴν κολακείαν αὐτῶν, ἀλλὰ καὶ πονηρίαν! Οὐκ εἶπον γάρ, οὔτε ὅτι Μωϋσῆς ἐποίησε τὸ σημεῖον, οἰόμενοι πλήξειν αὐτόν, εἰ τὸν Μωϋσέα τούτῳ συγκρινοῦσιν, οὔτε ὅτι ὁ θεὸς αὐτὸ πεποίηκεν, ἵνα μὴ δόξωσιν ἐξισοῦν αὐτὸν τῷ θεῷ. Διὰ τοῦτο ἀπολύτως εἶπον· *Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ*. Τί οὖν ὁ οἰκονομῶν τοὺς λόγους αὐτοῦ ἐν κρίσει; Οὐκ ἐλέγχει τούτους, ἀλλ' ὁμαλῶς ἀποκρίνεται. Χρὴ γάρ, ὡς προείρηται, ποτὲ μὲν ἐλέγχειν, ποτὲ δὲ ἀνεξικακεῖν οἰκονομικῶς.

32 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ.

Ἐπεὶ ὑπελάμβανον, τὸ μάννα ἄρτον εἶναι ἐκ τοῦ κυρίως οὐρανοῦ, διὰ τὸ γεγράφθαι· *Ἄρτον ἐκ τοῦ οὐρανοῦ*· διορθοῦται τὴν ἐσφαλμένην ὑπόληψιν αὐτῶν. Οὐρανὸν γὰρ ἐκεῖ, τὸν ἀέρα εἶπε καταχρηστικῶς ἡ Γραφή· ὡς καὶ ὅταν λέγῃ· *Τὰ πετεινὰ τοῦ οὐρανοῦ*· καὶ πάλιν· *Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος* (β).

(α) Ψαλμ. ΟΖ', 24. (β) Ψαλμ. ΙΖ', 14.

Φησὶν οὖν, ὅτι *Οὐ Μωϋσῆς δέδωκε τότε τῷ γένει ὑμῶν* τὸν ἄρτον ἐκ τοῦ κυρίως οὐρανοῦ· ἀλλ᾽ ὁ πατήρ μου νῦν δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ κυρίως οὐρανοῦ. Ὥσπερ γὰρ ὁ πατὴρ, οὐράνιος· οὕτω καὶ ὁ υἱὸς οὐράνιος, καὶ κυρίως ἄρτος, ὡς στηρίζων καρδίαν ἀνθρώπου.

32 Τὸν *ἀληθινόν*.

Ἐκεῖνος γὰρ ὁ ἄρτος, τυπικὸς ἦν, προτυπῶν, φησὶν, ἐμὲ τὸν αὐτοαλήθειαν ὄντα. Καθάπερ γὰρ ἐκεῖνος ἄνωθεν καταβὰς, ἔτρεφε καὶ ἐῤῥώννυε τοὺς μεταλαμβάνοντας· οὕτω κἀγώ. Ἀλλ᾽ ἐκεῖνος μὲν ἐκ τοῦ ἀέρος· ἐγὼ δὲ ἐκ τοῦ ὄντως οὐρανοῦ· κἀκεῖνος μὲν ἔτρεφε καὶ ἐῤῥώννυε σώματα· ἐγὼ δὲ, ψυχάς. Προϊὼν δὲ λέγει καὶ τὴν καθολικωτέραν διαφορὰν τοῦ τε τυπικοῦ ἄρτου καὶ τοῦ ἀληθινοῦ.

33 Ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

Ὁ κυρίως ἄρτος τοῦ θεοῦ, ἤτουν, ὁ θεῖος ἄρτος, ἐστὶν, ὁ ἐκ τοῦ ὄντως οὐρανοῦ καταβὰς, καὶ ζωὴν αἰώνιον διδοὺς τῷ κόσμῳ τῷ πιστεύοντι. Ἐκεῖνος γὰρ ζωὴν πρόσκαιρον ἐδίδου, καὶ οὐ τῷ κόσμῳ, ἀλλὰ μόνοις τοῖς Ἑβραίοις. *Ζωὴν* δὲ *αἰώνιον* νόει, μὴ τὴν ἁπλῶς, ἣν ζήσουσι κοινῶς πάντες ἄνθρωποι, ἀλλὰ τὴν μακαρίαν, τὴν ἐν ἀπολαύσει διηνεκεῖ.

34 Εἶπον οὖν πρὸς αὐτόν· Κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον.

Ἔτι αἰσθητὸν νομίζοντες τὸν τοιοῦτον ἄρτον, ὑπὸ λαιμαργίας ἐζήτησαν αὐτὸν, οὐχ ἅπαξ λαβεῖν, ἀλλὰ πάντοτε.

35 Εἶπε δὲ αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς·

Ὁ ἄρτος ὁ ζωηρὸς, ὁ ζωὴν αἰώνιον διδοὺς, ὡς εἴρηται· ζωὴ γὰρ κυρίως, ἡ αἰώνιος· ἡ γὰρ πρόσκαιρος, οὐ κυρίως ζωὴ, ἀλλ᾽ εἰκὼν ζωῆς. *Ἄρτον* δὲ *ζωῆς*, τὴν θεότητα ἑαυτοῦ λέγει

νῦν· αὕτη γὰρ ἄρτος ἐκ τοῦ οὐρανοῦ καταβάς. Πρὸς τῷ τέλει δὲ καὶ τὸ ἑαυτοῦ σῶμα ἄρτον καλεῖ.

35 Ὁ ἐρχόμενος πρός με, οὐ μὴ πεινάσῃ· καὶ ὁ πιστεύων εἰς ἐμὲ, οὐ μὴ διψήσῃ πώποτε.

Ἔρχεταί τις πρὸς αὐτὸν, διὰ τῆς πίστεως· αὕτη γὰρ ἡ ὁδὸς πρὸς αὐτόν. *Οὐ μὴ πεινάσῃ*, φησὶ, τὴν ἀπὸ τῆς ἀπιστίας πεῖναν· καὶ *οὐ μὴ διψήσῃ πώποτε*, τὴν ἀπὸ τῆς ἀπιστίας δίψαν· ἀλλὰ πλησθεὶς τῆς θείας χάριτος, αὐτός τε ἀπροσδεὴς ἔσται λοιπὸν, καὶ ἑτέροις μᾶλλον ἐπαρκέσει, διδάσκων καὶ κατηχῶν αὐτούς.

36 Ἀλλ᾽ εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετε.

Ἑωράκατέ με, ἤγουν, ἐγνώκατε, τίς εἰμι, ἀπό τε τῆς μαρτυρίας Ἰωάννου, ἀπό τε τῶν σημείων, ὧν ἐποίησα, καὶ ἀπὸ τῆς μαρτυρίας τῶν Γραφῶν, ἃς ὑμῖν ἀνέπτυξα· ἀλλ᾽ ἐθελοκακοῦντες, οὐ πιστεύετε. Πότε δὲ τοῦτο εἶπεν αὐτοῖς; Εἰκὸς, τοῦτο ῥηθῆναι μὲν, μὴ γραφῆναι δέ.

37 Πᾶν ὃ δίδωσί μοι ὁ πατὴρ, πρὸς ἐμὲ ἥξει·

Τοῦτο παρίστησιν ὁ λόγος, ὅτι ὁ πατὴρ προσάγει αὐτῷ τοὺς πιστεύοντας. Φησὶ γὰρ καὶ Παῦλος· *Δι᾽ οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ* (α). Λέγει τοίνυν, ὅτι Πᾶν ἐκεῖνο πρὸς ἐμὲ ἥξει, ὃ *δίδωσί μοι ὁ πατὴρ*, τουτέστι, Πᾶς, ὃς δοθῇ μοι παρὰ τοῦ θεοῦ (1), ὃς ὁδηγηθῇ παρ᾽ αὐτοῦ, *οὗτος ἥξει πρός με*, οὗτος πιστεύσει μοι, καὶ οὐχ ἁπλῶς, ὁ τυχών. Ἐντεῦθεν δὲ κατασκευάζει, ὅτι θέλει ὁ πατὴρ, ἵνα πιστεύσωσιν εἰς αὐτὸν, καὶ λοιπὸν, ὁ μὴ πιστεύων εἰς αὐτὸν ἐναντιοῦται τῷ θελήματι τοῦ θεοῦ. Δίδωσι δὲ καὶ ὁ πατὴρ τῷ υἱῷ, ὁδηγῶν αὐτοὺς εἰς τὴν πίστιν αὐτοῦ· καὶ ὁ υἱὸς τῷ πατρὶ, προσάγων αὐτοὺς αὐτῷ, διὰ τῆς πίστεως.

(α) Α΄ Κορ. Α΄, 9. (1) παρὰ τοῦ πατρὸς, παρὰ τῷ Α.

Ἀλλ' εἰ ἐκεῖνος ἔρχεται πρὸς τὸν υἱὸν, ὁ δοθεὶς *παρὰ τοῦ πατρὸς*, ἀναίτιος ἄρα ὁ μὴ ἐλθὼν, ὡς μὴ δοθεὶς παρὰ τοῦ πατρός. Ἀλλ' ὁ πατὴρ ἐκείνους δίδωσιν, ὧν ἡ προαίρεσις ἀγαθή· οὔτε γὰρ αὕτη δύναται ποιῆσαι πιστὸν, ἀπούσης τῆς παρὰ τοῦ θεοῦ χειραγωγίας· οὔτε μὴν ἐκείνη συνεργεῖ, μὴ παρούσης ἀγαθῆς προαιρέσεως.

37 Καὶ τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω·

Οὔτ' ἐνταῦθα, ἔξω τῆς ἐμῆς οἰκειώσεως, οὔτε ἐκεῖ, ἔξω τῆς βασιλείας τῶν οὐρανῶν. Τὸν ἐρχόμενον δὲ, οὐχ ἁπλῶς, ἀλλ' ὀρθῶς.

38 Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ
θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με.

Οὐχ *ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν*, ἤτοι, τὸ ἴδιον· οὐδὲ γὰρ ἔχω ἴδιον· *ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με*, τουτέστι, τὸ κοινὸν ἐκείνου τε καὶ ἐμοῦ, ὧν ὡς μία θεότης, οὕτω καὶ ἓν θέλημα. Καταβέβηκε δὲ ἐκ τοῦ οὐρανοῦ, τῇ θεότητι.

39 Τοῦτο δὲ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με πα-
τρὸς, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ,
ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Καὶ μὴν πάντας ἀναστήσει τότε, καὶ τοὺς σωθέντας, καὶ τοὺς ἀπολωλότας, καὶ τοὺς πιστοὺς, καὶ τοὺς ἀπίστους. Ἀλλ' ἀνάστασιν ἐνταῦθα λέγει, τὴν ἐπὶ ἀπολαύσει, οὐ τὴν ἐπὶ κολάσει. Ἀφ' ὧν δέ φησιν, δείκνυσιν, ὅτι κοινὸν θέλημα καὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, τὸ σωθῆναι πάντας· διὰ τοῦτο γὰρ ὁ μὲν ἀπέστειλεν, ὁ δὲ παρεγένετο· καὶ ὁ μὲν δίδωσι τοὺς πιστεύοντας· ὁ δὲ παραλαμβάνων σώζει.

[*Ἵνα μὴ ἀπολέσω* (1), τουτέστιν, ἵνα μὴ ἐξ ἐμῆς αἰτίας ἀπόληταί τις. Καὶ ἀνωτέρω γὰρ εἶπεν· ὅτι *Τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω*. Λοιπὸν οὖν, εἴ τις ἂν ἑκουσίως ἐξέλθῃ, καὶ ἑκουσίως ἀπόληται, παρὰ τὴν ἑαυτοῦ αἰτίαν τοῦτο πάσχει. Οὐδένα γὰρ ὁ θεὸς πρὸς ἀνάγκην ἕλκει.]

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περιφελιδίῳ.

40 Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα
πᾶς ὁ θεωρῶν τὸν υἱὸν, καὶ πιστεύων εἰς αὐτὸν,
ἔχῃ ζωὴν αἰώνιον· καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ
ἐσχάτῃ ἡμέρᾳ.

Τὸν αὐτὸν λόγον σαφηνίζει, συνεχέστερον αὐτὸν ἐνηχῶν, ἵνα μὴ εὐαπόβλητος γένηται, καὶ ἵνα βεβαιότερον μάθωσιν, ὅτι ἀνάστασίς ἐστι, καὶ τῆς εἰς αὐτὸν πίστεως ἀμοιβὴ, καὶ τῶν ἐνταῦθα πνευματικῶν ἀγώνων ἀνταπόδοσις· καὶ εἰ μὴ κατὰ τὸν παρόντα βίον ἀπολαύσουσιν, ἀλλά γε κατὰ τὸν μέλλοντα. Πᾶς δὲ *ὁ θεωρῶν τὸν υἱὸν*, τοῖς ὀφθαλμοῖς τῆς ψυχῆς, ὅ ἐστιν, ὁ πιστεύων εἰς αὐτόν.

41 Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν·
42 Ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ. Καὶ
ἔλεγον· Οὐχ οὗτός ἐστιν Ἰησοῦς, ὁ υἱὸς Ἰωσὴφ,
οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς
οὖν λέγει οὗτος· Ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα;

Ὅτε μὲν ἄρτον ἔδωκεν αὐτοῖς, καὶ τὴν γαστέρα ἐνέπλησε, καὶ προφήτην ἔλεγον εἶναι, καὶ βασιλέα ποιῆσαι ἤθελον· ὅτε δὲ περὶ τοῦ οὐρανίου ἄρτου καὶ τῆς πνευματικῆς τροφῆς καὶ ζωῆς αἰωνίου διελέγετο, ἐταράσσοντο, καὶ ἐξηυτέλιζον τὸ γένος αὐτοῦ, *ὧν θεὸς ἡ κοιλία* (α), καλῶς (1) εἶπε Παῦλος. Καὶ προσεποιοῦντο μὲν ἀγανακτεῖν, διότι εἶπεν, ὅτι *Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα*· τὸ δὲ ἀληθὲς, ἠγανάκτουν, διότι οὐκ ἔθρεψε πάλιν αὐτοὺς, ὡς προσεδόκων. Εἰ γὰρ δι' ἐκεῖνο ἐγόγγυζον, ἠρώτησαν ἂν, πῶς ἄρτος ἐστί; πῶς ἐκ τοῦ οὐρανοῦ καταβέβηκεν;

Ὁ δὲ Χριστὸς, οὐκ εἶπεν, ὅτι Οὐκ εἰμὶ υἱὸς Ἰωσὴφ, οὐδὲ ἐδίδαξέ τι περὶ τοῦ γένους αὐτοῦ, γινώσκων αὐτοὺς οὔπω δυ-

(α) Φιλιπ. Γ', 19. (1) Ἴσως, ὡς καλῶς, ἢ, ὧν θεὸν τὴν κοιλίαν.

ναμένους ἀκοῦσαι τὸν θαυμαστὸν τόκον αὐτοῦ, *καὶ πολλῷ* μᾶλλον τὴν προαιώνιον αὐτοῦ γέννησιν. Οἰκονομικῶς οὖν παρέδραμε τὸν περὶ τούτου λόγον, ἵνα μὴ ἕτερον σκάνδαλον ἀναιρῶν, ἕτερον ἐμβάλῃ.

43 Ἀπεκρίθη οὖν ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Μὴ γογ-
44 γύζετε μετ' ἀλλήλων. Οὐδεὶς δύναται ἐλθεῖν πρός
με, ἐὰν μὴ ὁ πατὴρ, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν,

Ἔλευσιν πρὸς ἑαυτόν φησιν, οὐ τὴν ἁπλῶς· ἐπεὶ καὶ αὐτοὶ, καὶ ἄλλοι πολλοὶ ἤρχοντο πρὸς αὐτόν· ἀλλὰ τὴν ἐκ πίστεως. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἰκότως οὐ πιστεύετέ μοι· οὐ γὰρ εἱλκύσθητε παρὰ τοῦ πατρὸς, ὡς ἀνάξιοι· *οὐδεὶς γὰρ δύναται ἐλθεῖν πρὸς ἐμὲ*, ἤτοι πιστεῦσαι εἰς ἐμὲ, *ἐὰν μὴ ὁ πατὴρ, ὁ πέμψας με*, ἑλκύσῃ αὐτόν. Εἴρηκε γὰρ καὶ ἀνωτέρω, ὅτι *Πᾶν ὃ δίδωσί μοι ὁ πατὴρ, πρὸς ἐμὲ ἥξει* (α)· καὶ ἀνάγνωθι τοῦ τοιούτου ῥητοῦ τὴν ἐξήγησιν, συμβαλλομένην εἰς τὸ προκείμενον.

44 Καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Τὸν ἐλθόντα, δηλαδὴ, πρὸς ἐμὲ, εἴτουν, τὸν πιστεύσαντα εἰς ἐμέ. Πάλιν οὖν τὸ, *Καὶ ἐγὼ ἀναστήσω αὐτόν*· παραδεικνύει γὰρ τὸ οἰκεῖον ἀξίωμα, καὶ τῇ συνεχείᾳ τῶν τοιούτων λόγων καθικνεῖται τῆς ἀναισθησίας αὐτῶν.

45 Ἔστι γεγραμμένον ἐν τοῖς προφήταις· «Καὶ ἔσονται πάντες διδακτοὶ θεοῦ.»

Τοῦτο τέθεικε, βεβαιῶν, ὅτι ὁ πατὴρ ἑλκύει τοὺς ἐρχομένους πρὸς αὐτόν. *Πάντες δὲ*, οἱ ἐρχόμενοι δηλονότι πρὸς αὐτὸν, οἱ πιστεύοντες εἰς αὐτὸν, ἢ οἱ βουλόμενοι. Οὐδένα γὰρ μὴ βουλόμενον ἑλκύει.

45 Πᾶς οὖν ὁ ἀκούων παρὰ τοῦ πατρὸς, καὶ μαθὼν, ἔρχεται πρός με.

(α) Ἰωαν. ϛ', 37.

Ὁ ἀκούων νοερῶς περὶ ἐμοῦ. Ἵνα γὰρ μὴ ὑπολάβωσι, παχεῖς ὄντες, ὅτι αἰσθητῶς ἀκούει τις παρὰ τοῦ πατρὸς, ὁρῶν αὐτὸν ἀνθρωποπρεπῶς, φησίν·

46 Οὐχ ὅτι τὸν πατέρα τὶς ἑώρακεν,

Ἵνα καὶ αἰσθητῶς ἀκούῃ παρ' αὐτοῦ. *Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε* (α).

46 Εἰ μὴ ὁ ὢν παρὰ τοῦ θεοῦ·

Εἰ μὴ ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ. Τοῦτο γὰρ δηλοῖ νῦν τὸ, *Ὁ ὢν παρὰ τοῦ θεοῦ*. Καὶ διὰ τί μὴ τρανώτερον αὐτὸ τέθεικε; Διὰ τὴν ἐκείνων ἀσθένειαν. Εἰ γὰρ, εἰπόντος, ὅτι *Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ*, ἐσκανδαλίσθησαν, τί οὐκ ἂν ἐποίησαν, εἰ καὶ τοῦτο φανερῶς εἶπεν;

46 Οὗτος ἑώρακε τὸν πατέρα.

Ὡς τῆς αὐτῆς οὐσίας καὶ φύσεως καὶ γνώσεως, καὶ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός. Καὶ μὴν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὁρᾷ αὐτὸν, ὡς καὶ αὐτὸ τῆς αὐτῆς οὐσίας καὶ φύσεως καὶ γνώσεως, καὶ ὂν ἐν τῷ πατρί· ἀλλ' οὔπω καιρὸς ἦν διδάσκειν περὶ τοῦ ἁγίου Πνεύματος· οἱ γὰρ μήπω περὶ τοῦ υἱοῦ πιστεύσαντες, οὐκ ἂν ἐπίστευσαν περὶ τοῦ ἁγίου Πνεύματος.

47 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον.

Καὶ ἀνωτέρω εἶπε τοῦτο, λέγων· *Ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν, καὶ πιστεύων εἰς αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον* (β).

48 Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.

Ἔτι ἀνωτέρω εἶπε καὶ τοῦτο. *Ἄρτος δέ ἐστι τῆς ζωῆς*, ὡς τρέφων τῇ διδασκαλίᾳ τὰς ψυχὰς, καὶ συγκρατῶν τὴν ζωὴν, καὶ ταύτην, καὶ τὴν αἰώνιον. Κατὰ μικρὸν δὲ ἀνάγει τούτους, καὶ ὁμαλῶς ἀποκαλύπτει τὰ περὶ τῆς ἑαυτοῦ θεότητος.

(α) Ἰωαν. Α', 18. (β) Ἰωαν. ϛ', 40.

49 Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον.

Ἐπεὶ προλαβόντες εἶπον αὐτῷ· ὅτι *Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ* (α)· ποιεῖται νῦν σύγκρισιν ἐκείνου τε τοῦ μάννα καὶ τούτου τοῦ ἄρτου, τοῦ ἐκ τοῦ οὐρανοῦ καταβάντος, ἤτοι, τοῦ ἄρτου τῆς ζωῆς.

50 Οὗτός ἐστιν ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τὶς ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ.

Ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἕνεκεν τοῦ θρέψαι καὶ ἀθανατίσαι. Εἶτα σαφηνίζει τὸν λόγον, καὶ διδάσκει, τίς ἐστιν ὁ ἄρτος, ὃν λέγει.

51 Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν,

Ὁ ζῶν ἀεὶ, καὶ ζωὴν παρέχων.

51 Ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς·

Τῇ θεότητι. Καὶ ἀνωτέρω δὲ ταῦτα περὶ ἑαυτοῦ διαφόρως εἶπε, τῇ συνεχείᾳ διερεθίζων αὐτοὺς εἰς τὸ ἐρωτῆσαι, πῶς ἄρτος ἐστὶ ζωηρὸς, καὶ πῶς ἐκ τοῦ οὐρανοῦ καταβέβηκεν· ἀλλ' ἐκεῖνοι πρὸς μόνην ὁρῶντες τὴν θεραπείαν τῆς γαστρὸς, πάντα τἄλλα περιττὰ ἐνόμιζον, ὡς προειρήκαμεν.

51 Ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα·

Ἐάν τις μετάσχῃ τῆς διδασκαλίας αὐτοῦ. Ἐσθίει γὰρ ἐξ αὐτοῦ, ὁ μεταλαμβάνων ταύτης· βρῶσις γὰρ καὶ αὕτη, τρέφουσα τὴν ψυχήν. *Ζήσεται δὲ εἰς τὸν αἰῶνα*, εἴτουν, ἀεὶ, ὡς μηδέποτε ἀποθνήσκων τὸν ψυχικὸν θάνατον· ψυχικὸς δὲ θάνατος, ὁ ἀπὸ τοῦ θεοῦ χωρισμός· ὥσπερ καὶ σωματικὸς θάνατος, ὁ ἀπὸ τῆς ψυχῆς χωρισμός. Ζωοῖ γὰρ τὸ σῶμα μὲν, ἡ ψυχή· τὴν ψυχὴν δὲ, ὁ θεός.

Καὶ μὴν, πολλοὶ μετέλαβον τῆς διδασκαλίας τοῦ Χριςοῦ, καὶ ἀπώλοντο· ἀλλὰ κακῶς ἐχρήσαντο τῇ μεταλήψει· νῦν δὲ

(α) Ἰωαν. ϛ', 31.

περὶ τῶν καλῶς αὐτῇ χρωμένων ὁ λόγος, οὐ περὶ τῶν διαφθειράντων αὐτὴν, ἐπιμιξίᾳ δογμάτων πονηρῶν, ἢ φαυλότητι πολιτείας. Ἔδειξεν οὖν, ὅτι κρείττονα ἄρτον τούτοις δίδωσι παρὰ τὸ μάννα, ὃ ἔφαγον οἱ πατέρες αὐτῶν ἐν τῇ ἐρήμῳ· ἐκεῖνο μὲν γὰρ οἱ φαγόντες ἀπέθανον, ἐκ τούτου δὲ οἱ τρώγοντες, ζήσονται εἰς τὸν αἰῶνα.

51 Καὶ ὁ ἄρτος δὲ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν,

Κατὰ δύο τρόπους ἄρτος ἐςὶν ὁ Χριστὸς, κατά τε τὴν θεότητα, καὶ κατὰ τὴν ἀνθρωπότητα. Διδάξας οὖν περὶ τοῦ κατὰ τὴν θεότητα, νῦν διδάσκει καὶ περὶ τοῦ κατὰ τὴν ἀνθρωπότητα.

Οὐκ εἶπε δὲ, ὅτι Ὃν δίδωμι, ἀλλ' ὅτι Ὃν δώσω. Ἔμελλε γὰρ αὐτὸν δώσειν ἐν τῷ τελευταίῳ δείπνῳ, ὅτε *Λαβὼν τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου* (α).

Ζήτησον οὖν τὸ ἑξηκοστὸν τέταρτον κεφάλαιον τοῦ κατὰ Ματθαῖον, καὶ, ἔνθα κεῖται τὸ, *Εἰς ἄφεσιν ἁμαρτιῶν* (β), ἀνάγνωθι τὴν ἐξήγησιν ὅλην, καὶ εὑρήσεις, πῶς ἐστι τὸ σῶμα αὐτοῦ ἄρτος.

51 Ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

Δώσω εἰς θάνατον. Ἐνταῦθα γὰρ τὴν σταύρωσιν αὐτοῦ προσημαίνει. Τὸ δὲ, *Ἣν ἐγὼ δώσω*, τὸ ἑκούσιον ἐμφαίνει τοῦ τοιούτου πάθους.

52 Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι, λέγοντες· Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν;

Ἐταράττοντο, μὴ δυνάμενοι πιστεύειν τῷ λόγῳ, διὰ τὸ δοκεῖν ἀδύνατον. Πάντα γὰρ κατὰ φύσιν ἐξετάζοντες, οὐδὲν ὑπερφυὲς παρεδέχοντο.

53 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν,

(α) Ματθ. ΚϚ', 26. (β) Ματθ. ΚϚ', 28.

ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.

Ἐκεῖνοι μὲν, ἀδύνατον τοῦτο ὑπελάμβανον· αὐτὸς δὲ δείκνυσιν αὐτὸ καὶ σφόδρα δυνατόν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἀναγκαῖον, ὅπερ καὶ ἐπὶ τοῦ Νικοδήμου πεποίηκε. Προστίθησι δὲ καὶ περὶ τοῦ αἵματος, σημαίνων (1) περὶ τοῦ ἄρτου καὶ τοῦ ποτηρίου, ἃ ἔμελλεν, ὡς εἴρηται, δοῦναι τοῖς μαθηταῖς ἐν τῷ τελευταίῳ δείπνῳ. *Ζωὴν* δὲ πάλιν λέγει, τὴν αἰώνιον, ἤτοι, τὴν μακαρίαν.

54 Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον·

Συνεχῶς στρέφει τὸν περὶ τῶν μυστηρίων λόγον, δεικνὺς τὸ ἀναγκαῖον τοῦ πράγματος, ὅτι πάντως γενέσθαι τοῦτο χρή.

54 Καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Πυκνῶς ἑλίττει καὶ τὸν περὶ τῆς ζωῆς, καὶ τῆς ἀναστάσεως λόγον, βουλόμενος αὐτὸν ἐντυπῶσαι τῇ διανοίᾳ τῶν ἀκουόντων. Ἃ δὲ διαφόρως προεστειλάμεθα, ταῦτα νῦν συλλήβδην ἀνακεφαλαιωτέον. Ὅτι, ἐπεὶ πάντες ἄνθρωποι ἀναστήσονται, καὶ πάντες ζήσονται αἰωνίως, προσήκει νοεῖν ἀνάστασιν, ἐπὶ τῶν δικαίων μὲν, τὴν ἐπὶ ἀπολαύσει· ἐπὶ τῶν ἁμαρτωλῶν δὲ, τὴν ἐπὶ κολάσει· καὶ αὖ ζωὴν μὲν αἰώνιον, ἐπὶ τῶν δικαίων, τὴν ἐν ἀπολαύσει· ἐπὶ δὲ τῶν ἁμαρτωλῶν, τὴν ἐν κολάσει.

55 Ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις.

Ἀ*ληθὴς* (2) ἐστι βρῶσις, ἤτοι, κυριωτάτη, ὡς τὸ κυριώτατον μέρος τοῦ ἀνθρώπου τρέφουσα, τὴν ψυχήν· καὶ τὸ αἷμα δὲ, ὁμοίως. Ἢ ταῦτα εἶπε, βεβαιῶν, ὅτι οὐκ αἴνιγμα λέγει, οὐδὲ παραβολήν.

---

(1) Προτιμότερον τό, προσημαίνων.

(2) Ὁ Εὐθύμιος ἄρα ἀνέγνωσεν, ἀληθὴς, καὶ ὄχι, ἀληθῶς.

56 Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ.

Ἐ*ν ἐμοὶ μένει*, ἑνοῦταί μοι, διὰ τῆς μεταλήψεως καὶ κοινωνίας τῆς ἐμῆς σαρκὸς καὶ τοῦ ἐμοῦ αἵματος, καὶ σύσσωμός μοι γίνεται, καὶ μέτοχος τῆς ἐν ἐμοὶ ζωῆς· εἰ δ' ἐκεῖνος ἐν ἐμοὶ, πάντως *κἀγὼ ἐν αὐτῷ*·

57 Καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα·

Καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, οὕτω κἀγὼ ζῶ ἀπαραλλάκτως, διὰ τὸ γεννηθῆναί με ἐκ ζῶντος πατρός.

[Γνῶσιν (1) ἡμῖν (2) εἰσάγει, τοῦ ἔχειν ἀρχὴν, καὶ μὴ εἶναι ἄναρχος, ὥσπερ ὁ πατήρ. Ἢ *καὶ ἑτέρως*· Διὰ τὸ ζῆν τὸν πατέρα (3)· εἰ μὴ γὰρ ἐκεῖνος ἔζη, οὐδὲ ἐγὼ ἔζων· ἐπεὶ δὲ ἐκεῖνος ζῇ, ζῶ κἀγώ. Καὶ εἰ μὴ ἐκεῖνος εἶχεν, ὅσα ἔχει, οὐδὲ ἐγὼ εἶχον, ὅσα ἔχω. Ἴσα γὰρ ἡμῖν πάντα, χωρὶς τῶν προσωπικῶν ἰδιοτήτων.]

57 Καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ.

Ὥσπερ ἐγὼ ζῶ, διὰ τὸ γεννηθῆναι ἐκ ζῶντος πατρὸς, οὕτω καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται, διὰ τὸ τρώγειν ἐμὲ, τὴν ζωὴν, καὶ μεταλαμβάνειν τῆς ζωῆς.

58 Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς·

Οὗτος, ὁ ζωὴν αἰώνιον χορηγῶν.

58 Οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα, καὶ ἀπέθανον.

Οὐκ ἀποθανοῦνται, οἱ τρώγοντες αὐτὸν δηλονότι, καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα, καὶ ἀπέθανον. Καὶ μὴν,

---

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις. (2) Ὁ Ἑντένιος μετέφρασεν, ὡς ἂν ἀνέγνωσεν· Εἰς γνῶσιν ἡμᾶς εἰσάγει. (3) Νόει, ζῶ κἀγώ.

ὥσπερ οἱ τὸ μάννα ἐκεῖνο φαγόντες, ἀπέθανον τῇ σαρκὶ, οὕτω καὶ οἱ τὸν ἄρτον τοῦτον τρώγοντες, ἀποθνήσκουσι τῇ σαρκί. Ἀλλ' οὗτοι μόνοι ἐπ' ἐλπίδι ζωῆς αἰωνίου ἀποθνήσκοντες, οὐ δοκοῦσιν ἀποθανεῖν, ἀλλ' ὑπνοῦν.

58 Ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα.

Ἱκανῶς ἐνδιέτριψε τῷ περὶ τοῦ ἄρτου καὶ περὶ τῆς ζωῆς λόγῳ, γινώσκων, τὸν μὲν, ἀναγκαῖον, τὴν δὲ, γλυκεῖαν τοῖς ἀνθρώποις· τὸν μὲν σωματικὸν ἄρτον, τοῖς σωματικοῖς· τὸν δὲ πνευματικὸν, τοῖς πνευματικοῖς· καὶ τὴν μὲν σωματικὴν ζωὴν, τοῖς σωματικοῖς· τὴν δὲ πνευματικὴν, τοῖς πνευματικοῖς.

59 Ταῦτα εἶπεν ἐν συναγωγῇ, διδάσκων ἐν Καπερνα-
60 ούμ. Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐ-
τοῦ, εἶπον· Σκληρός ἐστιν οὗτος ὁ λόγος· τίς δύ-
ναται αὐτοῦ ἀκούειν;

Σκληρός ἐστιν, ἤτοι δυσπαράδεκτος, *οὗτος ὁ λόγος*, ὁ περὶ τοῦ τρώγειν αὐτόν. Τίς δύναται αὐτὸν παραδέχεσθαι; Οἱ τοῦτο δὲ εἰπόντες, μαθηταὶ μὲν αὐτοῦ ἦσαν· οὐκ ἐκ τῶν δώδεκα δέ· ἀλλ' ἐκ τῶν ἑβδομήκοντα.

Τινὲς δέ φασιν, ὅτι ἐκ τῶν ἄλλως (1) μαθητευομένων αὐτῷ· πολλοὶ γὰρ καὶ ἕτεροι ἠκολούθουν αὐτῷ πολλάκις. Μέλλοντες οὖν ἀποπηδᾷν, ὑπεραπολογοῦνται δῆθεν ἑαυτῶν· ἔδει δὲ αὐτοὺς ἀναμεῖναι τὸν προσήκοντα καιρὸν, καὶ πυθέσθαι περὶ τοῦ δοκοῦντος δυσχεροῦς, καὶ μὴ ἀπαγορεύειν· οὕτω γὰρ οἱ δώδεκα μαθηταὶ πεποιήκασι. Μαθητοῦ γὰρ εὐγνώμονος, ἀπεριέργως πάντα δέχεσθαι τὰ τοῦ διδασκάλου, καὶ, καιροῦ καλοῦντος, εὐλαβῶς ἐρωτᾷν περὶ τῶν ὑπερβαινόντων τὴν αὐτοῦ διάνοιαν.

61 Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ, ὅτι γογγύζουσι περὶ

(1) Τῶν ἐκτὸς τοῦ ἀριθμοῦ τῶν δώδεκα καὶ τῶν ἑβδομήκοντα, οἱ ἐν τάξει μαθητῶν ἠκολούθησαν αὐτῷ.

τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· Τοῦτο
ὑμᾶς σκανδαλίζει;

Καὶ γὰρ καὶ τοῦτο τῆς αὐτοῦ θεότητος ἀπόδειξις, τὸ τὰ ἀπόῤῥητα αὐτοῖς φέρειν εἰς μέσον. Καθ' ἑαυτοὺς γὰρ ἀποῤῥήτως ἐγόγγυζον.

62 Ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαί-
νοντα, ὅπου ἦν τὸ πρότερον;

Λείπει τὸ, Τί ἐρεῖτε; Ἔλεγε δὲ περὶ τῆς ἐς ὕστερον εἰς οὐρανὸν ἀναλήψεως αὐτοῦ. *Ἀναβαίνοντα*, τῇ ἀνθρωπότητι· *ὅπου ἦν τὸ πρότερον*, τῇ θεότητι. Ὁ γὰρ δυνάμενος τὴν σάρκα ταύτην οὐράνιον ποιῆσαι, δύναται πάντως αὐτὴν καὶ τροφὴν ἀνθρώπων ἀπεργάσασθαι.

63 Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν· ἡ σὰρξ οὐκ ὠφε-
λεῖ οὐδέν.

Πνεῦμα λέγει νῦν, τὸ πνευματικῶς νοεῖν τὰ ῥηθέντα. Ὁμοίως δὲ καὶ *σάρκα*, τὸ σαρκικῶς νοεῖν αὐτά. Οὐ γὰρ περὶ τῆς ζωοποιοῦ σαρκὸς αὐτοῦ νῦν ὁ λόγος. Φησὶ τοίνυν, ὅτι τὸ μὲν πνευματικῶς νοεῖν ταῦτα, ζωὴν παρέχει, τὴν ἀνωτέρω λεχθεῖσαν· τὸ δὲ σαρκικῶς νοεῖν αὐτὰ, οὐδὲν ὠφελεῖ.

63 Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμά ἐστι καὶ
ζωή ἐστιν.

Πνευματικά ἐστι καὶ ζωηρά ἐστι· διὸ χρὴ, μὴ ἁπλῶς εἰς αὐτὰ βλέπειν· τοῦτο γάρ ἐστι τὸ σαρκικῶς νοεῖν· ἀλλ' ὑψηλότερόν τι φαντάζεσθαι, καὶ τοῖς ἔνδον ὀφθαλμοῖς αὐτὰ κατοπτεύειν, ὡς μυστήρια· τοῦτο γάρ ἐστι τὸ πνευματικῶς νοεῖν.

64 Ἀλλ' εἰσὶν ἐξ ὑμῶν τινὲς, οἳ οὐ πιστεύουσιν· ᾔδει
γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς, τίνες εἰσὶν οἱ μὴ πιστεύ-
οντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν.

Οὐ μόνον τὴν πρόγνωσιν, ἀλλὰ καὶ τὸ ἀνεξίκακον αὐτοῦ δείκνυσιν, ὅτι οὐκ ἀπὸ τοῦ γογγῦσαι, ἀλλ' ἐξ ἀρχῆς, καὶ ἄνωθεν

ἐγίνωσκε, καὶ τοὺς πιστεύοντας, καὶ τοὺς μὴ πιστεύοντας, καὶ ὅμως κοινῶς πάντας ἐδίδασκεν.

65 Καὶ ἔλεγε· Διὰ τοῦτο εἴρηκα ὑμῖν, ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ πατρός μου.

Διὰ τοῦτο· ποῖον; Διὰ τὸ εἶναί τινας, οἳ οὐ πιστεύουσι. Συνεχῶς δὲ πατέρα ἑαυτοῦ, τὸν Θεὸν ὀνομάζει, διδάσκων, ὅτι οὐκ ἔστιν υἱὸς τοῦ Ἰωσὴφ, ὡς ἐκεῖνοι ᾤοντο.

66 Ἐκ τούτου πολλοὶ ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπίσω· καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν.

Ἐκ τούτου, ἀντὶ τοῦ, ἔκτοτε. *Ἀπῆλθον* δὲ *εἰς τὰ ὀπίσω*, εἶτουν, ἀπεσχίσθησαν, οἱ ἀνωτέρω γογγύσαντες. *Ὀπίσω* δὲ νόει μοι, καὶ τὸν πρότερον βίον αὐτῶν, εἰς ὃν πάλιν ὑπέστρεψαν.

67 Εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα· Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;

Οὐκ εἶπεν, Ἀπέλθετε καὶ ὑμεῖς· τοῦτο γὰρ ἀπωθουμένου ἦν· ἀλλ' ὁμαλῶς ἠρώτησε, δεικνὺς, ὅτι οὐ δεῖται τῆς διακονίας αὐτῶν, οὐδὲ περιάγει τούτους, ἐπιδεικνύμενος, καὶ ὅτι οὐδένα, μὴ βουλόμενον, βούλεται κατέχειν. Οὔτε δὲ ἐδεινοπάθησεν, οὔτε κατηγόρησε τῶν ἀπελθόντων εἰς τὰ ὀπίσω, ὅπερ ποιεῖν εἰώθαμεν ἡμεῖς, καταφρόνησιν καὶ ὕβριν τὸ πρᾶγμα κρίνοντες· διότι μετὰ φιλοδοξίας ἅπαντα πράττομεν.

68 Ἀπεκρίθη οὖν αὐτῷ Σίμων Πέτρος· Κύριε, πρὸς τίνα ἀπελευσόμεθα;

Ὁ Πέτρος, ὁ φιλάδελφος, ὑπεραπολογεῖται πάντων τῶν ἀδελφῶν· *Κύριε, πρὸς τίνα ἀπελευσόμεθα*; τὸ πρὸς αὐτὸν φιλόστοργον ἐμφαίνων, ὅτι οὐκ ἔχουσιν ἕτερον τιμιώτερον αὐτοῦ, οὐ γονεῖς, οὐ συγγενεῖς, οὐ φίλους, οὐχ ἁπλῶς τινα τῶν ἁπάντων. Εἶτα, ἵνα μὴ δοκῇ τοῦτο εἰπεῖν, ὡς οὐκ ὄντος τοῦ ὑποδεξομένου αὐτοὺς, ἐπήγαγεν·

68 Ῥήματα ζωῆς αἰωνίου ἔχεις·

Ῥήματα, ζωὴν αἰώνιον προξενοῦντα. Ὁρᾷς, ὅτι οὐ τὰ ῥήματα
ἦν τὰ σκανδαλίζοντα, ἀλλ' ἡ ἀπροσεξία τῶν ἀκουόντων, καὶ
τὸ σαρκικῶς νοεῖν αὐτὰ, καὶ μὴ πνευματικῶς. Ἀκόλουθον μὲν
γὰρ, καὶ ἀναγκαῖον ἦν, ἐκεῖνα ῥηθῆναι, διὰ τὸν περὶ τοῦ
μάννα λόγον τῶν Ἰουδαίων· ἔδει δὲ τοὺς ἀκούοντας, ἢ πνευ-
ματικῶς ἀκούειν αὐτὰ, ἢ, μὴ τοῦτο δυναμένους, δέχεσθαι μὲν
ταῦτα, ὕστερον δὲ φιλομαθῶς ἐρωτῆσαι περὶ τούτων.

69 Καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.

Καὶ ἐν τῷ τριακοστῷ τρίτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τὸ αὐτὸ εἶπε· *Σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος* (α). Ἀλλά τότε μὲν ἐμακάρισεν αὐτὸν ὁ Χριστὸς, διὰ τὴν ἐκεῖ ῥηθεῖσαν αἰτίαν· νῦν δὲ, ἐπειδὴ κοινῶς εἶπεν, ὅτι *Πεπιστεύκαμεν* καὶ ἐγνώκαμεν, διαστέλλει τὸν Ἰσκαριώτην ἀπ' αὐτῶν, ἤδη σαλευόμενον.

70 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην;

Τοῦτο κατ' ἐρώτησιν ἀναγνωστέον.

70 Καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν; Ἔλεγε δὲ τὸν
71 Ἰούδαν Σίμωνος Ἰσκαριώτην· οὗτος γὰρ ἤμελλεν
αὐτὸν παραδιδόναι, εἷς ὢν ἐκ τῶν δώδεκα.

Οὐκ ἐγώ, φησιν, ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; καὶ ὅμως [illegible] ἐξ ὑμῶν εἷς, οὐδὲν τῆς παρ' ἐμοῦ ἐκλογῆς ἀπονάμενος, [illegible] αὐτεξούσιος πρὸς ἀρετὴν καὶ κακίαν, *διάβολός ἐστιν*, [illegible] διαβολικός, τοῦ διαβόλου ὑπουργός. Δῆλον οὖν, ὅτι ἐν τῇ προαιρέσει τοῦ ἀνθρώπου κεῖται, τὸ σώζεσθαι ἢ ἀπόλλυσθαι.

Τινὲς δὲ διάβολον νῦν, τὸν ἐπίβουλον ἐνόησαν. Οὐδὲν [illegible] καινὸν, ἐν τῷ ἐκλέγεσθαι μὲν, ἀγαθὴν προαίρεσιν [illegible] Ἰούδαν· ὕστερον δὲ μεταβληθῆναι τοῦτον, ὡς [illegible]

(α) Ματθ. Ιϛ', 16.

ΚΕΦ. VII, 1 Καὶ περιεπάτει ὁ Ἰησοῦς μετὰ ταῦτα ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι.

Οὐ γὰρ εἶχεν ἐξουσίαν (1), ἤγουν, Οὐκ εἶχεν ἄδειαν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν. Ὡς περὶ ἀνθρώπου γὰρ τοῦτο εἶπεν ὁ εὐαγγελιστής· ὡς γὰρ ἄνθρωπος ὑπεστέλλετο νῦν, οὐ φεύγων τὸν θάνατον, ἀλλὰ φειδόμενος τῶν φονέων, καὶ ὅτι οὔπω καιρὸς ἦν τοῦ πάθους αὐτοῦ. Ἔδει γὰρ αὐτὸν ποτὲ μὲν, ὡς θεὸν, μένειν ἀχείρωτον, ποτὲ δὲ, ὡς ἄνθρωπον, ὑποχωρεῖν οἰκονομικῶς.

2 Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων, ἡ σκηνοπηγία.

Αὕτη ἑωρτάζετο εἰς μνήμην τῆς ἡμέρας, καθ' ἣν ὁ **Μωϋσῆς** ἔπηξε πρῶτον τὴν κατασκευασθεῖσαν ὑπὸ τοῦ **Βεσελεὴλ** *θείαν* σκηνήν (2).

3 Εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ·

Οἱ τοῦ Ἰωσὴφ υἱοὶ, τοῦ θέσει πατρὸς αὐτοῦ.

3 Μετάβηθι ἐντεῦθεν, καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι τὰ ἔργα σου, ἃ ποιεῖς·

Προσποιοῦνται μὲν ἐπ' ἀγαθῷ συμβουλεύειν, ὡς συγγενεῖς δῆθεν καὶ οἰκειότατοι· σκοπὸς δὲ αὐτοῖς πονηρὸς, ἐκ φθόνου τεχθείς. Πειρώμενοι γὰρ μεταγαγεῖν τοῦτον εἰς τὴν Ἰουδαίαν, ἵνα ἀναιρεθῇ παρὰ τῶν ζητούντων ἀποκτεῖναι αὐτὸν, προβάλλονται, τὸ δεῖν καὶ τοὺς ἐκεῖσε ὄντας μαθητὰς αὐτοῦ, ἤτοι, τοὺς ὄχλους, τοὺς ἐν Ἰουδαίᾳ, παρεπομένους αὐτῷ, θεωρεῖν τὰ σημεῖα, ἃ ποιεῖ.

(1) Ὁ Χρυσόστομος ἀνέγνωσεν, Οὐ γὰρ εἶχεν ἐξουσίαν, ἀντὶ τοῦ, Οὐ γὰρ ἤθελεν· καὶ τὴν ἀνάγνωσιν τοῦ Χρυσοστόμου ἑρμηνεύει ὁ Εὐθύμιος· ταύτην δὲ ἀποδοκιμάζει ὁ Θεοφύλακτος.

(2) Ἡ σκηνοπηγία ἑωρτάζετο εἰς μνήμην τῆς ἐν σκηναῖς κατοικήσεως τῶν Ἰσραηλιτῶν ἐν τῇ ἐρήμῳ τῆς Ἀραβίας. Λευϊτ. ΚΓ', 42, 43.

4 Οὐδεὶς γὰρ ἐν κρυπτῷ τι ποιεῖ, καὶ ζητεῖ αὐτὸς ἐν παῤῥησίᾳ εἶναι.

Κατὰ μὲν τὸ προχείρως νοούμενον, δοκοῦσι παρακνίζειν αὐτὸν, ἵνα μεταβῇ· κατὰ δὲ τὸ βαθύτερον, ἀποσκώπτουσιν, ὡς δειλὸν ἅμα καὶ φιλόδοξον. Τὸ μὲν γὰρ ἐν κρυπτῷ τι ποιεῖν, δειλοῦ· τὸ δὲ ζητεῖν *ἐν παῤῥησίᾳ εἶναι*, ἤτοι φανερὸν, ἀπόβλεπτον, φιλοδόξου.

4 Εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ.

Εἰ ταῦτα τὰ σημεῖα ποιεῖς, καὶ οὐ φαντάζεις, φανέρωσον σεαυτὸν πᾶσιν Ἰουδαίοις. Ὑπώπτευον γὰρ καὶ (1) τὰ σημεῖα, ὡς φαντασίαν.

Δῆλον οὖν ἐντεῦθεν, ὅτι σημεῖα ἐποίησε κἀκεῖ, ἃ πάντα παρέδραμεν ὁ Ἰωάννης, ὥσπερ καὶ ἄλλα πολλὰ, σπεύδων μᾶλλον ἐπὶ τὰ φέροντα ξένην τινὰ διήγησιν, καὶ ὧν οἱ ἄλλοι οὐκ ἐπεμνήσθησαν. Εἶτα λέγει καὶ τὸ αἴτιον τῆς τοιαύτης ὑποψίας.

5 Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν.

Οὐδ' αὐτοὶ ἐπίστευον εἰς αὐτὸν, ὡς εἰς θεόν. Ἀλλ' ὅμως οἱ νῦν τοιοῦτοι, μεγάλοι γεγόνασιν ὕστερον, καὶ πολλὰ παρὰ πολλῶν ὑπὲρ αὐτοῦ πεπόνθασιν, Ἰάκωβος καὶ Ἰούδας. Τί οὖν ὁ τὰς καρδίας αὐτῶν εἰδώς; Οὐκ ἤλεγξεν αὐτοὺς πονηροὺς καὶ ἐπιβούλους, ἀλλὰ μακροθύμως ἀποκρίνεται πρὸς τὸν σκοπὸν αὐτῶν.

6 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν·

Ὁ *καιρὸς ὁ ἐμὸς*, ὁ τοῦ ἀπελθεῖν με εἰς τὴν Ἰουδαίαν, ἀναιρεθησόμενον, ὡς σπουδάζετε, *οὔπω πάρεστι*. Τί με κατεπείγετε πρὸ τοῦ τοιούτου καιροῦ;

(1) καὶ γὰρ, παρὰ τῷ Β.

6 Ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος.

Ὁ *καιρὸς ὁ ὑμέτερος*, ὁ τοῦ ἀπελθεῖν ὑμᾶς εἰς τὴν Ἰουδαίαν, πάντοτέ ἐστιν εὐχερής. Ἐμοὶ μὲν γὰρ ἐμποδίζει, τὸ μήπω παρεῖναι αὐτόν· ὑμῖν δὲ, οὐδὲν, συμφρονοῦσιν ἤδη τοῖς Ἰουδαίοις.

7 Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς·

Ὡς φίλους αὐτοῦ, καὶ ὁμόφρονας· διὸ ὑμεῖς ὑπάγετε εἰς αὐτόν. *Κόσμον* γὰρ λέγει, τοὺς κοσμικὰ φρονοῦντας Ἰουδαίους.

7 Ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν.

Ἐμοὶ δὲ ἐχθραίνει· διότι ἐγὼ ἀποδεικνύω, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστι. Διὸ ἐγὼ οὐχ ὑπάγω εἰς αὐτὸν (1) ἄρτι, ἀναιρεθησόμενος· ἀλλ' ὅτε ὁ καιρὸς ἐπιστῇ. Ἔδειξεν οὖν, ὅτι διὰ τὸ ἐλέγχειν τοὺς Ἰουδαίους μᾶλλον ἐμισεῖτο, *εἰ καὶ ἐκεῖνοι* ἔλεγον, μισεῖν αὐτὸν, ὡς παράνομον καὶ ἀντίθεον, *ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ* (α).

Σὺ δέ μοι σκόπει, πῶς πρᾴως ἤνεγκε τὴν ἐπίβουλον συμβουλὴν τῶν ἀδελφῶν. Ἀλλ' οὐχ ἡμεῖς οὕτως· ἀλλ' εὐθέως ἀγανακτοῦμεν καὶ σχετλιάζομεν, καὶ πᾶσι τρόποις ἀμυνόμεθα τοὺς τοιούτους. Πῶς οὖν ἐσόμεθα μαθηταὶ αὐτοῦ;

8 Ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν ταύτην·

Τὴν προειρημένην, τὴν τῶν σκηνοπηγιῶν. *Ὑμεῖς*, οἱ φίλοι τῶν Ἰουδαίων, οἱ μηδένα κίνδυνον ὑποπτεύοντες.

8 Ἐγὼ οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην·

Οὐκ εἶπεν, *Οὐκ* (2) *ἀναβαίνω*, ἀλλ' *Οὔπω ἀναβαίνω*, τουτέστιν, οὐ νῦν ἀναβαίνω, διὰ τὸ ζέειν καὶ ἀκμάζειν νῦν τὸν

(1) εἰς αὐτὴν, παρὰ τῷ Α. (α) Ἰωαν. Ε', 18.

(2) Ἀποδοκιμάζει ἄρα ὁ Εὐθύμιος τὴν ἀνάγνωσιν τοῦ Χρυσοστόμου, Οὐκ, ἀντὶ τοῦ, Οὔπω. Ἰδ. Χρυσος. Τομ. Η'. Σελ. 285. Ε. Καὶ ὁ Κύριλλος, Οὐκ, ἀνέγνωσε. Τομ. Δ'. Σελ. 401. Β.

θυμὸν τῶν Ἰουδαίων. Θρασύτητος γὰρ ἀλογίστου τὸ ἐπιῤῥίπτειν ἑαυτὸν εἰς πρόδηλον κίνδυνον.

8 Ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται.

Ὁ καιρὸς τῆς ἐμῆς ἐν τῇ γῇ ζωῆς. Εἰ γὰρ καὶ κατὰ τὸ μέλλον πάσχα σταυροῦσθαι ἔμελλεν, ἀλλ' ἔδει αὐτὸν ἔτι καὶ θαυματουργῆσαι, καὶ διδάξαι, καὶ πολλοὺς εἰς πίστιν ἐπισπάσασθαι. Οὐ δειλίας τοίνυν ὁ λόγος, ἀλλ' οἰκονομίας. Εἰ γὰρ ἀπῆλθε τότε εἰς τὴν Ἰουδαίαν, πάντως ἂν ἐπεχείρησαν ἀνελεῖν αὐτόν· καὶ εἰ μὲν χειρωθεὶς, ὡς ἄνθρωπος, ἀνῃρέθη, ἐνεποδίσθησαν ἂν, ἃ λέγειν καὶ ποιεῖν ἔμελλεν· εἰ δὲ μὴ χειρωθεὶς, ὡς θεὸς, διέδρα, ἠπιστήθη ἂν ἡ ἐνανθρώπησις αὐτοῦ. Λοιπὸν οὖν οἰκονομεῖ τὸν καιρόν (1).

9 Ταῦτα δὲ εἰπὼν αὐτοῖς, ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ.
10 Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτήν,

Σὺν αὐτοῖς μὲν οὐκ ἀνέβη, διά τε τὴν ῥηθεῖσαν αἰτίαν, καὶ ἵνα μὴ φανερώσωσιν αὐτὸν τοῖς Ἰουδαίοις· ὕστερον δὲ ἀνῆλθεν, ἀρξαμένου λοιπὸν τοῦ θυμοῦ αὐτῶν καταστέλλεσθαι, καὶ ἵνα γνῶσιν οἱ δειλίαν αὐτοῦ καταγινώσκοντες, ὅτι οὐκ ἔστι δειλὸς, ἀλλ' οἰκονομικός.

10 Οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ.

Ὡς κρυφίως. Ἔτι γὰρ ὑπεστέλλετο, περιμένων χαυνωθῆναι τέλεον τὸν θυμὸν, καὶ ἵνα μήπω γνωσθῇ μηδὲ τοῖς ἀδελφοῖς αὐτοῦ.

11 Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ,

Καλά γε (2) αὐτῶν τὰ ἐν ταῖς ἑορταῖς κατορθώματα, ἀφορμὴν φόνου ποιουμένοις (3) αὐτάς. Προμελετήσαντες γὰρ ἐν τῇ ἑορτῇ τοῦτον ἀνελεῖν, ὡς τηνικαῦτα διὰ τὴν πανήγυριν καὶ αὐτὸν συμπαρεσόμενον, ἠστόχησαν, μὴ εὑρισκομένου.

(1) Τ. ε. οἰκονομικῶς τηρεῖ τὸν καιρόν. (2) Καταλέγει αὐτῶν, παρὰ τῷ Α. Τὴν παραδεδεγμένην ἀνάγνωσιν ἀποδέχεται καὶ ὁ Χρυσόστομος. Τομ. Η'. Σελ. 288. Β. (3) Προτιμότερον τὸ, ποιουμένων.

11 Καὶ ἔλεγον· Ποῦ ἐστιν ἐκεῖνος;

Οὐδ' ὀνομαςὶ τοῦτον βούλονται καλεῖν, διὰ τὸ μῖσος· ὅμως ὁ λόγος ἐμφαίνει χαύνωσίν τινα τοῦ θυμοῦ.

12 Καὶ γογγυσμὸς πολὺς περὶ αὐτοῦ ἦν ἐν τοῖς ὄχλοις·

Τάραχος, ἀντιλογία.

12 Οἱ μὲν ἔλεγον· Ὅτι ἀγαθός ἐστιν·

Οἱ ἀδιάφθοροι τὸν νοῦν.

12 Ἄλλοι δὲ ἔλεγον· Οὔ· ἀλλὰ πλανᾷ τὸν ὄχλον.

Οἱ διεφθαρμένοι. *Κόσμον* (1) δὲ λέγουσι, τὸ πλῆθος.

13 Οὐδεὶς μέντοι παῤῥησίᾳ ἐλάλει περὶ αὐτοῦ, διὰ τὸν φόβον τῶν Ἰουδαίων.

Οὐδεὶς τῶν λεγόντων, ὅτι ἀγαθός ἐστι, *παῤῥησίᾳ ἐλάλει περὶ αὐτοῦ*, ἤγουν, εἰς ἐπήκοον τῶν ἀρχόντων, διὰ τὸν φόβον αὐτῶν.

14 Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκε.

Ἀνέβη μὲν, ὅτε ἔγνω σβεσθέντα τὸν θυμὸν αὐτῶν· ἐδίδασκε δὲ, δεικνύων τὸ ἀπτόητον ἑαυτοῦ. *Μεσούσης* δὲ τῆς ἑορτῆς τῶν σκηνοπηγιῶν, ἤγουν, τῇ τετάρτῃ ἡμέρᾳ· ἑπτὰ γὰρ ἡμέρας ἑώρταζον αὐτήν.

15 Καὶ ἐθαύμαζον οἱ Ἰουδαῖοι, λέγοντες· Πῶς οὗτος γράμματα οἶδε, μὴ μεμαθηκώς;

Ἐθαύμαζον, οὐχ ἃ ἐδίδασκεν, ἀλλὰ, πῶς γράμματα οἶδε, μὴ μεμαθηκώς. Κατενόουν γαρ, ἃ ἐδίδασκε, πάσης μεςὰ σοφίας, καὶ οὐκ ἄνευ εἰδήσεως γραμμάτων τοιαῦτα δύνασθαι διδάσκειν ὑπελάμβανον. Ἔδει δὲ αὐτοὺς κἀντεῦθεν συνιδεῖν, ὅτι θεός ἐστιν, ἡ αὐτοσοφία, αὐτὸς ἐξευρὼν πᾶσαν ὁδὸν ἐπιστήμης (α).

(1) Ὁ Εὐθύμιος ἀνέγνωσεν ἄρα, κόσμον, ἀντὶ τοῦ, ὄχλον. Ἀλλὰ καὶ ὁ Χρυσόστομος, ὄχλον, ἀναγινώσκει. Τομ. Η'. Σελ. 288. C. δὶς, καὶ Σελ. 289 A.
(α) Βαρούχ. Γ', 37.

16 Ἀπεκρίθη οὖν αὐτοῖς ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με.

Τὸ μὲν, *ἐμὴ*, ἀληθές· τὸ δὲ, *οὐκ ἐμή*, οἰκονομικόν, εἰς τιμὴν δὲ τοῦ πατρὸς καὶ θεοῦ, καὶ εἰς ἀπόδειξιν μετριοφροσύνης, καὶ εἰς τὸ γενέσθαι αὐτὴν εὐπαραδεκτοτέραν. Οὐκ ἐπειδὴ δὲ οἰκονομικὸν, διὰ τοῦτο καὶ ψευδές· τὰ γὰρ τοῦ υἱοῦ, πάντως καὶ τοῦ πατρός· ὥσπερ καὶ τὰ τοῦ πατρὸς, πάντως καὶ τοῦ υἱοῦ· κοινὰ γὰρ ἀμφοῖν, ὡς ἴσοις.

Καὶ καθ' ἕτερον δὲ τρόπον βαθύτερον. Ἡ φαινομένη ἐμὴ διδαχὴ, οὐκ ἔστιν ἐμὴ ἰδίως· οὐδὲ γὰρ ἔχω ἰδίαν· ἀλλὰ τοῦ πατρός ἐστιν, ὡς ἐμοῦ τὰ αὐτὰ ἐκείνῳ διδάσκοντος, διὰ τὸ ταὐτὸν τῆς φύσεως καὶ θελήσεως, καὶ διὰ τὸ εἶναί με λόγον αὐτοῦ. Εἰ γὰρ καὶ ἄλλη ὑπόστασις ἐγὼ, ἀλλ' οὕτω λέγω καὶ πράττω, ὡς νομίζεσθαι ἡμᾶς ἕν.

17 Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ.

Θέλημα τοῦ θεοῦ λέγει νῦν, τὸ ἐργάζεσθαι τὴν ἀρετὴν, καὶ προσέχειν ταῖς περὶ αὐτοῦ προφητείαις. Ἡ ἀρετὴ μὲν γὰρ καθαίρει τὸν νοῦν· αἱ προφητεῖαι δὲ διδάσκουσιν αὐτὸν τηλαυγῶς. Ἀφ' ἑαυτοῦ δὲ λαλεῖ, ὁ τὰ τοῦ ἰδίου θελήματος λαλῶν. Εἶτα ἐπάγει καὶ συλλογισμὸν ἀναντίῤῥητον.

18 Ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν, οὗτος ἀληθής ἐστιν·

Δόξαν ἐνταῦθα, τὴν τιμήν φησι· πανταχοῦ γὰρ τὸν πατέρα καὶ θεὸν προετίθει, καὶ αὐτῷ πάντα ἀνετίθει, καὶ τὰ ἑαυτοῦ κατορθώματα. Μὴ ζητῶν οὖν δόξαν ἰδίαν, τίνος ἕνεκεν ἔμελλεν ἕτερα διδάσκειν; μὴ διδάσκων δὲ ἕτερα, ἀλλὰ τὰ τοῦ πέμψαντος αὐτὸν, ἀληθής ἐστι πάντως.

Καὶ πῶς πάντας εἷλκε πρὸς τὴν εἰς ἑαυτὸν πίςιν, καὶ ἔλεγεν·

Ὁ μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα, τὸν πέμψαντα αὐτόν (α); Δοκεῖ γὰρ ἐντεῦθεν δόξαν ἰδίαν ζητεῖν· ἀλλ᾽ οὐχ, ὡς δόξης ἰδίας ἐρῶν, ταῦτα ἐποίει καὶ ἔλεγεν· ἀλλ᾽, ὡς θέλων τὴν σωτηρίαν τῶν ἀνθρώπων· αὕτη γὰρ διὰ τῆς εἰς αὐτὸν πίστεως, καὶ οὐχ ἑτέρως, ἔμελλε γίνεσθαι. Εἴρηκε γὰρ ὁ πατήρ· *Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε* (β)· καὶ ἄλλα πολλὰ τοιαῦτα διὰ τῶν προφητῶν.

18 Καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν.

Οὐκ ἄδικος γὰρ ὁ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτόν. Τινὲς δὲ ἀδικίαν ἐπὶ τοῦ παρόντος, τὸ ψεῦδος ἐνόησαν. Τοῦ μὲν οὖν ταπεινὰ φθέγγεσθαι τὸν Χριστὸν, πολλὰ τὰ αἴτια, τὸ μὴ νομισθῆναι ἀγέννητον, τὸ μὴ δόξαι ἀντίθεον, τὸ ἀσθενὲς τῶν ἀκουόντων, τὸ διδάσκειν τοὺς ἀνθρώπους μετριοφρονεῖν, καὶ μηδὲν μέγα λέγειν περὶ ἑαυτῶν, τὸ ὡς ἄνθρωπον λέγειν, καὶ ἄλλα τοιαῦτα· τοῦ δὲ ὑψηλὰ φθέγγεσθαι, μία αἰτία, τὸ ὕψος τῆς θεότητος.

Ἐπεὶ δὲ οἱ Ἰουδαῖοι οὗτοι δύο ἐγκλήματα ἐπῆγον αὐτῷ, παρανομίαν καὶ ἀντιθεΐαν, ὅτι τε ἔλυε τὸ σάββατον, καὶ ὅτι πατέρα ἴδιον ἔλεγε τὸν θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ, καθὼς ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ προείρηται (γ)· περὶ μὲν τοῦ ἑνὸς, ἐκεῖ τούτοις ἀπελογήσατο, δείξας, ὅτι οὐκ ἔστιν ἀντίθεος· περὶ δὲ τοῦ ἑτέρου, νῦν ἀπολογεῖται, καὶ δείκνυσιν, ὅτι αὐτοὶ μᾶλλόν εἰσι παράνομοι.

19 Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν νόμον;

Καθολικῶς λέγει *νόμον*, τὰς νομικὰς ἐντολὰς, ἃς δέδωκε Μωϋσῆς, ἐκ τοῦ θεοῦ κομίσας αὐτὰς, καὶ γράψας ταύτας αὐτοῖς. Ἐρωτᾷ οὖν, *Οὐ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν νόμον*, ὁ παρ᾽ ὑμῖν τιμώμενος, καὶ ἐκδικούμενος, ᾧ λελάληκεν ὁ θεός;

(α) Ἰωαν. Ε΄, 23. (β) Ματθ. ΙΖ΄, 5.
(γ) Ἰωαν. Ε΄, 18.

19 Καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸ νόμον·

Ποιεῖ, ἤγουν τηρεῖ. Εἶτα προστίθησι, καὶ πῶς οὐ τηροῦσι τὸν νόμον.

19 Τί με ζητεῖτε ἀποκτεῖναι;

Τοῦ νόμου λέγοντος, *Οὐ φονεύσεις*, τί με σπουδάζετε φονεῦσαι, μήτε αὐτὸν (1) τηροῦντες, μήτε τὸν Μωϋσέα αἰδούμενοι, τὸν δεδωκότα ὑμῖν αὐτόν; Ἀναιδὲς γὰρ, τοὺς παρανόμους ἐγκαλεῖν ἑτέρῳ παρανομίαν.

20 Ἀπεκρίθη ὁ ὄχλος, καὶ εἶπε· Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι;

Ὁ ὄχλος τοῦτό φησι, χαριζόμενος τοῖς ἄρχουσι· καὶ ὑβρίζουσι μὲν τὸν τιμῆς ἐπέκεινα, εἰς τιμὴν δῆθεν τῶν ὕβρεως ἀξίων ἀρχόντων· ἀρνοῦνται δὲ τὸν φόνον, διὰ τὸ μύσος, καὶ ἵνα ἀφύλακτος λοιπὸν καταστῇ τοῖς ἐπιβουλεύουσι. Γνοὺς δὲ αὐτοὺς ἀναισχυντοῦντας, καὶ εἰς ὀργὴν πάλιν ὑποκινουμένους, ἀφίησι μὲν ἐπὶ πλέον ἐλέγξαι τούτους, ἵνα μὴ ἀναισχυντότεροι γένωνται· καὶ γὰρ οὐκ ἐβούλετο συνεχῶς τὸν θυμὸν αὐτῶν ἐξάπτειν· ἅπτεται δὲ τῆς ἀπολογίας τῆς περὶ τοῦ σαββάτου.

21 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε.

Ἓν ἔργον λέγει, τὴν ἐν σαββάτῳ ὑγείαν τοῦ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχοντος ἐν τῇ ἀσθενείᾳ, περὶ οὗ τὸ ἕβδομον ἱστορεῖ κεφάλαιον. *Καὶ πάντες θαυμάζετε*, ἤγουν, θορυβεῖσθε, ταράττεσθε· οὗτοι γὰρ ἦσαν οἱ τότε μανέντες, καὶ ἔκτοτε ζητοῦντες αὐτὸν ἀποκτεῖναι. Εἶτα λέγει, ὅτι Μωϋσῆς παρέδωκεν αὐτοῖς τὴν περιτομὴν, καὶ ἐν σαββάτῳ περιτέμνουσιν, ὅταν δηλαδὴ ἡ ὀγδόη ἡμέρα τοῦ παιδίου εἰς σάββατον καταντήσῃ. Ἔπειτα συλλογίζεται, ὅτι, Εἰ περιτέμνεται ἄνθρωπος ἐν σαββάτῳ, τὸ δὲ

(1) τὸν νόμον.

περιτέμνειν, ἔργον, πῶς οὐκ ἐγκαλεῖτε Μωϋσεῖ, τῷ ἐντειλαμένῳ ἔργον ἐν σαββάτῳ;

22 Διὰ τοῦτο Μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομήν·
(οὐχ ὅτι ἐκ τοῦ Μωσέως ἐστὶν, ἀλλ' ἐκ τῶν πα-
τέρων·) καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον.

Τὸ, *διὰ τοῦτο*, οὐκ ἔστι νῦν αἰτιολογικὸν, ἀλλ' ἁπλῶς κεῖται κατὰ συνήθειαν ἑβραϊκήν. Λέγει δὲ, ὅτι Μωϋσῆς παρέδωκεν ὑμῖν τὴν περιτομὴν, καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον. Τὰ δ' ἐν τῷ μέσῳ ῥητὰ τέθεικε, δεικνύων, ὅτι, εἰ καὶ Μωϋσῆς παρέδωκεν ὑμῖν αὐτὴν, ἀλλ' οὖν παλαιοτέρα αὐτοῦ ἦν. Φησὶ γάρ· *Οὐχ ὅτι ἐκ τοῦ Μωσέως ἐστί·* τουτέστι, παρέδωκεν ὑμῖν αὐτὴν, οὐχ ὅτι ἐκ τῆς αὐτοῦ νομοθεσίας ἀρχὴν λαμβάνει, οὐχ ὅτι ἔκτοτε ἄρχεται, *ἀλλ' ἐκ τῶν πατέρων ἐςί*, τῶν περὶ Ἀβραάμ· ἐκείνῳ γὰρ πρώτῳ ἐνετάλη· καὶ ὅμως, ἐπείσακτον δοκοῦν, κυριώτερον γίνεται τοῦ σαββάτου.

23 Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, ἵνα
μὴ λυθῇ ὁ νόμος Μωσέως, ἐμοὶ χολᾶτε, ὅτι ὅλον
ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ;

Ἵνα μὴ ἀθετηθῇ ὁ νόμος Μωϋσέως, ὁ περὶ τῆς περιτομῆς. Τοῦ Μωϋσέως δὲ αὐτὸν εἶπεν, ὡς ὑπ' αὐτοῦ παραδοθέντα, καθὼς εἰρήκαμεν. Φησὶ τοίνυν, ὅτι, Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, ἐμοὶ ὀργίζεσθε, ὅτι ὅλου ἀνθρώπου ὑγείαν εἰργασάμην, ἀφέντες χολᾶν Μωϋσεῖ πρὸ ἐμοῦ, τῷ ἐπιτρέψαντι ἐργάζεσθαι περιτομὴν ἐν σαββάτῳ;

Ὅλον δὲ *ἄνθρωπον* εἴρηκε, διότι ὅλον τὸ σῶμα αὐτοῦ παραλελυμένον, ὅλον ὑγιὲς ἐποίησεν· ἢ ἐνέφηνεν, ὅτι οὐ τὸ σῶμα μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν αὐτοῦ ἐθεράπευσε.

24 Μὴ κρίνετε κατ' ὄψιν·

Μὴ κρίνετε προσωποληπτικῶς, ἐκεῖνον μὲν, ὡς παρ' ἡμῖν μέγαν καὶ ἔνδοξον, ἀφιέντες αἰτίας, ἐμὲ δὲ, ὡς εὐτελῆ καὶ ἄδοξον, αἰτιώμενοι.

24 Ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε.

Μὴ πρὸς τὰ πρόσωπα βλέποντες, ἀλλὰ πρὸς τὰ πράγματα. Καὶ ἑτέρως γάρ· Ἡ μὲν περιτομὴ, σημεῖον ἦν μόνον Ἑβραίου· τὸ δὲ παρ' ἐμοῦ ἐργασθὲν, ὁλόκληρος ὑγεία τοῦ σεσημασμένου.

25 Ἔλεγον οὖν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν· Οὐχ
26 οὗτός ἐστιν, ὃν ζητοῦσιν ἀποκτεῖναι; Καὶ ἴδε, παῤ-
ῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι.

Καὶ γὰρ ἐπεστόμισεν αὐτούς.

26 Μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός
ἐστιν ἀληθῶς ὁ Χριστός;

Ἐν τῷ ὄχλῳ γὰρ οἱ ἄρχοντες ἦσαν τότε.

27 Ἀλλὰ τοῦτον οἴδαμεν, πόθεν ἐστίν· ὁ δὲ Χριστὸς
ὅταν ἔρχηται, οὐδεὶς γινώσκει, πόθεν ἐστίν.

Καὶ μὴν οἱ ἄρχοντες ὑμῶν, ἐρωτηθέντες παρὰ Ἡρώδου, Ποῦ ὁ Χριστὸς γεννᾶται, εἶπον αὐτῷ· *Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας* (α)· καὶ προσέθηκαν καὶ τὴν τοῦτο δηλοῦσαν προφητείαν. Πῶς οὖν φλυαρεῖτε, ὅτι ὁ Χριστὸς, ὅταν ἔρχηται, οὐδεὶς γινώσκει, πόθεν ἐστίν; Ἀλλὰ καὶ, εἰ τοῦτον οἴδατε, πόθεν ἐςὶ, πῶς ἐξ ὑμῶν ἄλλοι λέγουσιν, ὅτι Τοῦτον οὐκ οἴδαμεν, πόθεν ἐστί (ϐ); Τοιοῦτον ἡ πονηρία, ἐναντιολογοῦσα καὶ ψευδομένη προφανῶς, οὐ συνίησι· μέθη γὰρ καὶ αὕτη ψυχῆς.

Εἰ δέ τις τὸ, *πόθεν*, οὐ περὶ τόπου καὶ πατρίδος, ἀλλὰ περὶ γένους καὶ πατρὸς νοήσῃ, εἴποι ἂν, αὐτοὺς λέγειν, ὅτι τούτου μὲν οἴδαμεν τὸ γένος καὶ τὸν πατέρα, δηλαδὴ τὸν Ἰωσὴφ, ὡς ἐδόκει· τοῦ δὲ Χριστοῦ τὸ γένος καὶ τὸν πατέρα, οὐδεὶς γινώσκει, διὰ τὸ μὴ ῥητῶς ἀναγεγράφθαι.

28 Ἔκραξεν οὖν ἐν τῷ ἱερῷ διδάσκων ὁ Ἰησοῦς, καὶ
λέγων· Κἀμὲ οἴδατε, καὶ οἴδατε, πόθεν εἰμί·

Ἔκραξεν, ἐντρέπων αὐτοὺς, ὡς ἐθελοκακοῦντας· ἅμα δὲ καὶ

(α) Ματθ. Β' 5. (ϐ) Ἰωαν. Θ', 29.

πᾶσι φανερῶν, τὰ κρυφίως παρ' αὐτῶν λεγόμενα. Λέγει δὲ, ὅτι *Κἀμὲ οἴδατε*, τίς εἰμι· ὅτι θεός· *καὶ οἴδατε, πόθεν εἰμί*· ὅτι ἐκ πατρὸς θεοῦ, εἰ καὶ ἐκ τοῦ Ἰωσὴφ εἰδέναι με προσποιεῖσθε. Εἰδέναι δὲ αὐτὸν αὐτοὺς ἔλεγεν, ἀπό τε τῆς μαρτυρίας Ἰωάννου, περὶ οὗ εἴρηκεν· ὅτι *Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ* (α)· ἀπό τε τῶν ἔργων αὐτοῦ, περὶ ὧν εἶπεν· ὅτι *Αὐτὰ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ* (β)· καὶ ἀπὸ τῶν Γραφῶν, περὶ ὧν ὁμοίως ἔφη· ὅτι *Ἐκεῖναι εἰσὶν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ* (γ).

Καὶ πῶς ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, εἴρηκεν, ὅτι *Οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ* (δ); Ὅτι ἐκεῖνο μὲν εἶπε περὶ τῆς φύσεως τῆς θεότητος αὐτοῦ· τοῦτο δὲ, περὶ τοῦ εἰδέναι ἁπλῶς, ὅτι ἐστὶ θεὸς καὶ υἱὸς θεοῦ.

28 Καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα·

Οἴδατε καὶ τοῦτό φησι· καὶ τοῦτο γὰρ αἱ δηλωθεῖσαι μαρτυρίαι διδάσκουσιν· ἄλλως τε, καὶ ὅτι οὐ τὴν δόξαν τὴν ἰδίαν ζητῶ, ἀλλὰ τὴν δόξαν τοῦ πέμψαντός με (ε).

28 Ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με,

Ὁ πατὴρ καὶ θεὸς, ὡς πέμψας με, καθὼς διὰ τῶν προφητῶν ἐπηγγείλατο. Εἰ δὲ ἀληθινὸς ὁ πέμψας, ἀληθινὸς ἄρα καὶ ὁ πεμφθεὶς, τῆς αὐτῆς φύσεως ὤν.

28 Ὃν ὑμεῖς οὐκ οἴδατε.

Ὡς τοῖς ἔργοις ἀρνούμενοι αὐτόν. Φησὶ γὰρ καὶ ὁ ἀπόστολος· ὅτι *Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται* (ζ).

29 Ἐγὼ οἶδα αὐτὸν, ὅτι παρ' αὐτοῦ εἰμί·

Διότι ἐξ αὐτοῦ εἰμι, ἐξ αὐτοῦ γεγέννημαι. Καὶ ὀπίσω δὲ εἴρηκεν, *Οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ θεοῦ* (η).

(α) Ἰωαν. Ε', 32. (β) Ἰωαν. Ε', 36. (γ) Ἰωαν. Ε', 39. (δ) Ματθ. ΙΑ', 27. (ε) Ιωαν. Ζ', 18. (ζ) Τιτ. Α', 16. (η) Ιωαν. Ϛ', 46.

29 Κἀκεῖνός με ἀπέστειλεν.

Συνεχῶς λέγει περὶ τῆς ἀποστολῆς, βουλόμενος πεῖσαι αὐτοὺς, ὅτι ἐκ τοῦ θεοῦ ἀπέσταλται, καὶ οὐκ ἔστιν ἀντίθεος, ὡς προλαβόντες εἰρήκαμεν. Ἅμα δὲ καὶ εἰς θεραπείαν τῶν προσισταμένων αὐτοῖς θεοπρεπῶν ῥημάτων, ἃ παρεμίγνυε πολλάκις τοῖς ἀνθρωποπρεπέσιν αὐτοῦ.

30 Ἐζήτουν οὖν αὐτὸν πιάσαι·

Ἐπλήγησαν γὰρ, ἀκούσαντες, ὅτι Ὃν ὑμεῖς οὐκ οἴδατε.

30 Καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα,

Ἐπείχοντο γὰρ ἀοράτως, ὑπὸ τῆς ἑνούσης αὐτῷ θείας δυνάμεως.

30 Ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

Ἡ τοῦ συλληφθῆναι καὶ παθεῖν αὐτόν.

31 Πολλοὶ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν εἰς αὐτὸν,

Ὑπό τε τῶν προλαβόντων σημείων, ὑπό τε τῶν ἄρτι ῥηθέντων λόγων ἑαλωκότες.

31 Καὶ ἔλεγον· Ὅτι ὁ Χριστὸς, ὅταν ἔλθῃ, μήτι πλείονα σημεῖα τούτων ποιήσει, ὧν οὗτος ἐποίησεν;

Εἰ καὶ ἐπίστευσαν, ἀλλ' οὐχ ὑγιῶς· εἰπόντες γὰρ, ὅτι *ὁ Χριστὸς, ὅταν ἔλθῃ*, ἔδειξαν, ὅτι οὐκ ἐπίστευσαν βεβαίως, αὐτὸν εἶναι τὸν Χριστὸν, ἀλλ' ἀμφιβόλως, ὡς ἀγελαῖοι καὶ κοῦφοι.

Ἢ καὶ καθ' ὑπόθεσιν τοῦτο εἶπον, ὅτι Θῶμεν, ἕτερον εἶναι τὸν Χριστὸν, ὡς οἱ ἄρχοντες λέγουσιν· Ὁ Χριστὸς, ὃν αὐτοί φασιν, ὅταν ἔλθῃ, μήτι δυνατώτερος ἔσται τούτου; οὐχί!

32 Ἤκουσαν οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα·

Ἤκουσαν, ἐν ἑτέρᾳ ἡμέρᾳ, δηλονότι. *Γογγύζοντος* δὲ, ἤγουν σὺν γογγυσμῷ τῷ κατὰ τῶν ἀρχόντων λέγοντος.

32 Καὶ ἀπέστειλαν οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς ὑπηρέτας, ἵνα πιάσωσιν αὐτόν.

Ὡς ἀποσχίζοντα τὸν λαόν. Ὢ τῆς μανίας, μᾶλλον δὲ τῆς

ἀνοίας! Αὐτοὶ πολλάκις ἐπιχειρήσαντες, καὶ οὐκ ἰσχύσαντες, τοῖς ὑπηρέταις τὸ πρᾶγμα ἐπέτρεψαν, τόν τε θυμὸν παραμυθούμενοι, καὶ τὴν ἀσθένειαν ἑαυτῶν συγκαλύπτοντες.

33 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι,

Ἔλεγε μὲν πρὸς τὸ πλῆθος, ἀπετείνετο δὲ πρὸς τοὺς ἀποστείλαντας τοὺς ὑπηρέτας· δυσωπητικὸν δὲ τὸ ῥῆμα, πρὸς καταστολὴν τῆς μανίας αὐτῶν· *Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι*, τὸν ἄχρι τοῦ πάσχα δηλῶν· τοῦτον μόνον ἀναμείνατε.

34 Καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με·

Ὅταν ἀναληφθῶ εἰς τὸν οὐρανόν.

34 Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε·

Εἰκὸς γὰρ, πολλοὺς ἐξ αὐτῶν μνημονεύειν αὐτοῦ, καὶ ζητεῖν αὐτὸν βοηθὸν, καὶ μᾶλλον, ἁλισκομένων τῶν Ἱεροσολύμων.

34 Καὶ ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.

Ὅπου εἰμὶ τότε. Δηλοῖ δὲ τὴν ἐπὶ τοῦ οὐρανοῦ ἐν δεξιᾷ τοῦ πατρὸς καθέδραν.

35 Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· Ποῦ οὗτος
μέλλει πορεύεσθαι, ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐ-
τόν; μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει
36 πορεύεσθαι, καὶ διδάσκειν τοὺς Ἕλληνας; Τίς ἐστιν
οὗτος ὁ λόγος, ὃν εἶπε· Ζητήσετέ με, καὶ οὐχ εὑ-
ρήσετε· καὶ ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;

Ἔπαθόν τι πρὸς τοὺς λόγους αὐτοῦ, δυσωπηθέντες αὐτοὺς, καὶ ζητοῦσι πρὸς ἑαυτοὺς, μὴ νοοῦντες τὰ ῥηθέντα. *Διασπορὰν* δὲ *τῶν Ἑλλήνων* ἔλεγον, τὰ ἔθνη, διὰ τὸ διεσπάρθαι πανταχοῦ, καὶ ἀκωλύτως ἀλλήλοις ἐπιμίγνυσθαι, αὐτοὶ μόνην οἰκοῦντες τὴν Παλαιστίνην, καὶ παρὰ τοῦ νόμου κωλυόμενοι ἐπιμίγνυσθαι τοῖς ἀλλογενέσιν.

37 Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς

εἱστήκει ὁ Ἰησοῦς, καὶ ἔκραξε, λέγων· Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω.

Καὶ ἡ πρώτη ἡμέρα τῆς δηλωθείσης ἑορτῆς τῶν σκηνοπηγιῶν καὶ ἡ ἐσχάτη μεγάλαι ἐνομίζοντο· διὸ καὶ σπουδαιότερον ἐν ταύταις συλλεγόμενοι, τοῖς θείοις ἐσχόλαζον, τὰς ἐν τῷ μέσῳ μᾶλλον εἰς τρυφὰς ἀναλίσκοντες. Τότε τοίνυν, ὅτε, συμπληρουμένης ἤδη τῆς ἑορτῆς, ἔμελλεν ἀναχωρεῖν ἕκαστος οἴκαδε, βούλεται δοῦναι τοῖς βουλομένοις ἐφόδια πρὸς σωτηρίαν· καὶ ἔκραξε μὲν, δηλῶν τὴν παῤῥησίαν αὐτοῦ, καὶ ἵνα πάντες ἀκούσωσι, πολλοὶ ὄντες· εἶπε δὲ, *Ἐάν τις διψᾷ*, δίψαν διδασκαλίας, *ἐρχέσθω πρός με, καὶ πινέτω* πόμα πνευματικόν. Τοὺς γὰρ οὐ διψῶντας οὐ συγκαλῶ, ἀλλὰ τοὺς διακαῶς ἐρῶντας τοῦ τοιούτου πόματος.

38 Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.

Κοιλίαν ἐνταῦθα λέγει, τὴν καρδίαν, ὡς τό· *Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου* (α)· *ποταμοὺς δὲ ὕδατος*, τὴν δαψίλειαν τοῦ πνεύματος, τὴν πλημμύραν τῆς θείας χάριτος· *ζῶντος δὲ*, ἤγουν, ἀεὶ ἐνεργοῦντος, ἀεικινήτου. Ὅταν γὰρ ἡ θεία χάρις ἐνιδρυνθῇ ψυχῇ, πηγὴ γίνεται, καὶ βλύζει διαπαντός. Καὶ γὰρ καὶ Πέτρος, καὶ Παῦλος, καὶ ὅσοι κατ' ἐκείνους (1), τὴν θείαν χάριν ἐν τῇ καρδίᾳ πλημμυροῦσαν ἔχοντες, οὐ ποταμὸν, ἀλλὰ ποταμοὺς λόγων ἠφίεσαν, πολλῷ τῷ ῥοίζῳ φερομένους, καὶ πᾶν τὸ προστυχὸν παρασύροντας, καὶ τὰς τῶν ἀπίστων κενοφωνίας ἐπικλύζοντας, καὶ καταποντίζοντας.

Καὶ ἐν τῷ πέμπτῳ δὲ κεφαλαίῳ πρὸς τὴν Σαμαρεῖτιν εἶπεν, ὅτι *Τὸ ὕδωρ, ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον* (β), καὶ ἀνάγνωθι πάλιν τὴν ἐξήγησιν τῶν τοιούτων ῥητῶν.

(α) Ψαλμ. ΛΘ', 9. (1) ἐγένοντο δηλονότι. (β) Ἰωαν. Δ', 14.

Μετὰ δὲ τὸ, *Καθὼς εἶπεν ἡ γραφὴ*, ὑποστικτέον (1). **Διαφόρως** γὰρ ἐνετείλατο ἡ Γραφὴ πιστεύειν εἰς αὐτόν.

39 Τοῦτο δὲ εἶπε περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν·

Τοῦτο· ποῖον; Τὸ, *Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Περὶ τοῦ πνεύματος δὲ*, εἴτουν, περὶ τῶν πνευματικῶν χαρισμάτων.

39 Οὔπω γὰρ ἦν πνεῦμα ἅγιον,

Οὔπω ἦν ἐν τοῖς πιστεύουσιν εἰς αὐτὸν, οὔπω ἦν δεδομένον τοῖς μαθηταῖς αὐτοῦ.

39 Ὅτι ὁ Ἰησοῦς οὐδέπω ἐδοξάσθη.

Ὅτι *οὔπω ἐδοξάσθη*, διὰ τοῦ σταυροῦ· δόξαν γὰρ καλεῖ, τὸν σταυρόν· τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν, ὄνειδος ἦν (2), ὡς μεγάλων ἐγκλημάτων ἐπιτίμιον· μόνῳ δὲ τῷ Χριστῷ δόξα γέγονεν, ὡς μεγάλης ἀγάπης τῆς πρὸς ἡμᾶς ἐπιτίμιον. Τίς γὰρ εὐγνώμονα ψυχὴν ἔχων, ἀκούων τὸν ἐπέκεινα πάσης τιμῆς, τηλικαύτην ἀτιμίαν ὑποστάντα διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων, οὐ δοξάσει τοῦτον;

Πρὸ μὲν οὖν τοῦ σταυροῦ, οὐ Πνεῦμα ἅγιον ἔδωκε τοῖς μαθηταῖς, ἀλλ' ἐξουσίαν πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν (α)· μετὰ δὲ τὸν σταυρὸν, Πνεῦμα ἅγιον. Ἐπεὶ γὰρ, ἡμαρτηκότες καὶ προσκεκρουκότες, ἐχθροὶ ἦμεν τοῦ Θεοῦ· ἡ δὲ χάρις τοῦ ἁγίου Πνεύματος, δωρεά ἐστιν· ἡ δὲ δωρεὰ τοῖς φίλοις δίδοται· ἔδει πρότερον προσενεχθῆναι τὴν ὑπὲρ ἡμῶν θυσίαν, καὶ καταλλαγὴν καὶ κατάλυσιν τῆς ἔχθρας (3), ἥτις ἦν ἡ σφαγὴ

(1) Οὕτως ὁ Χρυσόστομος. Τομ. Η'. Σελ 299. D. (2) ὁ σταυρός.
(α) Ματθ. Ι', 1. (3) Αἱ αἰτιατικαὶ αὗται δὲν δύνανται κατ' οὐδένα τρόπον νὰ ἐξαρτῶνται ἐκ τοῦ, προσενεχθῆναι. Δύναταί τις ἄρα νὰ εἰκάσῃ, ὅτι πρέπει ἢ ν' ἀναγνωσθῇ, καὶ γενέσθαι καταλλαγὴν —, ἢ ὁ μετὰ τὸ, θυσίαν, Καὶ, νὰ τραπῇ εἰς τὴν Εἰς· ἤτοι: θυσίαν, εἰς καταλλαγὴν κτλ. Ὁ Χρυσόστομος Τομ. Η'. Σελ. 301. Β. λέγει « Καὶ τὴν ἔχθραν ἐν τῇ σαρκὶ καταλυθῆναι, καὶ γενέσθαι τοῦ θεοῦ φίλους, καὶ τότε λαβεῖν τὴν δωρεάν. »

τοῦ λογικοῦ ἀμνοῦ, ὁ θάνατος τοῦ Χριστοῦ· καὶ τότε δοθῆναι τὴν δωρεάν.

40 Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν λόγον, ἔλεγον· Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης.

Περὶ οὗ Μωϋσῆς ἔγραψεν, ὡς πολλάκις εἰρήκαμεν. Καὶ ἀληθῶς οὗτος ἦν! Ἀλλ' αὐτοὶ προφήτην αὐτὸν ἁπλῶς εἶναι ὑπελάμβανον, ὡς τὸν Μωϋσέα, καὶ οὐχὶ καὶ θεόν.

41 Ἄλλοι ἔλεγον· Οὗτός ἐστιν ὁ Χριστός.

Καὶ ἀληθῶς οὗτος ἦν! Ἀλλὰ καὶ αὐτοὶ ψιλὸν ἄνθρωπον αὐτὸν ἐνόμιζον.

41 Ἄλλοι δὲ ἔλεγον· Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται;

Καὶ μὴν οὐδὲ οὗτος ἐν τῇ Γαλιλαίᾳ γεγέννηται.

42 Οὐχὶ ἡ γραφὴ εἶπεν, ὅτι ἐκ τοῦ σπέρματος Δαυῒδ, καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαυῒδ, ὁ Χριστὸς ἔρχεται;

Καὶ μὴν, καὶ οὗτος ἐκεῖθεν ἦν· ἀλλ' ἐθελοκάκως πατρίδα τούτῳ ἐπιφημίζουσι τὴν Ναζαρὲτ, ὅθεν ἦν ἡ μήτηρ καὶ ὁ νομιζόμενος πατὴρ αὐτοῦ, ἵνα μὴ, ἐκ Βηθλεὲμ λεγόμενος, ὁ Χριστὸς εἶναι πιστευθῇ διὰ τὴν προφητείαν.

43 Σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο δι' αὐτόν·

Ἑκάστου μέρους φιλονεικοῦντος.

44 Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν·

Ὡς πλάνον δῆθεν.

44 Ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας.

Ἐπεχομένας ἀοράτως, ὡς καὶ ἀνωτέρω δεδήλωται.

45 Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους· καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· Διὰ τί οὐκ ἠγάγετε αὐτόν;
46 Ἀπεκρίθησαν οἱ ὑπηρέται· Οὐδέποτε

οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος.

Ἀπῆλθον μὲν, δήσοντες αὐτόν· ἐπανῆλθον δὲ, δεθέντες αὐτοὶ τῷ θαύματι τῶν λόγων αὐτοῦ. Καὶ οἱ μὲν πέμψαντες, πολλῶν λόγων αὐτοῦ ἀκούσαντες, καὶ πολλὰ θαύματα θεασάμενοι, καὶ τὰς περὶ αὐτοῦ προφητείας ἀναγινώσκοντες, καὶ σοφοὶ δοκοῦντες, οὐδὲν ἀπώναντο· οἱ δὲ πεμφθέντες, τοὐναντίον ἅπαν, ἀπὸ μιᾶς δημηγορίας ἑάλωσαν· ἀδέκαστον γὰρ διάνοιαν εἶχον. Οὐ τοίνυν τὴν σύνεσιν αὐτῶν μόνον ἐστὶ θαυμάσαι, ἀλλὰ καὶ τὴν παῤῥησίαν. Οὐ γὰρ λέγουσιν, ὅτι διὰ τὸ μὴ γενέσθαι τοῦ λαοῦ στάσιν ἀφήκαμεν αὐτὸν, οὐδὲ πλάττονταί τινα *πρόφασιν*, ἀλλ᾿ αὐτὴν λέγουσι τὴν ἀλήθειαν, καὶ κηρύσσουσι τὴν αὐτοῦ σοφίαν.

47 Ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι· Μὴ καὶ
ὑμεῖς πεπλάνησθε;

Ὅρα φθόνου μανίαν! Δέον γὰρ ἐρωτῆσαι καὶ μαθεῖν, τί ἐλάλησεν· οἱ δὲ οὐκ ἠνέσχοντο, ἀλλ᾿ εὐθὺς κολακεύουσιν αὐτοὺς, ἔτι φειδόμενοι· καὶ οὐκ αὐστηρίᾳ χρῶνται, δεδοικότες, μὴ τέλεον αὐτῷ προστεθῶσι.

48 Μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, ἢ
49 ἐκ τῶν Φαρισαίων; Ἀλλ᾿ ὁ ὄχλος οὗτος, ὁ μὴ
γινώσκων τὸν νόμον·

Αὕτη μᾶλλον ἡ μείζων κατηγορία ὑμῶν, ὅτι ὁ μὲν ὄχλος ἐπίστευσεν· ὑμεῖς δὲ ἠπιστήκατε. *Νόμον* δὲ ἐνταῦθα λέγουσι τὴν ὅλην γραφὴν ἁπλῶς.

49 Ἐπικατάρατοί εἰσι.

Καὶ μὴν ὁ νόμος ἐπικατηράσατο τοῖς ἀθετοῦσι τὸν νόμον· ὑμεῖς οὖν ἐπικατάρατοι, οἱ ἀθετοῦντες τὸν νόμον· ἐκεῖνοι δὲ τηροῦσι τὸν νόμον, πιστεύοντες εἰς αὐτόν· κελεύει γὰρ ὁ νόμος πιστεύειν εἰς τὸν θεόν.

50 Λέγει Νικόδημος πρὸς αὐτοὺς, ὁ ἐλθὼν νυκτὸς

51 πρὸς αὐτὸν, εἷς ὢν ἐξ αὐτῶν· Μὴ ὁ νόμος ἡμῶν
κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ᾿ αὐτοῦ
πρότερον, καὶ γνῷ τί ποιεῖ;

Τὸ, *εἷς ὢν ἐξ αὐτῶν*, προσέθηκεν ὁ εὐαγγελιστὴς, δεικνὺς, ὅτι καί τινες τῶν ἀρχόντων ἐπίστευσαν, εἰ καὶ αὐτοὶ εἶπον, ὅτι οὐδεὶς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν. Ἐλέγχει οὖν αὐτοὺς ὁ Νικόδημος παραβάτας τοῦ νόμου, πλὴν λεληθότως, καὶ μετὰ φειδοῦς· οὔπω γὰρ τὴν προσήκουσαν εἶχε παῤῥησίαν. Εἰ γὰρ ὁ νόμος οὐ κατακρίνει πρὸ τοῦ ἀκοῦσαι καὶ γνῶναι, αὐτοὶ δὲ κατέκριναν αὐτὸν πρὸ λόγου καὶ διαγνώσεως, παρέβησαν ἄρα τὸν νόμον.

52 Ἀπεκρίθησαν, καὶ εἶπον αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῆς
Γαλιλαίας εἶ;

Μὴ τῆς αὐτῆς αὐτῷ χώρας καὶ πατρίδος ὢν, διὰ τοῦτο βοηθεῖς αὐτῷ; Βλέπε, πῶς ἀγροικότερον καὶ θυμικώτερον ἀποκρίνονται!

52 Ἐρεύνησον, καὶ ἴδε, ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας
οὐκ ἐγήγερται.

Καὶ μὴν, οὐκ εἶπεν, ὅτι προφήτης ἐστὶν, ἀλλ᾿ ὅτι κατακριθῆναι αὐτὸν ἀνεξετάστως οὐ χρή· οἱ δὲ ὑβριστικῶς λέγουσιν, Ἐρώτησον καὶ μάθε· οὐ γὰρ οἶδας τὰς Γραφάς. Καὶ εἰ οὐκ οἶδεν αὐτὰς, πῶς ὑμᾶς ἤλεγξε παραβαίνοντας τὸν νόμον;

Χρὴ δὲ (1) γινώσκειν, ὅτι τὰ ἐντεῦθεν ἄχρι τοῦ, *Πάλιν οὖν ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς, λέγων· Ἐγώ εἰμι* τὸ φῶς *τοῦ κόσμου* (α), παρὰ τοῖς ἀκριβέσιν ἀντιγράφοις, ἢ οὐχ εὕρηται, ἢ ὠβέλισται· διὸ φαίνονται παρέγγραπτα καὶ προσθήκη· καὶ τούτου τεκμήριον, τὸ μηδὲ τὸν Χρυσόστομον ὅλως μνημονεῦσαι αὐτῶν (2). Πειρατέον δὲ ὅμως ἡμῖν καὶ ταῦτα

(1) Τὸ σχόλιον τοῦτο ἀναφέρει ὁ Ῥιχάρδος Σίμων ἐν τῇ Histoire critique du texte du N. Testament. p. 145. (α) Ἰωαν. Η΄, 12.

(2) Περὶ τῆς ἱστορίας ταύτης τῆς ἐπὶ μοιχείᾳ κατειλημμένης γυναικὸς, τὴν ὁποίαν περισσότεροι τῶν Πατέρων τῆς ἐκκλησίας παραλείπουσιν ἢ ἀναφέρουσιν,

διασαφῆσαι· οὐκ ἄμοιρον γὰρ ὠφελείας οὐδὲ τὸ ἐν τούτοις κεφάλαιον, τὸ περὶ τῆς ἐπὶ μοιχείᾳ κατειλημμένης γυναικός.

53 Καὶ ἐπορεύθη ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.

Ὀργισθέντες ἐπὶ τῷ λόγῳ τοῦ Νικοδήμου, καὶ φοβηθέντες, μήποτε καὶ ἄλλος τῶν ἀρχόντων εἴποι τοιαῦτα.

ΚΕΦ. VIII, 1 Ἰησοῦς δὲ ἐπορεύθη εἰς τὸ ὄρος τῶν
Ἐλαιῶν.

Ἐκκλίνων τὴν διὰ νυκτὸς ἐπιβουλήν.

2 Ὄρθρου δὲ πάλιν παρεγένετο εἰς τὸ ἱερὸν, καὶ
πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐτόν· καὶ καθίσας ἐδί-
δασκεν αὐτούς.

Λαὸν ἐνταῦθά φησι, τοὺς λέγοντας, ὅτι Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης, καὶ τοὺς λέγοντας αὖθις, ὅτι Οὗτός ἐστιν ὁ Χριστός· ὅπερ οὐκ ἐνεγκόντες οἱ Ἰουδαῖοι, σκόπει, τί πονηρεύονται;

3 Ἄγουσι δὲ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι πρὸς
αὐτὸν γυναῖκα ἐπὶ μοιχείᾳ κατειλημμένην· καὶ στή-
4 σαντες αὐτὴν ἐν μέσῳ, λέγουσιν αὐτῷ· Διδάσκαλε,
αὕτη ἡ γυνὴ κατειλήφθη ἐπαυτοφώρῳ μηχευομένη.

Ἐπαυτοφώρῳ λέγεται τὸ, αὐτελέγκτως, αὐτοφανῶς, προδήλως.

5 Ἐν δὲ τῷ νόμῳ Μωσῆς ἡμῖν ἐνετείλατο τὰς
6 τοιαύτας λιθοβολεῖσθαι· σὺ οὖν τί λέγεις; Τοῦτο
δὲ ἔλεγον πειράζοντες αὐτὸν, ἵνα ἔχωσι κατηγο-
ρεῖν αὐτοῦ.

Γινώσκοντες γὰρ αὐτὸν ἐλεήμονα καὶ συμπαθῆ, προσεδόκων, ὅτι φείσεται αὐτῆς, καὶ λοιπὸν ἕξουσι κατηγορίαν κατ' αὐτοῦ, ὡς παρανόμως φειδομένου τῆς ἀπὸ τοῦ νόμου λιθαζομένης.

ὑπάρχει καὶ τὴν σήμερον μεταξὺ τῶν κριτικῶν μεγάλη διαφωνία, τῶν μὲν, θελόντων αὐτὴν γνησίαν, τῶν δὲ, νόθον. Ὁ Εὐθύμιος, εἰς τὸ κῦρος τοῦ Χρυσοστόμου στηριζόμενος, θεωρεῖ αὐτὴν παρέγγραπτον καὶ προσθήκην. Πλὴν καὶ τοιαύτην θεωρῶν αὐτὴν ἑρμηνεύει· ὁ δὲ Θεοφύλακτος παραλείπει αὐτὴν ὅλως.

6 Ὁ δὲ Ἰησοῦς κάτω κύψας, τῷ δακτύλῳ ἔγραφεν
εἰς τὴν γῆν.

Ὅπερ εἰώθασι πολλάκις ποιεῖν οἱ μὴ θέλοντες ἀποκρίνεσθαι πρὸς τοὺς ἐρωτῶντας ἄκαιρα καὶ ἀνάξια. Γνοὺς γὰρ αὐτῶν τὴν μηχανὴν, προσεποιεῖτο γράφειν εἰς την γῆν, καὶ μὴ προσέχειν, οἷς ἔλεγον.

7 Ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτὸν, ἀνακύψας εἶπε
πρὸς αὐτούς· Ὁ ἀναμάρτητος ὑμῶν, πρῶτος τὸν
λίθον ἐπ' αὐτῇ βαλέτω.

Ὅρα σοφίαν τῆς αὐτοσοφίας κατασοφιζομένην εὐμηχάνως τὰς μηχανὰς αὐτῶν! Ὅρα, πῶς ἅμα καὶ τὸν νόμον ἐτήρησε, καὶ τῆς γυναικὸς ἐφείσατο! Ἐπέτρεψε γὰρ τὸν ἀναμάρτητον ἐξ αὐτῶν ἄρξασθαι τοῦ λιθοβολεῖν αὐτὴν, εἰδὼς, πάντας ἐν ἁμαρτίαις.

8 Καὶ πάλιν κάτω κύψας, ἔγραφεν εἰς τὴν γῆν.

Ἵνα μὴ, βλέποντος εἰς αὐτοὺς, αἰσχύνωνται, ῥᾷον οὕτως ἐλεγχθέντες, καὶ ἵνα, ὡς αὐτοῦ δῆθεν ἀσχολουμένου εἰς τὸ γράφειν, ἐξῇ αὐτοῖς ὑπαναχωρῆσαι πρὸ φανερωτέρας καταγνώσεως· καὶ αὐτῶν γὰρ ἐφείδετο, δι' ὑπερβολὴν χρηστότητος.

9 Οἱ δὲ, ἀκούσαντες, καὶ ὑπὸ τῆς συνειδήσεως ἐλεγ-
χόμενοι, ἐξήρχοντο εἷς καθ' εἷς, ἀρξάμενοι ἀπὸ
τῶν πρεσβυτέρων ἕως τῶν ἐσχάτων·

Οὐδεὶς γὰρ ἀναμάρτητον εἰπεῖν ἑαυτὸν ἠδύνατο.

9 Καὶ κατελείφθη μόνος ὁ Ἰησοῦς, καὶ ἡ γυνὴ ἐν
10 μέσῳ ἑστῶσα. Ἀνακύψας δὲ ὁ Ἰησοῦς, καὶ μηδέ-
να θεασάμενος πλὴν τῆς γυναικὸς, εἶπεν αὐτῇ· Ἡ
γυνὴ, ποῦ εἰσιν ἐκεῖνοι οἱ κατήγοροί σου; οὐδείς σε
κατέκρινεν;

Ἀναχωρήσαντες γὰρ, ἀφῆκαν αὐτὴν ἄνετον· ἐπεὶ δὲ ἄνετον, πάντως καὶ ἀκατάκριτον, τὸ ἐπ' αὐτοῖς· ἢ γὰρ ἂν συνέσχον αὐτήν.

11 Ἡ δὲ εἶπεν· Οὐδεὶς, Κύριε. Εἶπε δὲ αὐτῇ ὁ Ἰησοῦς·
Οὐδὲ ἐγώ σε κατακρίνω,

Εἰ γὰρ ἐκεῖνοι, ἄνθρωποι ὄντες, οὐ κατέκρινάν σε, πολλῷ μᾶλλον οὐδὲ ἐγώ σε κατακρίνω, θεὸς ὢν, καὶ τοῦ νόμου κύριος.

11 Πορεύου, καὶ ἀπὸ τοῦ νῦν μηκέτι ἁμάρτανε.

Ἀρκοῦντος τοῦ τηλικούτου θριάμβου, καὶ τῆς ἐνώπιον τοσούτων αἰσχύνης, εἰς τιμωρίαν· ἔγνω γὰρ αὐτὴν καὶ μετανοήσασαν ὁλοκαρδίως.

12 Πάλιν οὖν ὁ Ἰησοῦς αὐτοῖς ἐλάλησε, λέγων· Ἐγώ
εἰμι τὸ φῶς τοῦ κόσμου·

Ὡς φωτίζων τὸν νοῦν τῶν ἀνθρώπων, καὶ ὁδηγῶν ἀπὸ τῆς πλάνης εἰς τὴν ἀλήθειαν, καὶ ἀπὸ τῆς ἁμαρτίας εἰς τὴν ἀρετήν· καὶ ὡς καταλάμπων καὶ φαιδρύνων τὸ ἡγεμονικὸν αὐτῶν, καθὼς καὶ ἐν προοιμίοις τοῦ παρόντος εὐαγγελίου διελάβομεν, ἔνθα κεῖται τό· *Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων* (α). Τοῦτο δὲ εἶπε, διὰ τὰς περὶ ἑαυτοῦ διαφόρους ὑπολήψεις (1) αὐτῶν.

12 Ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσει ἐν τῇ
σκοτίᾳ·

Ἐν τῇ πλάνῃ καὶ τῇ ἁμαρτίᾳ.

12 Ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς.

Τῆς αἰωνίου.

13 Εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι· Σὺ περὶ σεαυτοῦ
μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής.
14 Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Κἂν ἐγὼ μαρ-
τυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου·

Ζήτησον περὶ τὰ μέσα τοῦ ἑβδόμου κεφαλαίου τό· *Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής* (α). Ἐν τῇ ἐξηγήσει γὰρ ἐκείνου καὶ τοῦτο ἐμνημονεύθη. Φασὶ δέ τινες, ὅτι ἐκεῖνο μὲν εἶπεν, ὡς ἄνθρωπος, τοῦτο δὲ, ὡς θεὸς, ἐμφαίνων, ὅτι οὐκ ἔστι ψιλὸς ἄνθρωπος, ὡς αὐτοὶ ὑπολαμβάνουσιν.

(α) Ἰωαν. Α', 4. (1) Περὶ ὧν ἀνωτέρω Κεφ. Ζ', 40. 41.

14 Ὅτι οἶδα, πόθεν ἦλθον,

Ἐκ πατρὸς θεοῦ.

14 Καὶ ποῦ ὑπάγω·

Εἰς αὐτὸν (1), μετὰ τὸ τέλος τῆς οἰκονομίας ταύτης. Ἐπεὶ δὲ οἶδα, ὅτι ἐκ πατρὸς θεοῦ ἦλθον, καὶ εἰς αὐτὸν ὑπάγω, πάντως υἱὸς τοῦ θεοῦ εἰμὶ, καὶ θεός. Καὶ λοιπὸν ἀξιόπιστός εἰμι, καὶ αὐτόπιστος, ὡς αὐτοαλήθεια.

14 Ὑμεῖς δὲ οὐκ οἴδατε, πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω.

Οὐκ οἴδατε, ὡς δοκεῖτε, ὡς φαίνεσθε, ὡς προσποιεῖσθε· τῇ γὰρ ἀληθείᾳ οἴδατε· διὸ καὶ ἀνωτέρω εἶπεν· ὅτι *Κἀμὲ οἴδατε, καὶ οἴδατε, πόθεν εἰμί* (β).

15 Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε,

Σαρκικῶς, αἰσθητῶς, παχυμερῶς, πρὸς μόνον τὸ φαινόμενον βλέποντες, καὶ μηδὲν ὑψηλότερον καὶ πνευματικὸν ἐννοοῦντες. Εἰδὼς δὲ αὐτοὺς μέλλοντας εἰπεῖν ὅτι, Καὶ διὰ τί οὐ κολάζεις ἡμᾶς, κρίνοντας οὕτως, εἰ δύνῃ; φησίν·

15 Ἐγὼ οὐ κρίνω οὐδένα.

Οὐ κρίνω νῦν. Καὶ ὀπίσω γὰρ, ἐν τῷ τρίτῳ κεφαλαίῳ, εἶπεν· *Οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ* (γ)· καὶ ἀνάγνωθι πάλιν τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν. Ἵνα δὲ μὴ καὶ αὖθις εἴπωσιν ὅτι, Διὰ τοῦτο λέγεις, οὐ κρίνω, ὡς μὴ θαῤῥῶν κατακρῖναι ἡμᾶς, ἐπιφέρει·

(α) Ἰωαν. Ε', 31. (1) Πρὸς αὐτόν.
(β) Ἰωαν. Ζ', 28. (γ) Ἰωαν. Γ', 17.

16 Καὶ ἐὰν κρίνω δὲ ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν·

Α*ληθής ἐστιν*, ἤτοι, ὀρθὴ, δικαία. Καὶ λοιπὸν ἀληθῶς κατακρίνω ὑμᾶς. Εἶτα λέγει, καὶ πῶς ἀληθής ἐστιν ἡ κρίσις αὐτοῦ.

16 Ὅτι μόνος οὐκ εἰμὶ, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ.

Ὅτι μόνος οὐκ εἰμὶ κρίνων, ἀλλ' ἐγὼ καὶ ὁ πατήρ· κοινὰ γὰρ ἡμῖν πάντα. Καὶ ἐπεὶ, ὅπερ ἐγὼ κρίνω, τοῦτο καὶ ὁ πατήρ· ἓν γὰρ ἀμφοτέροις, ὡς προείρηται, θέλημα· καὶ ὁ πατὴρ ἄρα κατακρινεῖ (1) ὑμᾶς, ἀπιστοῦντας τῷ ἀπεσταλμένῳ παρ' αὐτοῦ υἱῷ αὐτοῦ.

17 Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν.

Τῷ ὑμετέρῳ, ὡς αὐτοὶ βρενθύεσθε· παράνομον γὰρ ἐμὲ λέγετε. Εἰ δὲ δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθὴς, τὸ ἐντεῦθεν αὐτοὶ συλλογίσασθε, ὅτι πολλῷ μᾶλλον δύο κριτῶν ἡ κρίσις ἀληθὴς, καὶ ταῦτα τοιούτων. Συνεσκιασμένα δὲ τὰ τοιαῦτα πολλαχοῦ λέγει, διὰ τὴν ἀσθένειαν αὐτῶν, ἵνα ἐκείνοις μὲν εἴη ἀσυμφανῆ, τοῖς δυνατωτέροις δὲ χριστιανοῖς ἐμφανῆ. Ἐπὶ πάντων οὖν τῶν τοιούτων ταύτην γίνωσκε τὴν αἰτίαν.

18 Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ,

Πάλιν πρὸς τὸ, Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, ποιεῖται τὸν λόγον, *Ἐγώ εἰμι*, λέγων, *ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ*, εἰ καὶ οὐδεὶς μαρτυρεῖ περὶ ἑαυτοῦ· ἐγὼ μὲν γὰρ, ὡς θεὸς, οὐδεὶς δὲ, ὡς ἄνθρωπος.

18 Καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ.

Εἰ μὴ ἐγὼ δοκῶ ὑμῖν ἀξιόπιστος. Μαρτυρεῖ γὰρ διὰ τοῦ προφήτου λέγων· *Ἰδοὺ, τέθεικά σε εἰς φῶς ἐθνῶν* (α), ἤγουν, εἰς τὸ εἶναι φῶς ἐθνῶν. Προείρηται δὲ καὶ ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ, πῶς ὁ πατὴρ μαρτυρεῖ περὶ αὐτοῦ, ἔνθα κεῖται τό· *Καὶ ὁ πέμψας με πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ* (β).

(1) Κατακρίνει, παρὰ τῷ Α. (α) Ἡσ. ΜΘ', 6. (β) Ἰωαν. Ε', 37.

19 Ἔλεγον οὖν αὐτῷ· Ποῦ ἐστιν ὁ πατήρ σου;

Ἔλεγον τοῦτο, προσποιούμενοι ἀγνοεῖν, τίνα λέγει πατέρα, καὶ πειράζοντες.

19 Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου·

Ὡς προσποιεῖσθε· τῇ ἀληθείᾳ γὰρ οἴδατε, καθὼς καὶ ἀνωτέρω δεδήλωται. Ἢ τοῦτο εἶπε, διότι προσεποιοῦντο, γινώσκειν αὐτὸν υἱὸν τοῦ Ἰωσὴφ, λέγων, Εἰ οὕτως οἴδατε, ὡς προσποιεῖσθε, οὔτε ἐμὲ οἴδατε· οὐ γὰρ ἐγὼ υἱὸς τοῦ Ἰωσήφ· οὔτε τὸν πατέρα μου· οὐ γὰρ ὁ Ἰωσὴφ πατήρ μου.

19 Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν.

Μιᾶς γὰρ ἀμφότεροι φύσεως. Καὶ ἐν τῷ ἑκκαιδεκάτῳ δὲ κεφαλαίῳ πρὸς τὸν Φίλιππον εἴρηκεν· *Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα* (α), ἤγουν, ὁ νενοηκὼς, ὁ γνούς. Εἴδησιν γὰρ καὶ ὅρασιν, οὐκ αἰσθητήν φησιν, ἀλλὰ νοητήν. Ἐπεὶ δὲ ἐμὲ προσποιεῖσθε μὴ εἰδέναι, ἀκολούθως καὶ τὸν πατέρα μου προσποιεῖσθε μὴ εἰδέναι.

20 Ταῦτα τὰ ῥήματα ἐλάλησεν ὁ Ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ,

Ταῦτα τὰ παῤῥησιαστικά. Ἐπεσημήνατο γὰρ τὸν τόπον, δεικνύων τὴν παῤῥησίαν τοῦ διδασκάλου. *Γαζοφυλάκιον* δὲ, τὸ θησαυροφυλάκιον, περὶ οὗ πλατύτερον ἐν τῷ τεσσαρακοστῷ πρώτῳ κεφαλαίῳ τοῦ κατὰ Μάρκον εἰρήκαμεν.

20 Διδάσκων ἐν τῷ ἱερῷ·

Δημοσίᾳ· ἐν τούτῳ γὰρ ἦν καὶ τὸ γαζοφυλάκιον

20 Καὶ οὐδεὶς ἐπίασεν αὐτόν·

Οὕτω παῤῥησιαζόμενον.

(α) Ἰωαν. ΙΔ', 9.

20 Ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

Ἡ τοῦ συλληφθῆναι καὶ ἀναιρεθῆναι αὐτόν. Ἔδει γὰρ τοῦτον ἔτι θαυματουργῆσαι καὶ διδάξαι, καὶ πολλοὺς εἰς πίστιν ἐπισπάσασθαι, ὡς καὶ προλαβόντες εἰρήκαμεν. Συνεχῶς δὲ τοῦτο λέγει, δεικνὺς, ὅτι πολλάκις ἐπιχειρήσαντες, οὐκ ἠδυνήθησαν, καὶ ὅτι οὐδ' ὕστερον ἐκράτησαν ἂν αὐτὸν, εἰ μὴ αὐτὸς ἠθέλησεν.

21 Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἐγὼ ὑπάγω,

Μεταβαίνω ἀπὸ τῆς ἐπιγείου ζωῆς.

21 Καὶ ζητήσετέ με,

Καὶ ἀνωτέρω τοῦτο εἶπε, καὶ ἡρμηνεύθη ἐκεῖ.

21 Καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε.

Ἦλθον ἐλευθερώσων ὑμᾶς ἀπὸ πάσης ἁμαρτίας ὑμῶν· ἐπεὶ δὲ οὐκ ἠθελήσατε, ἀπέρχομαι, καὶ λοιπὸν ἐν πάσῃ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε, μὴ θελήσαντες ἀπαλλαγῆναι αὐτῆς.

Ἁμαρτίαν δὲ νόσον, καὶ τὴν εἰς αὐτὸν, διότι ἔμελλον ἀνελεῖν αὐτὸν, ἐν ᾗ ἀπέθανον, ἤτοι, δι' ἣν κατεσφάγησαν ὑπὸ τῶν Ῥωμαίων, Οὐεσπασιανοῦ καὶ Τίτου.

21 Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.

Συνεχῶς ταῦτα λέγει, κατασείων αὐτῶν τὰς ψυχὰς καὶ ἐκφοβῶν.

22 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι· Μήτι ἀποκτενεῖ ἑαυτὸν, ὅτι λέγει· Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;

Ὃ ἐβούλοντο, τοῦτο καὶ ὑπέλαβον. Τί οὖν ὁ Χριστός; Ἀναιρεῖ τὴν τοιαύτην ὑπόληψιν, καὶ δείκνυσιν, ὅτι ἁμαρτία ἐστι τὸ ἀνελεῖν ἑαυτόν.

23 Καὶ εἶπεν αὐτοῖς· Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ,

Ἐκ τῆς γῆς, οὐχ ὅτι τὸ σῶμα αὐτῶν ἐκ τῆς γῆς, ἀλλ' ὅτι τὸ φρόνημα αὐτῶν γήϊνον καὶ φαῦλον. Καὶ ὁ Παῦλος γὰρ, λέγων· *Οὐκ ἐστὲ ἐν σαρκί* (α)· *σάρκα*, τὸ σαρκικὸν φρόνημα λέγει.

(α) Ῥωμ. Η, 9.

23 Ἐγὼ ἐκ τῶν ἄνω εἰμί·

Ἐκ τοῦ οὐρανοῦ, οὐχ ὅτι ἐκ τοῦ οὐρανοῦ ἧκεν, ἀλλ' ὅτι τὸ φρόνημα αὐτοῦ οὐράνιον καὶ θεῖον. Εἶτα σαφηνίζει τὸν λόγον.

23 Ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστὲ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου.

Κόσμον ἐνταῦθα λέγει, τὸ κοσμικὸν καὶ φαῦλον καὶ γήϊνον φρόνημα. Ὥσπερ γὰρ *πνεῦμα* λέγεται, τὸ πνευματικὸν φρόνημα, καὶ *σάρξ*, τὸ σαρκικόν· οὕτω καὶ γῆ, καὶ *κόσμος*, τὸ γήϊνον καὶ κοσμικόν. Φησὶν οὖν, ὅτι Ἐγὼ οὐχ, ὡς ὑμεῖς, φρονῶ, ἵνα ἀποκτείνω ἐμαυτόν.

24 Εἶπον οὖν ὑμῖν, ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν·

Ἔτι ἐκφοβεῖ αὐτοὺς, βουλόμενος πεῖσαι.

24 Ἐὰν γὰρ μὴ πιστεύσητε, ὅτι ἐγὼ εἰμὶ, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν.

Ἐὰν μὴ πιστεύσητε, ὅτι ἐγώ εἰμι, δηλαδὴ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ, *ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν*, συνεχόμενοι αὐταῖς. Ὁ γὰρ μὴ πιστεύσας, καὶ διὰ βαπτίσματος ἀπολουσάμενος τὸν ῥύπον τῶν ἁμαρτιῶν, ἐν αὐτῷ πάντως ἀποθανεῖται, καὶ μετ' αὐτοῦ ἀναστὰς, δίκην δώσει.

25 Ἔλεγον οὖν αὐτῷ· Σὺ τίς εἶ;

Φαυλίζοντες τοῦτο ἔλεγον, καὶ πειράζοντες.

25 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Τὴν ἀρχὴν ὅ, τι καὶ λαλῶ ὑμῖν.

Ἐλλειπτικὸν τὸ ῥῆμα κατ' ἦθος. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ὅλως, ὅτι καὶ λαλῶ ὑμῖν, περιττόν ἐστιν· ἀνάξιοι γάρ ἐστε παντὸς λόγου, ὡς πειρασταί.

26 Πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν·

Πολλὰ δύναμαι περὶ ὑμῶν *λαλεῖν*, εἰς κατηγορίαν, καὶ

κρίνειν, εἰς τὸ κολάσαι· ἀλλ' οὐ βούλομαι νῦν· διότι οὐδὲ ὁ πατήρ μου βούλεται. Προείρηκε γάρ, ὅτι *Οὐκ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ* (α).

26 Ἀλλ' ὁ πέμψας με ἀληθής ἐστι·

Πέμψας με, μὴ κρῖναι νῦν, ἀλλὰ σῶσαι. *Ἠ, ἀληθής ἐστιν*, ὀνομάσας με φῶς τοῦ κόσμου. *Ἰδοὺ γάρ*, φησι, *τέθεικά σε εἰς φῶς ἐθνῶν* (β), ὡς ἀνωτέρω δεδήλωται (1).

26 Κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ, ταῦτα λέγω εἰς τὸν κόσμον.

Ἤκουσα παρ' αὐτοῦ, τά, τε ἄλλα, καὶ ὅτι εἰμὶ φῶς ἐθνῶν· καὶ εἶπον, τά, τε ἄλλα, καὶ ὅτι ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ὃ οὖν ἤκουσα, τοῦτο εἶπον.

27 Οὐκ ἔγνωσαν, ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν.

Οὐκ ἔγνωσαν, ὅτι περὶ τοῦ πατρὸς αὐτοῖς ἔλεγε, τοῦ φύσει πατρὸς αὐτοῦ. Εἰκὸς γάρ, αὐτοὺς διαπορεῖν πρὸς ἀλλήλους, λέγοντας, Τίς ἐστιν ὁ πέμψας αὐτόν; καίτοι πολλάκις αὐτοῖς διελέχθη περὶ ἐκείνου. Τοσοῦτον προσεῖχον τοῖς λόγοις αὐτοῦ, μᾶλλον δέ, τοσοῦτον ἦσαν φρενοβλαβεῖς! Εἰκότως οὖν εἶπεν αὐτοῖς· *Τὴν ἀρχὴν, ὅτι καὶ λαλῶ ὑμῖν* (γ).

28 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι·

Ὅταν κρεμάσητέ με, ὡς ἄνθρωπον, ἐπὶ σταυροῦ, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι, δηλονότι υἱὸς τοῦ θεοῦ, καὶ θεός. Ὡς θεὸς γὰρ εἴρηκε τό, *Ἐγώ εἰμι*. Γνώσεσθε δὲ τοῦτο, ἀπό τε τῶν τηνικαῦτα γενησομένων ἀναντιῤῥήτων σημείων, καὶ ἀπὸ τῆς ἐκ νεκρῶν ἀναστάσεώς μου, ναὶ μὴν καὶ ἀπὸ τῆς ἔκτοτε καταληψομένης τὸ γένος τῶν Ἰουδαίων θεομηνίας. Μετὰ γὰρ τὸ

(α) Ἰωάν. Γ', 17. (β) Ἠσ. ΜΘ', 6. (1) Εἰς Ἰωαν. Η', 18.
(γ) Ἰωαν. Η', 25.

σταυρωθῆναι αὐτὸν, καὶ γενέσθαι τὰ φοβερὰ ἐκεῖνα σημεῖα, γράφει Λουκᾶς· ὅτι *Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον* (α). Ἔγνωσαν μὲν γάρ, ὅτι θεῖος ἄνθρωπος ὄντως ἦν, καὶ συμπάσχει αὐτῷ ἡ κτίσις, μὴ φέρουσα τὸ πάθος αὐτοῦ· μὴ τολμῶντες δὲ λαλεῖν διὰ τὸν φόβον τῶν ἀρχόντων, ἔτυπτον τὰ στήθη αὐτῶν, σημαίνοντες τὴν ἐντὸς ὀδύνην. Ὑπώπτευον γάρ, ὅτι κακὸν ἀνήκεστον τὸ γένος ἅπαν πείσεται δι' αὐτόν. Καὶ γὰρ καὶ « ὁ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ὥς φησι Ματθαῖος, ἰδόντες τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες· Ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος (β). »

Ἀλλὰ καὶ αὐτοὶ οἱ ἄρχοντες τῶν Ἰουδαίων ἔγνωσαν τότε, ὅτι θεοῦ υἱὸς ἦν, καὶ θεός, εἰ καὶ πεπατήκασι τὴν συνείδησιν ἑαυτῶν, δι' ὑπερβολὴν φθόνου καὶ μανίας. Λέγει γὰρ πάλιν ὁ Ματθαῖος· ὅτι « Ἰδού, τινες τῆς κουστωδίας, ἐλθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. Καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, λέγοντες· Εἴπατε, ὅτι οἱ μαθηταὶ αὐτοῦ, νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν, ἡμῶν κοιμωμένων, καὶ τὰ ἑξῆς (γ). »

Ἔτι γε μὴν καὶ τὰς ἔκτοτε τῶν Ἰουδαίων συμφοράς, καὶ τὴν ἅλωσιν τῶν Ἱεροσολύμων, συγγράφων ὁ λογιώτατος ἐν Ἰουδαίοις Ἰώσηπος (1), ὁμολογεῖ, διὰ τὸν Χριστὸν χεθῆναι κατ' αὐτῶν τὴν τοιαύτην θεομηνίαν, καὶ κατασφαγῆναι τὰς τοσαύτας αὐτῶν μυριάδας ὑπὸ Ῥωμαίων. Ἐπεὶ γὰρ θεραπευόμενοι, γνῶναι αὐτὸν οὐκ ἠθέλησαν, κολαζόμενοι, ἔγνωσαν, τίς ἦν.

(α) Λουκ. ΚΓ', 48. (β) Ματθ. ΚΖ', 54.
(γ) Ματθ. ΚΗ', 11—13. (1) Ὁ Εὐθύμιος φαίνεται, ὅτι συγχέει τὸν φόνον Ἰωάννου τοῦ Βαπτιστοῦ καὶ τὸν φόνον τοῦ Χριστοῦ. Ἰδ. Ἰωσηπ. Ἀρχ. Ἰουδ. Βιβλ. ΙΗ. Κεφ. Ε. §. β'. Τὴν αὐτὴν γνώμην ἐπαναλαμβάνει ὁ Εὐθύμιος καὶ εἰς Ἰωαν. ΙΑ, 47. 48.

28 **Καὶ** ἀπ᾽ ἐμαυτοῦ ποιῶ οὐδὲν, ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ πατήρ μου, ταῦτα λαλῶ.

Εἰ γὰρ ἐκεῖνο γνώσεσθε τότε, πάντως καὶ ταῦτα, ὅτι ἀπ᾽ ἐμαυτοῦ ποιῶ οὐδὲν, ἀλλὰ πάντα, ἃ θέλει ὁ πατήρ· ἴσος γὰρ αὐτῷ ὢν, ἃ θέλει, ταῦτα θέλω· ἓν γὰρ ἡμῖν θέλημα, ὥσπερ καὶ μία δύναμις· καὶ ὅτι ἃ ἐδίδαξέ με, ταῦτα λαλῶ· νοῦς μὲν γὰρ ἐκεῖνος, λόγος δὲ ἐγώ. Περὶ μὲν οὖν τῶν ἔργων εἶπε καὶ ὀπίσω, ὅτι *Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾽ ἐμαυτοῦ οὐδὲν* (α)· καὶ ἀνάγνωθι πάλιν τὴν ἐξήγησιν ἐκείνου τοῦ ῥητοῦ· περὶ δὲ τῶν λόγων αὖθις εἴρηκεν, ὅτι *Ἡ ἐμὴ διδαχὴ, οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με* (β)· καὶ ἀνάγνωθι καὶ τὴν περὶ τούτου ἑρμηνείαν.

29 **Καὶ** ὁ πέμψας με, μετ᾽ ἐμοῦ ἐστίν.

Ινα μὴ νομίσωμεν, ὅτι μείζων ἐστὶν ὁ πέμψας, θεραπεύει τὴν τοιαύτην ὑποψίαν, λέγων· *Καὶ ὁ πέμψας με, μετ᾽ ἐμοῦ ἐστὶν*, ὡς ἀχώριστος· τὸ μὲν γὰρ πέμψαι, τῆς οἰκονομίας ἐστι· τὸ δὲ μετὰ τοῦ πεμφθέντος εἶναι, τῆς ἀλληλουχίας. Ἡ γὰρ Τριὰς, ἐπίσης πάντα τόπον πληροῦσα, ἑαυτῆς οὐ διέστηκεν.

29 Οὐκ ἀφῆκέ με μόνον ὁ πατὴρ, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε.

Εἰ μὲν, ὡς ἄνθρωπος, τοῦτό φησιν, ἔστιν εἰπεῖν, ὅτι πανταχοῦ μέν ἐστιν ὁ θεὸς, κατὰ τό· *Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ* (γ); μᾶλλον δὲ εἶναι λέγεται ἐν τοῖς ἀξίοις αὐτοῦ· εἰ δὲ, ὡς θεὸς, διὰ τὸ ἀχώριστον τῆς ἁγίας Τριάδος, διῃρημένης μὲν ταῖς ἰδικαῖς ὑποστάσεσιν, ἡνωμένης δὲ τῇ ταυτότητι τῆς οὐσίας καὶ θεότητος.

Τὰ ἀρεστὰ δὲ αὐτῷ ποιῶ πάντοτε, ἢ ὡς πειθόμενος αὐτῷ, κατὰ τὴν ἀνθρωπότητα, ἢ ὡς ἴσος αὐτῷ, κατὰ τὴν θεότητα καὶ θέλησιν. Εἰ δὲ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε, ἀρεστὸν αὐτῷ ἄρα καὶ τὸ ἐν σαββάτῳ θεραπεύειν τοὺς παρειμένους.

(α) Ἰωαν. Ε΄, 30. (β) Ἰωαν. Ζ΄, 16. (γ) Ἱερ. ΚΓ΄, 24.

Δέχου δὲ τὰ ταπεινὰ ῥήματα, ὡς οἰκονομικὰ, διὰ τὴν ἀσθένειαν τῶν Ἰουδαίων, ὡς καὶ προλαβόντες παρηγγείλαμεν· τὰ τοιαῦτα γὰρ μᾶλλον ἐφείλκοντο τοὺς πολλοὺς, καὶ τὸ παράδειγμα ἐγγύς. Ὅρα γάρ.

30 Ταῦτα αὐτοῦ λαλοῦντος, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν.

Οτε εἰς τὸ ταπεινότερον κατήγαγε τὸν λόγον, τότε ἐπίστευσαν· οὐχ ὡς ἐχρῆν δὲ ἐπίστευσαν, ἀλλ᾽ ἁπλῶς ἐπίστευσαν τοῖς ταπεινοτέροις λόγοις αὐτοῦ, μὴ παραδεξάμενοι τοὺς ὑψηλοτέρους. Ὅπερ εἰδὼς ὁ Χριστὸς, πειρᾶται διορθοῦν αὐτοὺς, τὸ ἑαυτοῦ πανταχοῦ ποιῶν, εἰ καὶ αὐτοὶ ταχέως ἀπεπήδησαν, καὶ πρὸς ὕβρεις μᾶλλον ἐξετράπησαν.

31 Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους·

Πρὸς τοὺς πεπιστευκότας τότε, ὡς εἴρηται.

31 Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστὲ,

Εὰν ὑμεῖς ἐμμείνητε, ὡς τῶν ἄλλων μὴ ἐμμεινάντων, περὶ ὧν εἶπεν ὁ εὐαγγελιστὴς, ὅτι *Πολλοὶ ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπίσω· καὶ οὐκ ἔτι μετ᾽ αὐτοῦ περιεπάτουν* (α). *Ἐὰν ὑμεῖς ἐμμείνητέ*, φησι, *τῷ λόγῳ τῷ ἐμῷ*, ἤγουν, τῇ διδασκαλίᾳ μου, ἣν διδάξω ὑμᾶς, τότε *ἀληθῶς μαθηταί μου ἐστέ*· οὔπω γὰρ ἐστέ.

32 **Καὶ** γνώσεσθε τὴν ἀλήθειαν,

Εμέ· ἐγὼ γάρ, φησιν, εἰμὶ ἡ ἀλήθεια. (1) Γνώσεσθε τὴν ἀλήθειαν παρ᾽ ἐμοῦ· τὰ γὰρ νομικὰ πάντα, τύπος καὶ σκιὰ καὶ εἰκὼν τῆς ἀληθείας εἰσί.

(α) Ἰωάν. Ϛ΄, 66. (1) Τὸ ἑπόμενον εἶναι ἄλλη ἑρμηνεία, διάφορος τῆς πρώτης· διὸ καὶ φαίνεται ἀναγκαία ἡ παρενθήκη τοῦ, Ἢ.

32 Καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.

Ἀπὸ τῶν ἁμαρτιῶν.

33 Ἀπεκρίθησαν αὐτῷ· Σπέρμα Ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε· πῶς σὺ λέγεις· Ὅτι ἐλεύθεροι γενήσεσθε;

Ἀφέντες εἰπεῖν, Τί οὖν; ψεῦδος ὁ νόμος; ψευδὴς ἡ τῶν Ἰουδαίων γνῶσις; τοῦτο μὲν οὐ λέγουσι· τῶν τοιούτων γὰρ οὐκ ἔμελλεν αὐτοῖς· ἐπὶ τῇ ὕβρει δὲ τῆς σωματικῆς εὐγενείας ἀγανακτοῦσιν, ὑποπτεύσαντες, ὡς δούλοις ἀνθρώπου τινὸς εἰπεῖν αὐτοῖς, ὅτι *ἐλευθερώσει ὑμᾶς*. Εἰκότως οὖν ὁ Ἰωάννης (1) ἔλεγε· *Μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα* ἔχομεν *τὸν Ἀβραάμ* (α). Τοιαῦτα γὰρ τὰ τῶν Ἰουδαίων *αὐχήματα!* Μὴ ἔχοντες γὰρ οἰκείαις ἀρεταῖς ἐνσεμνύνεσθαι, τὴν τῶν προγόνων εὐγένειαν προεβάλλοντο. Τί οὖν ὁ Χριστός; Οὐκ ἤλεγξεν αὐτούς, πολλάκις δουλεύσαντας Αἰγυπτίοις, καὶ Βαβυλωνίοις, καὶ διαφόροις ἄλλοις ἔθνεσιν· ἀλλὰ ταύτην μὲν τὴν δουλείαν παρέδραμεν, ὡς οὐδὲν βλάπτουσαν τὴν ψυχικὴν εὐγένειαν· περὶ δὲ τῆς ἁμαρτίας φησίν, ἥτις αὐτὴν βλάπτει καταδουλοῦσα, ἧς ἡ δουλεία χαλεπωτάτη, ἀφ' ἧς ἐλευθεροῖ οὐχ ἕτερος, ἀλλ' ἢ μόνος ὁ Χριστός, καὶ ἡ διδασκαλία αὐτοῦ.

34 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας.

Δείκνυσιν, ὅτι δουλείαν ἐνέφηνεν ἀνωτέρω, τὴν ἐξ ἁμαρτίας, οὐ τὴν ἐκ δυναστείας ἀνθρώπου. Ἵνα δὲ μὴ εἴπωσιν, ὅτι ὁ Μωϋσῆς ἡμᾶς ἐλευθερώσει ταύτης, δείκνυσι διὰ παραβολῆς, ὅτι οὐκ ἔχει ἐκεῖνος ἐξουσίαν, δοῦλος ὤν, ἀλλ' αὐτός, ὡς υἱός.

35 Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα.

Ὁ δοῦλος οὐ κληρονομεῖ τὴν οἰκίαν τοῦ κυρίου αὐτοῦ· ὁ υἱὸς

(1) Ὁ Βαπτιστὴς δηλονότι. (α) Ματθ. Γ', 9.

κληρονομεῖ αὐτήν. Λοιπὸν ἐκεῖνος (1) οὐκ ἔχει ἐξουσίαν ἐλευθεροῦν, δοῦλος ὤν· ἐγὼ ἔχω ἐξουσίαν ἐλευθεροῦν, υἱὸς ὤν, καὶ μένων ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου ἀεί, καὶ κληρονομῶν τὴν ἐξουσίαν αὐτοῦ. Εἶπε γὰρ καὶ ὀπίσω· ὅτι *Τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ* (α)· καὶ πάλιν· *Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν* (β).

36 Ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε.

Νῦν μὲν γάρ, οὐκ ἀληθῶς ἐλεύθεροί ἐστε, δεδουλωμένοι τῇ ἁμαρτίᾳ· ὅτε δὲ ὁ υἱὸς ὑμᾶς ἐλευθερώσει, τότε οὐδεὶς ὁ ἀντιλέγων. *Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων* (γ); Τὴν μὲν γὰρ σωματικὴν ἐλευθερίαν καὶ ἄνθρωπος δίδωσι· τὴν δὲ ψυχικήν, μόνος ὁ υἱός, ὡς κυρίως κύριος· ἐπεὶ καὶ κυρίως αὕτη ἐλευθερία. Εἶτα ἀφεὶς τὰς ἄλλας αὐτῶν ἁμαρτίας, εἰς μέσον ἄγει τὴν μελετωμένην (2)· ἔγνω γὰρ αὐτοὺς ἤδη ἀποπηδήσαντας, καὶ ὁμαλῶς φησίν·

37 Οἶδα, ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι,

Φανερῶς μὲν οὐκ εἶπεν, ὅτι Οὐκ ἐστέ, φειδόμενος αὐτῶν ἔτι· λεληθότως δὲ τοῦτο δεδήλωκεν. Ἐπεὶ γὰρ ζητεῖτέ με ἀποκτεῖναι, οὐκ ἐστέ. Οὐδένα γὰρ ἐκεῖνος ἀπέκτεινεν ἀδίκως. Ὥσπερ γὰρ ἡ ἐλευθερία, ἀπὸ τῶν ἔργων δείκνυται, τῶν πρεπόντων ἐλευθέρῳ, οὕτω καὶ ἡ συγγένεια. Τίθησι δὲ καὶ τὴν αἰτίαν τοῦ φόνου.

37 Ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν.

Ὁ *λόγος μου*, ὁ διδασκαλικός, ὑψηλὸς ὤν, *οὐ χωρεῖ ἐν ὑμῖν*, τοῖς ἔχουσι νοῦν ἐστενωμένον ὑπὸ φαυλότητος καὶ χαμαὶ συρόμενον. Ἰδοὺ γάρ, ἀπώσασθε, καὶ ἃ πρὸ μικροῦ παρεδέξασθε,

(1) Ὁ Μωϋσῆς δηλαδή, ὡς εἶπε μικρὸν ἀνωτέρω. (α) Ιωάν. Ε', 22.
(β) Ιωαν. Ε', 27. (γ) Ῥωμ. Η', 34. (2) τὸν κατ' αὐτοῦ φόνον, παρὰ τῷ Α.

στέγειν αὐτὰ μὴ δυνάμενοι. Ἵνα δὲ μὴ εἴπωσιν, Ἀπὸ σεαυτοῦ ταῦτα λαλεῖς, ἐπήγαγεν·

38 Ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου, λαλῶ·

Ὃ ἔγνων παρὰ τῷ πατρί μου, ὃ ἔμαθον ἀπ' αὐτοῦ.

38 Καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν, ποιεῖτε.

Τὸ ἀνθρωποκτονεῖν· πατέρα γὰρ αὐτῶν ἐμφαίνει νῦν, τὸν διάβολον. Ὥσπερ γὰρ τῆς πατρότητος τοῦ Ἀβραὰμ ἐκβάλλει αὐτοὺς ἡ τῶν ἔργων ἀνομοιότης· οὕτως ἄρα τῇ πατρότητι τοῦ διαβόλου εἰσποιεῖ αὐτοὺς ἡ τῶν ἔργων ὁμοιότης. Κἀκεῖνος γὰρ ἀνθρωποκτόνος, περὶ οὗ προϊὼν ἐρεῖ φανερώτερον.

39 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστι.

Μὴ νοήσαντες, τίνα ἔλεγε πατέρα αὐτῶν, πάλιν ἐπὶ τὴν τοῦ Ἀβραὰμ συγγένειαν καταφεύγουσι. Λοιπὸν οὖν ὁ Χριστὸς φανερώτερον αὐτῶν καθάπτεται.

39 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν.

Τὴν δικαιοσύνην.

40 Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι,

Συνεχῶς ἐλέγχει τὴν μελέτην αὐτῶν, ἐντρέπων αὐτοὺς, ὅπως διορθωθῶσιν.

40 Ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ θεοῦ·

Τὸ, *ἑώρακα*, καὶ τὸ, *ἤκουσα*, ὡς οἰκονομικὰ δεκτέον καὶ νοητέον.

40 Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν.

Τὸ ζητεῖν ἀποκτεῖναι ἄνθρωπον, ἀλήθειαν λελαληκότα καὶ ἀθῷον.

41 Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν.

Τὸ ἀνθρωποκτονεῖν, καὶ εἴ τι πονηρόν.

41 Εἶπον οὖν αὐτῷ· Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν, τὸν θεόν.

Ἐπεὶ εὐλόγως ἀπέδειξεν αὐτοὺς ἀναξίους τῆς πατρότητος τοῦ Ἀβραὰμ, ἐφ' ᾗ μέγα ἐκόμπαζον, λοιπὸν ἀνοήτως ἀνατρέχουσιν ἐπὶ τὴν πατρότητα τοῦ θεοῦ, διὰ τὸ λέγειν τὴν Γραφήν· *Υἱὸς πρωτότοκός μου Ἰσραὴλ* (α). Ἐκβάλλει δὲ καὶ ταύτης αὐτοὺς τῆς τιμῆς, εὐλόγοις ὁμοίως ἀποδείξεσιν. Ἀλλὰ πῶς αὐτοὶ μὲν ἀδεῶς πατέρα ἑαυτῶν λέγουσι τὸν θεὸν, τῷ δὲ Χριστῷ, πατέρα ἴδιον λέγοντι τὸν θεὸν, ἐχαλέπαινον; Διότι φύσει πατέρα ἑαυτοῦ ἔλεγεν αὐτόν. Τὸ δὲ, *Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα*, νοεῖται, διὰ τὰ ἐξ Ἰσμαὴλ καταγόμενα ἔθνη, ὃς ἐκ δουλικῆς συμπλοκῆς ἐγεννήθη τῷ Ἀβραὰμ, ἐξ Ἄγαρ τῆς δούλης· ἅτε αὐτῶν ἐξ Ἰσαὰκ καταγομένων, ὃς ἐξ εὐγενοῦς γάμου ἐγεννήθη τῷ Ἀβραὰμ, ἐκ Σάῤῥας τῆς κυρίας τῆς Ἄγαρ.

Λέγουσι δέ τινες (1), ὅτι πρὸς ὕβριν αὐτοῦ τοῦτο εἶπον οἱ ἐναγεῖς, διὰ τὸ λέγεσθαι, αὐτὸν μὴ εἶναι φύσει υἱὸν τοῦ Ἰωσήφ. Ὅτε δὲ ἐξευτελίσαι τοῦτον θέλουσι, τότε αὐτὸν υἱὸν τοῦ Ἰωσὴφ ὀνομάζουσι, ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο φλυαροῦντες, καὶ οὐδέποτε τῇ ἀληθείᾳ συντιθέμενοι. Καὶ μὴν πολλοὶ αὐτῶν ἐκ πορνείας ἐγεννήθησαν· πολλοὺς γὰρ παρανόμους γάμους Ἰουδαῖοι ἐποίουν· ἀλλὰ καὶ τοῦτο σιγᾷ, πρὸς τὸ μεῖζον ἐπειγόμενος.

42 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον,

Ἐγεννήθην, ἢ ἀπεστάλην.

42 Καὶ ἥκω·

Πρὸς ὑμᾶς.

(α) Ἐξοδ. Δ', 22. (1) Οὕτως ὁ Ὠριγένης. Τομ. Δ'. Σελ. 327. Β.

42 Οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα·

Ἀπὸ ἰδίου θελήματος· οὐ γὰρ ἔχω ἴδιον θέλημα· ὡς πολλάκις εἴρηται.

42 Ἀλλ' ἐκεῖνός με ἀπέστειλε.

Ὡς πατὴρ υἱόν, ὡς νοῦς λόγον.

43 Διατί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε;

Διὰ τί τὰ λεγόμενα παρ' ἐμοῦ, οὐ νοεῖτε; Εἶτα προστίθησι καὶ τὴν αἰτίαν τοῦ μὴ νοεῖν αὐτοὺς αὐτά.

43 Ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.

Τό, *Οὐ δύνασθε*, τό, Οὐ βούλεσθε, σημαίνει νῦν. Ὅτι οὐ βούλεσθε συνιέναι τὸν λόγον τὸν ἐμόν, τὸν περὶ δογμάτων, διὰ φαυλότητα ψυχῆς, χαμαὶ συρομένης, καὶ μηδὲν ὑψηλὸν φανταζομένης. Ἐπεὶ δὲ ἐτόλμησαν εἰπεῖν, πατέρα ἑαυτῶν τὸν Θεόν, οἱ ἀνάξιοι καὶ τῆς τοῦ Ἀβραὰμ συγγενείας, παῤῥησιάζεται, καὶ ἐπάγει τούτοις, ὡς ἀνιάτοις, φανερωτέραν πληγήν, ἀντίῤῥοπον τῆς ἀναισχυντίας αὐτῶν, καταστέλλων τὸ φύσημα καὶ τὸν κόμπον τῶν ἀλαζόνων.

44 Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ,

Ὑμεῖς ἐκ τοῦ πατρὸς ἐκείνου ἐστέ, τοῦ διαβόλου· ὑμῶν πατὴρ ἐκεῖνός ἐστιν, ὁ διάβολος.

44 Καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν.

Τοῦ πατρὸς ὑμῶν ἐκείνου. Ἐπιθυμίαι δὲ αὐτοῦ, τὸ ἀνθρωποκτονεῖν, καὶ τὸ ψεῦδος, εἴτουν, ὁ σκολιὸς καὶ διεφθαρμένος βίος, ὡς ἐφεξῆς ἐρεῖ.

44 Ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς,

Τὸν πρῶτον ἄνθρωπον κτείνας, τὸν Ἀδάμ· αὐτὸς γὰρ αὐτῷ τὸν θάνατον προεξένησεν· εἶτα καὶ τὸν υἱὸν αὐτοῦ τὸν Ἄβελ ἀνελών· αὐτὸς γὰρ καὶ αὐτῷ τὸν ἀδελφὸν Κάϊν ἐπανέστησε, κινήσας τῷ φθόνῳ.

44 Καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν·

Οὐκ ἐμμένει, τουτέστιν, ἐν τῷ ὀρθῷ βίῳ οὐκ ἀναπαύεται, ἀλλὰ μισεῖ τὴν τοιαύτην πολιτείαν.

44 Ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ.

Ἀλλὰ τοὐναντίον, ψεῦδος.

44 Ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ·

Τὰ ἴδια λαλεῖ. Ἴδιον γὰρ αὐτοῦ τὸ ψεῦδος· αὐτὸς γὰρ πρῶτος ἐξεῦρεν αὐτό, καὶ πρῶτος ἐχρήσατο αὐτῷ, ψευσάμενος πρὸς τὴν Εὔαν, ὅτε ἔλεγεν αὐτῇ διὰ τοῦ ὄφεως, ὅτι *Οὐ θανάτῳ ἀποθανεῖσθε*· καί, ὅτι *Ἔσεσθε ὡς θεοί* (α).

44 Ὅτι ψεύστης ἐστί,

Ἔκτοτε καὶ εἰς τὸ ἑξῆς ψευδόμενος.

44 Καὶ ὁ πατὴρ αὐτοῦ.

Καὶ ὁ πατὴρ αὐτοῦ, ἤτοι, τοῦ ψεύδους, αὐτός ἐστιν, ὡς πρῶτος ἐξευρὼν αὐτό, καθὼς εἴρηται.

45 Ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι.

Εἰ μὲν ἔλεγον ψεῦδος, ἐπιστεύσατέ μοι ἄν, ὡς τὸ ἴδιον τοῦ πατρὸς ὑμῶν λέγοντι· διότι δὲ τὴν ἀλήθειαν διδάσκω, οὐ πιστεύετέ μοι, ὡς τὸ ἀλλότριον αὐτοῦ διδάσκοντι. Ἀλήθειαν δὲ καλεῖ, τάς τε ἄλλας αὐτοῦ διδασκαλίας, καὶ τήν, ὅτι υἱός ἐστι τοῦ Θεοῦ.

46 Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;

Εἰ μή, διότι τὴν ἀλήθειαν λέγω, ἀπιστεῖτέ μοι, εἴπατε, *Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας*, ὑπ' ἐμοῦ γενομένης, ἵνα δόξητε δι' ἐκείνην ἀπιστεῖν;

46 Εἰ δὲ ἀλήθειαν λέγω, διατί ὑμεῖς οὐ πιστεύετέ μοι;

Εἰ οὔτε, διότι τὴν ἀλήθειαν λέγω, ἀπιστεῖτέ μοι, οὔτε τις ἐξ

(α) Γενεσ. Γ', 4. 5.

ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας, ἄρα ἀλήθειαν λέγω· καὶ εἰ ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι; Οὕτως ἐλέγξας αὐτοὺς ἐθελοκάκους, ἔτι συλλογίζεται·

47 Ὁ ὢν ἐκ τοῦ θεοῦ, τὰ ῥήματα τοῦ θεοῦ ἀκούει· διὰ
τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ.

Ὁ ὢν ἐκ τοῦ θεοῦ, τὰ ῥήματα τοῦ θεοῦ δέχεται, καὶ πείθεται· ὑμεῖς οὐ δέχεσθε· οὐκ ἄρα ἐκ τοῦ θεοῦ ἐστέ. Καὶ λοιπὸν ψεύδεσθε, λέγοντες, πατέρα ἔχειν τὸν θεὸν, καὶ ἐκ τοῦ θεοῦ εἶναι. Κατὰ μὲν οὖν τὸν λόγον τῆς δημιουργίας, πάντες ἐκ τοῦ θεοῦ εἰσι· κατὰ δὲ τὸν τῆς οἰκειότητος, μόνοι οἱ τὰ ῥήματα αὐτοῦ δεχόμενοι, καὶ πειθόμενοι, καὶ ἀπὸ τοῦ τρόπου τὸ γνήσιον δεικνύοντες.

48 Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ· Οὐ
καλῶς λέγομεν ἡμεῖς, ὅτι Σαμαρείτης εἶ σὺ, καὶ
δαιμόνιον ἔχεις;

Κατ' ἐρώτησιν ἀναγνωστέον. Σαμαρείτην μὲν οὖν αὐτὸν ἔλεγον, ὡς μὴ ἀκριβῶς τηροῦντα τὸν νόμον, ὡς αὐτοῖς ἐδόκει, μηδὲ τὰς παραδόσεις τῶν πρεσβυτέρων· τοιοῦτοι γὰρ οἱ Σαμαρεῖται. Δαιμόνιον δὲ ἔχοντα, ὡς τὴν τοῦ θεοῦ τιμὴν εἰς ἑαυτὸν ἕλκοντα· τοιοῦτοι γὰρ οἱ δαίμονες· ἀλλ' ὁ μὲν, ὡς ἐν ἀληθείᾳ θεὸς, οἱ δὲ, ὡς ἀπατεῶνες.

49 Ἀπεκρίθη Ἰησοῦς· Ἐγὼ δαιμόνιον οὐκ ἔχω,

Οὐ γὰρ ἀτιμάζω τὸν θεὸν, ὡς οἱ δαίμονες, οὐδὲ τῆς τιμῆς αὐτοῦ ἐκβάλλω αὐτόν.

49 Ἀλλὰ τιμῶ τὸν πατέρα μου,

Τιμῶν γὰρ τὸν πατέρα, ἀποφαίνω, ὑμᾶς μὴ ἔχοντας πατέρα τὸν θεὸν, μηδ' ἐκ τοῦ θεοῦ ὄντας. Ἀτιμία γὰρ τοῦ φιλανθρώπου, πατέρα εἶναι τῶν ἀνθρωποκτόνων.

49 Καὶ ὑμεῖς ἀτιμάζετέ με.

Σαμαρείτην καὶ δαιμόνιον ἔχοντα ὀνομάσαντες, διότι τιμῶν

τὸν πατέρα, ἀπέφηνα ὑμᾶς μὴ ἔχοντας πατέρα τὸν θεόν· ἀτιμάσαντες δὲ τὸν υἱὸν, ἠτιμάσατε τὸν πατέρα. Προείρηται γὰρ, ὅτι Ὁ *μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα, τὸν πέμψαντα αὐτόν* (α).

50 Ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου·

Τὴν ἐκδίκησιν τῆς ἀτιμίας μου.

50 Ἔστιν ὁ ζητῶν καὶ κρίνων.

Ὁ πατὴρ, δι' ὃν ἠτιμάσατέ με, καὶ πρὸς ὃν ἡ ἀτιμία τοῦ υἱοῦ διαβαίνειν οἶδεν. Εἰ γὰρ καὶ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, ἀλλ' οὐχ ὡς ἐκβαλὼν ἑαυτὸν τοῦ κρίνειν· ἀλλὰ διότι λόγος τοῦ πατρὸς, ὁ υἱός.

Ὅρα δὲ, πῶς, ὅτε μὲν εἶπον πατέρα ἑαυτῶν τὸν θεὸν, ἐπαῤῥησιάσθη, καὶ σφοδρῶς αὐτῶν καθήψατο· ὅτε δὲ αὐτὸν ἠτίμασαν, ἐπιεικῶς ἀπεκρίνατο καὶ πρᾴως. Ἐντεῦθεν γὰρ ἐπαίδευσεν ἡμᾶς, τὰ μὲν εἰς τὸν θεὸν ἐκδικεῖν, τὰ δὲ εἰς ἡμᾶς παροράν. Καὶ αὐτὸς γὰρ παραδραμὼν τὴν εἰς ἑαυτὸν ὕβριν, ἐπὶ παραίνεσιν τρέπεται.

51 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν
τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα.

Ζήτησον ἐν τῷ ἐννάτῳ κεφαλαίῳ τὸ, *Ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα* (β)· καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτοῦ. Νοήσεις γὰρ ἐκεῖθεν, περὶ ποίου θανάτου λέγει νῦν· περὶ οὗ μὴ νοήσαντες ἐκεῖνοι, πάλιν ἀτιμάζουσιν αὐτόν.

52 Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· Νῦν ἐγνώκαμεν, ὅτι
δαιμόνιον ἔχεις·

Νῦν μᾶλλον. Εἶπον δὲ τοῦτο, ὡς ἐκείνου δῆθεν ποιοῦντος ἑαυτὸν μείζονα τοῦ θεοῦ.

(α) Ἰωάν. Ε', 23. (β) Ἰωαν. Ϛ', 51.

52 Ἀβραὰμ ἀπέθανε καὶ οἱ προφῆται,

Οἱ τηρήσαντες τὸν λόγον τοῦ θεοῦ.

52 Καὶ σὺ λέγεις· Ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ
53 γεύσηται θανάτου εἰς τὸν αἰῶνα. Μὴ σὺ μείζων
εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅστις ἀπέθανε; καὶ
οἱ προφῆται ἀπέθανον· τίνα σεαυτὸν σὺ ποιεῖς;

Ἀκόλουθον μὲν ἦν εἰπεῖν, *Μὴ σὺ μείζων εἶ τοῦ θεοῦ;* ἀλλ' οὐ λέγουσι τοῦτο, ἵνα μὴ, συγκρίναντες αὐτὸν τῷ θεῷ, δόξωσι μᾶλλον τιμᾷν αὐτόν. Βούλονται δὲ αὐτὸν ἐλάττονα καὶ τοῦ Ἀβραὰμ ἀποφῆναι. Καὶ οὐκ εἶπον τοῦ Ἀβραὰμ (1), ἀλλὰ *τοῦ πατρὸς ἡμῶν*, κομπάζοντες πάλιν, καὶ τῇ συγγενείᾳ του *Ἀβραάμ* ἐπισεμνυνόμενοι.

54 Ἀπεκρίθη Ἰησοῦς· Ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν, ἡ
δόξα μου οὐδέν ἐστιν·

Ο*ὐδέν ἐστιν*, ὡς ὑμεῖς ὑπολαμβάνετε. Πρὸς τὴν ἐκείνων γὰρ ὑπόνοιαν τοῦτο εἶπεν, ἴσον λέγων τῷ, *Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής* (α)· ὅπερ κεῖται περὶ τὰ μέσα τοῦ ἑβδόμου κεφαλαίου· καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτοῦ.

54 Ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με,

Ἐὰν ἐγὼ μεγαλύνω, φησὶν, ἐμαυτὸν, δοκῶ ὑμῖν ψεύδεσθαι· ἔστιν ὁ μεγαλύνων με, ὁ πατήρ μου. Καὶ ἐν τῷ ῥηθέντι γὰρ κεφαλαίῳ ὁμοίως εἶπεν, ὅτι *Καὶ ὁ πέμψας με πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ* (β). Προθεραπεύει δὲ, ὃ μέλλει ἐρεῖν, ἵνα μὴ δόξῃ κομπάζειν. Βούλεται γὰρ κατασκευάσαι, ὅτι μείζων ἐστὶ τοῦ Ἀβραάμ· φανερῶς γὰρ νῦν οὐκ εἶπε τοῦτο, διὰ τὴν ἀναισχυντίαν αὐτῶν.

54 Ὃν ὑμεῖς λέγετε, ὅτι θεὸς ὑμῶν ἐστι, καὶ οὐκ
ἐγνώκατε αὐτόν·

Οὐκ ἐγνώκατε αὐτὸν, ὡς τοῖς ἔργοις ἀρνούμενοι αὐτόν. Φησὶ

(1) Ἁπλῶς δηλαδὴ, ἀλλὰ μετὰ προσθήκης, τοῦ πατρὸς ἡμῶν Ἀβραάμ.
(α) Ἰωαν. Ε, 31. (β) Ἰωαν. Ε, 37.

γὰρ καὶ ὁ ἀπόστολος, ὅτι *Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται* (α). Ἢ καὶ, ὡς μὴ ἐγνωκότες τὸν υἱὸν αὐτοῦ. Προείρηκε γὰρ, ὅτι *Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν* (β). Ἢ, ὡς μὴ τηροῦντες τὸν λόγον αὐτοῦ· εἰ γὰρ ᾔδειτε αὐτὸν, ἐτηρεῖτε ἂν τὸν λόγον αὐτοῦ.

55 Ἐγὼ δὲ οἶδα αὐτόν.

Οὐ μόνον ὡς ἐξ αὐτοῦ, καὶ τῆς αὐτῆς οὐσίας καὶ φύσεως καὶ γνώσεως ὢν, ἀλλὰ καὶ ὡς τὸν λόγον αὐτοῦ τηρῶν. Καὶ ὀπίσω δὲ εἶπεν, ὅτι *Ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε· ἐγὼ δὲ οἶδα αὐτὸν, ὅτι παρ' αὐτοῦ εἰμι* (γ).

55 Καὶ ἐὰν εἴπω, ὅτι οὐκ οἶδα αὐτὸν, ἔσομαι ὅμοιος
ὑμῶν, ψεύστης.

Ψεύδεσθε γὰρ ὑμεῖς, λέγοντες, ὅτι θεὸς ὑμῶν ἐστιν· οὐ γὰρ ἐγνώκατε αὐτὸν, ὡς προείρηται. *Εἴδησιν* δὲ καὶ *γνῶσιν* φησι, τὸ εἰδέναι καὶ γινώσκειν ἁπλῶς, ὅτι ἐστὶ θεὸς καὶ πατὴρ, οὐ μὴν τὴν τῆς φύσεως τοῦ θεοῦ. Αὕτη γὰρ οὐ μόνον ἄγνωστος, ἀλλὰ καὶ παντελῶς ἀνεννόητος καὶ ἀνεπιχείρητος, καὶ οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ ταῖς οὐρανίαις δυνάμεσιν.

55 Ἀλλ' οἶδα αὐτὸν, καὶ τὸν λόγον αὐτοῦ τηρῶ.

Ὁρᾷς, ὅτι τὸ, *τὸν λόγον τοῦ θεοῦ τηρεῖν*, σημεῖόν ἐστι τοῦ εἰδέναι αὐτόν. Φοβηθῶμεν τοίνυν οἱ τὰς ἐντολὰς τοῦ θεοῦ μὴ φυλάττοντες, ὡς ταττόμενοι μετὰ τῶν ἀγνοούντων τὸν θεόν. Εἶτα κατασκευάζει, καὶ ὅτι μείζων ἐστὶ τοῦ Ἀβραάμ.

56 Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν
ἡμέραν τὴν ἐμήν·

Ἠ*γαλλιάσατο*, ἤγουν, ἐπεθύμησεν. Ἡμέραν δὲ αὐτοῦ λέγει, τὴν τοῦ σταυροῦ.

56 Καὶ εἶδε, καὶ ἐχάρη.

Ἐχάρη διὰ τὴν σωτηρίαν τοῦ κόσμου. Προγνοὺς γὰρ τὸ μυ-

(α) Τιτ. Α', 16. (β) Ἰωαν. Η', 19. (γ) Ἰωαν. Ζ', 28.

στήριον τῆς σταυρώσεως τοῦ Χριστοῦ, ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν αὐτοῦ, καὶ εἶδεν αὐτὴν, προσκιαγραφηθεῖσαν καὶ διατυπωθεῖσαν (1) ἐν τῇ ἡμέρᾳ, καθ' ἣν ἀνήνεγκε τὸν υἱὸν αὐτοῦ τὸν Ἰσαὰκ εἰς ὁλοκάρπωσιν. Ἔμαθε γὰρ, ὅτι, ὥσπερ αὐτὸς οὐκ ἐφείσατο τοῦ υἱοῦ αὐτοῦ τοῦ ἀγαπητοῦ, διὰ τὸν Θεὸν, οὕτως οὐδὲ ὁ Θεὸς φείσεται τοῦ υἱοῦ αὐτοῦ τοῦ ἀγαπητοῦ, διὰ τὸν ἄνθρωπον· καὶ ὥσπερ οὗτος ἐβάστασε τὰ ξύλα τῆς ὁλοκαυτώσεως αὐτοῦ· οὕτω κἀκεῖνος βαστάσει τὸ ξύλον τοῦ θανάτου αὐτοῦ. Πλὴν καθάπερ τούτου μείναντος ἀπαθοῦς, ὁ κριὸς ἐτύθη· οὕτω κἀκείνου μένοντος ἀπαθοῦς, τὸ ἀνθρώπινον αὐτοῦ σφαγιασθήσεται. Εἰ δὲ ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν αὐτοῦ, ὡς μείζονος πάντως.

57 Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς αὐτόν· *Πεντήκοντα* ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;

Ὤιοντο γὰρ αὐτὸν ἐγγὺς εἶναι πεντήκοντα ἐτῶν, διὰ τὴν πολυπειρίαν αὐτοῦ. Τινὰ δὲ τῶν ἀντιγράφων, *τεσσαράκοντα* (2), γράφουσιν, ὅπερ δοκεῖ ἀκριβέστερον.

58 Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι.

Ὡς Θεός. Καὶ οὐκ εἶπεν, *Ἐγὼ ἤμην*, ἀλλ' *Ἐγώ εἰμι*, ὁ ἀεὶ ὤν. Τὸ μὲν οὖν, *Γενέσθαι*, κτιστοῦ· τὸ δὲ, *Εἰμὶ*, ἀκτίστου καὶ κτίστου.

59 Ἦραν οὖν λίθους, ἵνα βάλωσιν ἐπ' αὐτόν·

Οἱ ταχεῖς πρὸς φόνον. Ἠγρίαναν γὰρ, δόξαντες ὑβρισθῆναι τὸν Ἀβραάμ· ἅμα δὲ καὶ γνόντες, ὅτι ἀϊδιότητα Θεοῦ περιτίθησιν ἑαυτῷ.

59 Ἰησοῦς δὲ ἐκρύβη,

Ἀόρατος αὐτοῖς κατέστη, τῇ ἐξουσίᾳ τῆς Θεότητος.

(1) προδιατυπωθεῖσαν, παρὰ τῷ Α.

(2) Ὁ Χρυσόστομος γράφει, τεσσαράκοντα. Ἴδ. Τομ. Η'. Σελ. 324. Πεντήκοντα γράφουσιν ὁ Κύριλλος. Τομ. Δ'. Σελ. 585. C. ὁ Θεοφύλακτος. Σελ. 600 E. ὁ Σευῆρος ἐν τῇ σειρᾷ εἰς τὸν Ἰωάννην παρὰ Κορδερίῳ Σελ. 243, καὶ ἄλλα τὰ δοκιμώτερα χειρόγραφα.

59 Καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ,

Ἵνα κατασταλῇ ὁ θυμὸς αὐτῶν.

59 Διελθὼν διὰ μέσου αὐτῶν·

Μὴ ἰσχυόντων ἰδεῖν αὐτόν. Καὶ διὰ τί οὐκ ἐξέλυσεν αὐτῶν τὴν δύναμιν, καὶ φανερῶς ἀνεχώρησε; Διότι οὐδ' οὕτως ἔμελλον πιστεύειν. Καὶ γὰρ ἐν τῷ καιρῷ τοῦ πάθους ὑπτίους (1) αὐτοὺς ἔρριψε, καὶ τὰς ὄψεις αὐτῶν ἐσκότισε, καὶ οὐκ ἐπίστευσαν. Οὐδὲν γὰρ χεῖρον ψυχῆς ἀπεγνωκυίας· κἂν γὰρ σημεῖα ἴδῃ, κἂν τέρατα, μένει τὴν αὐτὴν ἔχουσα πάλιν ἀναισχυντίαν.

59 Καὶ παρῆγεν οὕτως.

Ἐβάδιζεν οὕτως, μὴ φαινόμενος αὐτοῖς.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τοῦ ἐκ γενετῆς τυφλοῦ.

ΚΕΦ. IX, 1 Καὶ παράγων, εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς.

Βεβαιῶν, ἃ εἶπε, καὶ πιστούμενος, ὅτι Θεός ἐστιν, εὐθὺς ἔρχεται ἐπὶ θαῦμα μέγιστον, καὶ μήπω μέχρι τότε γενόμενον. Τυφλοὶ μὲν γὰρ καὶ ἄλλοι ἀνέβλεψαν· τυφλὸς δὲ ἐκ γενετῆς, οὐδεὶς ἄχρι τότε. Διὸ καὶ ἀναβλέψας ἔλεγεν· *Ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου* (α).

2 Καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Ῥαββὶ, τίς ἥμαρτεν; οὗτος, ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;

Ἐρωτῶσιν, οὐχ ὡς τοῦτο πάντως ἢ ἐκεῖνο ὑπολαμβάνοντες, καθάπερ οἱ ἀνόητοι Ἰουδαῖοι· τὸ μὲν γὰρ ἁμαρτεῖν πρὸ τοῦ

(1) Οὕτως ἐπὶ τὸ πολὺ παρὰ τῷ Χρυσοστόμῳ τὸ Ἰωαν. ΙΗ', 6. ἔπεσον χαμαί. (α) Ἰωαν. Θ', 32.

γεννηθῆναι, ἀδύνατον· τὸ δὲ ὑπὲρ τῶν γονέων κολάζεσθαι, ἄδικον· ἀλλ' ἔστιν ὁ σκοπὸς τοῦ λόγου τοιοῦτος· Ὁ μὲν παράλυτος διὰ τὰς ἁμαρτίας αὐτοῦ ἠσθένει, καθὼς ἐκεῖ μεμαθήκαμεν· περὶ τούτου δὲ, τί λέγεις; τίς ἥμαρτεν; οὗτος, ἢ οἱ γονεῖς αὐτοῦ; Ἡμεῖς γὰρ οὔτε τοῦτο, οὔτε ἐκεῖνο δυνάμεθα λέγειν, παντελῶς ἐξαπορούμενοι.

3 Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ·

Οὐ παντελῶς ἀναμαρτήτους αὐτοὺς φησὶν, ἀλλ' ὅσον εἰς τὸ τυφλωθῆναι τοῦτον, ἀναμαρτήτους κἀκείνους καὶ τοῦτον (1).

Ἐντεῦθεν λοιπὸν μανθάνομεν, ὅτι, πατέρων ἁμαρτανόντων, οὐ κολάζονται παῖδες. Εἰ γὰρ καὶ ἐν τῇ Ἐξόδῳ περὶ τοῦ θεοῦ γέγραπται· ὅτι *Ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν* (α)· ἀλλὰ δι' ἐκείνους μόνους εἴρηται, τοὺς μέλλοντας ἐκ τῶν Ἰσραηλιτῶν εἰδωλολατρῆσαι. Ἐπεὶ γὰρ ἐζήλωσαν τὴν ἀσέβειαν τῶν ἐν Αἰγύπτῳ εἰδωλολατρησάντων γονέων αὐτῶν, ἀπέδωκεν αὐτοῖς τὴν τιμωρίαν ἐκείνων εἰκότως· ὧν γὰρ ἴσαι αἱ ἁμαρτίαι, τούτοις ἴσαι πάντως καὶ αἱ κολάσεις. Ὕστερον γὰρ νομοθετῶν διὰ Μωϋσέως, φησίν· *Οὐκ ἀποθανοῦνται παῖδες ὑπὲρ πατέρων, οὐδὲ πατέρες ὑπὲρ παίδων* (β). Καὶ διὰ Ἰεζεκιὴλ πάλιν λέγει (γ)· *Τί ὑμῖν ἡ παραβολὴ αὕτη, λεγόντων· Οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ* οἱ *ὀδόντες τῶν τέκνων ὠμοδίασαν* (2); Ζῶ ἐγὼ, λέγει Κύριος, *εἰ ἔσται ἡ παραβολὴ αὕτη· ἀλλὰ τῶν φαγόντων τὸν ὄμφακα ὠμοδιάσουσιν οἱ ὀδόντες.*

3 Ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ θεοῦ ἐν αὐτῷ.

Ἔργα τοῦ θεοῦ λέγει τὴν ἀπὸ χοὸς πλάσιν τῶν ὀφθαλμῶν τοῦ

(1) Προσθετέον ἐνταῦθα τό, λέγει, ἢ, ἀποφαίνεται, ἢ τοιοῦτόν τι.

(α) Ἐξοδ, Κ', 5. (β) Δευτερ. ΚΔ', 16. (γ) Ιεζεκ. ΙΗ, 2, 3. 4.

(2) Οὕτω καὶ παρὰ τῷ Χρυσοστόμῳ. Τομ. Η. Σελ. 327. Β. ἀντὶ τοῦ, ἡμωδίασαν. Παρὰ τῷ Ἰεζεκιὴλ γράφεται κοινότερον, ἐγομφίασαν.

τυφλοῦ. Ἐπεὶ γὰρ ὁμολογούμενον ἔργον θεοῦ ἦν ἡ ἀπὸ χοὸς
πλάσις τοῦ σώματος τοῦ Ἀδὰμ, ἀπὸ χοὸς καὶ αὐτὸς πλάτ-
τει τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, τὸ κάλλιστον μέρος τοῦ σώ-
ματος, ἵνα ἐντεῦθεν φανείη (1) θεὸς ἀναμφιβόλως, οἷα τὰ
ἴσα τῷ θεῷ δυνάμενος· ὁ γὰρ τὸ κάλλιστον μέρος οὕτω πλά-
σας, δυνατὸς καὶ τὸ ὅλον πλάσαι.

Ἢ, *ἔργα τοῦ θεοῦ* φησι, τὴν κεκρυμένην δύναμιν τῆς θεότητος αὐτοῦ, ἥτις τότε μᾶλλον ἐφάνη. Τί οὖν; εἰ μὴ ἐκολάσθη οὗτος, οὐκ ἐνῆν ἑτέρως φανερωθῆναι τὰ ἔργα τοῦ θεοῦ; Ἐνῆν μὲν, ἀλλ' οὐδὲ οὗτος ἐκολάσθη, μᾶλλον μὲν οὖν εὐηργετήθη, διὰ τῆς πηρώσεως τῶν τοῦ σώματος ὀφθαλμῶν, ἀναβλέψας τοὺς τῆς ψυχῆς. Τί γὰρ ὄφελος ἐκείνων, ὅταν οὗτοι μὴ βλέπωσιν; Ἐξῆν οὖν τῷ κτίστῃ, τυφλὸν αὐτὸν κτίσαι, οὐ κολαστικῶς, ἀλλ' οἰκονομικῶς, ἵνα τε τὰ ἔργα τοῦ θεοῦ φανερωθῇ, καὶ αὐτὸς ἐντεῦθεν ἀναβλέψῃ τὴν ψυχήν.

Τινὲς δὲ τὸ, *ἵνα*, οὐκ αἰτιολογικὸν λέγουσιν ἐνταῦθα, ἀλλὰ δηλωτικὸν τοῦ μέλλοντος, ὅτι φανερωθήσονται τὰ ἔργα τοῦ θεοῦ ἐν αὐτῷ. Τοιοῦτον δὲ εἶναι λέγουσι καὶ τό· *Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται* (α)· σημαίνειν γὰρ, ὅτι οἱ μὴ βλέποντες, βλέψουσι, καὶ οἱ βλέποντες, τυφλωθήσονται· οὐ γὰρ διὰ τοῦτο ἦλθεν, ἵνα οἱ βλέποντες, τυφλοὶ γένωνται. Καὶ ὁ Παῦλος δέ φησιν (β)· *Νόμος παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα·* οὐ γὰρ διὰ τοῦτο παρεισῆλθεν, ἀλλ' ὅτι μέλλει πλεονάσαι τὸ παράπτωμα. Καὶ πολλὰ τοιαῦτα. Ἰδίωμα γὰρ καὶ τοῦτο τῆς Γραφῆς.

4 Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με,

Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα, τὰ δεικνύοντά με υἱὸν τοῦ πατρὸς, καὶ ἴσον τῷ θεῷ· Ἐμὲ χρὴ φανεροῦν ἐμαυτὸν, ὡς φιλάνθρωπον, ἵνα διὰ τῶν τοιούτων ἔργων χειραγωγούμενοι πρὸς τὴν

(1) φανῇ, παρὰ τῷ Α. (α) Ἰωαν. Θ', 39. (β) Ῥωμ. Ε, 20.

εἰς ἐμὲ πίστιν οἱ ἄνθρωποι, μὴ ἀπόλωνται· ἐμοῦ γὰρ ἐνανθρωπήσαντος, ἀδύνατον σωθῆναί τινα ἑτέρως, εἰ μὴ διὰ τῆς εἰς ἐμὲ πίστεως.

4 Ἕως ἡμέρα ἐστίν·

Ἕως ὁ παρὼν αἰών ἐστιν, ἕως ὁ βίος οὗτος συνέστηκεν, ἕως ἔξεστι τοῖς ἀνθρώποις ἐργάζεσθαι.

4 Ἔρχεται νὺξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι.

Ἔρχεται ὁ μέλλων αἰὼν, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι τὸ πιστεύειν εἰς ἐμέ. Ἐργασίας γὰρ ὁ παρὼν καιρός· ὁ δὲ μέλλων, ἀνταποδόσεως. Ὅτι δὲ *ἐργασίαν* ἐνταῦθα, *τὴν τοῦ πιστεύειν* λέγει, δῆλον ἀπὸ τοῦ εἰπεῖν ὀπίσω· ὅτι *Τοῦτό ἐστι τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος* (α).

Ὁ μὲν οὖν Χριστὸς *ἡμέραν* μὲν ἐκάλεσε, *τὸν παρόντα αἰῶνα*, διὰ τὸ ἐνεργόν· *νύκτα* δὲ, τὸν μέλλοντα, *διὰ τὸ ἀεργόν*. Ὁ δὲ Παῦλος τοὐναντίον, νύκτα μὲν, τὸν παρόντα αἰῶνα, διὰ τὴν πλάνην καὶ τὴν ἄγνοιαν καὶ τὸ σκότος τῶν παθῶν· ἡμέραν δὲ, τὸν μέλλοντα, διὰ τὸ μηδὲν ἔχειν τούτων· φησὶ γάρ· *Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν* (β).

5 Ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου.

Καὶ χρὴ τοὺς ἐσκοτισμένους φωτίζεσθαι διὰ πίστεως, πρὸ τοῦ μεταβῆναί με ἀπὸ τοῦ κόσμου. Καὶ ἐν τῷ πεντεκαιδεκάτῳ δὲ κεφαλαίῳ πλατύτερον περὶ τούτου λέγει. Τί οὖν; ἐν τῷ οὐρανῷ ὢν, οὐκ ἔστι φῶς τοῦ κόσμου; Ἐστίν· ἀλλὰ νῦν περὶ τῆς ἐν τῇ γῇ διατριβῆς αὐτοῦ φησιν, ἅμα μὲν προτρεπόμενος εἰς πίστιν, ἅμα δὲ τὸν ὅσον οὔπω θάνατον αὐτοῦ παραδηλῶν.

6 Ταῦτα εἰπὼν, ἔπτυσε χαμαὶ, καὶ ἐποίησε πηλὸν
ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ
τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ·

Διὰ τί μὴ χοῦν μόνον λαβὼν ἐπέχρισε; Διότι ὁ χοῦς ἄνευ

(α) Ἰωαν. Ϛ', 29. (β) Ῥωμ. ΙΓ', 12.

ὑγροῦ τινὸς οὐκ ἐπιχρίεται. Καὶ διὰ τί οὐχ ὕδατι, ἀλλὰ πτύσματι πηλὸν ἐποίησεν; Ἵνα τῷ πτύσματι ἐπιγραφῇ τὸ θαῦμα.

7 Καὶ εἶπεν αὐτῷ· Ὕπαγε, νίψαι εἰς τὴν κολυμβή-
θραν τοῦ Σιλωάμ·

Νίψασθαι μὲν κελεύει, δεικνὺς, ὅτι οὐ χρείαν εἶχε τοῦ χοός· ἀλλ' ἐχρήσατο τούτῳ πρὸς τὸ διδάξαι μόνον, ὅτι αὐτός ἐστιν ὁ κατ' ἀρχὰς ἐκ χοὸς πλάσας τὸ σῶμα τοῦ Ἀδάμ. Ἀποστέλλει δὲ αὐτὸν εἰς τὴν κολυμβήθραν τοῦ Σιλωὰμ, πόῤῥω οὖσαν, ἵνα φανῇ ἡ πίστις καὶ εὐπείθεια τοῦ τυφλοῦ· οὐδὲ γὰρ ὑποψία τις ἦν, ὅτι ἡ κολυμβήθρα θεραπεύσει αὐτόν. Πολλῶν γὰρ καθεκάστην ἐκεῖ καὶ νιπτομένων καὶ λουομένων, οὐδεὶς εὗρέ ποτε νόσου τινὸς ἀπαλλαγήν.

7 Ὃ ἑρμηνεύεται, Ἀπεσταλμένος.

Ὅπερ ὄνομα, τὸ *Σιλωὰμ* δηλονότι, Ἑβραϊκὸν ὂν, ἑρμηνεύεται *Ἀπεσταλμένος*· οἶμαι διὰ τὸν ἀπεσταλμένον ἐκεῖ τότε τυφλόν· προεδήλου γὰρ ἡ τῆς κολυμβήθρας κλῆσις τὸ μέλλον.

7 Ἀπῆλθεν οὖν, καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων.

Ἀπῆλθε, μὴ διακριθεὶς ὅλως, ἀλλ' εὐθέως ὑπακούσας, καίτοι εἰκὸς ἦν εἰπεῖν, Τί τοῦτο βούλεται; οὐκ ἠδύνατο αὐτὸς θεραπεῦσαι; μήποτε πλανᾷ με, καὶ μάτην πέμπει; πολλάκις γὰρ ἐκεῖ νιψάμενος, οὐδὲν ἀπωνάμην. Καὶ ἑτέρως δέ· Εἰ ὁ πηλὸς θεραπεύσει, τίς ἡ χρεία τοῦ νίψασθαι εἰς τὴν εἰρημένην κολυμβήθραν; εἰ δὲ ἐκείνη θεραπεύσει, τίς ἡ χρεία τοῦ πηλοῦ; Ἀλλ' οὐδὲν τοιοῦτον ἢ εἶπεν ἢ ἐλογίσατο· ἁπλῶς δὲ πιστεύσας, ὅτι τὰ πρὸς ἴασιν αὐτοῦ καὶ πεποίηκε καὶ προσέταξεν, ἐπείσθη, καὶ ἀπῆλθε, καὶ τῆς τοιαύτης πίστεως οὐ διήμαρτεν.

8 Οἱ οὖν γείτονες, καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότε-
ρον, ὅτι τυφλὸς ἦν, ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ καθή-
9 μενος καὶ προσαιτῶν; Ἄλλοι ἔλεγον· Ὅτι οὗτός
ἐστιν. Ἄλλοι δέ· Ὅτι ὅμοιος αὐτῷ ἐστίν. Ἐκεῖνος

10 ἔλεγεν· Ὅτι ἐγώ εἰμι. Ἔλεγον οὖν αὐτῷ· Πῶς ἀνεῴ-
11 χθησάν σου οἱ ὀφθαλμοί; Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν·
Ἄνθρωπος, λεγόμενος Ἰησοῦς, πηλὸν ἐποίησε, καὶ
ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς, καὶ εἶπέ μοι· Ὕπα-
γε εἰς τὴν κολυμβήθραν τοῦ Σιλωὰμ, καὶ νίψαι.
Ἀπελθὼν δὲ καί νιψάμενος, ἀνέβλεψα.

Τί λέγεις; Ἄνθρωπος τοιαῦτα δύναται; Οὔπω γὰρ ἐγίνωσκεν αὐτὸν, καὶ θεόν. Οὐκ εἶπε δὲ, ὅτι *Ἔπτυσε χαμαί*· οὐχ ἑώρα γὰρ τότε· ἀλλ' ὅτι *Πηλὸν ἐποίησε, καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμούς*· ᾔσθητο γὰρ καὶ ἔγνω τοῦτο ἐκ τῆς ἀφῆς.

Ἀλλὰ πόθεν ἔμαθεν, ὅτι Ἰησοῦς λέγεται; Ἠρώτησε τότε πάντως τοὺς παρόντας. Εἰκὸς γὰρ καὶ πρότερον ἀκούειν περὶ τῶν θαυμάτων αὐτοῦ· διὸ καὶ ἀπεριέργως ὑπήκουσεν αὐτοῦ, καθὼς εἴρηται.

12 Εἶπον οὖν αὐτῷ· Ποῦ ἐστιν ἐκεῖνος;

Ἐζήτουν γὰρ αὐτὸν, διαφυγόντα τὴν μανίαν αὐτῶν, καὶ ὡς μόνον ἤκουσαν, ἰχνηλατοῦσιν αὐτόν.

12 Λέγει· οὐκ οἶδα.

Ἐπιχρίσας γὰρ, καὶ ἐντειλάμενος ἀπελθεῖν εἰς τὴν κολυμβήθραν, ἀνεχώρησεν αὐτίκα, φεύγων τὸν ἀπὸ τοῦ θαύματος κρότον.

13 Ἄγουσιν αὐτὸν πρὸς τοὺς Φαρισαίους, τόν ποτε
14 τυφλόν. Ἦν δὲ σάββατον, ὅτε τὸν πηλὸν ἐποίησεν ὁ
Ἰησοῦς, καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς.

Μὴ εὑρόντες ἐκεῖνον, ἄγουσι τοῦτον εἰς ἀπόδειξιν τῆς λύσεως τοῦ σαββάτου.

15 Πάλιν οὖν ἠρώτων αὐτὸν καὶ οἱ Φαρισαῖοι, πῶς ἀνέ-
βλεψεν. Ὁ δὲ εἶπεν αὐτοῖς· Πηλὸν ἐπέθηκέ μου
ἐπὶ τοὺς ὀφθαλμούς, καὶ ἐνιψάμην, καὶ βλέπω.

Οὐκ ἠρώτησαν, Πῶς ἀνέβλεψας; ἀλλὰ, Πῶς ἀνέῳξέ σου τοὺς ὀφθαλμούς (1); διδόντες ἀφορμὴν τοῦ διαβαλεῖν αὐτὸν ἐπὶ

(1) Ἐν τῷ κειμένῳ ἀναγινώσκεται· Πῶς ἀνέβλεψε, καὶ οὐχὶ, Πῶς ἀνέῳξέ σου τοὺς ὀφθαλμούς. Ἀλλ' ὁ Χρυσόστομος συγχέει τὸν στίχον

ἐργασίᾳ κεκωλυμένῃ δῆθεν ἐν τῷ σαββάτῳ· ὁ δὲ, ὡς πρὸς ἀκηκοότας ἤδη τὰ κατ' αὐτὸν λέγων, ἐπιτέμνει τὸν λόγον.

16 Ἔλεγον οὖν ἐκ τῶν Φαρισαίων τινές· Οὗτος ὁ
ἄνθρωπος οὐκ ἔστι παρὰ τοῦ θεοῦ, ὅτι τὸ σάββατον
οὐ τηρεῖ.

Οὐκ ἔστι παρὰ θεοῦ, ἀπεσταλμένος δηλονότι, ἢ Οὐκ ἔστιν ἐκ θεοῦ.

16 Ἄλλοι ἔλεγον· Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς
τοιαῦτα σημεῖα ποιεῖν; Καὶ σχίσμα ἦν ἐν αὐτοῖς.

Ὁ γὰρ μὴ ὢν ἐκ τοῦ θεοῦ, ἐκ τοῦ διαβόλου ἐστὶ, καὶ πάντως ἁμαρτωλός ἐστι. Σχίσμα μὲν οὖν καὶ τότε καὶ πρότερον ἐγένετο· *Οὐκ ἦλθον* γάρ, φησι, *βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν* (α)· ἀλλ' οὐκ ἐπέμεινεν (1)· ἡνώθησαν γὰρ αὖθις, ἐπικειμένων τῶν ἀρχόντων.

17 Λέγουσι τῷ τυφλῷ πάλιν· Σὺ τί λέγεις περὶ αὐ-
τοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς;

Λέγουσι τοῦτο, οὐχ οἱ εἰπόντες, ὅτι Οὐκ ἔστι παρὰ θεοῦ, ἀλλ' οἱ σχισθέντες ἀπ' αὐτῶν· ἵνα γὰρ μὴ δόξωσι συνηγορεῖν αὐτῷ, τὸν λαβόντα πεῖραν τῆς δυνάμεως αὐτοῦ ποιοῦνται κριτὴν τῆς ἀμφιβολίας.

17 Ὁ δὲ εἶπεν· Ὅτι προφήτης ἐστίν.

Προφήτας ἐκάλουν τοὺς θείους ἄνδρας. Ἀντικρὺς οὖν φησιν, ὅτι παρὰ θεοῦ ἐστι, καὶ οὐκ ἐφοβήθη τὸν θυμὸν τῶν λεγόντων, ὅτι οὐκ ἔστι παρὰ θεοῦ. Στεῤῥὸς γὰρ ἦν, καὶ φιλαλήθης, καὶ εὐγνώμων.

18 Οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι
τυφλὸς ἦν, καὶ ἀνέβλεψεν,

Οἱ εἰπόντες, ὅτι Οὐκ ἔστι παρὰ θεοῦ. Ἀλλ', ὦ ἀνόητοι! Εἰ

15 καὶ τὸν 26 (Ἴδ. Τομ. Η'. Σελ. 334. Α.). Ἀκολουθοῦσι τοῦτον ὅ τε Εὐθύμιος καὶ ὁ Θεοφύλακτος καὶ εἰς αὐτὴν τὴν ἑρμηνείαν.

(α) Ματθ. Ι', 34. (1) Τὸ σχίσμα.

οὐχὶ τυφλὸς ὢν ἀνέβλεψε, πῶς διαβάλλετε τὸν Χριστὸν, ὡς ἐν σαββάτῳ ἰασάμενον αὐτόν;

18 Ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀνα-
19 βλέψαντος· καὶ ἠρώτησαν αὐτοὺς, λέγοντες· Οὗ-
τός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε, ὅτι τυ-
φλὸς ἐγεννήθη;

Ὅρα πονηρίαν! Αὐστηρῶς ἐρωτῶσι, προσδοκῶντες ἐκφοβεῖν αὐτούς· ἵνα, τούτων ἀρνησαμένων, ἐπισκιασθῇ τὸ θαῦμα· καί φασιν, *ὃν ὑμεῖς λέγετε, ὅτι τυφλὸς ἐγεννήθη*, ψευδόμενοι, δηλαδὴ, καὶ κακουργοῦντες, καὶ τῷ Ἰησοῦ δόξαν περιποιούμενοι.

19 Πῶς οὖν ἄρτι βλέπει;

Εἰ τυφλὸς ἐγεννήθη;

20 Ἀπεκρίθησαν αὐτοῖς οἱ γονεῖς αὐτοῦ, καὶ εἶπον·
Οἴδαμεν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυ-
21 φλὸς ἐγεννήθη· πῶς δὲ νῦν βλέπει, οὐκ οἴδαμεν·
ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, ἡμεῖς οὐκ
οἴδαμεν·

Τρία ἐρωτηθέντες, Εἰ οὗτός ἐστιν ὁ υἱὸς αὐτῶν, Εἰ τυφλὸς ἐγεννήθη, καὶ Πῶς ἄρτι βλέπει· τὰ μὲν δύο ὁμολογοῦσι· πῶς δὲ ἄρτι βλέπει, ἀγνοεῖν λέγουσι, φοβούμενοι τοὺς Ἰουδαίους, ὡς ἑξῆς δηλωθήσεται.

21 Αὐτὸς ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε· αὐτὸς περὶ ἑαυτοῦ λαλήσει.

Ἔξω κινδύνου καθιστῶντες ἑαυτοὺς, ἐπὶ τὸν τεθεραπευμένον παραπέμπουσι τὴν ἐρώτησιν, ὡς ἀξιοπιστότερον αὐτῶν ἐν τῷ τοιούτῳ ζητήματι.

22 Ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους· ἤδη γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι, ἵνα, ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγος γένηται.

Συνετέθειντο, ἤτοι, συνεφώνησαν. *Ἀποσυνάγωγος* δὲ, ὁ ἐκβεβλημένος τῆς συναγωγῆς.

23 Διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπον· Ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε.

Τὸ αὐτὸ πάλιν λέγει (1), διασύρων αὐτοὺς (2), ὡς δειλοὺς, καὶ διὰ τὸ μὴ ἀποσυναγώγους γενέσθαι, προσποιουμένους μὲν ἀγνοεῖν, τῷ υἱῷ δὲ τὸν ἀγῶνα ὅλον ἐπιφορτίζοντας.

24 Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον, ὃς ἦν τυφλὸς, καὶ εἶπον αὐτῷ· Δὸς δόξαν τῷ Θεῷ·

Δόξασον τὸν θεὸν, ὡς παρ' αὐτοῦ ἰαθεὶς, καὶ μὴ παρὰ τοῦ Ἰησοῦ.

24 Ἡμεῖς οἴδαμεν, ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν.

Ἀπόντος τοῦτο λέγετε, μικροί· παρόντος γὰρ, καὶ ἐρωτήσαντος ὑμᾶς ἔναγχος· *Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας* (α)· οὐκ ἠδυνήθητε οὐδὲ γρύξαι μόνον, ἐμφραγέντων ὑμῖν τῶν στομάτων ὑπὸ τῆς ἀληθείας.

25 Ἀπεκρίθη οὖν ἐκεῖνος, καὶ εἶπεν· Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὢν, ἄρτι βλέπω.

Τὸ, *Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα*, οὐ διστάζων εἶπεν, ἀλλ' ἐν σχήματι διστάζοντος, παραπεμπόμενος τὸν τοιοῦτον φλήναφον. Προϊὼν γὰρ φανερώτερον ἀποφαίνεται, λέγων· *Οἴδαμεν δὲ, ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει* (β).

26 Εἶπον δὲ αὐτῷ πάλιν· Τί ἐποίησέ σοι; πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς;

Πανταχόθεν ἀποκρουσθέντες, καὶ μηδὲν, ὧν ἐβούλοντο, δυνηθέντες ἀνῦσαι, πάλιν ἐπὶ τὸ πρότερον ἐρώτημα στρέφονται· διὸ καὶ καταγνοὺς αὐτῶν ὁ τεθεραπευμένος, οὐκ ἔτι μεθ' ὑποστολῆς, ἀλλὰ παῤῥησιαστικώτερον ἀποκρίνεται.

---

(1) Ὁ εὐαγγελιστὴς δηλονότι. (2) τοὺς γονεῖς τοῦ ποτὲ τυφλοῦ.

(α) Ἰωάν. Η', 46. (β) Ἰωάν. Θ', 31.

27 Ἀπεκρίθη αὐτοῖς· Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε·

Οὐκ ἐπιστεύσατε.

27 Τί πάλιν θέλετε ἀκούειν;

Τίνος ἕνεκεν πάλιν ζητεῖτε ἀκούειν;

27 Μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι;

Εἰπών, ὅτι *Μὴ καὶ ὑμεῖς*, ἔδειξεν, ὅτι αὐτὸς τέως ἐστὶ, καὶ θαῤῥαλέως ὡμολόγησε, μὴ δειλιάσας τὴν μανίαν αὐτῶν. Οὕτως ἰσχυρὸν ἡ ἀλήθεια, παῤῥησίας ἐμπιπλῶσα τοὺς ἑλομένους αὐτὴν, καὶ εἰ τῶν ἀπεῤῥιμμένων εἶεν· τὸ δὲ ψεῦδος τοὐναντίον, ἀσθενὲς, δειλοὺς ἀπεργαζόμενον καὶ τοὺς ἰσχυρούς.

28 Ἐλοιδόρησαν αὐτὸν, καὶ εἶπον· Σὺ εἶ μαθητὴς ἐκείνου· ἡμεῖς δὲ τοῦ Μωσέως ἐσμὲν μαθηταί.

Οὐδὲ τοῦ Μωϋσέως· εἰ γὰρ τοῦ Μωϋσέως ἦτε, καὶ τοῦ Χριστοῦ ἂν ἦτε. *Εἰ γὰρ ἐπιστεύετέ*, φησι, *Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί* (α).

29 Ἡμεῖς οἴδαμεν, ὅτι Μωσῇ λελάληκεν ὁ θεός· τοῦτον δὲ οὐκ οἴδαμεν, πόθεν ἐστίν.

Πόθεν ἀπεστάλη. Καὶ μὴν διαφόρως ἐδίδαξεν ὑμᾶς, τίνες μαρτυροῦσι περὶ αὐτοῦ, ὅτι ὁ Ἰωάννης, ὅτι τὰ ἔργα, ἃ ποιεῖ, ὅτι ὁ πατὴρ καὶ θεός. Ἀλλὰ περὶ Μωϋσέως μὲν ἀκούετε, οὐ μὴν βλέπετε· τὰ ἔργα δὲ τούτου, οὐ μόνον ἀκούετε, ἀλλὰ καὶ βλέπετε, καὶ οἴδατε, ὅτι ὀφθαλμοὶ ὤτων πιστότεροι.

30 Ἀπεκρίθη ὁ ἄνθρωπος, καὶ εἶπεν αὐτοῖς· Ἐν γὰρ τούτῳ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε, πόθεν ἐστὶ, καὶ ἀνέῳξέ μου τοὺς ὀφθαλμούς.

Ὅτι ὑμῖν ἄσημος καὶ ἄδοξος ὤν, ἀνέῳξέ μου τοὺς ὀφθαλμοὺς, καὶ πεποίηκε τηλικοῦτον θαῦμα. Εἰ γὰρ ἦν τῶν ἐπισήμων καὶ ἐνδόξων, οὐκ ἂν τοσοῦτον ἦν θαυμαστόν. Ὥστε μέγας τίς ἐστιν, εἰ καὶ ὑμεῖς οὐκ οἴδατε, πόθεν ἐστίν.

(α) Ἰωαν. Ε', 46.

31 Οἴδαμεν δὲ, ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει· ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει.

Βλέπε σύνεσιν! πῶς θαυμασίως συλλογίζεται, καὶ αὔξει τὸν λόγον! Ἐφωτίσθη γὰρ ὄντως, οὐ τοὺς ἔξω μόνον ὀφθαλμοὺς, ἀλλὰ καὶ τοὺς ἔνδον. Ἐπεὶ γὰρ προλαβόντες εἶπον, *Ἡμεῖς οἴδαμεν, ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστι* (α)· τότε μὲν ἐν σχήματι διστάζοντος παρεκρούσατο τὸν λόγον· νῦν δὲ, παῤῥησίας ὢν μεστὸς, ἀποδεικνύει τοῦτον μὴ ὄντα ἁμαρτωλὸν, εἰ μὴ καὶ μᾶλλον θεοσεβῆ, καὶ τὸ θέλημα τοῦ θεοῦ ποιοῦντα. Ἔτι γὰρ ἄνθρωπον τοῦτον ὑπελάμβανεν, ὡς εἰρήκαμεν. *Ἁμαρτωλῶν δὲ ὁ θεὸς οὐκ ἀκούει*, ἐπὶ τοιούτοις θαύμασι, δηλονότι.

32 Ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλ-
33 μοὺς τυφλοῦ γεγεννημένου. Εἰ μὴ ἦν οὗτος παρὰ θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν.

Οὐδὲν τοιοῦτον. Τυφλοῦ μὲν γὰρ ἤνοιξαν καὶ ἄλλοι ὀφθαλμούς· τυφλοῦ δὲ ἐκ γενετῆς, οὐδείς. Λοιπὸν τοίνυν, τὸ ὑπερβάλλον τοῦ θαύματος, θεῖόν τινα δεικνύει τὸν ἐργάτην αὐτοῦ. Ὁ γὰρ μεῖζον πάντων τῶν ἀνθρωπίνων θαυμάτων ποιῶν, μείζων ἄρα πάντων ἀνθρώπων ἐστίν.

34 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς;

Οὐκ ἤνεγκαν τὸν λαμπρὸν ἔλεγχον, καὶ τὴν περιφανῆ νίκην· περιτραπείσης δὲ τῆς πονηρίας κατὰ τῆς ἑαυτῶν κεφαλῆς, ὀργισθέντες ὕβριζον αὐτὸν, λέγοντες· *Ἁμαρτωλὸς σὺ ἐγεννήθης ὅλως*, ἤγουν, τὴν ἀρχὴν, ἐκ πρώτης ἡλικίας. Ὑπελάμβανον γὰρ αὐτὸν ἀνοήτως, δι' ἁμαρτίας τινὰς τυφλὸν γεννηθῆναι, εἰς ἀπόδειξιν τοῦ εἶναι αὐτὸν ἁμαρτωλόν· καίτοι καὶ ἁμαρτωλὸς ἐὰν ἦν, τοὺς λόγους ἔδει τούτου δοκιμάσαι, εἰ ἀληθεῖς εἰσί· τί γὰρ ἄτοπον εἶπεν;

(α) Ἰωαν. Θ', 24.

34 **Καὶ ἐξέβαλον αὐτὸν ἔξω.**

Ἀποσυνάγωγον ἐποίησαν τὸν κήρυκα τῆς ἀληθείας, ὡς μαθητὴν δῆθεν τοῦ Χριστοῦ. Μὴ δυνηθέντες γὰρ ἐπηρεάσαι τῷ θαύματι, τοὐναντίον δὲ μᾶλλον περιβόητον αὐτὸ διὰ τῆς πολυπραγμοσύνης ποιήσαντες, κενοῦσι τὸν θυμὸν κατὰ τοῦ θεραπευθέντος.

35 **Ἤκουσεν ὁ Ἰησοῦς, ὅτι ἐξέβαλον αὐτὸν ἔξω· καὶ εὑρὼν αὐτὸν, εἶπεν αὐτῷ· Σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ;**

Ἔρχεται μεῖζον εὐεργετήσων τὸν *ἐκβληθέντα δι' αὐτὸν*, καὶ δίδωσι τὸ κεφάλαιον τῶν ἀγαθῶν, γνωρίζων ἑαυτὸν αὐτῷ, καὶ μαθητὴν ἀληθῆ ποιῶν· τὸ δὲ, *σὺ*, *δι'* ἐκείνους εἶπε τοὺς ἀπιστοῦντας.

36 **Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε· Καὶ τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν;**

Ἀνεπτερώθη τῷ λόγῳ, ὡς ἕτοιμος εἰς τὸ πιστεῦσαι, καὶ ζητεῖ μαθεῖν, τίς ἐστιν· οὐ γὰρ ἠπίστατο, τίς ἐστιν.

37 **Εἶπε δε αὐτῷ ὁ Ἰησοῦς· Καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν.**

Ἑώρακας αὐτὸν, οὐ πρότερον, ἀλλὰ νῦν. Καὶ οὐκ εἶπεν, Ἐγώ εἰμι ὁ ἀνοίξας τοὺς ὀφθαλμούς σου· βούλεται γὰρ δεῖξαι τὸ ἀπερίεργον τῆς πίστεως αὐτοῦ, πρὸς ὠφέλειαν τῶν τηνικαῦτα παρόντων, καὶ ἐντροπὴν τῶν καὶ πολλὰ διδαχθέντων, καὶ πολλὰ σημεῖα θεασαμένων, καὶ μὴ πιστευσάντων ἔτι. Μόνον γὰρ ἀκούσας, ὅτι *Ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν*, εὐθὺς ἐπίστευσεν· ἥψατο γὰρ ὁ λόγος αὐτίκα τῆς αὐτοῦ ψυχῆς, εὑρὼν αὐτὴν ἀγαθὴν, καὶ κατέλαμψεν αὐτὴν εἰς ἐπίγνωσιν καὶ πίστιν. Ὅρα γάρ.

38 **Ὁ δὲ ἔφη· Πιστεύω, Κύριε· καὶ προσεκύνησεν αὐτῷ.**

Π*ροσεκύνησε*, βεβαιῶν, ὅτι ἐπίστευσε.

39 **Καὶ εἶπεν ὁ Ἰησοῦς· Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον· ἵνα οἱ μὴ βλέποντες βλέπωσι· καὶ οἱ βλέποντες, τυφλοὶ γένωνται.**

Καὶ μὴν ὀπίσω εἴρηκεν· ὅτι *Οὐκ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον* (α). Ἀλλὰ *κρίμα* νῦν, τὸ κατάκριμα λέγει, ὅτι εἰς κατάκριμα ἐγὼ ἐνηνθρώπησά τινων. Ἑρμηνεύων γὰρ τὸν λόγον, φησὶν, *Ἵνα οἱ μὴ βλέποντες*, ἤγουν, οἱ δοκοῦντες τυφλοὶ τὸν νοῦν, τῇ ἀγνοίᾳ τῶν Γραφῶν, οὗτοι βλέπωσι τὸ φῶς τῆς ἀληθείας, διανοιγέντων αὐτοῖς τῶν ψυχικῶν ὀφθαλμῶν ὑπὸ τῆς εἰς ἐμὲ πίστεως· αὐτοὶ δὲ, οἱ δοκοῦντες ὀξυδερκεῖς τῇ γνώσει τῶν Γραφῶν, οὗτοι μᾶλλον μὴ βλέπωσι, μυσάντων αὐτοῖς τῶν ἔνδον ὀφθαλμῶν ὑπὸ ἀπιστίας.

Κἀνταῦθα δὲ τὸ, *ἵνα*, οὐ χρὴ νοεῖν αἰτιολογικόν· οὐ γὰρ διά τοῦτο ἦλθεν, ἵνα οἱ βλέποντες, τυφλοὶ γένωνται· ἀλλὰ δηλωτικόν τοῦ μέλλοντος, ὅτι μέλλουσιν οἱ μὴ βλέποντες βλέπειν, καὶ οἱ βλέποντες τυφλοῦσθαι, ὡς καὶ προλαβόντες περὶ τοῦ Ἵνα παρεσημειωσάμεθα.

Ἢ, *Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον*, ἀντὶ τοῦ, Εἰς διάκρισιν καὶ διαχωρισμὸν τούτων τε κἀκείνων, ἵνα φανῇ τῶν μὲν, ἡ ἐξ ἀγαθῆς προαιρέσεως ἀνάβλεψις, τῶν δὲ, ἡ ἐκ πονηρᾶς γνώμης ἀποτύφλωσις.

40 **Καὶ ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ ὄντες μετ' αὐτοῦ,**

Οἱ ποτὲ ὄντες μετ' αὐτοῦ, ὕστερον δὲ ἀποστάντες· ἢ οἱ ὄντες τηνικαῦτα. Τινὲς γὰρ φαρισαῖοι παρείποντο, βλέποντες καὶ ἀκούοντες, τί ποιεῖ καὶ λαλεῖ.

40 **Καὶ εἶπον αὐτῷ· Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν;**

Ὥσπερ ἀλλαχοῦ ἔλεγον· *Οὐδενὶ δεδουλεύκαμεν πώποτε* (β)· καὶ, *Ἐκ πορνείας οὐ γεγεννήμεθα* (γ)· οὕτω καὶ νῦν πρὸς τὰ

(α) Ἰωαν. Γ', 17. (β) Ἰωαν. Η', 33. (γ) Ἰωαν. Η'. 41.

αἰσθητὰ κεχήνασι μόνον, καὶ τὴν σωματικὴν τύφλωσιν ἐπαισχύνονται· διὸ περὶ ταύτης ἐρωτῶσι, γνόντες, ὅτι καὶ δἰ αὐτοὺς εἴρηται ὁ λόγος.

41 Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν·

Οὐκ *ἂν εἴχετε ἁμαρτίαν*, ἐπὶ τῇ ἀπιστίᾳ δηλονότι· καὶ γὰρ ἠδύνασθε, ἀπολογεῖσθαι, ὅτι Οὐχ ἑωράκαμεν τὰ σημεῖα.

41 Νῦν δὲ λέγετε· Ὅτι βλέπομεν·

Ὑμεῖς τοῦτο λεγετε, ἐγὼ δὲ οὔ· εἰ γὰρ ἐβλέπετε, ἐπιστεύετε ἄν, οἷς ἐργάζομαι θαύμασιν ἐνώπιον ὑμῶν. Ἀλλὰ τῷ δοκεῖν μὲν, βλέπετε, τῇ δὲ ἀληθείᾳ, οὐ βλέπετε, τετυφλωμένοι τὸν νοῦν. Κατὰ γὰρ τὴν παροιμίαν Νοῦς ὁρᾷ, καὶ νοῦς ἀκούει· τὰ δ᾽ ἄλλα πάντα τυφλὰ καὶ κωφά.

41 Ἡ οὖν ἁμαρτία ὑμῶν μένει.

Μένει ἀσύγγνωστος· διότι λέγοντες βλέπειν, οὐ βλέπετε, ἐθελοτυφλώττοντες ὑπὸ φθόνου καὶ πονηρίας. Ἔδειξε τοίνυν, ὅτι ἡ σωματικὴ ὅρασις, ἐφ᾽ ᾗ μεγαλαυχοῦσιν, αὐτὴ τούτους καταδικάζει. Ἅμα δὲ καὶ τὸν πρὶν τυφλὸν ἐντεῦθεν παρεμυθήσατο, καὶ βεβαιότερον εἰς τὴν πίστιν ἀπειργάσατο.

Ἵνα δὲ μὴ εἴπωσιν, ὅτι Οὐχ ὡς οὐ βλέποντες ἀπιστοῦμεν, ἀλλ᾽ ὡς πλανῶντός σου τὸν λαόν· ἀποδεικνύει διὰ παραβολῆς, ὅτι οὐκ ἔστι πλάνος, ἀλλὰ ποιμήν. Καὶ πρῶτον μὲν τίθησι τὰ γνωρίσματα τοῦ πλάνου καὶ λυμεῶνος, εἶτα καθεξῆς τὰ τοῦ ποιμένος καὶ σωτῆρος, ἵνα ἀπ᾽ αὐτῶν γνωσθῇ, εἴτε πλάνος ἐστὶν, εἴτε ποιμήν.

ΚΕΦ. Χ, 1 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής.

Ἀναγωγικῶς *θύραν* μὲν νοοῦμεν ἐνταῦθα, τοὺς νόμους, ἤτοι, τὰς Γραφὰς, διὰ τὸ εἰσάγειν εἰς θεογνωσίαν, καὶ ἀποκλείειν

πᾶσαν κατὰ τῆς εὐσεβείας πάροδον τοῖς αἱρετικοῖς καὶ τοῖς Ἕλλησι, καὶ φυλάττειν τὸν λαὸν ἀνεπιβούλευτον τοῖς δαίμοσιν· *αὐλὴν* δὲ, τὴν ἐπιμέλειαν καὶ πρόνοιαν τῶν προβάτων· *πρόβατα* δὲ, τοὺς Ἰσραηλίτας, τὸν τοῦ θεοῦ λαόν· *Ἡμεῖς* δὲ, φησι, *λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ* (α). Ὁ τοίνυν μὴ διὰ τῶν Γραφῶν εἰς τὴν ἐπιμέλειαν τοῦ λαοῦ τοῦ θεοῦ εἰσερχόμενος, ὡς μὴ χρώμενος αὐταῖς, μηδὲ κατ᾽ αὐτὰς πολιτευόμενος, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ὡς ὑπερπηδῶν μὲν τὴν θύραν, τέμνων δὲ ἑτέραν εἴσοδον, ἐκεῖνος οὐ ποιμὴν, ἀλλὰ κλέπτης ἐστὶ καὶ λῃστής· *κλέπτης* μὲν, ὡς βουλόμενος τὰ μὴ προσήκοντα εἰς αὐτὸν ἐπισπάσασθαι· *λῃστὴς* δὲ, ὡς λυμεών.

Τοιοῦτοί εἰσι πρὸ αὐτοῦ μὲν, Ἰούδας καὶ Θευδᾶς· μετ᾽ αὐτὸν δὲ, οἱ ψευδόχριστοι, καὶ ὁ Ἀντίχριστος, καὶ εἴτινες ἕτεροι πλάνοι. Παράπτεται (1) δὲ καὶ τῶν γραμματέων καὶ φαρισαίων, τῶν διδασκόντων διδασκαλίας, ἐντάλματα ἀνθρώπων, καὶ τὸν νόμον παραβαινόντων (β). Εἶδες, πῶς ὑπέγραψε τὸν κλέπτην καὶ λῃστὴν καὶ πλάνον; σκόπει καὶ τοῦ ποιμένος τὰ γνωρίσματα.

2 Ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων.

Ὥσπερ καὶ αὐτὸς, οἷα χρώμενος ταῖς Γραφαῖς, καὶ κατ᾽ αὐτὰς πολιτευόμενος· εἰ γὰρ καὶ ἐν σαββάτῳ εἰργάζετο, ἀλλὰ θεῖα ἔργα· ὁ γὰρ νόμος τὰ ἀνθρώπινα ἐκώλυσεν, ἤτοι, τὰ βιωτικά.

3 Τούτῳ ὁ θυρωρὸς ἀνοίγει,

Θυρωρὸς κατὰ ἀναγωγὴν, ὁ Μωϋσῆς, ὡς αὐτὸς ἐμπιστευθεὶς τοὺς νόμους τοῦ θεοῦ. Τῷ τοιούτῳ οὖν ὁ Μωϋσῆς ἀνοίγει, ὡς

(α) Ψαλμ. ϞΔ, 7.

(β) Ματθ. ΙΕ, 9.

(1) Πλαγίως ἢ ἐν παρόδῳ καθάπτεται.

ποιμένι, καὶ εἰσδέχεται αὐτὸν εἰς τὴν ἐπιμέλειαν τῶν προβάτων, ὡς γνωρίζων αὐτόν. Καὶ γὰρ ἔγραψεν, ὅτι *Αὐτοῦ ἀκούετε* (α).

3 Καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει·

Ὑπακούουσι, πείθονται, καὶ ἀκολουθοῦσιν· ἐπιγινώσκουσι γὰρ αὐτήν. *Τὰ πρόβατα* δὲ εἶπεν, ἤτοι, τὰ ἀληθῶς πρόβατα, τὰ ἄξια ποιμαίνεσθαι, Ὥσπερ γὰρ ὁ εἰσερχόμενος διὰ τῆς θύρας, οὗτος ποιμήν ἐστι· οὕτω καὶ οἱ τῆς φωνῆς αὐτοῦ ἀκούοντες, ὡς εἴρηται, οὗτοι πρόβατά εἰσιν· οἱ δὲ μὴ οὕτως ἔχοντες, τῆς τῶν προβάτων τάξεως ἀπεῤῥάγησαν.

3 Καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα,

Καὶ τοῦτο γὰρ γνώρισμα ποιμένος, τὴν εἰς ἕκαστον πρόβατον ἄκραν φροντίδα δηλοῦν· οὐ γὰρ ἂν αὐτὰ καλέσοι *κατ' ὄνομα*, μὴ γνωρίζων ἕκαστον ἀκριβῶς ἐκ τῆς εἰς ἕκαστον ἄκρας φροντίδος.

3 Καὶ ἐξάγει αὐτά.

Ἐπὶ νομήν· νομὴ δὲ τῶν λογικῶν προβάτων, ἡ διδασκαλία τῶν θείων λόγων, τρέφουσα καὶ πιαίνουσα τὴν ψυχήν.

4 Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται·

Ὁδηγῶν αὐτὰ εἰς εὐθεῖαν, καὶ προασπίζων αὐτῶν. Καὶ μὴν οἱ ποιμένες τοὐναντίον ποιοῦσιν, ὄπισθεν τῶν προβάτων ἀκολουθοῦντες. Ἀλλ' ἡ ποιμαντικὴ τοῦ ποιμένος τούτου παραδοξοτάτη· διότι καὶ τὰ πρόβατα λογικά. Καὶ γὰρ καὶ, ὅτε τοὺς μαθητὰς ἀπέστελλεν, ἔλεγεν· *Ἰδοὺ, ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων* (β)· οἱ δὲ ποιμένες ἔξω λύκων ἀποστέλλουσι τὰ πρόβατα. *Πορεύεται δὲ ἔμπροσθεν αὐτῶν*, καὶ ὡς πρῶτος τεμὼν τὴν ὁδὸν τῆς πολιτείας, καὶ ποιήσας, ἃ διδάσκει.

(α) Δευτερ. ΙΗ', 15. (β) Ματθ. Ι', 16.

4 Καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ,

Κατ' ἴχνος αὐτῷ ἕπεται, βαδίζοντα τὴν αὐτὴν ὁδὸν, καὶ τοῖς νόμοις αὐτοῦ πειθόμενα.

4 Ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ.

Οὖσαν ἐκ τῶν συνήθων Γραφῶν, ἐκ τῶν γνωρίμων φωνῶν.

5 Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ· ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν.

Ἀλλότριοι μὲν, οἱ μὴ εἰσερχόμενοι διὰ τῆς θύρας· οὐκ οἴδασι δὲ αὐτῶν τὴν φωνὴν τὰ πρόβατα, ὡς μὴ ἀπὸ τῶν συνήθων Γραφῶν, ὡς εἴρηται, οὖσαν, ἀλλ' ἀπὸ κοιλίας αὐτῶν.

6 Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς·

Τὴν παραβολήν.

6 Ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν, τίνα ἦν, ἃ ἐλάλει αὐτοῖς.

Ἀσαφῶς γὰρ ἐλάλει, προσεκτικωτέρους ποιῶν αὐτούς. Εἶτα τρόπον ἕτερον ἑαυτὸν ὀνομάζει καὶ *θύραν* καὶ *ποιμένα*.

7 Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων.

Δι' ἧς εἰσέρχονται τὰ πρόβατα εἰς τὴν ἄνω μάνδραν. Ἑτέρως γὰρ οὐκ εἰσέρχεταί τις, εἰ μὴ δι' αὐτοῦ, καὶ τῆς εἰς αὐτὸν πίστεως, καὶ τῆς αὐτοῦ διδασκαλίας.

8 Πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταί.

Ὅσοι ἦλθον, ἀφ' ἑαυτῶν, ὅσοι ἦλθον, μὴ διὰ τῆς προειρημένης θύρας, ὡς Ἰούδας καὶ Θευδᾶς, καὶ εἴ τις τοιοῦτος· οἱ προφῆται γὰρ οὐκ ἦλθον ἀφ' ἑαυτῶν, ἀλλ' ἀπεστάλησαν ἐκ τοῦ θεοῦ, καὶ οὐκ εἰσῆλθον ἀλλαχόθεν, ἀλλὰ διὰ τῆς θύρας.

Χρὴ δὲ γινώσκειν, ὅτι πολλάκις ἡ Γραφὴ καθολικὸν τύπον σχηματίζουσα, μερικὴν ἔννοιαν ἐνδείκνυται. Τὸ γὰρ, *πάντες*, νῦν, οὐ πάντας ἁπλῶς δηλοῖ τοὺς πρὸ αὐτοῦ. Τοιοῦτόν ἐστι

καὶ τὸ δαυϊτικόν· *Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν* (α)· οὐ γὰρ καὶ οἱ τηνικαῦτα θεοφιλεῖς· καὶ τὸ σολομώντειον· *Πάντα ματαιότης* (β)· οὐ γὰρ καὶ ἡ ἀρετή.

Ἔστι δὲ ὅτε τὸ, *πᾶς*, τὸ, *οὐδεὶς*, σημαίνει, ὡς τὸ τοῦ Σωτῆρος· *Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σὰρξ* (γ), ἤγουν, οὐδεμία σάρξ· καὶ τὸ δαυϊτικόν· *Καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία* (δ), τουτέστι, μηδεμία· καὶ πολλὰ τοιαῦτα.

8 Ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα.

Τὰ ἀληθῶς πρόβατα. Κἀντεῦθεν οὖν δῆλον, ὅτι οὐ συμπεριέλαβε καὶ τοὺς προφήτας· τούτων γὰρ ἤκουσαν.

9 Ἐγώ εἰμι ἡ θύρα·

Τῷ διπλασιασμῷ τοῦ ῥητοῦ βεβαιοῖ τὸν λόγον.

9 Δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται·

Διὰ τῶν ἐμῶν ἐντολῶν ἐάν τις ὁδεύσῃ, σωθήσεται, ἀνερχόμενος εἰς τὴν ἄνω μάνδραν.

9 Καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται,

Εἰς πάντα τόπον τῆς οἰκουμένης, ὅπερ ἐπὶ τῶν ἀποστόλων γέγονεν.

9 Καὶ νομὴν εὑρήσει.

Οὐ ψυχικὴν μόνον, ἀλλὰ καὶ σωματικήν· πάντα γὰρ τὰ τῶν πιστευόντων αὐτοῖς προέκειτο.

10 Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ·

Οὐκ ἔρχεται διὰ σωτηρίαν τῶν προβάτων, εἰ μὴ διὰ τὸ κλέψαι καὶ θῦσαι καὶ ἀπολέσαι. Καὶ γὰρ καὶ οἱ κλαπέντες ὑπὸ Θευδᾶ καὶ Ἰούδα, ἐσφάγησαν καὶ ἀπώλοντο παραυτίκα.

(α) Ψαλμ. ΙΓ', 3. (β) Ἐκκλησ. Α', 2. (γ) Ματθ. ΚΔ', 22.
(δ) Ψαλμ. ΡΙΗ', 133.

[Ὁ (1) διάβολος κλέπτει μὲν, ὅτε λαμβάνει τὴν ψυχὴν, καὶ μεθιστᾷ πρὸς ἑαυτὸν, καὶ πρὸς τὰ ἑαυτοῦ θελήματα· θύει δὲ, ὅτε σφάζει τὴν προαίρεσιν αὐτῆς, καὶ νεκροῖ πρὸς τὴν ἐνάρετον ζωήν· ἀπόλλυσι δὲ, ὅτε καὶ τὴν κατὰ Θεὸν μνήμην αὐτῆς ἀφανίζει, ὥστε μὴ δύνασθαι μνημονεύειν τῆς μελλούσης κρίσεως.]

10 Ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν.

Ζωὴν ἐνταῦθα μὲν, τὴν κατὰ Θεὸν, ἧς περισσότερον, ἡ βασιλεία τῶν οὐρανῶν· ἐκεῖ δὲ, τὴν μακαρίαν, ἧς περισσότερον, *ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη* (α)· ἢ καὶ ἡ τελεία ἐπίγνωσις τῆς ἁγίας Τριάδος.

11 Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός·

Ὁ ἀληθής. Ἄνω μὲν οὖν, *θύραν* ἑαυτὸν ὠνόμασε, διὰ τὴν ἐκεῖ ῥηθεῖσαν αἰτίαν· ἐνταῦθα δὲ, *ποιμένα*, ὡς τὰ τοῦ ποιμένος ποιοῦντα, ἃ παρατρέχοντες οἱ ποιμένες τῶν Ἰουδαίων, ὀνειδίζονται διὰ τοῦ προφήτου Ἰεζεκιὴλ, περὶ ὧν ἐροῦμεν οὐκ εἰς μακράν. Ἔτι δὲ καὶ, ὡς πρὸς τὴν ἐκεῖθεν μάνδραν συνάγοντα, λόγοις ποιμαντικῆς ἐπιστήμης.

Ἐν ἄλλοις δὲ, καὶ *πρόβατον* καλεῖται, καὶ *ἀμνὸς*, καὶ *σφάγιον*, καὶ *ἀρχιερεὺς*, καὶ μυρία ἕτερα, πρὸς τὰς πολυτρόπους οἰκονομίας αὐτοῦ.

11 Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων·

Πάλιν λέγει τὰ χαρακτηριστικὰ τοῦ τε ποιμένος καὶ τοῦ μισθωτοῦ.

12 Ὁ μισθωτὸς δὲ, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα.

---

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.
(α) Α' Κορ. Β', 9.

Ἡρμήνευσε, τίς ἐστι *μισθωτὸς*, ὅτι οὗ *οὐκ εἰσὶ τὰ πρόβατα ἴδια*. *Λύκος* δὲ ἀναγωγικῶς, ὁ λυμεὼν καὶ κακόδοξος, καὶ ὁ διάβολος, ὅστις καὶ *λέων* λέγεται, καὶ *δράκων*, καὶ *ὄφις*, καὶ *σκορπίος*, καὶ *ἀσπὶς*, καὶ *βασιλίσκος*, καὶ πολλὰ ἕτερα πρὸς τὰς κακομηχανίας αὐτοῦ (1).

13 Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων.

Πανταχοῦ γὰρ τὴν ἰδίαν σωτηρίαν ζητεῖ, τῶν ἄλλων ἀμελῶν· ὁ δὲ ἀληθὴς ποιμὴν τοὐναντίον ποιεῖ, τῆς ἑαυτοῦ ἀμελῶν, τὴν τῶν προβάτων ζητεῖ. Δύο οὖν ἔθηκε λυμεῶνας, τὸν ἐρχόμενον, ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ, καὶ τὸν θεωροῦντα τὸν λύκον ἐρχόμενον, καὶ ἀφιέντα τὰ πρόβατα καὶ φεύγοντα. Διὰ μὲν τοῦ πρώτου τὸν Θευδᾶν καὶ Ἰούδαν αἰνιττόμενος· διὰ δὲ τοῦ δευτέρου, τοὺς Ἰουδαίων διδασκάλους, ἀφροντιστοῦντας τῶν ἐμπεπιστευμένων, καὶ προδιδόντας τὸ ποίμνιον. Ὅπερ καὶ διὰ τοῦ προφήτου Ἰεζεκιὴλ, ὡς εἴρηται, ὀνειδίζονται, λέγοντος· *Ὦ οἱ ποιμένες Ἰσραὴλ! μὴ βόσκουσιν ἑαυτοὺς οἱ ποιμένες; οὐχὶ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες* (α); Εἶτα καταλέγει καὶ τὰ ἔργα τοῦ ποιμένος, ἃ παρέτρεχον, ὅτι οὔτε τὸ πεπλανημένον ἐπέστρεφον, οὔτε τὸ ἀπολωλὸς ἐξεζήτουν, οὔτε τὸ συντετριμμένον ἐδέσμουν, οὔτε τὸ ἀῤῥωστοῦν ἐθεράπευον· ἐπειδὴ ἑαυτοὺς, καὶ οὐ τὰ πρόβατα ἔβοσκον.

Ἐν οἷς οὖν εἶπεν, ἀμφοτέρων διέστησεν ἑαυτόν. Τῶν πρώτων μὲν, ἐν τῷ ἐλθεῖν, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι· τῶν δευτέρων δὲ, ἐν τῷ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ τῶν προβάτων. Ἀπὸ γοῦν τοῦ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ τῶν προβάτων ἐβεβαίωσε καὶ τὸ ἐλθεῖν, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι.

Φησὶ δὲ καὶ Παῦλος· Εἰ *ἐχθροὶ ὄντες, κατηλλάγημεν τῷ*

(1) πρὸς τὰς ποικίλας μηχανὰς αὐτοῦ, παρὰ τῷ Α.
(α) Ἰεζεκ. ΛΔ', 2.

θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες, σωθησόμεθα (α)· καὶ πάλιν· Ὅς *γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαριεῖται* (β);

14 Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς,

Καὶ πῶς οὐκ εἶπον αὐτῷ, ὃ καὶ πρότερον, ὅτι Σὺ *περὶ σεαυτοῦ μαρτυρεῖς* (γ); Διότι τότε τὴν ἀπόκρισιν ἔλαβον ἐπιστομίζουσαν αὐτοὺς καὶ εἰς τὸ ἑξῆς.

14 Καὶ γινώσκω τὰ ἐμὰ,

Κατὰ πρόγνωσιν, ὡς θεός. Φησὶ γὰρ Μωϋσῆς· *Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ* (δ)· καὶ ὁ Παῦλος· Οὐκ *ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω* (ε).

14 Καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν,

Κατ' ἐπίγνωσιν, ὡς συνετῶν. Ἐπέγνωσαν γὰρ αὐτὸν, ἀπό τε τῆς μαρτυρίας Ἰωάννου, καὶ τῶν ἔργων αὐτοῦ, καὶ τῆς τοῦ πατρὸς μαρτυρίας, περὶ ὧν ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ προείρηται. Δεικνύων δὲ τὴν ἑαυτοῦ γνῶσιν διαφορωτέραν πολλῷ τῆς ἐκείνων, ἴσωσεν αὐτὴν τῇ τοῦ πατρὸς, λέγων·

15 Καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα·

Γνῶσιν λέγει, τὴν κατὰ φύσιν, περὶ ἧς καὶ ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον εἶπεν· *Οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ υἱός* (ζ).

15 Καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων.

Τὴν ψυχήν μου τίθημι, ἀφίημι, ἀποθνήσκω ὑπὲρ τῶν προβάτων, ὡς ὄντων ἰδίων μου· ὁ δὲ πλάνος οὐκ ἂν ἕλοιτο ἀποθανεῖν ὑπὲρ τῶν πλανωμένων παρ' αὐτοῦ.

(α) Ῥωμ. Ε', 10. (β) Ῥωμ. Η', 32. (γ) Ἰωαν. Η', 13. (δ) Ἀριθ. Ις', 5. παρβ. Β' Τιμ. Β', 19. (ε) Ῥωμ. ΙΑ', 2. (ζ) Ματθ. ΙΑ', 27.

16 Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης·

Τῆς τοῦ μωσαϊκοῦ νόμου· λέγει δὲ περὶ τῶν ἐξ ἐθνῶν.

16 Κἀκεῖνά με δεῖ ἀγαγεῖν,

Συναγαγεῖν ὑπὸ τὴν ἐμὴν ποιμαντικήν.

16 Καὶ τῆς φωνῆς μου ἀκούσουσι·

Υπακούσουσι, πεισθήσονται.

16 Καὶ γενήσεται μία ποίμνη,

Ἔκ τε τῶν Ἰουδαίων καὶ τῶν ἐθνῶν συναφθεῖσα.

16 Εἷς ποιμήν.

Τούτων τε κἀκείνων, ὁ Χριστός.

17 Διὰ τοῦτο ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου,

Ὅτι ἀποθνήσκω ὑπὲρ τῶν προβάτων τῶν ἐμῶν, εἴτουν, τῶν αὐτοῦ· ὅτι εἰμὶ φιλάνθρωπος, ὡς αὐτός. Οἰκονομικὸς μὲν οὖν ὁ λόγος· ἐμφαίνει δὲ ὅμως τὸ ἶσον ἀμφοῖν.

Τί οὖν; πρότερον οὐκ ἠγαπᾶτο; Πάνυ μὲν οὖν· ἐπεὶ καὶ υἱὸς, καὶ ἀγαπητὸς, καὶ ποιῶν τὸ θέλημα τοῦ πατρός. Περὶ αὐτοῦ γὰρ εἶπεν ὁ πατήρ· *Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα* (α)· ἀλλὰ τοῦτο μὲν, ὡς γνώριμον, παρῆκε· διαφόρως γὰρ περὶ τούτου ἐδίδαξεν ἐν ἄλλοις τε καὶ ἐν οἷς ἔλεγεν, ὅτι *Ὁ πατὴρ φιλεῖ τὸν υἱόν* (β)· περὶ δὲ τῆς, διὰ τὸν ὑπὲρ τῶν ἀνθρώπων θάνατον, ἀγάπης, φησὶ νῦν.

17 Ἵνα πάλιν λάβω αὐτήν.

Κἀνταῦθα τὸ, *ἵνα*, οὐκ ἔστιν αἰτιολογικὸν, ἀλλὰ δηλωτικὸν τοῦ πάντως ἐσομένου. Οὐ γὰρ διὰ τοῦτο τίθησιν, ἵνα πάλιν λάβῃ αὐτήν· ἀλλὰ τίθησι μὲν ὑπὲρ τοῦ κόσμου, λαμβάνει δὲ αὐτὴν ὑπὲρ τοῦ φανῆναι, ὅτι θεός ἐστιν.

(α) Ματθ. Γ', 17 (β) Ἰωαν. Έ, 20.

18 Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ·

Ἄκοντος, ἤγουν, οὐδείς με θανατοῖ, μὴ βουλόμενον.

18 Ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ·

Ἑκουσίως· ὡς φιλάνθρωπος. Ἐνδιατρίβει δὲ τῷ λόγῳ, δηλῶν τὸν διὰ σταυροῦ θάνατον αὐτοῦ, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν.

18 Ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν·

Ἐξουσίαν ἔχω, ὡς θεὸς παντεξούσιος καὶ παντοδύναμος. Λοιπὸν οὖν μάταιος ὁ πόνος τοῖς ἐπιβουλεύουσιν, ἐμοῦ μὴ θέλοντος, εἰ καὶ ὕστερον οἱ ἀσύνετοι ὀνειδίζοντες, ἔλεγον· *Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι* (α).

18 Ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου.

Τὸ θεῖναι τὴν ψυχήν μου ὑπὲρ τῶν προβάτων, τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κόσμου. Διὰ τοῦτο γὰρ ἀνεῖλον αὐτὸν, διότι ἐδίδασκε τοὺς ἀνθρώπους, καὶ ἐξῆγεν αὐτοὺς ἀπὸ σκότους εἰς φῶς, ἀπὸ ἁμαρτίας εἰς ἀρετὴν, ἀπὸ θανάτου εἰς ζωήν.

Ἀνωτέρω μὲν οὖν εἰπών· *Διὰ τοῦτο ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγώ τίθημι τὴν ψυχήν μου* (β)· τὸ ἑκούσιον τοῦ θανάτου δεδήλωκεν· ἐνταῦθα δὲ εἰρηκώς· ὅτι *Ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου*, τὸ κατὰ γνώμην τοῦ πατρὸς ἀποθνήσκειν ἐσήμανεν. Εἰ γὰρ ἐντολῆς ἐδεῖτο, πῶς ἔλεγεν (γ), ὅτι *Ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ*; καὶ ὅτι *ἐξουσίαν ἔχω θεῖναι αὐτήν*; καὶ πρὸ τούτων· ὅτι *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός* (δ); Ὁ τοιοῦτος γὰρ ἐντολῆς οὐ δεῖται. Οὐδὲν οὖν ἕτερον ἡ ἐντολὴ τοῦ πατρὸς δείκνυσιν, ἢ μόνον τὴν πρὸς τὸν πατέρα ὁμόνοιαν. Οἰκονομικὰ δὲ τὰ τοιαῦτα, διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν, ὡς πολλάκις εἰρήκαμεν.

19 Σχίσμα οὖν πάλιν ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ

(α) Ματθ. ΚΖ', 42. (β) Ἰωαν. Ί, 17. (γ) Ἰωαν. Ι', 17. 18.
(δ) Ἰωαν. Ι', 11.

20 τοὺς λόγους τούτους. Ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν· Δαιμόνιον ἔχει, καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε;

Δαιμονῶντα, καὶ μαινόμενον αὐτὸν ἔλεγον, ὡς μείζονα ἢ κατὰ ἄνθρωπον φθεγγόμενον, δέον ἐντεῦθεν μᾶλλον γνῶναι, ὅτι θεός ἐστιν.

21 Ἄλλοι ἔλεγον· Ταῦτα τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου· μὴ δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοίγειν;

Συνελογίσαντο, ταῦτα μὴ εἶναι δαιμονιζομένου, ἀπὸ τῆς ὑπερφυοῦς θαυματουργίας. Ὁ δὲ Χριστὸς νῦν οὐκ ἐλέγχει τοὺς ὑβρίζοντας αὐτόν· προλαβὼν γὰρ ἱκανῶς ἀπελογήσατο πρὸς αὐτοὺς, ὅτε εἶπον· Οὐ *καλῶς ἐλέγομεν ἡμεῖς, ὅτι Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις* (α);

Ἄλλως τε καὶ, οὐκ ἐξ ὀρθοῦ πρὸς αὐτὸν ἐκένωσαν τοὺς τοιούτους ὑβριστικοὺς λόγους, ἀλλὰ καθ' ἑαυτοὺς ἐφλυάρουν οὕτω. Διὸ καὶ σιγήσας, ἐπαίδευσεν ἡμᾶς, μὴ ἐπιστρέφεσθαι τῶν μὴ ἐξ ὀρθοῦ πρὸς ἡμᾶς χεομένων ὕβρεων. Οὐ μόνον γὰρ οὐκ ἐπεστράφη τῶν τοιούτων λόγων, ἀλλ' οὐδ' ἐμνησικάκησεν αὐτοῖς, ὡς ἀπὸ τῶν ἐφεξῆς δῆλον.

Καὶ καθ' ἕτερον δὲ τρόπον ἐσίγησεν, ὁρῶν τοὺς σχισθέντας ἀπ' αὐτῶν ὑπεραπολογουμένους αὐτοῦ, καὶ ὅτι οὐδὲ λόγου ἦσαν ἐκεῖνοι ἄξιοι, μετὰ τηλικοῦτον θαῦμα οὕτως ὑβρίζοντες.

22 Ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν τοῖς Ἱεροσολύμοις,

Τὰ τοῦ ναοῦ. Ἑώρταζον γὰρ λαμπρῶς ἀνὰ πᾶν ἔτος τὴν ἡμέραν, καθ' ἣν τὸ δεύτερον ὑπὸ Ζοροβάβελ οἰκοδομηθεὶς ἀπηρτίσθη, μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον.

22 Καὶ χειμὼν ἦν.

Οὐ μόνον ἐξ ἀέρος, ἀλλὰ καὶ ἐξ ἀπιστίας. Παρεσημειώσατο

(α) Ἰωαν. Η, 48.

δὲ τὸν καιρὸν, διὰ τὰ ἐγκαίνια τῆς πρώτης οἰκοδομῆς τοῦ ναοῦ· ἐκεῖνα γὰρ κατὰ τὸ μετόπωρον ἑωρτάζοντο.

23 Καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, ἐν τῇ στοᾷ τοῦ Σολομῶντος.

Παρῆν γὰρ τῇ ἑορτῇ καὶ αὐτός.

24 Ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι,

Προσδοκῶντες, ἀπὸ τῶν λόγων αὐτοῦ δράξασθαί τινος ἀφορμῆς εἰς ἐπίθεσιν· τοῖς ἔργοις γὰρ αὐτοῦ μηδὲν ἐγκαλεῖν δυνάμενοι, ἐπεθύμουν ἀπὸ τῶν ῥημάτων εὑρεῖν τινὰ πρόφασιν· οὔτε γὰρ αὐτοὶ τῆς κακίας ἔληγον, οὔτ' αὐτὸς, τῆς ἀνεξικακίας.

24 Καὶ ἔλεγον αὐτῷ·

Ὑπούλως καὶ δολερῶς.

24 Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις;

Αἰωρεῖς, ἀναρτᾷς, μεταξὺ πίστεως καὶ ἀπιστίας;

24 Εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ.

Φανερῶς, ἀπαρακαλύπτως. Καίτοι σαφῶς ἐγίνωσκον, ὅτι τοῦτο λέγει· διὸ καὶ προλαβόντες συνεφώνησαν, *ἵνα, ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγος γένηται* (α)· ἀλλὰ νῦν σκαιᾷ γνώμῃ τοῦτο ἐρωτῶσι, βουλόμενοι προσερωτῆσαι, πόθεν τοῦτο λέγει, ἵνα, προβαινούσης οὕτω τῆς συζητήσεως, φθέγξηταί τι μέγα πάλιν περὶ ἑαυτοῦ, καὶ λάβωσιν ἀφορμὴν, ὡς εἴρηται. Αὐτὸς δὲ, γινώσκων τὴν τοιαύτην μηχανὴν, οὐδὲ νῦν ἐλέγχει τούτους πειράζοντας, παιδεύων, μὴ πάντα τοὺς ἐπιβουλεύοντας ἐλέγχειν, ἀλλὰ μακροθύμως φέρειν τὰ πολλά.

Καὶ οὐκ εἶπε, Πῶς ὡς ἀξιόπιστον ἐρωτᾶτε, οὗ τὴν μαρτυρίαν ἀπεδοκιμάσατε, λέγοντες· *Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής* (β); ὃν ἐκαλέσατε παράνομον καὶ ἀντίθεον καὶ πλάνον καὶ ἁμαρτωλὸν, καὶ Σαμαρεί-

(α) Ἰωαν. Θ', 22. (β) Ἰωαν. Η, 13.

την, καὶ δαιμονῶντα, καὶ μαινόμενον, καὶ πολλὰ τοιαῦτα; ὃν λιθάζετε καὶ διώκετε, καὶ ἀνελεῖν, ἐπείγεσθε; Ἀλλ' οὐδὲν τοιοῦτον εἶπεν, οὐδ' ἐμνησικάκησε, διδάσκων ἀμνηστίαν τῶν φθασάντων καταψηφίζεσθαι· πρᾳότατα δὲ πρὸς τὴν ἐρώτησιν ἀποκρίνεται.

Σὺ δέ μοι σκόπει τὸ διεστραμμένον καὶ φιλόνεικον τῶν Ἰουδαίων! Ὅταν μὲν γὰρ δημηγορῇ καὶ διὰ λόγων διδάσκῃ, λέγουσι, *Τί σημεῖον δεικνύεις ἡμῖν* (α); ὅταν δὲ θαυματουργῇ, καὶ διὰ τῶν ἔργων παρέχῃ τὰς ἀποδείξεις, λέγουσιν· *Εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ*. Τῶν λόγων διδασκόντων, ἔργα ζητοῦσι· τῶν ἔργων βοώντων, λόγους αἰτοῦσι, πρὸς τὸ ἐναντίον ἀεὶ κακοήθως μεθιστάμενοι. Ἐπεὶ οὖν ἀνοίας ἦν, τῶν ἔργων ἀνακηρυττόντων αὐτὸν, ζητεῖν τὴν ἀπὸ τῶν λόγων μαρτυρίαν· ὅρα, πῶς ἀποκρίνεται; ὁμοῦ μὲν ἐμφαίνων, ὅτι οὐχ ἕνεκα τοῦ μαθεῖν ἐρωτῶσιν· οὐ γὰρ πιστεύουσιν· ὁμοῦ δὲ δηλῶν, ὅτι τὰ ἔργα αὐτοῦ μεῖζον τῶν λόγων κεκράγασιν.

25 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε.

Εἶπον ὑμῖν, περὶ οὗ ἐρωτᾶτε, οὐ μόνον διὰ λόγων, ἀλλὰ καὶ δι' ἔργων, ἀλλ' οὐ πιστεύετε. Μάτην οὖν ἐρωτᾶτε, καὶ περιέργως.

25 Τὰ ἔργα, ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός
26 μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ. Ἀλλ' ὑμεῖς οὐ
πιστεύετε·

Μαρτυρεῖ, ὅτι ἐγώ εἰμι. Πάλιν δὲ τὸ, *Ἐν τῷ ὀνόματι τοῦ πατρός μου*, ἵνα μὴ δόξῃ ἀντίθεος.

Ὄνομα δὲ νῦν, τινὲς μὲν, τὴν θεότητα εἶπον· τινὲς δὲ, τὴν ἰσχύν· ἄλλοι δὲ, τὴν ἐξουσίαν. Ὀνομάζεται γὰρ καὶ *Θεὸς*, καὶ *Ἰσχυρὸς*, καὶ *Ἐξουσιαστὴς*, καὶ τὰ τοιαῦτα. Εἴτι

(α) Ἰωαν. Β', 18.

δὲ τοῦ πατρὸς, τοῦτο καὶ τοῦ υἱοῦ. Ἐπεὶ οὖν προσεποιοῦντο πεισθῆναι ἀπὸ ψιλοῦ ῥήματος, δείκνυσιν ὁμαλῶς, ὅτι κακουργοῦσιν, ὡσανεὶ λέγων· Εἰ τοῖς ἔργοις οὐ πιστεύετε, πῶς τοῖς λόγοις πιστεύσετε;

26 Οὐ γὰρ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν,

Ἐγὼ μὲν γὰρ, ὡς ποιμὴν καλὸς, πάντα τὰ τοῦ καλοῦ ποιμένος ἐνεδειξάμην· ὑμεῖς δὲ, ἀπεῤῥήξατε ἑαυτοὺς τῆς τῶν προβάτων συγγενείας.

26 Καθὼς εἶπον ὑμῖν. Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς
27 μου ἀκούει, κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦ-
σί μοι.

Εἴρηται περὶ τούτων ἀνωτέρω.

28 Κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα,

Καὶ περὶ τῆς ζωῆς ταύτης πολλάκις εἴρηται καὶ ἡρμήνευται.

28 Καὶ οὐχ ἁρπάσει τὶς αὐτὰ ἐκ τῆς χειρός μου.

Τὶς τῶν ἐπιβουλευόντων αὐτοῖς. Χεῖρα δὲ λέγει, τὴν δύναμιν καὶ ἐξουσίαν αὐτοῦ· τοῦτο δὲ εἶπε, διότι συνεφώνησαν Ἰουδαῖοι, *Ἵνα, ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγος γένηται* (α)· βεβαιοῖ γὰρ, ὅτι εἰς κενὸν σπουδάζουσιν.

[Ἁρπάσαι μὲν (1), ἐκ τῆς ἀηττήτου δεξιᾶς, τὸν μὴ βουλόμενον, οὐδεὶς ἐχθρὸς δύναται· ἀποπλανῆσαι δὲ τὸν ἀπατώμενον καὶ προδιδόντα ἑαυτὸν, δύναται. Καὶ τοῦτο, οὐ παρὰ τὴν ἄμαχον δεξιὰν, ἀλλὰ παρὰ τὴν αὐτεξούσιον εὐχέρειαν τοῦ ἑκουσίως ἀποφοιτήσαντος.]

29 Ὁ πατήρ μου, ὃς δέδωκέ μοι, μείζων πάντων ἐστί·

Μείζων πάντων, τῶν ἐπιβουλευόντων, ὡς εἴρηται. Πάλιν οὖν τὸ, *δέδωκέ μοι*, οἰκονομικόν.

(α) Ἰωαν. Θ', 22. (1) Ταῦτα παρά τε τῷ Α καὶ τῷ Β ἐν τῷ περιθωρίῳ.

29 **Καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ**
πατρός μου.

Ἵνα δὲ μὴ δόξῃ, ὡς ἀσθενὴς, βοηθεῖσθαι παρὰ τοῦ πατρὸς, ἐπήγαγεν·

30 **Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν.**

Ἓν, κατὰ τὴν δύναμιν, ἤγουν, ταὐτοδύναμοι· εἰ δὲ ἓν κατὰ τὴν δύναμιν, ἓν ἄρα καὶ κατὰ τὴν θεότητα καὶ οὐσίαν καὶ φύσιν. Διὰ μὲν οὖν τοῦ εἰπεῖν· *Ἐγὼ καὶ ὁ πατὴρ*, τὴν δυάδα ἐδήλωσε τῶν προσώπων, τὸ διάφορον τῶν ὑποστάσεων· διὰ δὲ τοῦ, *Ἕν ἐσμεν*, τὴν μονάδα τῆς θεότητος, τὸ ταὐτὸν τῆς οὐσίας καὶ φύσεως καὶ δυνάμεως.

31 **Ἐβάστασαν οὖν πάλιν λίθους οἱ Ἰουδαῖοι, ἵνα λι-**
θάσωσιν αὐτόν.

Διότι υἱὸν τοῦ θεοῦ φύσει εἶπεν ἑαυτόν· τοῦτο γὰρ ἐμφαίνει τὸ, *Ἕν ἐσμεν.*

Ὅρα δὲ, πῶς ἠλέγχθησαν, οὐχ ὑπὲρ τοῦ μαθεῖν ἐρωτῶντες, ἀλλ' ὑπὲρ τοῦ δράξασθαί τινος ἀφορμῆς εἰς ἐπίθεσιν, ὡς προέφημεν.

Καὶ διὰ τί δέδωκεν αὐτοῖς ἀφορμήν; Διότι ἐβούλετο νῦν αὐτοὺς ὑφ' ἑαυτῶν ἐλεγχθῆναι πειράζοντας καὶ κακουργοῦντας. Ἄλλως τε δὲ, οὐκ ἔδει πάντα οἰκονομικῶς λέγειν, ἀλλὰ καὶ γυμνοῦν ἐν μέρει τὴν ἀλήθειαν.

32 **Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Πολλὰ καλὰ ἔργα ἔδει-**
ξα ὑμῖν ἐκ τοῦ πατρός μου·

Δεικνύοντά με ἴσον τῷ πατρί.

32 **Διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ με;**

Διὰ ποῖον ἔργον, μὴ δεικνύον με ἴσον τῷ πατρί; Τὰ ἔργα οὖν ἴσον με τῷ πατρὶ κηρύττουσι, κἂν ἐγὼ σιωπήσω.

33 **Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, λέγοντες· Περὶ**
καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφη-

μίας, καὶ ὅτι σὺ, ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν θεόν.

Διὰ καλὸν ἔργον οὐ λιθάζομέν σε, ἀλλὰ διὰ βλασφημίαν· τέως οὖν ὡμολόγησαν καλὰ τὰ ἔργα αὐτοῦ· εἰ δὲ καλὰ τὰ ἔργα αὐτοῦ, αὐτὰ ταῦτα μαρτυροῦσιν, ὅτι οὐ βλασφημεῖ, λέγων ἑαυτὸν θεόν· ἔργα γάρ εἰσι θεοῦ, καὶ οὐκ ἀνθρώπου ψιλοῦ.

34 **Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἔστι γεγραμμέ-**
νον ἐν τῷ νόμῳ ὑμῶν· « Ἐγὼ εἶπα, θεοί ἐστε; »

Νόμον ἐπὶ τοῦ παρόντος, τὴν βίβλον τῶν ψαλμῶν φησίν· ἐν ἐκείνῃ γὰρ τοῦτο γέγραπται (α)· ἐπεὶ καὶ αὕτη νόμος, διά τε τὰ ἐν αὐτῇ θεόπνευστα λόγια, καὶ διὰ τὸ παιδαγωγεῖν καὶ ῥυθμίζειν τοὺς ἀνθρώπους,

35 **Εἰ ἐκείνους εἶπε θεοὺς, πρὸς οὓς ὁ λόγος τοῦ**
θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ γραφή·
36 **ὃν ὁ πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον,**
ὑμεῖς λέγετε· Ὅτι βλασφημεῖς· ὅτι εἶπον, υἱὸς
τοῦ θεοῦ εἰμι;

Λυθῆναι, ἀντὶ τοῦ, πεσεῖν, ἀθετηθῆναι. *Ἡγίασε* δὲ, ἀντὶ τοῦ, ἀφώρισεν, ἐξελέξατο. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Εἰ ἐκείνους εἶπε θεοὺς ὁ θεὸς, ἀνθρώπους ὄντας, ἐμὲ ὑμεῖς λέγετε, ὅτι *βλασφημεῖς*, διότι εἶπον Υἱὸς τοῦ θεοῦ εἰμι, ἐμὲ, ὃν ὁ πατὴρ ἀφώρισεν, ἐξελέξατο καὶ ἀπέστειλεν εἰς τὸν κόσμον;

Συγκαταβατικῶς δὲ ταῦτά φησι. Πρῶτον γὰρ χαλᾷ καὶ καθυφίησι τῷ λόγῳ, καί ταπεινότερα φθέγγεται, παραμυθούμενος τὸν θυμὸν αὐτῶν· ἔπειτα ἐπάγει τὰ ὑψηλότερα.

37 **Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύε-**
38 **τέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε,**
τοῖς ἔργοις πιστεύσατε.

Ἀπὸ τῆς τῶν ἔργων ἰσότητος καὶ ταυτότητος τὴν πρὸς τὸν πατέρα ἰσότητα καὶ ταυτότητα δεικνύει.

(α) Ψαλμ. ΠΑ', 5.

38 Ἵνα γνῶτε, καὶ πιστεύσητε, ὅτι ἐν ἐμοὶ ὁ πατὴρ,
κἀγὼ ἐν αὐτῷ.

Ὅτι ἐν ἐμοὶ θεωρεῖται ὁ πατήρ· οὐδὲν γὰρ ἄλλο ἐγὼ, ἢ ὅπερ ὁ πατὴρ, μένων υἱός· καὶ οὐδὲν ἄλλο ὁ πατὴρ, ἢ ὅπερ ἐγὼ, μένων πατήρ. Ὁ οὖν τὸν υἱὸν γνοὺς, τὸν πατέρα ἔγνω· καὶ ὁ τὸν πατέρα μαθὼν, τὸν υἱὸν ἔμαθε.

Καὶ ἑτέρως δέ· Ὁ μὲν υἱὸς ἐν τῷ πατρὶ, ὡς τὸ τῆς εἰκόνος κάλλος ἐν τῷ ἀρχετύπῳ· ὁ δὲ πατὴρ ἐν τῷ υἱῷ, ὡς τὸ τοῦ πρωτοτύπου κάλλος ἐν τῇ εἰκόνι· εἰκόνα δὲ τοῦ πατρὸς τὸν υἱὸν λέγομεν, οὐχ ἁπλῶς, ἀλλ' ἀπαράλλακτον.

39 Ἐζήτουν οὖν πάλιν αὐτὸν πιάσαι· καὶ ἐξῆλθεν ἐκ
40 τῆς χειρὸς αὐτῶν. Καὶ ἀπῆλθε πάλιν πέραν τοῦ
Ἰορδάνου, εἰς τὸν τόπον, ὅπου ἦν Ἰωάννης τὸ
πρῶτον βαπτίζων· καὶ ἔμεινεν ἐκεῖ.

Ὅταν μὲν μέγα τι σημεῖον ποιήσῃ, φεύγει διὰ τὸν κρότον καὶ τὴν εὐφημίαν τοῦ ὄχλου· ὅταν δὲ μέγα τι περὶ ἑαυτοῦ φθέγξηται, ἀναχωρεῖ διὰ τὸν θυμὸν τῶν φθονερῶν, ἐνδιδοὺς αὐτῷ λωφῆσαι καὶ λῆξαι τῇ ἀπουσίᾳ αὐτοῦ. *Ἀπῆλθε δὲ εἰς τὸν τόπον, ὅπου ὁ Ἰωάννης τὸ πρότερον ἐβάπτιζεν*, ἵνα ἀναμνησθῶσιν οἱ παρόντες τοῦ γεγονότος, ὅτε ἐβαπτίσθη, σημείου, καὶ τῆς Ἰωάννου μαρτυρίας, ἣν ἐμαρτύρησε περὶ αὐτοῦ, καὶ πιστεύσωσιν, ὃ δὴ καὶ γέγονεν. Ὅρα γάρ·

41 Καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν, καὶ ἔλεγον· Ὅτι
Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν· πάντα δὲ
ὅσα εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν.

Σκόπει, πῶς πρὸς ἑαυτοὺς συλλογίζονται; Ἰωάννης μὲν, σημεῖον ἐποίησεν οὐδέν· οὗτος δὲ πολλά· μείζων ἄρα οὗτος ἐκείνου. Εἶτα λαμβάνουσι καὶ ἕτερον σημεῖον τῆς ὑπεροχῆς· ὅτι *Καὶ πάντα, ὅσα εἶπεν Ἰωάννης περὶ αὐτοῦ, ἀληθῆ ἦν*, ἐκ τῶν ἀποτελεσμάτων φανέντα· εἶπε δὲ, ὅτι *Ὁ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστι* (α), καὶ ἄλλα πολλὰ καὶ μεγάλα, καὶ ὅτι *Κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ* (α).

(α) Ματθ. Γ', 11.

Ἑρμηνεύεται δὲ καὶ ἑτέρως ἁπλούστερον ὁ λόγος· Ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδὲν, πάντα δὲ ὅμως, ὅσα εἶπε περὶ αὐτοῦ, ἀληθῆ ἦν, καὶ διὰ τοῦτο ἀξιόπιστος ἡ μαρτυρία αὐτοῦ.

42 Καὶ ἐπίστευσαν πολλοὶ ἐκεῖ εἰς αὐτόν.

Εἶδες, πόσον αὐτοὺς ὤνησεν ὁ τόπος, καὶ ἡ τῶν πονηρῶν ἀνθρώπων ἀπαλλαγή; Διὰ τοῦτο γὰρ πολλάκις αὐτοὺς ἐξάγει καὶ ἀπάγει τῆς ἐκείνων συνουσίας, ὅπερ οὖν καὶ ἐπὶ τῆς Παλαιᾶς φαίνεται ποιήσας, πόῤῥω τῶν Αἰγυπτίων, ἐπὶ τῆς ἐρήμου, τοὺς Ἑβραίους διαπλάττων καὶ ῥυθμίζων.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τοῦ Λαζάρου.

ΚΕΦ. ΧΙ, 1 Ἦν δέ τις ἀσθενῶν Λάζαρος, ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς.

Εἶτα προστίθησι καὶ γνώρισμα τῆς Μαρίας.

2 (Ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ, καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς· ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει.)

Γνώριμον καὶ διαβόητον αὐτὴν τὸ τοιοῦτον ἔργον ἐποίησεν.

3 Ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς αὐτόν,

Οὐκ ἀπῆλθον, ἀλλ' ἀπέστειλαν, ὡς θαῤῥοῦσαι· πολλὴν γὰρ εἶχον πρὸς αὐτὸν οἰκείωσιν. Ἄλλως τε δὲ, καὶ ὡς γυναῖκες ἀσθενεῖς, καὶ ὡς κατεχόμεναι τῷ πένθει. Ὅτι γὰρ οὐ

(α) Ἰωαν. Α', 34.

καταφρονοῦσαι ἀπέστειλαν, ἐδήλωσαν ὕστερον, ὑπαντήσασαι αὐτῷ μετὰ πολλῆς τῆς σπουδῆς.

3 Λέγουσαι· Κύριε, ἴδε, ὃν φιλεῖς, ἀσθενεῖ.

Τοῦτο εἶπον, ἐπισπάσασθαι αὐτὸν εἰς οἶκτον βουλόμεναι. Ἔτι γὰρ ὡς ἀνθρώπῳ προσεῖχον, μεγάλῳ μὲν, πλὴν οὐχὶ καὶ θεῷ.

4 Ἀκούσας δὲ ὁ Ἰησοῦς, εἶπεν· Αὕτη ἡ ἀσθένεια οὐκ
ἔστι πρὸς θάνατον,

Οὐ γίνεται πρὸς θάνατον κυρίως, ἀλλὰ πρὸς ὕπνον τινά· θάνατος γὰρ κυρίως, ὁ μέχρι τῆς κοινῆς ἀναστάσεως· οὗτος δὲ, καὶ θάνατος, καὶ οὐ θάνατος· τὸ μὲν, διὰ τὴν διάζευξιν τῆς ψυχῆς καὶ τοῦ σώματος· τὸ δὲ, διὰ τὴν ὅσον οὔπω ἀνάστασιν.

4 Ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ θεοῦ,

Τοῦ πατρός.

4 Ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ θεοῦ δι' αὐτῆς.

Δόξα γὰρ τοῦ πατρὸς ἡ δόξα τοῦ υἱοῦ. Κἀνταῦθα δὲ τὸ, ὑπὲρ, καὶ τὸ, *ἵνα*, οὐκ αἰτιολογικὰ, ἀλλὰ δηλωτικὰ τοῦ ἐκβησομένου, ὅτι μέλλει δοξασθῆναι ὁ πατὴρ καὶ ὁ υἱὸς *δι' αὐτῆς*.

Τινὲς (1) δὲ *δόξαν*, τὸν σταυρὸν νοοῦντες, ἑρμηνεύουσιν, ὅτι ὑπὲρ τῆς σταυρώσεως τοῦ θεοῦ, ἵνα σταυρωθῇ ὁ υἱὸς τοῦ θεοῦ δι' αὐτῆς. Ἔμελλον γὰρ οἱ Ἰουδαῖοι, τὴν *ἀνάστασιν* τοῦ Λαζάρου μαθόντες, τῇ ὑπερβολῇ τοῦ τοιούτου *θαύματος* ἐξαφθῆναι πρὸς *ἀκάθεκτον* μανίαν, καὶ διαναστῆναι σπουδαίως εἰς τὸ *ἀποκτεῖναι* αὐτόν.

(1) Πολλάκις ὁ Χρυσόστομος ἐξηγεῖ δόξαν τὸν σταυρόν. Ἀλλ' ἐν τῷ χωρίῳ τούτῳ Τομ. Η'. Σελ. 369 οὐδὲν τοιοῦτον εὑρίσκεται. Οὐδὲ ὁ Κύριλλος Τομ. Δ'. Σελ. 677. Α. ἔχει τι τοιοῦτον. Οὗτος μάλιστα τὸ, ὑπὲρ τῆς δόξης τοῦ θεοῦ, ἐξηγεῖ περὶ τοῦ υἱοῦ. Διαφωνεῖ ἄρα πρὸς τὸν Εὐθύμιον. Ἐν παρόδῳ δὲ φέρεται ἐνταῦθα ὅ,τι λέγει ὁ Κύριλλος Τομ. Δ'. Σελ. 676. Ε. εἰς τὸ, Αὕτη ἡ ἀσθένεια κ. τ. λ. «Λέγει μέντοι ταῦτα ὁ Κύριος, οὐχ ἵνα ἀπελθόντες οἱ ἄνθρωποι ἀπαγγείλωσι ταῖς ἀδελφαῖς τοῦ Λαζάρου, ἀλλ' ὡς θεὸς προλέγων τὸ ἐσόμενον, ὅτι πρὸς δόξαν θεοῦ ἑώρα τὸ τοῦ πράγματος ἀποτέλεσμα κ. τ. λ.»

5 Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν, καὶ τὴν ἀδελ-
φὴν αὐτῆς, καὶ τὸν Λάζαρον.

Οὐ μόνον διὰ τὴν πίστιν αὐτῶν, ἀλλὰ καὶ διὰ τὰς ἄλλας τούτων ἀρετάς.

6 Ὡς οὖν ἤκουσεν, ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν
ᾧ ἦν τόπῳ δύο ἡμέρας.

Τὴν μὲν προῤῥηθεῖσαν ἀπόκρισιν ἔπεμψε παρηγορῶν αὐτάς· αὐτὸς δὲ ἔμεινεν ἔτι, περιμένων, ἵνα ἀποπνεύσῃ καὶ ταφῇ, ὥστε μηδένα δύνασθαι λέγειν, ὅτι οὐκ ἀποθανόντα αὐτὸν ἀνέστησεν, ἀλλὰ καρωθέντα, ἢ ἐκλυθέντα, ἢ κάτοχον γενόμενον.

7 Ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς· Ἄγω-
μεν εἰς τὴν Ἰουδαίαν πάλιν.

Προλέγει τοῦτο, ἵνα τε ἐλέγξῃ τὴν ἐξ ἀπιστίας δειλίαν αὐτῶν, καὶ ἵνα, προμαθόντες, μὴ ταραχθῶσιν ἀθρόον τότε, τῷ ἀπροσδοκήτῳ τοῦ προστάγματος. Ἐν τῇ Ἰουδαίᾳ γὰρ ἦν ἡ Βηθανία.

8 Λέγουσιν αὐτῷ οἱ μαθηταί· Ῥαββί, νῦν ἐζήτουν σε
λιθάσαι οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ;

Νῦν, ἀντὶ τοῦ, πρὸ μικροῦ. Ἐδειλίων μὲν γὰρ, καὶ ὑπὲρ αὐτοῦ· τὸ δὲ πλέον, ὑπὲρ ἑαυτῶν.

9 Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐχὶ δώδεκά εἰσιν ὧραι τῆς
ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσ-
κόπτει· ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει·
10 ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ, προσκόπτει· ὅτι
τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ.

Διὰ παραδείγματος παραθαῤῥύνει αὐτούς, ὅτι, ὥσπερ *Ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ*, ἤγουν, ἐν ἑκάστῃ τῶν δώδεκα ὡρῶν τῆς ἡμέρας, *οὐ προσκόπτει*, καὶ τὰ ἑξῆς· οὕτω καὶ ἐάν τις περιπατῇ ἐν τῷ φωτὶ τῆς ἀρετῆς, οὐ προσκόπτει εἰς κίνδυνον, ὅτι τὸ φῶς τῆς ἀρετῆς βλέπει, καὶ ὁδηγεῖται. Ἐάν δέ τις περιπατῇ ἐν τῷ σκότει τῆς κακίας, προσκόπτει, *ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ*. Λοιπὸν οὖν ὑμεῖς, ἐν τῷ φωτὶ περιπατοῦν-

τες, οὐ προσκόψετε. Καὶ μὴν καὶ αὐτοὶ προσέκοψαν, εἴτουν, ἐκινδύνευσαν· ἀλλ' οὐ τότε. Συλλαμβανόμενος γὰρ εἶπεν· *Εἰ ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν* (α)· περὶ ἐκείνου γὰρ τοῦ καιροῦ νῦν ὁ λόγος.

Νοεῖται δὲ καὶ ἑτέρως, ὅτι *Ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει*, καὶ τὰ ἑξῆς· τουτέστι, Καὶ ἐάν τις περιπατῇ ἐν ἐμοὶ, εἴτουν, μετ' ἐμοῦ, οὐ προσκόπτει, ὅτι ἡ δύναμίς μου ὁδηγεῖ αὐτόν.

11 Ταῦτα εἶπε· καὶ μετὰ τοῦτο λέγει αὐτοῖς· Λάζα-
ρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι, ἵνα
12 ἐξυπνίσω αὐτόν. Εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ· Κύ-
13 ριε, εἰ κεκοίμηται, σωθήσεται. Εἰρήκει δὲ ὁ Ἰησοῦς
περὶ τοῦ θανάτου αὐτοῦ· ἐκεῖνοι δὲ ἔδοξαν, ὅτι περὶ
τῆς κοιμήσεως τοῦ ὕπνου λέγει.

Ἐκεῖνος μὲν εἶπεν, ὅτι *ὁ φίλος ἡμῶν*, ἐμφαίνων ἀναγκαίαν τὴν εἰς αὐτὸν ἄφιξιν· αὐτοὶ δὲ εἶπον, ὅτι *σωθήσεται*, ἤγουν, ὑγιανεῖ, βουλόμενοι ἐγκόψαι τὴν ὁρμὴν αὐτοῦ· οὔπω γὰρ ἀπεβάλοντο τὸν φόβον.

Τὸ δὲ, *Ἵνα ἐξυπνίσω αὐτὸν*, τὸ ῥᾴδιον τῆς ἀναστάσεως ὑποφαίνει. Ἔδει δὲ αὐτοὺς ἐντεῦθεν γοῦν συνιέναι, ὅτι περὶ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως αὐτοῦ φησί. Πῶς γὰρ ἂν ἔμελλε πορεύεσθαι στάδια πεντεκαίδεκα, ὥστε ἐξυπνίσαι αὐτόν; ἀλλ' ἐνόμισαν αἴνιγμά τι εἶναι, οἷα πολλὰ ἔλεγε.

14 Τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παῤῥησίᾳ·

Φανερῶς.

14 Λάζαρος ἀπέθανε· καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύ-
15 σητε, ὅτι οὐκ ἤμην ἐκεῖ·

Καὶ *χαίρω, ὅτι οὐκ ἤμην ἐκεῖ· χαίρω δὲ, δι' ὑμᾶς, ἵνα πιστεύσητε* πλέον, ὅταν ἴδητε αὐτὸν ἀνιστάμενον. Εἰ γὰρ ἦν

(α) Ἰωαν. ΙΗ, 8.

ἐκεῖ, ἢ οὐκ ἂν ἀπέθανεν, ἢ οὐκ ἂν τηλικοῦτον ἐφάνη τὸ θαῦμα, ἢ καὶ ὑπωπτεύθη ἂν, ὡς προειρήκαμεν.

15 Ἀλλ' ἄγωμεν πρὸς αὐτόν.

Ἵνα μὴ δόξωμεν ἀφιλόστοργοι. Τὸ δὲ, *Οὐκ ἤμην*, καὶ τὸ, *Ἄγωμεν*, καὶ τὰ τοιαῦτα, ὡς ἄνθρωπος λέγει.

16 Εἶπεν οὖν Θωμᾶς, ὁ λεγόμενος Δίδυμος, τοῖς συμ-
μαθηταῖς· Ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ'
αὐτοῦ.

Δοκεῖ μὲν εὐτολμίας ὁ λόγος, ἔστι δὲ μᾶλλον δειλίας καὶ ἀπιστίας· ἠπίστει γὰρ, ὅτι οὐ προσκόψουσιν, ὡς προεῖπε, καὶ διὰ τοῦτο προσεδόκα συναναιρεθῆναι πάντας τῷ διδασκάλῳ. Οὐκ ἐπετίμησε δὲ αὐτῷ ὁ Χριστὸς, διαβαστάζων ἔτι τὴν ἀσθένειαν αὐτοῦ. *Δίδυμος* δὲ ἐλέγετο, διὰ τὸ συνάμα ἀδελφῷ γεννηθῆναι.

17 Ἐλθὼν οὖν ὁ Ἰησοῦς, εὗρεν αὐτὸν τέσσαρας ἡμέ-
ρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ.

Αὐτὸς μὲν ἀπέθανε, μεθὸ ἀπέστειλαν αἱ ἀδελφαὶ πρὸς τὸν Χριστὸν, κατ' αὐτὴν ἄρα τὴν ἡμέραν· οὗτος δὲ ἔμεινεν, ἐν ᾧ ἦν τόπῳ, δύο ἡμέρας, αὐτήν τε καὶ ἑτέραν· κατὰ δὲ τὴν τρίτην εἶπε ταῖς μαθηταῖς, ὅτι *Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται*, καὶ τὰ ἑξῆς· ἐν δὲ τῇ τετάρτῃ ἀπῆλθε, περιμείνας, ἵνα ὀζέσῃ, ὥστε πλέον φανῆναι τὸ μεγαλεῖον τῆς αὐτοῦ δυνάμεως. Αὐταὶ δὲ οὐκέτι ἀπέστειλαν πρὸς αὐτὸν, ἀπογνοῦσαι λοιπὸν τὴν ζωὴν τοῦ ἀδελφοῦ.

18 Ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων, ὡς
19 ἀπὸ σταδίων δεκαπέντε· καὶ πολλοὶ ἐκ τῶν Ἰου-
δαίων ἐληλύθεισαν πρὸς τὰς περὶ Μάρθαν καὶ
Μαρίαν, ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελ-
φοῦ αὐτῶν.

Πρὸς *τὰς περὶ Μάρθαν καὶ Μαρίαν*, τουτέστι, πρὸς Μάρθαν καὶ Μαρίαν· καὶ τοῦτο γὰρ ἰδίωμα λόγου. Ἀλλὰ πῶς αὐτὰς

παρεμυθοῦντο, φίλας οὔσας τοῦ Ἰησοῦ; Πάντως, ἢ διὰ τὴν εὐγένειαν αὐτῶν, ἢ διὰ τὰς ἄλλας ἀρετὰς, ἢ διὰ τὸ μέγεθος τῆς συμφορᾶς.

Ἄλλως τε, οὐδ' ἦσαν οὗτοι τῶν πάντη πονηρῶν· καὶ τοῦτο δῆλον ἀπὸ τοῦ πιστεῦσαι πολλοὺς αὐτῶν.

20 Ἡ οὖν Μάρθα ὡς ἤκουσεν, ὅτι Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ· Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο.

Αὐτὴ μόνη τοῦτο ἀκούσασα, οὐκ ἐκοινώσατο καὶ πρὸς τὴν ἀδελφὴν, ἵνα μὴ, κἀκείνης ἐξελθούσης, θορυβηθῶσιν οἱ παραμυθούμενοι.

21 Εἶπεν οὖν ἡ Μάρθα πρὸς τὸν Ἰησοῦν· Κύριε, εἰ
22 ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει· ἀλλὰ
καὶ νῦν οἶδα, ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεὸν, δώσει σοι
ὁ θεός.

Εἰ ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει· ᾐτήσω γὰρ ἂν τὸν θεὸν ὑπὲρ τοῦ μὴ ἀποθανεῖν αὐτὸν, καὶ εἰσηκούσθης ἂν, ὡς θεοφιλής. Οὔπω γὰρ ἐγίνωσκεν, ὅτι εἰ καὶ ὡς ἄνθρωπος ἀπῆν, ἀλλ' ὡς θεὸς παρῆν.

23 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἀναστήσεται ὁ ἀδελφός
24 σου. Λέγει αὐτῷ Μάρθα· Οἶδα, ὅτι ἀναστήσεται
ἐν τῇ ἀναστάσει, ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Ὥστε καὶ τὸ, *Οἶδα, ὅτι, ὅσα ἂν αἰτήσῃ τὸν θεὸν, δώσει σοι ὁ θεὸς*, οὐ περὶ τοῦ ἀναστῆναι αὐτὸν εἶπεν, ἀλλὰ περὶ τοῦ μὴ ἀποῤῥιφῆναι αὐτὸν τοῦ θεοῦ. Οὔπω γὰρ εἶχε περὶ τοῦ Χριστοῦ τὴν προσήκουσαν ὑπόληψιν· καὶ γὰρ οὐδ' οἱ μαθηταὶ, καίτοι τοσαῦτα καὶ τοιαῦτα καὶ ἀκούσαντες, καὶ ἰδόντες.

25 Εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ
ἡ ζωή·

Ἡ δύναμις τῆς ἀναστάσεως, καὶ ἡ πηγὴ τῆς ζωῆς, ὁ ἀνιστῶν καὶ ὁ ζωῶν, ὡς θεός. Πρῶτον μὲν οὖν μετρίως εἶπεν, *Ἀναστήσεται ὁ ἀδελφός σου·* ἐκείνης δὲ μὴ συνιείσης, ἀποκαλύπτει λοιπὸν τὴν κεκρυμμένην ἐξουσίαν αὐτοῦ, καὶ ἀνάγει τὸν νοῦν αὐτῆς.

25 Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ
26 πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ
εἰς τὸν αἰῶνα.

Κἂν ἀποθάνῃ ἤδη τὸν ἐνταῦθα θάνατον, ζήσεται τὴν ἐκεῖ ζωὴν, τὴν μακαρίαν· καὶ ὁ ζῶν ἔτι τὴν ἐνταῦθα ζωὴν, οὐ μὴ ἀποθάνῃ τὸν ἐκεῖ θάνατον, τὸν ἄθλιον. Ταῦτα εἰπὼν, ἔδειξεν, ὅτι ἐκεῖνά εἰσιν ἀληθὴς ζωὴ καὶ ἀληθὴς θάνατος, ὡς ἀναλλοίωτα καὶ ἀδιάδοχα, κἀκείνων μάλιστα φροντιστέον.

26 Πιστεύεις τοῦτο;

Τὸ ἐμὲ εἶναι τὴν ἀνάστασιν, καὶ τὴν ζωὴν, καὶ τὰ ἑξῆς;

27 Λέγει αὐτῷ· Ναὶ, Κύριε· ἐγὼ πεπίστευκα, ὅτι σὺ εἶ
ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρ-
χόμενος.

Ὅτι μὲν μεγάλα περὶ ἑαυτοῦ εἶπεν, ἔγνω· πῶς δὲ ταῦτα εἶπεν, ἠγνόησε· διὰ τοῦτο ἕτερον ἐρωτηθεῖσα, ἕτερον ἀποκρίνεται. Ἀλλὰ πόθεν ἐγίνωσκεν, ὃ ἀπεκρίθη; Ἀπὸ τῶν πιστευόντων εἰς αὐτόν. Καὶ γὰρ καὶ ὅπερ ἀνωτέρω εἶπε, τὸ, *Οἶδα, ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει, ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ*, ὑπ' αὐτοῦ τε τοῦ Χριστοῦ διδάσκοντος ἔμαθε, καὶ ἀπὸ τῶν μαθητῶν αὐτοῦ. Πολλάκις γὰρ παρ' αὐταῖς μετ' αὐτῶν ἐξενοδοχεῖτο.

28 Καὶ ταῦτα εἰποῦσα, ἀπῆλθε, καὶ ἐφώνησε Μαρίαν
τὴν ἀδελφὴν αὐτῆς λάθρα, εἰποῦσα· Ὁ διδάσκαλος
πάρεστι, καὶ φωνεῖ σε.

Προσδοκήσασά τι ἀγαθὸν ἀπὸ τῶν λόγων αὐτοῦ, τρέχει, καὶ καλεῖ τὴν ἀδελφὴν λάθρα, ἵνα μὴ οἱ παρόντες Ἰουδαῖοι τοῦτο γνῶσι, καὶ ἴσως καταμηνύσωσιν αὐτὸν τοῖς ἐπιβουλεύουσιν. Εἶπε δὲ, ὅτι *φωνεῖ σε*, ἵνα θᾶττον ἀπαντήσῃ.

29 Ἐκείνη ὡς ἤκουσεν, ἐγείρεται ταχὺ, καὶ ἔρχεται
πρὸς αὐτόν.

Ὑπὸ πολλῆς μάλα τῆς πρὸς αὐτὸν τιμῆς.

30 (Οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην· ἀλλ'
ἦν ἐν τῷ τόπῳ, ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα.)

Ἦν ἔτι ἐκεῖ, διδάσκων τοὺς σὺν αὐτῷ, καὶ προφάσει τοῦ διδάσκειν, περιμένων αὐτὰς, ἵνα μὴ δόξῃ ἐπιπηδᾷν, ὡς φιλόδοξος, τῷ θαύματι. Ἢ τοῦτο εἶπεν ὁ εὐαγγελιστὴς, ἐμφαίνων, ὅτι καὶ ἡ καλέσασα, καὶ ἡ κληθεῖσα τοσοῦτον ὀξέως ἔδραμον, ὡς προφθάσαι αὐτὸν ἐκεῖ.

31 Οἱ οὖν Ἰουδαῖοι, οἱ ὄντες μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ
καὶ παραμυθούμενοι αὐτὴν, ἰδόντες τὴν Μαρίαν,
ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐ-
τῇ, λέγοντες· Ὅτι ὑπάγει εἰς τὸ μνημεῖον, ἵνα
κλαύσῃ ἐκεῖ.

Ἠκολούθησαν μὲν, καθέξοντες, εἴ που τι μέλλοι καθ' ἑαυτῆς διαπράξασθαι· γεγόνασι δὲ μάρτυρες τοῦ θαύματος ἀπαράγραπτοι.

32 Ἡ οὖν Μαρία, ὡς ἦλθεν, ὅπου ἦν ὁ Ἰησοῦς, ἰδοῦσα
αὐτὸν, ἔπεσεν αὐτοῦ εἰς τοὺς πόδας, λέγουσα αὐτῷ·
Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός.

Εἰ καὶ θερμοτέρα ἦν τῆς ἀδελφῆς πρὸς τὴν εἰς αὐτὸν τιμήν· καὶ γὰρ αὕτη ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ· ἀλλά γε τὰ αὐτὰ λέγει, τὴν αὐτὴν καὶ αὐτὴ περὶ αὐτοῦ ὑπόληψιν ἔχουσα.

33 Ἰησοῦς οὖν, ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ τοὺς
συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, ἐνεβρι-
μήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτόν·

Οὐκ εἶπε πρὸς αὐτὴν, ἃ καὶ πρὸς τὴν ἀδελφὴν, διὰ τοὺς συνελθόντας· ἅμα δὲ καὶ ἐγίνωσκεν, ὅτι μαθήσεται ταῦτα παρ' ἐκείνης κατὰ σχολήν. Κινηθείσης δὲ ἤδη τῆς ἐν αὐτῷ ἀνθρωπίνης φύσεως εἰς συμπάθειαν· τὸ γὰρ ὁρᾷν ἑτέρους δρα-

κρύοντας ἐρεθίζειν οἶδε πρὸς οἶκτον τοὺς φιλανθρώπους· *Ἐνε-*
βριμήσατο τῷ πνεύματι, τουτέστιν, ἐπετίμησε τῷ πάθει, ἀ-
ναχαιτίζων αὐτὸ, δριμύ τι καὶ αὐστηρὸν ἐνέβλεψε τῇ συγχύ-
σει, ἵνα μὴ μετὰ δακρύων ποιήσηται τὴν ἐρώτησιν. *Πνεῦμα*
γὰρ ἐνταῦθα νοεῖται, τὸ πάθος τῆς συγχύσεως. Ἐμβριμησά-
μενος δὲ, *ἐτάραξεν ἑαυτὸν*, ἤγουν διέσεισε· συμβαίνει γὰρ
τινάσσεσθαι τὰ ἀνωτέρω μέρη τῶν οὕτως ἐμβριμωμένων.

Τινὲς δὲ *πνεῦμα*, τὴν θεότητα αὐτοῦ νοοῦντες, ἑρμηνεύου-
σιν, ὅτι ἐνεβριμήσατο τῇ ἀνθρωπίνῃ φύσει ἐν τῇ θεότητι, καὶ
ἐκλόνησεν αὐτὴν φοβηθεῖσαν τὴν ἐμβρίμησιν.

34 Καὶ εἶπε· Ποῦ τεθείκατε αὐτόν; Λέγουσιν αὐτῷ·
35 Κύριε, ἔρχου καὶ ἴδε. Ἐδάκρυσεν ὁ Ἰησοῦς.

Ὡς ἄνθρωπος μὲν καὶ ἐρωτᾷ, καὶ δακρύει, καὶ τἄλλα ποιεῖ, ὅσα βεβαιοῦσιν, ὅτι ἄνθρωπός ἐστιν· ὡς δὲ Θεὸς, ἀνιστᾷ τὸν τεταρταῖον καὶ ὀδωδότα νεκρὸν, καὶ τὰ λοιπὰ ἐνεργεῖ, ὅσα μαρτυροῦσιν, ὅτι Θεός ἐστιν. Βούλεται γὰρ ἀμφοτέρας αὐτοῦ τὰς φύσεις διαγινώσκεσθαι, καὶ διὰ τοῦτο τὰ μὲν, ἀνθρωποπρεπῶς, τὰ δὲ, θεοπρεπῶς ἐπιδείκνυται.

36 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι· Ἴδε, πῶς ἐφίλει αὐτόν!

Ἰδόντες αὐτὸν δακρύσαντα.

37 Τινὲς δὲ ἐξ αὐτῶν εἶπον· Οὐκ ἠδύνατο οὗτος, ὁ
ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι, ἵνα
καὶ οὗτος μὴ ἀποθάνῃ;

Ἀδυναμίαν ὀνειδίζουσιν αὐτῷ, καὶ εἰρωνευόμενοι λέγουσιν, *Ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ*· ἀπὸ τοῦ μὴ ποιῆσαι τοῦτο, κἀκεῖνο ψευδὲς οἰόμενοι. Ἀγνοοῦσι δὲ, ὅτι ὃ μέλλει ποιῆσαι, μεῖζόν ἐστι· τοῦ γὰρ κωλῦσαι ἐπιόντα τὸν θάνατον, μεῖζον τὸ παραγενόμενον ἤδη καὶ κυριεύσαντα ἀπελάσαι αὐτόν.

38 Ἰησοῦς οὖν πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται
εἰς τὸ μνημεῖον.

Ἐδάκρυσε μὲν, ἀφεὶς τὴν φύσιν ἐνδείξασθαι τὰ ἑαυτῆς· ὀλί-

γον δὲ, μέτρα τῶν ἐπὶ νεκροῖς δακρύων παραδιδοὺς ἡμῖν. Εἶτα πάλιν ἐμβριμᾶται τῷ πάθει, κωλύων ἐκπεσεῖν εἰς ἀμετρίαν.

38 Ἦν δὲ σπήλαιον, καὶ λίθος ἐπέκειτο ἐπ' αὐτῷ.
39 Λέγει ὁ Ἰησοῦς· Ἄρατε τὸν λίθον.

Διὰ τί οὐκ ἀνέστησεν αὐτὸν, ἐπικειμένου τοῦ λίθου; Ἵνα οἱ τὸν λίθον ἄραντες, καὶ πρῶτοι τῆς ὀσμῆς ὀσφρανθέντες, αὐτοὶ μαρτυρήσωσι μάλιστα τῷ θαύματι. Διὰ τοῦτο γὰρ καὶ οὐκ ἀπὼν ἀνέστησεν αὐτὸν, καὶ μετὰ πολλῶν ἦλθεν εἰς τὸ μνημεῖον, καὶ δεδεμένον κειρίαις καὶ σουδαρίῳ ἤγειρεν αὐτὸν, καὶ προσέταξε λῦσαι αὐτὸν, πρὸς ἀναντίῤῥητον ἀπόδειξιν τοῦ θαύματος, ἵνα διὰ πάντων τούτων ἡ ἀλήθεια μαρτυρηθῇ, καὶ μὴ πάλιν, ὡς ἐπὶ τοῦ τυφλοῦ, γένηταί τις ἀμφιβολία.

39 Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος, **Μάρθα· Κύριε**, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστι.

Ἤδη *ὄζει*, καὶ λοιπὸν, ἀδύνατον ἀναστῆναι αὐτὸν διεφθορότα. Προείρηται γὰρ, ὅτι οὔπω περὶ αὐτοῦ τὴν προσήκουσαν ὑπόληψιν εἶχεν, οὐδὲ ἃ εἶπεν αὐτῇ, νενόηκε.

40 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Οὐκ εἶπόν σοι, ὅτι, ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ θεοῦ;

Εἰκὸς γὰρ, καὶ τοῦτο εἰπεῖν αὐτῇ, ἢ τοῦτο νοῆσαι ἐδίδω, ἃ εἶπεν αὐτῇ.

41 Ἦραν οὖν τὸν λίθον, οὗ ἦν ὁ τεθνηκὼς κείμενος.

Ἦραν αὐτὸν ἀπὸ τοῦ τόπου, ὅπου ἦν κείμενος.

41 Ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω, καὶ εἶπε· Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου.

Ὁρᾷ ἄνω, καὶ εὐχαριστεῖ, ἵνα πιστευθῇ, ὅτι παρὰ τοῦ θεοῦ ἀπεστάλη· αὐτὸς γὰρ προϊὼν διδάσκει, ταύτην εἶναι τὴν αἰτίαν· ἔλεγον γὰρ οἱ Ἰουδαῖοι, ὅτι Οὐκ ἔστιν ἀπὸ θεοῦ. Ἀλλὰ πῶς εἶπεν, *ὅτι ἤκουσάς μου*; οὐ γὰρ ηὔξατο. Οὐκ ηὔξατο μὲν, ἐμφαίνων, ὅτι οὐ δεῖται εὔξασθαι· εἶπε δὲ, ὅτι *ἤκουσάς μου*,

ὑποδηλῶν τὸ ταὐτὸν τοῦ θελήματος. *Εὐχαριστῶ σοι*, ὅτι ἠθέλησας, ὃ θέλω.

42 Ἐγὼ δὲ ᾔδειν, ὅτι πάντοτέ μου ἀκούεις·

Πάντοτε θέλεις, ἃ θέλω· τὸ αὐτὸ γὰρ ἀμφοτέροις θέλημα, ἡ αὐτὴ γνώμη. Εἶτα προστίθησι καὶ τὴν αἰτίαν τῆς τοιαύτης εὐχαριστίας, καὶ τῶν ταπεινῶν ῥημάτων.

42 Ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον,

Τὸ, *Εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου*, διὰ τὴν ἀσθένειαν τῶν περιεστώτων.

42 Ἵνα πιστεύσωσιν, ὅτι σύ με ἀπέστειλας.

Τοῦτο γὰρ ἦν ἀναγκαιότατον. Ὁ γὰρ πιστεύσας, ὅτι ὁ θεὸς αὐτὸν ἀπέστειλε, πιστεύσει πάντως καὶ τοῖς λόγοις αὐτοῦ, τοῖς τε ἄλλοις, καὶ τοῖς περὶ τοῦ εἶναι αὐτὸν υἱὸν τοῦ θεοῦ· ὁ δὲ μὴ πιστεύσας, ὅτι ὁ θεὸς αὐτὸν ἀπέστειλεν, οὐδὲ τοὺς λόγους αὐτοῦ παραδέξεται.

43 **Καὶ** ταῦτα εἰπὼν, φωνῇ μεγάλῃ ἐκραύγασε· Λάζαρε, δεῦρο ἔξω.

Φωνῇ μεγάλῃ ἐκραύγασεν, ἐνδεικνύμενος, ὅτι καλεῖ τὴν ψυχὴν οὐ παροῦσαν, ἀλλ' ἀποῦσαν πόῤῥω· καὶ ἵνα πάντες οἱ παρόντες ἀκούσωσι τὸ ἐξουσιαστικὸν τοῦτο κέλευσμα, καὶ ὅταν ἴδωσιν εἰς ἔργον ἐκβὰν, ὑψηλόν τι καὶ θεοπρεπὲς περὶ αὐτοῦ ἐννοήσωσιν.

Οὐκ εἶπε δὲ, *Ἀνάστηθι*, ἀλλὰ *Δεῦρο ἔξω*· ὡς ζῶντι τῷ τεθνηκότι διαλεγόμενος· παρὰ γὰρ τῷ θεῷ καὶ οἱ νεκροὶ ζῶσι. Τοῦτο οὖν ἐστιν, ὃ ἔλεγεν· *Ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται* (α). Ὅρα γάρ·

44 **Καὶ** ἐξῆλθεν ὁ τεθνηκὼς, δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις·

Δεσμοῖς νεκροστολικοῖς. Ὢ μεγίστου καὶ διπλοῦ θαύματος!

(α) Ἰωαν. Ε, 25.

Οὐ μόνον σεσηπὼς ὢν ἀνέστη, ἀλλὰ καὶ δεδεμένος ὤν, ἐξῆλθε τοῦ μνημείου. Ἡ μὲν οὖν εὐχαριστία, τῆς οἰκονομίας· τὸ δὲ κέλευσμα καὶ τὸ ἔργον, τῆς ἐξουσίας· ἐκείνη, διὰ τὴν ἐκείνων ἀσθένειαν· ταῦτα δὲ, διὰ τὴν τούτου δύναμιν. Διὰ ταῦτα προλαβὼν ἔλεγεν· *Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε* (α).

44 Καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο.

Φακιολίῳ μικρῷ, οἵῳ χρῶνται μέχρι καὶ νῦν Ἑβραῖοι καλύμματι κεφαλῆς,

44 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν.

Ὑμεῖς *αὐτὸν λύσατε*, ἵνα καὶ ἡ ἀφὴ μαρτυρήσῃ, ὅτι οὐ φάσμα, ἀλλ᾽ ἐκεῖνος ὄντως ἐστὶν, *καὶ ἄφετε ὑπάγειν*, ἵνα μὴ, μετ᾽ αὐτοῦ περιπατῶν, εὐφημίας αὐτῷ καὶ κρότου γίνηται αἴτιος, καὶ ἵνα κατὰ σχολὴν τελεώτερον αὐτὸν περιεργάζωνται οἱ βουλόμενοι.

Εἴη δὲ καὶ τὸν ἐμὸν νοῦν, ἐντεθαμμένον *μνημείῳ* τῶν παθῶν, καὶ δεδεμένον κειρίαις αὐτῶν, καὶ λίθον ἀναισθησίας ἐπικείμενον ἔχοντα, καὶ ὄζοντα δυσωδίᾳ τῶν ἁμαρτιῶν, τῷ λόγῳ τοῦ λόγου ἐξαναστῆναι!

45 Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων, οἱ ἐλθόντες πρὸς
τὴν Μαρίαν, καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ Ἰησοῦς,
46 ἐπίστευσαν εἰς αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον
πρὸς τοὺς Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ Ἰησοῦς.

Οὐχ ὡς θαυμάζοντες, ἀλλὰ διαβάλλοντες, ὡς γόητα. Οὗτοι δέ εἰσιν οἱ εἰπόντες· *Οὐκ ἠδύνατο οὗτος, ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ*, καὶ τὰ ἑξῆς.

(α) Ἰωαν. Ι', 37.

47 Συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συν-
έδριον, καὶ ἔλεγον· Τί ποιοῦμεν; ὅτι οὗτός ὁ ἄν-
48 θρωπος πολλὰ σημεῖα ποιεῖ. Ἐὰν ἀφῶμεν αὐτὸν
οὕτω, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος.

Ἀροῦσιν, ἤγουν, ἀπολέσουσιν. Εὐπρόσωπον δὲ ἀφορμὴν ἐπιθεῖναι τῇ κατὰ τοῦ Σωτῆρος ἐπιβουλῇ θέλοντες, καὶ τὸν λαὸν κινῆσαι κατ᾽ αὐτοῦ μηχανώμενοι, προφασίζονται τὸν φόβον τῶν Ῥωμαίων, ὅτι, ἐὰν πάντες πιστεύσωσιν εἰς αὐτὸν, ὑποπτευθήσεται τυραννίδα μελετᾷν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀπολέσουσι πάντας, ὡς κοινωνοὺς τῆς τυραννίδος καὶ ἀποστασίας.

Καὶ μὴν αὐτὸς μὲν ἀποστασίαν οὐκ ἐδίδαξεν, ἀλλὰ καὶ μᾶλλον ἐπέτρεψε κῆνσον ἀποδοῦναι Καίσαρι· καὶ βουλομένων τῶν ὄχλων ποιῆσαι αὐτὸν βασιλέα, ἔφυγε, καὶ εὐτελῶς περιήρχετο, καὶ βίον ἄριστον ὑπετίθετο, ἅπερ ἀναίρεσίς ἐστι μᾶλλον τυραννίδος· αὐτοὶ δὲ, εἰ καὶ μὴ προσδοκῶντες, ἀλλ᾽ ἐκ φθόνου προεφασίσαντο τὴν Ῥωμαίων ἀπώλειαν, ὅμως πεπόνθασιν, ἃ προεφασίσαντο, οὐ διότι ἐπείθοντο τῷ Χριστῷ, ἀλλὰ διότι οὐκ ἐπείθοντο. Δι᾽ ἐκεῖνον γὰρ προεδόθησαν, ὡς καὶ Ἰώσηπος μαρτυρεῖ (1). Καὶ αὐτοὶ μὲν προεφασίζοντο ἀνελεῖν αὐτὸν, ἵνα μὴ ἐξολοθρευθῶσιν ὑπὸ Ῥωμαίων· ἐπεὶ δὲ ἀνεῖλον, ἐξωλοθρεύθησαν· καὶ ἅπερ, ὡς διαφευξόμενοι, ἔπραξαν, ταῦτα, ἐπειδὴ ἔπραξαν, οὐ διέφυγον.

49 Εἷς δέ τις ἐξ αὐτῶν, Καϊάφας,

Ὀνομαζόμενος, δηλονότι.

49 Ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου,

Ἐξοκειλάντων γὰρ εἰς παρανομίας, ὁ δυνάμενος ἐνιαυσιαίαν ὠνεῖτο τὴν ἀρχιερωσύνην ἀπὸ τῶν Ῥωμαίων· καὶ αὐτὸς μὲν

(1) Ιδ. εἰς Ιωαν. Ή, 28.

ἦρχεν ἐν τῷ ἐνιαυτῷ αὐτοῦ, οἱ πρὸ αὐτοῦ δὲ συνήδρευον καὶ συνεβούλευον αὐτῷ, καλούμενοι καὶ αὐτοὶ ἀρχιερεῖς, ὡς καὶ αὐτοὶ ἀρχιερατεύσαντες, περὶ ὧν καὶ ἐν τῷ κατὰ Ματθαῖον εὐαγγελίῳ δεδηλώκαμεν.

49 Εἶπεν αὐτοῖς· Ὑμεῖς οὐκ οἴδατε οὐδέν·

Οὐδὲν συμφέρον, οὐδὲν χρήσιμον, οὕτω ῥαθύμως διακείμενοι.

50 Οὐδὲ διαλογίζεσθε, ὅτι συμφέρει ἡμῖν, ἵνα εἷς ἄνθρω-
πος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος
51 ἀπόληται. Τοῦτο δὲ ἀφ᾽ ἑαυτοῦ οὐκ εἶπεν·

Τοῦτο· ποῖον; τὸ, *Ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ.*

51 Ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, *προεφή-
τευσεν*, ὅτι ἔμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ
ἔθνους·

Οὐχ ὡς ἄξιος, προεφήτευσεν· ἀλλ᾽, ὡς ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου· οὐ δι᾽ οἰκείαν ἀρετήν· ἀλλὰ διὰ τὸ ἀρχιερατικὸν ἀξίωμα. Ἔτι γὰρ ἡ θεία χάρις παρέμενε τῷ ναῷ, ἥτις τῷ στόματι αὐτοῦ χρησαμένη, τῆς καρδίας οὐχ ἥψατο.

Προεφήτευσε δὲ, *ὅτι ἔμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους* τῶν Ἰουδαίων· ὑπὲρ αὐτῶν γὰρ ἀπέθανε, σπουδάζων σῶσαι αὐτούς· ἔλεγε γάρ· *Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ* (α)· καὶ πάλιν ἔλεγε· *Καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων* (β). Ἵνα δὲ μὴ δόξῃ ὑπὲρ αὐτῶν μόνων ἀποθανεῖν, προστίθησι·

52 Καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ᾽ ἵνα καὶ τὰ
τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν.

Ὥσπερ γὰρ ἐνηνθρώπησεν, οὐχ ὑπὲρ τῶν Ἰουδαίων μόνων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων ἐθνῶν· οὕτως ἄρα καὶ ἀπέθανεν, οὐχ ὑπὲρ ἐκείνων μόνων, ἀλλὰ καὶ ὑπὲρ τούτων. Ἃ γὰρ ἐδίδασκε καὶ ἐποίει, καὶ ὑπὲρ τούτων ἦσαν, ἵνα προηγουμένως ἐκεῖνοι μαθόντες, ὡς καὶ πρῶτοι πάλαι τὸν θεὸν ἐπιγνόντες,

(α) Ματθ. ΙΕ, 24. (β) Ἰωαν. Ι', 15.

ἔπειτα καὶ τούτους διδάξωσι. *Τέκνα* μὲν οὖν *τοῦ θεοῦ*, τὰ ἔθνη ὠνόμασεν, ὡς μέλλοντα γενέσθαι. Καὶ γὰρ καὶ ὁ Χριστὸς πρόβατα αὐτοῦ ταῦτα προσηγόρευσεν, ἀπὸ τοῦ μέλλοντος. *Διεσκορπισμένα* δὲ τοῖς διαφόροις περὶ θεοῦ δόγμασι, παρὰ τὸ μὴ ἔχειν ποιμένα καλόν· *συναγάγῃ* δὲ *εἰς ἓν* ποίμνιον, εἰς μίαν πίστιν. Οἱ δὲ λοιποὶ, οὐχ ὡς προφητείαν, ἀλλ᾽ ὡς συμβουλὴν τὸν λόγον δεξάμενοι, κυροῦσιν αὐτόν.

53 Ἀπ᾽ ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο, ἵνα
ἀποκτείνωσιν αὐτόν.

Καὶ μὴν καὶ πρότερον ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὡς προείρηται· ἀλλὰ νῦν μετὰ συμβουλῆς καὶ σκέψεως ἐκύρωσαν τὴν γνώμην, νῦν μετὰ πάσης προθυμίας καὶ σπουδῆς ἐπεχείρησαν.

54 Ἰησοῦς οὖν οὐκέτι παῤῥησίᾳ περιεπάτει ἐν τοῖς
Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν
ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραὶμ λεγομένην πόλιν·
κἀκεῖ διέτριβε μετὰ τῶν μαθητῶν αὐτοῦ.

Οὐκέτι φανερῶς περιεπάτει, ἀλλὰ *ἀπῆλθεν εἰς τὴν χώραν τὴν ἐγγὺς τῆς ἐρήμου*, ἤγουν, *εἰς πόλιν Ἐφραὶμ* ὀνομαζομένην, ἀπὸ τοῦ φυλάρχου Ἐφραίμ. Ἀνθρωπίνως γὰρ σώζει ἑαυτὸν, ἀναμένων ἔτι τὸν καιρόν. Πῶς οὖν οἴει θορυβεῖσθαι τοὺς μαθητὰς, ὁρῶντας αὐτὸν ἀνθρωπίνως σωζόμενον;

55 Ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων· καὶ ἀνέ-
βησαν πολλοὶ εἰς Ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ
τοῦ πάσχα,

Ἐκ τῆς χώρας τῶν Ἱεροσολύμων.

55 Ἵνα ἁγνίσωσιν ἑαυτούς.

Κατὰ τὸν νόμον.

56 Ἐζήτουν οὖν τὸν Ἰησοῦν, καὶ ἔλεγον μετ᾽ ἀλλήλων
ἐν τῷ ἱερῷ ἑστηκότες· Τί δοκεῖ ὑμῖν; ὅτι οὐ μὴ
ἔλθῃ εἰς τὴν ἑορτήν;

Καλὸς ἁγνισμὸς, μετὰ ἐπιβουλῆς καὶ προαιρέσεως μιαιφόνου! Τὴν ἑορτὴν οὖν ἐποιοῦντο θήρατρον αὐτοῦ.

57 Δεδώκεισαν δὲ καὶ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι
ἐντολὴν, ἵνα, ἐάν τις γνῷ ποῦ ἐστι, μηνύσῃ, ὅπως
πιάσωσιν αὐτόν.

Θαυμαστὴ τῶν ἀρχιερέων ἡ ἐντολὴ, προδοσία ἐπὶ θανάτῳ! Ὢ τῶν ἀνοσίων! Οἵοις μὲν προοιμίοις τιμῶσι τὴν ἑορτήν! οἵαις δὲ ψυχαῖς, φόνου πνεούσαις, ἑορτάζειν μέλλουσιν!.

ΚΕΦ. XII, 1 Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πά-
σχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τε-
2 θνηκώς, ὃν ἤγειρεν ἐκ νεκρῶν. Ἐποίησαν οὖν αὐτῷ
δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος
εἷς ἦν τῶν συνανακειμένων αὐτῷ.

Αὐτὸς μὲν ἦλθεν ἐκεῖ, πλησιάζων κατὰ μικρὸν τοῖς Ἱεροσολύμοις, ἐγγίζοντος ἤδη τοῦ καιροῦ τοῦ πάθους αὐτοῦ· ἅμα δὲ, ἵνα οἱ μαθηταὶ θεάσωνται τὸν ἐκ νεκρῶν ἀναστάντα Λάζαρον ἐσθίοντα. Αἱ ἀδελφαὶ δὲ ἐποίησαν αὐτῷ δεῖπνον, ὡς διδασκάλῳ, καὶ εὐεργέτῃ, καὶ ὑπὲρ ἄνθρωπον.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ.

Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ.

3 Ἡ οὖν Μαρία, λαβοῦσα λίτραν μύρου νάρδου πιστι-
κῆς πολυτίμου,

Πιστικῆς, ἤτοι ἀκράτου καὶ καταπεπιστευμένης εἰς καθαρότητα, ἢ καὶ προσηγορία τις ἦν τοῦτο μύρου.

3 Ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ,

Ὡς δεσπότου αὐτῆς, ὡς θεοῦ.

3 Καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ·

Ἐνδεικνυμένη τὸ μέγεθος τῆς εἰς αὐτὸν τιμῆς καὶ πίστεως. Ἀνάγνωθι δὲ και το ἑξηκοστὸν δεύτερον κεφάλαιον τοῦ κατὰ Ματθαῖον, χρησιμεῦον εἰς τὰ παρόντα.

3 Ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου.

Ἔμελλε γὰρ καὶ ὁ κόσμος πληρωθῆναι τῆς εὐωδίας τοῦ Ἰησοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ.

Περὶ ὧν εἶπεν Ἰούδας.

4 Λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἰούδας
Σίμωνος Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν παραδιδό-
5 ναι· Διατί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων
6 δηναρίων, καὶ ἐδόθη πτωχοῖς; Εἶπε δὲ τοῦτο, οὐχ
ὅτι περὶ τῶν πτωχῶν ἔμελλεν αὐτῷ, ἀλλ' ὅτι
κλέπτης ἦν, καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὰ
βαλλόμενα ἐβάσταζεν.

Εἴρηται περὶ τούτου σαφῶς ἐν τῷ δηλωθέντι κεφαλαίῳ, ἔνθα κεῖται τό· *Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο, ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη, εἰς μνημόσυνον αὐτῆς* (α)· καὶ ζήτησον τὴν ὅλην ἐξήγησιν αὐτοῦ.

Οὐκ ἤλεγξε δὲ τὸν σκοπὸν τοῦ Ἰούδα ὁ Χριστὸς, τῇ πολλῇ μακροθυμίᾳ βουλόμενος ἐπιστρέψαι αὐτόν. Ἀλλὰ πῶς, κλέπτοντα αὐτὸν εἰδὼς, βαλλαντιοφύλακα εἶναι αὐτὸν εἴασε; Πάντως διὰ τὴν ἀσθένειαν ἐκείνου, ἵνα τὴν φιλαργυρίαν ἐκεῖθεν παραμυθούμενος, μὴ δι' αὐτὴν ἐμπέσῃ εἰς προδοσίαν τοῦ διδασκάλου.

7 Εἶπεν οὖν ὁ Ἰησοῦς· Ἄφες αὐτήν· εἰς τὴν ἡμέραν
τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό.

Εἰς τὴν *ἡμέραν τοῦ ἐνταφιασμοῦ μου* ἐφύλαξε τὸ μύρον, ἤγουν, εἰς τὸν καιρὸν τοῦ ἐνταφιασμοῦ μου, ὡσανεὶ προφητεύουσα τὸν πλησιάζοντά μου θάνατον. Τοῦτο δὲ φανερώτερον ὁ Μάρκος ἔγραψε, ῥηθὲν καὶ περὶ τῆς ἄλλης γυναικός.

(α) Ματθ. ΚϚ', 13.

Εἴρηκε γάρ· ὅτι *Προέλαβε μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν* (α). Ἔθος γὰρ ἦν, μύροις ἐνταφιάζειν τὰ σώματα πρὸς τὸ διαρκεῖν.

8 Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν,
ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.

Παρὰ δὲ τῷ Μάρκῳ εἴρηκε· *Πάντοτε τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, καὶ, ὅταν θέλητε, δύνασθε αὐτοὺς εὖ ποιῆσαι* (β). Εἰπὼν δέ· ὅτι *Ἐμὲ δὲ οὐ πάντοτε ἔχετε*· ὑπόμνησιν αὐτοῖς ἐνέβαλε τῆς μετ' ὀλίγον σφαγῆς αὐτοῦ.

9 Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων, ὅτι ἐ-
κεῖ ἐστι· καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ'
ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν.
10 Ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς, ἵνα καὶ τὸν Λάζαρον
11 ἀποκτείνωσιν· ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν
Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν.

Τὸν μὲν Χριστὸν ἐζήτουν ἀποκτεῖναι, προφασιζόμενοι, ὅτι λύει τὸ σάββατον, καὶ ὅτι ἴσον ἑαυτὸν ποιεῖ τῷ Θεῷ, καὶ ὅτι πολλοὶ πιστεύουσιν εἰς αὐτόν· τὸν δὲ Λάζαρον διὰ τί; διότι ἀνέζησε; Καὶ ποῖον ἔγκλημα τὸ ἀναζῆσαι; Φθόνος οὖν τὸ πᾶν! Ἐφθόνουν γὰρ οὐ μόνον τῷ εὐεργετοῦντι, ἀλλὰ καὶ τοῖς εὐεργετουμένοις· διὸ καὶ τὸν τυφλὸν ἐξέβαλον ἔξω, καὶ τὸν Λάζαρον ἀνελεῖν βουλεύονται. Οὕτως ἦσαν οὐ φθονεροὶ μόνον, ἀλλὰ καὶ ταχεῖς εἰς φόνους. Διὸ καὶ ὁ προφήτης περὶ αὐτῶν ἔλεγεν· *Αἱ χεῖρες αὐτῶν αἵματος πλήρεις* (γ). Ἔδακνε δὲ αὐτοὺς καὶ τὸ, τῆς ἑορτῆς ἐγγιζούσης, πολὺν ὄχλον ἀφεῖναι ταύτην, καὶ τρέχειν πρὸς αὐτόν.

12 Τῇ ἐπαύριον ὄχλος πολὺς, ὁ ἐλθὼν εἰς τὴν ἑορτὴν,
ἀκούσαντες, ὅτι ἔρχεται ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα,
13 ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον εἰς ὑ-
πάντησιν αὐτῷ,

Ἵνα μὴ δι' αὐτὸν ἀνέλωσι τὸν Λάζαρον, ἔρχεται πρὸς τὰ Ἱεροσόλυμα· ἅμα δὲ, ἵνα καὶ ὁ ὄχλος μετὰ τῶν βαΐων ὑπαντήσῃ αὐτῷ, καὶ καταπλαγῶσιν οἱ ἐπιβουλεύοντες, καὶ δυνηθῶσι συνιέναι. Ἔλαβον δὲ τὰ βαΐα, σύμβολον νίκης, τούτοις αὐτὸν, ὡς νικητὴν τοῦ θανάτου, γεραίροντες.

(α) Μαρκ. ΙΔ', 8. (β) Μαρκ. ΙΔ', 7. (γ) Ἠσ. Α', 15.

13 Καὶ ἔκραζον· Ὠσαννὰ, εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου, ὁ βασιλεὺς τοῦ Ἰσραήλ!

Τοῦτο μάλιστα τοὺς Ἰουδαίους ἀπέπνιγε, τὸ πεισθῆναι τὸν ὄχλον, ὅτι ἀπὸ Θεοῦ ἔρχεται. Ζήτησον δὲ ἐν τῷ τεσσαρακοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, τό· *Οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες· Ὠσαννὰ τῷ υἱῷ Δαυΐδ* (α)· καὶ ἀνάγνωθι τὴν ἑρμηνίαν αὐτοῦ τε καὶ τῶν ἐφεξῆς δύο ῥητῶν, ἄριστα ἐκτεθειμένην.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ.

Περὶ τοῦ ὄνου.

14 Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον, ἐκάθισεν ἐπ' αὐτό,

Ζήτησον ἐν ἐκείνῳ πάλιν τὴν ἐξήγησιν τῆς ἀρχῆς τοῦ κεφαλαίου, καὶ ἀνάγνωθι πᾶσαν, ἀναγκαιοτάτην οὖσαν.

Εὗρε δὲ τὸ ὀνάριον ἀχθὲν ὑπὸ τῶν ἀποσταλέντων μαθητῶν, ὡς οἱ ἄλλοι ἱστόρησαν εὐαγγελισταί. Ἐκεῖνοι γὰρ πάντα μὲν, τὰ κατὰ τὸν εἰρημένον Λάζαρον καὶ τὰ ἐφεξῆς ἄχρι τῆς ὄνου καὶ τοῦ πώλου παρέδραμον, ὥσπερ καὶ ἄλλα πολλὰ θαύματα, καὶ διδάγματα, εἴτε ἐπιλαθόμενοι ἁπλῶς, εἴτε καὶ κατά τινα θειοτέραν οἰκονομίαν, ὡς ἂν ἔχοι καὶ οὗτος μετ' αὐτοὺς γράφειν ἰδικῶς, εἰς βεβαίωσιν τοῦ εὐαγγελίου.

Ὑπερβάντες δὲ (1) ταῦτα, φασὶ, Ματθαῖος μέν· ὅτι *Ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς Βηθφαγὴ, πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν· τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο μαθητὰς,*

(α) Ματθ. ΚΑ', 9. (1) Νόει· οἱ λοιποὶ εὐαγγελισταί.

καὶ τὰ ἑξῆς (α)· Μάρκος δέ· ὅτι *Ὅτε ἤγγισεν εἰς Ἱεροσόλυμα, εἰς Βηθφαγὴ καὶ Βηθανίαν, πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ* (β). Ὁμοίως δὲ καὶ Λουκᾶς (γ).

Φαίνεται οὖν, ὅτι ἐξελθὼν ἀπὸ τοῦ οἴκου τοῦ Λαζάρου, καὶ ἔτι ἐν Βηθανίᾳ ὤν, ἀπέστειλε τοὺς μαθητὰς, καὶ ἤγαγον τὴν ὄνον, καὶ τὸν πῶλον. Διὸ οἱ μὲν ἄλλοι εὐαγγελισταὶ, ὡς ἁπλῶς ὁδεύοντος ἐπὶ τὰ Ἱεροσόλυμα τοῦ Χριστοῦ, διηγοῦνται, μὴ διακόψαντες τὸν λόγον τῆς ἐπὶ τὰ Ἱεροσόλυμα πορείας, τῇ μνήμῃ τῇ κατὰ τὸν Λάζαρον· ὁ δὲ Ἰωάννης τὰ παρασεσιωπημένα μὲν πλατύτερον ἱστορεῖ· τὰ κατὰ τὸν πῶλον δὲ καὶ τὴν ἑξῆς ὁδὸν, ἐπιτομώτερον, ὡς προϊστορημένα.

Καὶ τοῦτο δὲ χρὴ ἐπιτηρῆσαι, ὅτι τὰ μὲν βαΐα τῶν φοινίκων βαστάζοντες ἐξῆλθον εἰς ὑπάντησιν· οὓς δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ, μετὰ τὸ ὑπαντῆσαι ἔκοπτον, περὶ ὧν Ματθαῖος καὶ Μάρκος εἶπον.

14 **Καθώς ἐστι γεγραμμένον· «Μὴ φοβοῦ, θύγατερ Σιών·**
15 **Ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεται, καθήμενος ἐπὶ πῶλον ὄνου.»**

Μὴ *φοβοῦ*· πραῢς γάρ ἐστι, καὶ οὐχ ὡς οἱ πολλοὶ τῶν βασιλευσάντων σου, ἀπηνὴς καὶ ἄδικος καὶ τύραννος. Ζήτησον δὲ ἐν τῷ δηλωθέντι κεφαλαίῳ τό· *Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου*, καὶ τὰ ἑξῆς (δ)· ἐκεῖ γὰρ εὑρήσεις τὴν ἑρμηνείαν.

Εἰ δὲ ἀφῆκεν ὁ Ἰωάννης τὸ, *πραῢς*, μὴ θαυμάσῃς· πολλάκις γὰρ λέξεις τινὰς τῶν παλαιῶν παραλιμπάνουσιν, ἢ ὡς μὴ ἐπὶ μνήμην ἰούσας, ἢ ὡς ἐμφαινομένας τοῖς ἑξῆς. Ἐπεὶ γὰρ κάθηται ἐπὶ πῶλον ὄνου, πάντως πραΰς ἐστι καὶ ἐπιεικής. Ἀλλὰ καὶ τὸ, *καθήμενος*, καὶ τὸ, *ἐπιβεβηκὼς*, τὸ αὐτὸ δηλοῦσι, σημαινούσης ἀμφότερα τῆς ἑβραϊκῆς λέξεως. Καὶ αὖθις ὁ *πῶλος τῆς ὄνου*, ὄνος ἐστὶ, καὶ πῶλος, υἱὸς ὑποζυγίου.

(α) Ματθ. ΚΑ΄, 1. (β) Μαρκ. ΙΑ΄, 1. (γ) Λουκ. ΙΘ΄, 29.
(δ) Ματθ. ΚΑ΄, 4.

16 **Ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον·**

Ταῦτα, ἤτοι, τὰ τοιαῦτα προφητικὰ ῥητὰ, *οὐκ ἔγνωσαν* πρὸ τοῦ σταυροῦ, ὅτι περὶ αὐτοῦ ἦσαν.

16 **Ἀλλ᾽ ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τότε ἐμνήσθησαν, ὅτι ταῦτα ἦν ἐπ᾽ αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ.**

Ὅτε *ἐδοξάσθη* διὰ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, τότε διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος ἐμνήσθησαν, ὅτι ταῦτα τὰ προφητικὰ πάντα *δι᾽ αὐτὸν* (1) ἦσαν γεγραμμένα, ἤτοι, *περὶ αὐτοῦ*, καὶ ὅτι ταῦτα πάντα τὰ γεγραμμένα ἐποίησαν αὐτῷ οἱ Ἰουδαῖοι.

17 **Ἐμαρτύρει οὖν ὁ ὄχλος, ὁ ὢν μετ᾽ αὐτοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν.**

Ἐμαρτύρει περὶ τοῦ κατὰ τὸν Λάζαρον σημείου.

18 **Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος· ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον.**

Ὁ ὄχλος μὲν τῶν τηνικαῦτα πιστευσάντων, ἐμαρτύρει· ὁ ὄχλος δὲ τῶν ἀκουσάντων, ὑπήντησεν αὐτῷ μετ᾽ αὐτῶν.

19 **Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς· Θεωρεῖτε, ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε, ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν.**

Κόσμον, τὰ πλήθη λέγουσιν· *ὀπίσω δὲ αὐτοῦ ἀπῆλθεν*, ἀντὶ τοῦ, ἀκολουθεῖ αὐτῷ. Εἰ μὲν οὖν Φαρισαίους ἐνταῦθα νοήσεις, τοὺς ἐπιβουλεύοντας, μέμφονται ἑαυτοῖς, ὡς οὐκ ἀνύουσιν οὐδὲν διὰ ῥαθυμίαν· εἰ δὲ μᾶλλον τοὺς πιστεύσαντας μὲν, κρύπτοντας δὲ τὴν πίστιν, διὰ τὸν φόβον τῶν ἄλλων· μέμφονται καθ᾽ ἑαυτοὺς τοῖς ἐπιβουλεύουσιν, ὡς μάτην σπουδάζουσι, καὶ οὐκ ἀνύουσιν οὐδέν.

(1) Οὕτως ἐξηγεῖ τὸ, ἐπ᾽ αὐτῷ, ὁ Εὐθύμιος.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῶν προσελθόντων Ἑλλήνων.

20 Ἦσαν δέ τινες Ἕλληνες ἐκ τῶν ἀναβαινόντων, ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ.

Πολλοὶ γὰρ Ἕλληνες, ἀσπαζόμενοι τὴν θρησκείαν τῶν Ἰουδαίων, καὶ θέλοντες γενέσθαι προσήλυτοι, ἀνέβαινον καὶ προσεκύνουν ἐν τῇ ἑορτῇ.

21 Οὗτοι οὖν προσῆλθον Φιλίππῳ, τῷ ἀπὸ *Βηθσαϊδὰ* τῆς Γαλιλαίας, καὶ ἠρώτων *αὐτὸν*, λέγοντες· Κύριε, θέλομεν τὸν Ἰησοῦν ἰδεῖν.

Ἀκούσαντες τὴν περὶ *αὐτοῦ φήμην, θέλουσιν αὐτὸν ἰδεῖν*.

22 Ἔρχεται Φίλιππος, καὶ λέγει τῷ Ἀνδρέᾳ·

Περὶ τῶν Ἑλλήνων τούτων, ὡς πρώτῳ.

22 Καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰη-
23 σοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων·
Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου.

Ἐπεὶ τότε ἔμελλεν ἀποθανεῖν, ὅτε οἱ μὲν Ἰουδαῖοι κυρώσουσι τὸν αὐτοῦ θάνατον, τὰ δὲ ἔθνη ἄρξονται προσέρχεσθαι αὐτῷ· γέγονε δὲ ἤδη καὶ τοῦτο κἀκεῖνο· ἐξ ἐθνῶν γὰρ οἱ ῥηθέντες *Ἕλληνες*· φησὶν, *Ἐλήλυθεν ὁ* καιρὸς, ἵνα ἀποθάνω· μετὰ γὰρ τὸν θάνατον καὶ τὴν ἀνάστασιν, ἔμελλε δοξασθῆναι ἐν πᾶσι τοῖς ἔθνεσι, κηρυχθέντος τοῦ εὐαγγελίου ἐν ὅλῳ τῷ κόσμῳ. Καὶ ὅτε ἔδοξαν οἱ Ἰουδαῖοι σβέσαι τὴν δόξαν αὐτοῦ, τότε μᾶλλον ἔλαμψεν εἰς πᾶσαν τὴν οἰκουμένην.

Ἐπεὶ οὖν Ἰουδαῖοι μὲν μετὰ διασκέψεως ἐκύρωσαν τὸν αὐτοῦ θάνατον, τὰ ἔθνη δὲ ἐζήτησαν αὐτὸν, ἀνάξιον ἦν τῆς τοῦ Θεοῦ δικαιοσύνης, παραμένειν ἔτι τοῖς ἀνιάτοις, καὶ περιορᾷν τοὺς ἑτοίμους εἰς θεραπείαν. Καὶ διὰ τί μὴ μετέβη τότε ἐπὶ τὰ

ἔθνη; Διὰ τὸ περιελεῖν πᾶσαν ἀπολογίαν ἀγνωμοσύνης τῶν Ἰουδαίων· οὐ μόνον γὰρ αὐτὸς οὐ μετέβη, ἀλλ᾽ οὐδὲ τοὺς μαθητὰς ἀφῆκεν εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν, καὶ μυρία πάσχων ὑπὸ τῶν ἀχαρίστων, οὐκ ἀνῆκε διδάσκων, θεραπεύων, καὶ πάντα τρόπον εὐεργετῶν, ἕως ἀνεῖλον αὐτόν.

24 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου, πεσὼν εἰς τὴν γῆν, ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει.

Παραμυθούμενος τοὺς μαθητὰς, διὰ παραδείγματος ἀποδείκνυσιν, ὅτι συμφέρον καὶ ἀναγκαῖον, ἀποθανεῖν αὐτόν· τρόπον γὰρ σίτου ὁ θάνατος αὐτοῦ πολλοὺς καρποφορήσει, καὶ γονιμώτατος ἔσται, καὶ κερδαλέος. Διὰ τὴν προῤῥηθεῖσαν γὰρ αἰτίαν μετὰ τὸν θάνατον αὐτοῦ ἔμελλον οἱ μαθηταὶ αὐτοῦ ἀποσταλῆναι εἰς τὸ μαθητεῦσαι πάντα τὰ ἔθνη, καὶ λοιπὸν ὁ θάνατος αὐτοῦ ζωὴ τῶν ἐθνῶν. Θάνατον δὲ σίτου νόει μοι, τὴν φθορὰν αὐτοῦ. Εἶτα παραθήγει καὶ αὐτοὺς ἐπὶ τὸ καταφρονεῖν τοῦ θανάτου, καὶ μὴ φιλοψυχεῖν ἐν τοῖς προκειμένοις κινδύνοις ὑπὲρ τῆς εἰς αὐτὸν πίστεως.

25 Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν·

Ὁ φιλοψυχῶν ἐν καιρῷ μαρτυρίου, ὁ χαριζόμενος τῇ ψυχῇ παρὰ τὸ δέον, ὁ φιλῶν αὐτὴν, ἐπιθυμοῦσαν κακῶς· *Μὴ πορεύου γὰρ*, φησιν, *ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς σου* (α)· ὁ φιλῶν αὐτὴν παρὰ τὸν Θεὸν, *ἀπολέσει αὐτὴν* ἐν τῷ μέλλοντι αἰῶνι, τουτέστιν, εἰς κόλασιν ἐμβαλεῖ, ὡς προδεδωκυῖαν τὴν πίστιν.

25 Καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν.

Ὁ τοὐναντίον ποιῶν, ἤγουν, ὁ μὴ φιλοψυχῶν, καὶ τὰ ἑξῆς.

(α) Σιρὰχ ΙΗ, 30. — Οὕτως ἀναφέρει τὸ ῥητὸν τοῦτο ὁ Χρυσόστομος. Τομ. Η. Σελ. 400. C.

Εἴρηκε δὲ τοιαῦτα καὶ πρὸς τῷ τέλει τοῦ ἐννεακαιδεκάτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον, καὶ ἐν ἄλλοις.

26 Ἐὰν ἐμοὶ διακονῇ τις, ἐμοὶ ἀκολουθείτω·

Ἐμοὶ *ἀκολουθείτω*, διὰ μιμήσεως, τουτέστιν, Ἐὰν ἐμοὶ μαθητεύηταί τις, ἐμὲ μιμείσθω. Ὥσπερ γὰρ ἀναγκαῖον τὸν ὑπηρέτην ἕπεσθαι τῷ κυρίῳ, οὕτω καὶ τὸν μαθητὴν τῷ διδασκάλῳ

26 Καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται·

Ἢ πάλιν τὸ αὐτὸ λέγει, διαμαρτυρόμενος, ἢ περὶ τῆς ἐνεστώσης κακοπαθείας εἰπὼν, προσέθηκε καὶ περὶ τῆς μελλούσης ἀπολαύσεως, ὅτι Ὁ ἐμοὶ ἀκολουθῶν, εἰς τὸν οὐρανὸν ἀναβήσεται.

26 Καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ.

Δοξάσει αὐτὸν, ὡς ὑπηρέτην τοῦ γνησίου υἱοῦ αὐτοῦ. Τοῦτο δὲ εἶπε, διότι ἔτι τὸν πατέρα μείζονα αὐτοῦ ἐνόμιζον. Ἵνα δὲ μὴ εἴπῃ τις, ὅτι ἐκτὸς τῆς ἀνθρωπίνης ἀσθενείας ὢν, εὐκόλως περὶ θανάτου φιλοσοφεῖ, δείκνυσιν, ὅτι καὶ αὐτὸς, ὡς ἄνθρωπος, περίκειται τὴν ἀσθένειαν τῆς φύσεως. Διὸ πρῶτον μὲν συγχωρεῖ τῇ φύσει πάσχειν τὸ ἴδιον, εἶτα παραθαῤῥύνει ἑαυτὸν εἰς τὸ ὑπομεῖναι, διὰ τὸ ἀναγκαῖον καὶ χρήσιμον. Ὅρα γὰρ τί φησι·

27 Νῦν ἡ ψυχή μου τετάρακται·

Ἀνθρωπίνως τεθορύβηται, ἀγωνιῶσα διὰ τὸν ἐγγίζοντα θάνατον.

27 Καὶ τί εἴπω;

Ἀπορούμενος ὑπὸ τῆς ἀγωνίας.

27 Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης;

Ῥῦσαί με ἐκ τοῦ καιροῦ τούτου, τοῦ φοβεροῦ, τοῦ θανατηφόρου; Ταῦτα εἰπὼν, ὡς ἄνθρωπος, καὶ ὡς ἀνθρωπίνην δειλίαν περιβεβλημένος, ἀνακτᾶται ἑαυτὸν καὶ ἐπιῤῥωνύει λέγων·

27 Ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην.

Διὰ τοῦτο ἐτηρήθην ἕως τοῦ νῦν καιροῦ, διὰ τὸ ἀποθανεῖν ἐν τούτῳ, καὶ λοιπὸν χρὴ φέρειν γενναίως. Ἀπολιπὼν οὖν ἡμῖν μέτρον φυσικῆς δειλίας, καὶ ὑπογραμμὸν ἀνδρείας, πάλιν λέγει·

28 Πάτερ, δόξασόν σου τὸ ὄνομα.

Δεδοξασμένον ὂν παρὰ ταῖς οὐρανίαις δυνάμεσι, δόξασον αὐτὸ καὶ παρὰ τοῖς ἐπὶ γῆς ἀνθρώποις, διὰ τῶν μελλόντων ἐπὶ τῷ θανάτῳ μου γενέσθαι σημείων· δόξασον αὐτὸ, διὰ τῆς τοῦ ἐμοῦ ὀνόματος δόξης· ἡ γὰρ ἐμὴ δόξα, σή.

28 Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.

Ἐ*δόξασα*, ἐν τοῖς προγεγενημένοις σημείοις, *καὶ πάλιν δοξάσω*, ἐν τοῖς ἐπὶ τῷ θανάτῳ σου γενησομένοις.

29 Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας, ἔλεγε βροντὴν γεγονέναι·

Οὐ συνιεὶς τῆς φωνῆς, ἀλλὰ τὸν ἦχον αὐτῆς μόνον κατασχών.

29 Ἄλλοι ἔλεγον· Ἄγγελος αὐτῷ λελάληκεν.

Συνιέντες αὐτῆς.

30 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν· Οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς.

Οὐ *δι' ἐμὲ*, ἵνα μάθω, ὃ οὐκ οἶδα· πάντα γὰρ οἶδα τὰ τοῦ πατρός· *ἀλλὰ δι' ὑμᾶς*, ἵνα μάθητε, περὶ οὗ ἀμφιβάλλετε, ὅτι ἐκ τοῦ θεοῦ εἰμι. Πῶς γὰρ ἂν ἦλθε φωνὴ ἐκ τοῦ οὐρανοῦ ἐπ' ἐμὲ, εἰ μὴ ἐκ τοῦ θεοῦ εἰμι; πῶς δ' ἂν ὁ θεὸς τὸ ὄνομα αὐτοῦ καὶ ἐδόξασε καὶ πάλιν δοξάσει δι' ἐμοῦ;

31 Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου·

Νῦν ἤδη ἐκδίκησις τῶν τοῦ κόσμου τούτου ἀνθρώπων, διὰ τῆς ἐμῆς ἐκδικήσεως. Τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ἀνθρώποις

ὁ θάνατος ἐπιτίμιον ἁμαρτίας ἐστί· *Πάντες γὰρ ἥμαρτον* (α), φησί· καὶ *διὰ τῆς ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος* (β)· ἐμοὶ δὲ, οὐδαμῶς· διότι οὐδαμῶς ἥμαρτον. Ἐπεὶ οὖν κἀμοὶ τὸν θάνατον ὁ διάβολος ἐπάγει, ἀναμαρτήτῳ μεμενηκότι, νῦν ἐν τῷ ἐνεστῶτι καιρῷ δίκην δίδωσι τῆς ἐμῆς ἀδικίας, τὴν καθαίρεσιν τῆς τυραννίδος· αὕτη δὲ ἡ δίκη, εἴτουν, ἡ κόλασις, τοῦ κόσμου τούτου ἐκδίκησίς ἐστι. Λοιπὸν νῦν (1) ἡ ἐκδίκησις τῆς εἰς ἐμὲ ἐπηρείας, ἐκδίκησίς ἐστι τῆς εἰς τοὺς γενάρχας καὶ ὅλον τὸ γένος ἐπηρείας.

31 Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω.

Ἔξω τῆς τοιαύτης ἀρχῆς, ἣν δι' ἀπάτης ἐκτήσατο. Ἐπεὶ γὰρ αὐτὸς διὰ τοῦ ξύλου τῆς βρώσεως (2) πάλαι τὸν παλαιὸν Ἀδὰμ ἐξέβαλε τῆς βασιλείας τοῦ κόσμου· αὐτὸν διὰ τοῦ ξύλου τῆς σταυρώσεως νῦν ὁ νέος Ἀδὰμ ἐκβάλλει τῆς βασιλείας τοῦ κόσμου, τὴν τοῦ προπάτορος παρακοὴν διὰ τῆς ἑαυτοῦ ὑπακοῆς ἰασάμενος.

32 Κἀγὼ, ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.

Ἐὰν ἀναχθῶ ἐπὶ τὸν σταυρὸν, πάντας πανταχόθεν τοὺς δεκτικοὺς τῆς πίστεως ἑλκύσω πρὸς ἐμαυτὸν δι' αὐτῆς. Καὶ οὕτως, ὑψωθεὶς ἐπὶ τοῦ σταυροῦ, πρῶτον εἵλκυσε τὸν λῃστὴν, καὶ τὸν ἑκατόνταρχον, καὶ τοὺς μετ' αὐτοῦ τηροῦντας αὐτὸν, ἐντεῦθεν ἀρξάμενος ἑλκύειν. *Ἑλκύσω* δέ, φησι, κατεχομένους ὑπὸ τοῦ τυράννου, ἅτε πρῶτον ἐκεῖνον καταβαλών.

Ταύτην δὲ τὴν ἕλξιν, *ἁρπαγὴν* ἐκάλεσεν ἀλλαχοῦ, λέγων· *Πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσῃ* (α); Ὀπίσω μὲν οὖν εἶπεν· ὅτι *Οὐδεὶς δύναται ἐλθεῖν πρὸς ἐμὲ, ἐὰν μὴ ὁ πατὴρ, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν* (β)· ἐνταῦθα δὲ λέγει, ὅτι *Πάντας ἑλκύσω πρὸς ἐμαυτόν*· οὐκ ἐναντιολογῶν, ἀλλὰ τὰ τοῦ πατρὸς οἰκειούμενος, καὶ κοινὰ *πάντα* δεικνύων, καὶ τὸ ἴσον διὰ τῶν τοιούτων παριστῶν.

33 Τοῦτο δὲ ἔλεγε, σημαίνων, ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν

Τοῦτο· ποῖον; τὸ, *Ὅταν ὑψωθῶ*· ὑπεδήλου γὰρ τὴν ἐπὶ τοῦ σταυροῦ ὕψωσιν.

34 Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις, ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου;

Κἀνταῦθα *νόμον* λέγουσιν ἁπλῶς, τὴν θείαν Γραφήν. Πολλαχοῦ γὰρ αὐτῆς, τὸ ἀθάνατον τῆς θεότητος τοῦ Χριστοῦ σημαίνεται, ὥσπερ καὶ τὸ θνητὸν τῆς ἀνθρωπότητος αὐτοῦ, καὶ μᾶλλον ἐν τοῖς Δαυϊτικοῖς ψαλμοῖς.

Ὅρα δὲ κακουργίαν! Ἀκούσαντες γὰρ ἀνωτέρω περὶ τοῦ θανάτου φιλοσοφήσαντος, καὶ προσθέντος· ὅτι *Δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου* (γ)· εἰ καὶ μὴ προσέθηκε τοῦτο ὁ εὐαγγελιστής· καὶ γὰρ διαφόρως ἔλεγε τοῦτο πρὸς αὐτούς· ἐπεὶ καὶ νῦν εἶπεν ὅτι, *Ὅταν ὑψωθῶ*, συνῆκαν, ὅτι ὕψωσιν, τὸν θάνατον λέγει, εἰ καὶ μὴ τὸν ἐπὶ σταυροῦ ἐνόησαν, καὶ προσεδόκησαν ἐντεῦθεν ἐλέγξαι αὐτὸν, μὴ ὄντα Χριστὸν, ὡσανεὶ λέγοντες· Ἠκούσαμεν ἐκ τῆς Γραφῆς, ὅτι ὁ Χριστὸς οὐκ ἀποθνήσκει· καὶ πῶς σὺ λέγεις, ὅτι ἀποθανεῖν χρὴ αὐτόν; Εἶτα, ἵνα μὴ δόξωσι περὶ αὐτοῦ τοῦτο λέγειν, φασί·

(α) Ῥωμ. Γ', 23. (β) Ῥωμ. Ε', 12.

(1) Προτιμότερον τὸ, οὖν, ἀντὶ τοῦ, νῦν. (2) Ὀλίγον τι τραχὺ τὸ, διὰ τοῦ ξύλου τῆς βρώσεως, ἀντὶ τοῦ, διὰ τῆς τοῦ ξύλου βρώσεως. Ἔγραψε δὲ ὁ Εὐθύμιος, διὰ τοῦ ξύλου τῆς βρώσεως· διότι ἔμελλε νὰ εἴπῃ, διὰ τοῦ ξύλου τῆς σταυρώσεως.

(α) Ματθ. ΙΒ', 29. (β) Ἰωαν. Ϛ', 44. (γ) Ἰωαν. Γ', 14. Η', 28.

34 **Τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου;**

Εἰ μὲν γάρ ἐστιν ὁ Χριστὸς, οὐκ ἀποθνήσκει· εἰ δὲ ἀποθνή-
σκει, οὐκ ἔστιν ὁ Χριστός. Καὶ μὴν, ὢ ἀνόητοι! σαθρὸς ὁ λό-
γος ὑμῶν· ἔστι γὰρ καὶ τοῦτο κἀκεῖνο· ἀθάνατος μὲν, τῇ θεό-
τητι· θνητὸς δὲ, τῇ ἀνθρωπότητι. Ἀλλ' ὁ Χριστὸς οὐκ ἐδί-
δαξε νῦν, πῶς μέν ἐστιν ἀθάνατος, πῶς δὲ, θνητὸς, εἰδὼς, αὐ-
τοὺς οὐ παραδεξομένους τὸν περὶ τῆς θεότητος αὐτοῦ λόγον.
Σκόπει γὰρ, ὅτι καὶ τὴν ἐλθοῦσαν φωνὴν ἐκ τοῦ οὐρανοῦ
ἐνωτισθέντες, καὶ εἰπόντες, ὅτι *Ἄγγελος αὐτῷ λελάληκεν*,
ἔτι πονηρεύονται. Διὸ παραινεῖ αὐτοῖς ἁπλῶς.

35 **Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἔτι μικρὸν χρόνον τὸ
φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε, ἕως τὸ φῶς ἔ-
χετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ.**

Φῶς, ἑαυτὸν λέγει· καὶ γὰρ καὶ προλαβὼν ἔλεγεν· *Ἐγώ εἰμι
τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσῃ
ἐν τῇ σκοτίᾳ* (α). *Μικρὸν δὲ χρόνον* φησὶ, τὸν ἄχρι τοῦ θα-
νάτου αὐτοῦ. Ὑπὸ φιλανθρωπίας τοίνυν διαμαρτύρεται, καὶ
κατεπείγει αὐτοὺς εἰς τὸ περιπατεῖν ἐν τῷ φωτὶ, ἤγουν, ἀ-
κολουθεῖν αὐτῷ, φωταγωγοῦντι καὶ ὁδηγοῦντι, καὶ πιστεύειν
τοῖς λόγοις αὐτοῦ. *Σκοτίαν* δὲ νοῶ, τὴν πλάνην, ἣν ἐπλά-
νησαν αὐτοὺς οἱ ἄρχοντες αὐτῶν μετὰ τὸ ἀνελεῖν τὸν Χριστὸν,
πληροφορήσαντες, ὅτι πλάνος ἦν.
Νοεῖται δὲ *σκοτία*, καὶ ἡ ἁπλῶς πλάνη τῶν Ἰουδαίων·
τὴν γὰρ σωματικὴν λατρείαν φυλάσσοντες, δοκοῦσιν εὐαρεστεῖν
τῷ θεῷ, καὶ σώζεσθαι. Καὶ μὴν αὕτη ἡ σκοτία καὶ τότε εἶ-
χεν αὐτούς· ἀλλὰ τὸ, *καταλάβῃ*, ἀντὶ τοῦ, κατακυριεύσῃ
μέχρι τέλους.

35 **Καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει.**

Πλανᾶται, προσκόπτει, κρημνίζεται.

(α) Ἰωαν. Η, 12.

36 **Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς,**

Ἐσαφήνισε τὸν λόγον.

36 **Ἵνα υἱοὶ φωτὸς γένησθε.**

Καὶ ἐν προοιμίοις τοῦ εὐαγγελίου εἶπεν οὗτος ὁ εὐαγγελιστής·
ὅτι *Ὅσοι ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα
θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ* (α).
Ἀλλ' ἐκεῖ μὲν νοοῦμεν, ὅτι τέκνα τοῦ πατρὸς γίνονται· ἐνταῦ-
θα δὲ, ὅτι υἱοὶ τοῦ υἱοῦ, ἵνα μάθῃς, ὅτι μία ἐνέργεια πατρὸς
καὶ υἱοῦ, καὶ κοινὰ πάντα ἀμφοῖν.

36 **Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη
ἀπ' αὐτῶν.**

Ἔγνω γὰρ τὸν θυμὸν αὐτῶν ταρασσόμενον καὶ ἀγριαινόμενον,
καὶ *ἐκρύβη*, ἵνα μὴ ἐπὶ πλέον ἀναφλεγῇ, κατασταλῇ δὲ μᾶλ-
λον, τῇ ὑποχωρήσει αὐτοῦ.

37 **Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν
αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν·**

Τοσαῦτα, ὅσα ἐκεῖνος μὲν ἐποίησεν, οὗτος δὲ παρέλιπε, διὰ
τὸ πλῆθος αὐτῶν.

38 **Ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ,**

Κἀνταῦθα τὸ, *ἵνα*, οὐκ ἔστιν αἰτιολογίας, ἀλλ' ἐκβάσεως,
ἤτοι πληρώσεως τοῦ μέλλοντος, ὅτι ἔμελλε πληρωθῆναι. Καὶ
πανταχοῦ τὸ, *Ἵνα ὁ λόγος τοῦ προφήτου πληρωθῇ*, καὶ τὸ,
Ἵνα ἡ προφητεία πληρωθῇ, καὶ τὸ, *Ὅπως*, καὶ τὰ τοιαῦτα,
τοιαύτην ἔχουσι τὴν σημασίαν, εἰ καὶ μὴ ἐν τοῖς ἄλλοις εὐαγ-
γελισταῖς τοῦτο δεδηλώκαμεν. Οὐ γὰρ, διότι εἶπον οἱ προ-
φῆται, διὰ τοῦτο γεγόνασιν, ἃ εἶπον· ἀλλὰ διότι ἔμελλον
γενέσθαι, διὰ τοῦτο εἶπον οἱ προφῆται. Ἰδίωμα γάρ ἐστι τοῦτο
τῆς Γραφῆς, ὡς προδεδήλωται, δηλοῦν τὸ ἀψευδὲς τῆς προ-
φητείας, καὶ τὸ πάντως πληρούμενον.

(α) Ἰωαν. Α, 12.

38 Ὃν εἶπε· «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;

Περὶ τῶν μὴ πιστευσάντων τοῦτο εἴρηκεν ὁ προφήτης, τούτων τε, καὶ τῶν τοιούτων· *ἀκοὴν* λέγων τὴν περὶ τοῦ Χριστοῦ προφητείαν, ἣν ἀκούσαντες οἱ προφῆται τοῖς ὠσὶ τῶν ψυχῶν αὐτῶν, ὑπὸ τοῦ θείου Πνεύματος ἐνηχηθεῖσαν, προεφήτευσαν. Λέγει δὲ, ὅτι οὐδεὶς τῶν τοιούτων ἐπίστευσεν αὐτῇ.

38 Καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;»

Β*ραχίων* τοῦ πατρὸς, ὁ υἱὸς, ὡς δύναμις αὐτοῦ. Φησὶ γὰρ ὁ Παῦλος· Χριστὸς θεοῦ δύναμις (α). Οὐδενὶ τούτων ἐγνωρίσθη, οὐ παρὰ τὴν ἑαυτοῦ κρυφιότητα, ἀλλὰ παρὰ τὴν αὐτῶν τύφλωσιν. Αὐτὸς μὲν γὰρ δίκην ἡλίου τὸ φῶς τῆς οἰκείας θεότητος ἐδείκνυε, καὶ διὰ λόγων, καὶ δι' ἔργων· αὐτοὶ δὲ σαθρωθεῖσαν τῇ πονηρίᾳ τὴν ὅρασιν ἔχοντες, οὐκ ἐνετράνιζον (1).

39 Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι *πάλιν* εἶπεν Ἡσαΐας·

Κἀνταῦθα τὸ, *Διὰ τοῦτο*, οὐκ ἔστιν αἰτιολογίας, ἀλλὰ μέλλοντος, ὅτι ἔμελλον οὐ δύνασθαι πιστεύειν, εἴτουν, οὐ βούλεσθαι· εἰ γὰρ ἐβούλοντο, ἐπίστευον ἄν. Τὸ γὰρ *Μὴ δύνασθαι* σημαίνει καὶ τὸ Μὴ βούλεσθαι, ὡς καὶ προλαβόντες ἐδιδάξαμεν. Ἢ, *Οὐκ ἠδύναντο*, κωλυόμενοι ὑπὸ τῆς κακίας καὶ πωρώσεως αὐτῶν. Τί οὖν πάλιν εἶπεν Ἡσαΐας;

40 «Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν·

Ἰδίωμα καὶ τοῦτο τῆς Γραφῆς, τὸ τὴν παραχώρησιν τοῦ θεοῦ, ὡς πρᾶξιν αὐτοῦ λέγειν· τὸ γὰρ, *τετύφλωκε*, καὶ τὸ, *πεπώρωκεν*, ἀντὶ τοῦ, παρεχώρησε τυφλωθῆναι καὶ πωρωθῆναι, ὡς ἀνιάτων· οὐδένα γὰρ ἀνθέλκει, διὰ τὸ αὐτεξούσιον ἑκάστου. Τοιοῦτόν ἐστι καὶ τό· *Σκληρύνων σκληρυνῶ τὴν καρδίαν Φαραὼ* (α)· καὶ τό· *Ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου* (β)· καὶ τό· *Ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου* (γ)· συνεχῆ δὲ τὰ τοιαῦτα ἰδιώματα παρὰ τῇ παλαιᾷ Γραφῇ. Τοιοῦτον δὲ καὶ τὸ παρὰ Παύλῳ· *Παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν* (δ)· καί· *Παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας* (ε). Ὁ γὰρ θεὸς οὐ μόνον οὐδέν τι τοιοῦτον πράττει· ἀλλ' οὐδὲ ἐγκαταλιμπάνει, ἐὰν μὴ ἐγκαταλίπωμεν αὐτόν. Λέγει γάρ· *Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν* (ζ); καὶ πάλιν φησίν· *Ἐπελάθου νόμου θεοῦ σου, ἐπιλήσομαί σου κἀγώ* (η)· καὶ ὁ Δαυΐδ· *Ἰδοὺ, οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται* (θ). Καὶ αὖθις ὁ Σωτὴρ ἐν τοῖς εὐαγγελίοις πρὸς τὴν Ἱερουσαλήμ· *Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου*, καὶ τὰ ἑξῆς, *καὶ οὐκ ἠθελήσατε* (ι).

(α) Α' Κορ. Α', 24.

(1) τρανῶς ἐγίνωσκον.

40 Ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ ἐπιστραφῶσι, καὶ ἰάσωμαι αὐτούς.»

Πάλιν τὸ, *ἵνα*, οὐκ ἔστιν αἰτιολογίας, ἀλλὰ μέλλοντος, ὅτι ἔμελλον μὴ ἰδεῖν τοῖς ὀφθαλμοῖς, μηδὲ νοῆσαι τῇ καρδίᾳ, μηδ' ἐπιστραφῆναι καὶ ἰαθῆναι. *Ὀφθαλμοὺς* δὲ λέγει, τοὺς νοητούς· τοῦ γὰρ μὴ ἰδεῖν τοῖς ὀφθαλμοῖς ἐφερμηνευτικὸν τὸ Μηδὲ νοῆσαι τῇ καρδίᾳ.

Ταῦτα δὲ τὰ ῥητὰ τρόπον ἕτερον ἡρμηνεύθησαν ἐν τῷ κατὰ Ματθαῖον, καθ' ἕτερον ῥηθέντα καιρόν.

41 Ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ.

Τ*αῦτα* τὰ περὶ τῆς τυφλώσεως καὶ πωρώσεως, καὶ τὰ ἑξῆς. *Δόξαν* δὲ αὐτοῦ, φησὶ, τὴν ἔνδοξον ὀπτασίαν ἐκείνην, ὅτε εἶδε τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ (κ), καὶ τἄλλα,

(α) Ἐξοδ. Δ', 21. (β) Ψαλμ. ΜΓ', 19. (γ) Ἡσ. ΞΓ', 19.
(δ) Ῥωμ. Α', 28. (ε) Ῥωμ. Α', 26. (ζ) Ἡσ. ΝΘ', 2.
(η) Ὡσ. Δ'. 6. (θ) Ψαλμ. ΟΒ', 27. (ι) Ματθ. ΚΓ', 37.
(κ) Ἡσ. Ϛ', 1.

τὰ περὶ αὐτοῦ φοβερὰ καὶ ἐξαίσια. Τὸν υἱὸν γὰρ εἶδε τότε, καὶ ταῦτα εἶπεν ὕστερον, καὶ ἐλάλησε περὶ αὐτοῦ, ἀκούσας αὐτὰ τότε παρ' αὐτοῦ. Περὶ τοῦ Χριστοῦ γὰρ ἦσαν, ὅτι ἔμελλον τυφλωθῆναι καὶ πωρωθῆναι, καὶ μὴ ἰδεῖν, μηδὲ συνιέναι, ὅτι θεός ἐστι, μηδ' ἐπιστραφῆναι ἀπὸ τῆς πλάνης, καὶ ἰαθῆναι τὰ τραύματα τῆς ψυχῆς αὐτῶν.

42 Ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπί-
στευσαν εἰς αὐτόν· ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ
43 ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. Ἠ-
γάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον
ἤπερ τὴν δόξαν τοῦ θεοῦ.

Οὐκ ἄρα ἄρχοντες ἦσαν, ἀλλὰ δοῦλοι δόξης ἀνθρωπίνης. Διὰ τοῦτο καὶ ὁ Κύριος ἔλεγεν αὐτοῖς· *Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητοῦντες* (α);

44 Ἰησοῦς δὲ ἔκραξε καὶ εἶπεν· Ὁ πιστεύων εἰς ἐμὲ,
οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με·

Ἐνδόντος τοῖς Ἰουδαίοις τοῦ θυμοῦ, πάλιν ἀνεφάνη καὶ διδάσκει. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ὁ πιστεύων εἰς ἐμὲ, πιστεύει εἰς τὸν πέμψαντά με, οὐ μόνον διότι μία φύσις καὶ θεότης ἀμφοῖν, ἀλλὰ καὶ διότι ἡ εἰς τὸν ἀπεσταλμένον τιμὴ, εἰς τὸν ἀποστείλαντα διαβαίνει. Τὸ δὲ, *Οὐ πιστεύει εἰς ἐμὲ*, δοκεῖ μὲν ἀρνήσεως· ἔστι δὲ μᾶλλον προτροπῆς εἰς τὸ πιστεύειν. Τοιοῦτον δέ ἐστι καὶ τό· *Ὁ ἐμὲ δεχόμενος, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με* (β). Ἰδιωματικὰ γὰρ καὶ τὰ τοιαῦτα.

Χρὴ δὲ γινώσκειν, ὅτι ἕτερόν ἐστι τὸ Πιστεύειν αὐτῷ, καὶ ἕτερόν ἐστι τὸ Πιστεύειν εἰς αὐτόν· τὸ μὲν γάρ ἐστι Πιστεύειν τοῖς λόγοις αὐτοῦ, ὃ καὶ ἐπὶ τῶν ἄλλων ἀνθρώπων λέγεται· τὸ δέ ἐστι, Πιστεύειν εἰς τὴν θεότητα αὐτοῦ, ὅπερ ἐπὶ θεοῦ μόνου λέγεται.

(α) Ἰωαν. Ε', 44. (β) Μαρκ. Θ', 37.

45 Καὶ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με.

Θεωρίαν, τὴν διὰ τοῦ νοῦ λέγει· ὅτι ὁ γνοὺς τὴν ἐμὴν θεότητα, ἔγνω τὴν τοῦ πατρός μου· μία γὰρ καὶ ἡ αὐτὴ θεότης ἐν ἡμῖν· καὶ ἐγὼ εἰκών εἰμι τοῦ πατρὸς ἀπαράλλακτος.

Θεωρεῖ δέ τις τὴν τοῦ Χριστοῦ θεότητα, οὐκ ἀπὸ τῆς φύσεως αὐτῆς· ἀθεώρητος γὰρ ἡ θεία φύσις καὶ παντελῶς ἀνεννόητος· κατὰ τό· *Θεὸν οὐδεὶς ἑώρακε πώποτε* (α)· ἀλλ' ἀπὸ τῶν θεοπρεπῶν ἔργων καὶ λόγων αὐτοῦ·

46 Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα,

Φῶς νοητὸν, λύων τὸ νοητὸν σκότος, καὶ διὰ τῶν θεοπρεπῶν ἔργων καὶ λόγων παραδεικνύων τὰς ἀκτῖνας τῆς θεότητος τοῖς ὑγιέσιν ὀφθαλμοῖς.

46 Ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ, ἐν τῇ σκοτίᾳ μὴ μείνῃ.

Τῇ τῆς πλάνης, τῇ τῆς ἁμαρτίας. Διαφόρως δὲ τὰ αὐτὰ λέγει διαμαρτυρόμενος, καὶ τῇ συνεχείᾳ μαλάξαι τὸ σκληρὸν τῆς καρδίας αὐτῶν βουλόμενος, καὶ πᾶν εἰσφέρων τὸ ἑαυτοῦ· διὰ τοῦτο γὰρ καὶ ἔκραξεν.

47 Καὶ ἐάν τις μου ἀκούσῃ τῶν ῥημάτων, καὶ μὴ πι-
στεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν·

Ἐν τῷ νῦν αἰῶνι.

47 Οὐ γὰρ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα
σώσω τὸν κόσμον.

Εἶπε καὶ ἐν τῷ τρίτῳ κεφαλαίῳ, ὅτι *Οὐκ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ* (β)· καὶ ἀνάγνωθι πάλιν ἐκεῖ τὴν ἐξήγησιν εὖ ἔχουσαν.

48 Ὁ ἀθετῶν ἐμὲ, καὶ μὴ λαμβάνων τὰ ῥήματά μου,
ἔχει τὸν κρίνοντα αὐτόν·

Ὁ ἀπειθῶν ἐμοὶ, καὶ μὴ δεχόμενος τὰ ῥήματά μου, ἔχει τὸν

(α) Ἰωαν. Α', 18. (β) Ἰωαν. Γ', 17.

κατακρίνοντα, τὸν ἐλέγχοντα αὐτόν· τὶς δέ ἐστιν οὗτος, ἄκουσον·

48 Ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ

Τὶς δὲ ὁ λόγος οὗτος, ἐνωτίσθητι·

49 Ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα· ἀλλ' ὁ πέμψας με πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε, τί εἴπω καὶ τί λαλήσω.

Ἐπεὶ ἔλεγον, ὅτι Οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, καὶ διὰ τοῦτο οὐκ ἐπείθοντο αὐτῷ, φησὶν, ὅτι, Ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ὁ λόγος, ὃν ἐλάλησα λέγων, ὅτι ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με πατὴρ, αὐτός μοι ἐνετείλατο, τί εἴπω καὶ τί λαλήσω, ἐκεῖνος κρινεῖ αὐτὸν, ἐν τάξει κατηγόρου ἱστάμενος καὶ διελέγχων, καὶ πᾶσαν ἀπολογίαν περιαιρῶν, ὃν ἐβεβαίουν τοῖς ἔργοις, πανταχόθεν δεικνύων, ὅτι οὐκ εἰμὶ ἀντίθεος.

50 Καὶ οἶδα, ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν.

Ὡς ζωὴν αἰώνιον προξενοῦσα, ὡς εἰς ζωὴν αἰώνιον ἄγουσα. Ἀναπολόγητοι οὖν οἱ μὴ δεχόμενοι τὰ ἐνταλθέντα μοι λαληθῆναι, ἤτοι τὰ ῥήματά μου, τὴν διδασκαλίαν μου· καὶ ἐπίβουλοί εἰσιν ἑαυτῶν, ὡς μὴ δεχόμενοι τὴν αἰώνιον ζωήν.

Τὸ δέ· Τί εἴπω καὶ τί λαλήσω, τὸ αὐτὸ δηλοῦσι. Πολλὰ δὲ τὰ τοιαῦτα παρὰ τῇ Γραφῇ.

50 Ἃ οὖν λαλῶ ἐγὼ, καθὼς εἴρηκέ μοι ὁ πατὴρ, οὕτω λαλῶ.

Καὶ διὰ τοῦ προῤῥηθέντος, καὶ διὰ τοῦ παρόντος ῥητοῦ, πάλιν ἐνάγει τούτους εἰς πίστιν, ἔτι φειδόμενος αὐτῶν ὑπὸ τῆς ἀπείρου φιλανθρωπίας. Περὶ μέντοι τῆς ταπεινότητος τῶν τοιούτων οἰκονομικῶν ῥημάτων, διαφόρως εἰρήκαμεν. Τὸ γὰρ, *Ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα* (α)· καὶ, *Ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα* (β)· καὶ, *Αὐτός μοι ἐντολὴν ἔδωκε, τί εἴπω καὶ τί λαλήσω*, καὶ τὰ τοιαῦτα, φανερώτερον μὲν, τὸ μὴ εἶναι αὐτὸν ἀντίθεον βεβαιοῦσι· κρυφιώτερον δὲ, τὸ εἶναι αὐτὸν ἴσον τῷ πατρὶ ὑποφαίνουσι.

(α) Ἰωαν. Ζ', 28. (β) Ἰωαν. ΙΒ', 49.

ΚΕΦ. XIII, 1 Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα, εἰδὼς ὁ Ἰησοῦς, ὅτι ἐλήλυθεν αὐτοῦ ἡ ὥρα, ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα,

Ἀποθανὼν γὰρ καὶ ἀναστὰς, μετέβη ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν.

1 Ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς.

Ἰδίους λέγει τοὺς μαθητὰς, ὡς οἰκείους, διὰ τὴν εὐπείθειαν. *Ἴδιοι* δὲ αὐτοῦ προσηγορεύθησαν καὶ οἱ πάντες Ἰουδαῖοι, ὡς συγγενεῖς· καὶ οἱ σύμπαντες ἄνθρωποι, ὡς δημιουργήματα αὐτοῦ. *Τοὺς ἐν τῷ κόσμῳ* δὲ εἶπε, διότι καὶ οἱ τετελευτηκότες ἐν ἀρετῇ, *ἴδιοι αὐτοῦ* ἦσαν, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ οἱ κατ' ἐκείνους δίκαιοι. *Ἀγαπήσας* οὖν, φησὶ, τοὺς μαθητὰς ἄχρι τοῦ τότε καιροῦ, τότε μᾶλλον ἠγάπησεν αὐτούς· τὸ γὰρ, *εἰς τέλος*, τὸ σφόδρα δηλοῖ. Ἐπεὶ γὰρ ἔμελλεν ἤδη ἀποθανεῖν καὶ ἀπολιπεῖν αὐτοὺς, ἐπιτείνει τὴν ἀγάπην, εἰς ἐμπύρευμα μνήμης αὐτοῦ σφοδροτέρας. Σημεῖον δὲ τῆς ἐπιτάσεως, τὸ νίψαι τοὺς πόδας αὐτῶν· ὁ γὰρ ἀγαπῶν τινὰ θερμῶς, οὐδὲ τὴν ἐσχάτην ὑπηρεσίαν αὐτοῦ παραιτεῖται.

2 Καὶ δείπνου γενομένου·

Ἐν τῷ καταλύματι, ὅπου τὸ ἐστρωμένον ἀνώγεων, ὅτε, ὀψίας γενομένης, ὡς εἶπε Ματθαῖος, *ἀνέκειτο μετὰ τῶν δώδεκα* (α). Ζήτησον οὖν τουτὶ τὸ ῥητὸν ἐν τῷ ἑξηκοστῷ τρίτῳ κεφαλαίῳ αὐτοῦ, καὶ ἀνάγνωθι πᾶσαν τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν.

2 (Τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν

(α) Ματθ. ΚϚ', 20.

Ἰούδα Σίμωνος Ἰσκαριώτου, ἵνα αὐτὸν παραδῷ·)

Ἤδη βεβληκότος λογισμὸν τότε, ὅτε τὸ μύρον κατέχεεν ἐπὶ τὴν κεφαλὴν τοῦ Χριστοῦ ἡ γυνή, περὶ ἧς Ματθαῖος ἱστόρησε. Ζήτησον οὖν πρὸς τῷ τέλει τοῦ ἑξηκοστοῦ δευτέρου κεφαλαίου αὐτοῦ τό· *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ*, καὶ τὰ ἑξῆς (α), καὶ ἀνάγνωθι τὸ τέλος τῆς ἐκεῖ ῥηθείσης ἐξηγήσεως.

Τοῦτο δὲ παρενέβαλεν ὁ εὐαγγελιστής, ἐκπληττόμενος τὴν ὑπερβάλλουσαν τοῦ Σωτῆρος ἀνεξικακίαν, ὅτι καὶ τούτου τοὺς πόδας ἔνιψε, μελετῶντος ἤδη προδοῦναι αὐτόν.

ΚΕΦΑΛΑΙΟΝ ΙϚʹ.

Περὶ τοῦ νιπτῆρος.

3 **Εἰδὼς ὁ Ἰησοῦς, ὅτι πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας·**

Ὡς υἱῷ γνησίῳ καὶ μονογενεῖ. Ἀνθρωποπρεπῶς δὲ εἶπεν (1), ὅτι *Πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας*, μιμούμενος τὸν Χριστόν, τοιαῦτα λέγοντα περὶ ἑαυτοῦ πολλάκις κατ' οἰκονομίαν, ὡς διαφόρως εἰρήκαμεν. Ὥσπερ δὲ ὁ πατὴρ παραδίδωσι τῷ υἱῷ· οὕτω καὶ ὁ υἱός, τῷ πατρί. Φησὶ γὰρ Παῦλος· *Ὅταν παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρὶ* (β).

3 **Καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν θεὸν ὑπάγει·**

Ὡς υἱὸς θεοῦ καὶ θεός. Φησὶν οὖν, ὅτι Εἰδὼς ἑαυτὸν παντοκράτορα, καὶ υἱὸν θεοῦ, καὶ τοσαύτης μὲν ἐξουσίας, τηλικαύτης δὲ ἀξίας, ὅμως εἰς ἄκραν συγκατέβη ταπείνωσιν· ἅμα μὲν τὴν εἰς τοὺς μαθητὰς ἀγάπην ἐνδεικνύμενος· ἅμα δὲ παιδεύων αὐτοὺς ταπεινοφρονεῖν.

(α) Ματθ. ΚϚʹ, 13. (1) ὁ εὐαγγελιστής. (β) Αʹ Κορ. ΙΕʹ, 24.

4 **Ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ τίθησι τὰ ἱμάτια·**

Οὐ πάντα, ἀλλὰ τὸ ἔξωθεν περιβόλαιον, ἢ καὶ τὸ μετ' ἐκεῖνο, πρὸς τὸ εὐσταλὴς εἶναι.

4 **Καὶ λαβὼν λέντιον, διέζωσεν ἑαυτόν.**

Τῷ λεντίῳ διέζωσεν ἑαυτόν, πρὸς τὸ ἐκμάσσειν δι' αὐτοῦ τοὺς πόδας τῶν νιπτομένων.

5 **Εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα,**

Αὐτὸς καὶ τὸ ὕδωρ κομίσας, καὶ πάντα μετὰ πάσης προθυμίας αὐτουργήσας, ἵνα καὶ ἡμεῖς διακονοῦντες, πάντα μετὰ πάσης προθυμίας αὐτουργῶμεν, εἰς ἐκεῖνον ἀποβλέποντες, καὶ μὴ ἐπαιρώμεθα· τί γὰρ ἡμεῖς πρὸς τὸν θεόν; Τὸ μέντοι *λέντιον*, καὶ τὸν νιπτῆρα, καὶ τὴν ὑδρίαν, ἀπὸ τοῦ οἰκοδεσπότου πάντως ἔλαβεν εἰς τὴν τότε χρῆσιν.

5 **Καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ**
6 **ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος. Ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον·**

Ἐπεὶ ἤρξατο νίπτειν, εἶτα ἦλθε πρὸς τὸν Πέτρον, φαίνεται ὅτι πρῶτον ἔνιψε τοὺς πόδας τοῦ Ἰσκαριώτου (1), ἅμα μὲν εὐεργετῶν ἄχρι θανάτου καὶ τιμῶν τὸν προδότην αὐτοῦ, ἵνα καὶ ἡμεῖς ὁμοίως ποιῶμεν· ἅμα δὲ καὶ βουλόμενος αὐτὸν κατανυγῆναι, τοιαῦτα κατὰ τοῦ τοιούτου κηδεμόνος διανοούμενον.

6 **Καὶ λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς πόδας;**

Σύ, ὁ υἱὸς τοῦ θεοῦ; Ἐκπλαγεὶς γὰρ εἶπε τοῦτο, καὶ σφόδρα εὐλαβηθείς.

7 **Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι,**

Ὃ ἐγὼ διδάσκω διὰ τούτου τοῦ πράγματος.

---

(1) Γνώμη τοῦτο τοῦ Χρυσοστόμου. Τομ. Ηʹ. Σελ. 415. Α.

7 Γνώσῃ δε μετὰ ταῦτα.

Ὅτε φανερώσω αὐτό. Οὐκ εἰς μακρὰν γὰρ ἐρεῖ περὶ τούτου· ὅτι *Εἰ ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας* (α), καὶ τὰ ἑξῆς· ἢ, Γνώσῃ μετὰ ταῦτα, ὅταν με ἴδῃς ἀναλαμβανόμενον εἰς τὸν οὐρανὸν, ὅταν ἔλθῃ ὁ παράκλητος ἐφ' ὑμᾶς. Τότε γὰρ γνώσῃ, ἡλίκος ὢν, ἡλίκον ἔργον ἐποίησα, καὶ διὰ τί.

8 Λέγει αὐτῷ Πέτρος· Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα.

Ε*ἰς τὸν αἰῶνα*, ἀντὶ τοῦ, ποτέ. Διϊσχυρίζεται γὰρ, τιμῶν αὐτὸν, καὶ λίαν αἰδούμενος.

8 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν μὴ νίψω σε, οὐκ
9 ἔχεις μέρος μετ' ἐμοῦ. Λέγει αὐτῷ **Σίμων Πέτρος**·
Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς
χεῖρας, καὶ τὴν κεφαλήν.

Οὐκ εἶπε μὲν, τίνος ἕνεκεν τοῦτο ποιεῖ, γινώσκων αὐτὸν μὴ πεισθησόμενον ἀπὸ τούτου, μᾶλλον μὲν οὖν ἐπὶ πλέον ἐνστησόμενον· ἐπεὶ δὲ ἀπὸ πολλῆς ἀγάπης διϊσχυρίζετο, ἀπὸ ταύτης αὐτὸν πείθει. Ἀπειλήσας γὰρ ἔκπτωσιν αὐτῆς, αὐτίκα τοῦτον ὑποκλίνει, καὶ ποιεῖ μᾶλλον αἰτεῖν ὃ πρὶν παρῃτεῖτο, καὶ τοσαύτην ἱκεσίαν εἰσφέρειν, ὅσην πρότερον εἰσέφερεν ἔνστασιν, μᾶλλον δὲ καὶ πλείονα. *Μὴ τοὺς πόδας* γάρ, φησι, *μόνον, ἀλλὰ καὶ τὰς χεῖρας, καὶ τὴν κεφαλήν*. Οὕτω δι' ὑπερβολὴν ἀγάπης καὶ πρῶτον ἐνέστη, καὶ ὕστερον ἐνέδωκεν.

10 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι, ἀλλ' ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροὶ ἐστέ,

Ἵνα μὴ ὑπολάβωσιν, ὅτι ἡ νίψις αὕτη, καθάρσιόν τι ἐστιν, οἷον καὶ τὸ βάπτισμα, λύει τὴν τοιαύτην ὑποψίαν παραδειγματικῶς, ὅτι Ὁ λελουμένος οὐ χρῄζει λούσασθαι, εἰ μὴ τοὺς πόδας νίψασθαι μόνους· διότι τούτοις περιπατῶν, ἔξεισι τοῦ λουτροῦ· ἀλλ' ἔστι καθαρὸς ὅλος, ὡς ἤδη λελουμένος· *καὶ ὑμεῖς καθαροί ἐστε*, ὡς ἤδη καθαρισθέντες ὑπὸ τῆς διδασκαλίας, ἣν ἐδίδαξα ὑμᾶς, καὶ ῥίψαντες πᾶσαν κακίαν καὶ πονηρίαν.

(α) Ἰωαν. ΙΓ', 14.

Ἑρμηνεύων γὰρ ὁ Χρυσόστομος τό· *Καὶ ὑμεῖς καθαροί ἐστε*· προσκεῖσθαι (1) λέγει καὶ τό· *Διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν*, εἶτουν, τὴν διδασκαλίαν. Οὐ χρῄζετε οὖν καθαρισθῆναι, ὧν ἐκαθαρίσθητε, εἰ μὴ τοὺς πόδας νίψασθαι μόνους, διὰ πρᾶγμα, ὅ οὐκ οἴδατε ἄρτι, γνώσεσθε δὲ μετὰ ταῦτα.

10 Ἀλλ' οὐχὶ πάντες.

Οὐ πάντες καθαροί ἐστε.

11 Ἤδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ τοῦτο εἶπεν· Οὐχὶ πάντες καθαροί ἐστε.

Ἤιδει αὐτὸν ἐκτραχηλισθέντα καὶ ῥυπωθέντα.

12 Ὅτε οὖν ἔνιψε τοὺς πόδας αὐτῶν, καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπεσὼν πάλιν, εἶπεν αὐτοῖς· Γινώσκετε τί πεποίηκα ὑμῖν;

Ἐρωτᾷ ἀγνοοῦντας, ἵνα διεγείρῃ εἰς προσοχήν· μετὰ γὰρ τὸ ποιῆσαι, λοιπὸν βούλεται διδάξαι τὸ ἀγνοούμενον.

13 Ὑμεῖς φωνεῖτέ με· Ὁ διδάσκαλος καὶ ὁ κύριος· καὶ καλῶς λέγετε· εἰμὶ γάρ.

Εἰμὶ ταῦτα, ὡς θεός. Πρὸς τοὺς μαθητὰς γὰρ διαλεγόμενος, ἐκκαλύπτει ἑαυτόν. Εἰπὼν μὲν οὖν· ὅτι *Ὑμεῖς φωνεῖτέ με*, ὑμεῖς καλεῖτέ με οὕτως, ἀνεπαχθῆ τὸν λόγον ἐποίησε· προσθεὶς δὲ ὅτι, *εἰμὶ*, ἐβεβαίωσέ τε τὰς τοιαύτας προσηγορίας,

(1) Ὁ Χρυσόστομος Τομ. Η'. Σελ. 416. Β. λέγει «Ἀλλ' ἵνα μὴ διὰ ταῦτα νομίσῃς αὐτοὺς καθαροὺς, ὡς ἁμαρτημάτων ἀπηλλαγμένους, ἐπήγαγεν· Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον, ὃν ἐλάλησα ὑμῖν· τουτέστι, ταύτῃ τέως ἐστὲ καθαροί.» Δὲν λέγει ἄρα προσκεῖσθαι καὶ τοῦτο· ἀλλὰ φέρει αὐτὸ ἐκ τοῦ Ἰωαν. ΙΕ', 3. ἐξηγήσεως χάριν.

καὶ μὴ πρὸς χάριν, ἀλλὰ πρὸς ἀλήθειαν λεγομένας ἀπέδειξε. Λοιπὸν τοίνυν ἐντεῦθεν συλλογίζεται·

14 Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας.

Οὐκ εἶπεν, ὅτι Ἐὰν ἐγὼ, ὁ φύσει κύριος, ἔνιψα ὑμῶν, τῶν φύσει δούλων, τοὺς πόδας, πολλῷ μᾶλλον ὑμεῖς, οἱ ὁμόδουλοι, ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας· οὐδ᾽, ὅτι Ἐὰν ἐγὼ ἔνιψα τοὺς τοῦ προδότου, πολλῷ μᾶλλον ὑμεῖς τοὺς τῶν ἐπιβούλων· ἀλλὰ διὰ τῶν ἔργων ταῦτα δηλώσας, ἀφῆκε τὴν διάκρισιν αὐτῶν τῇ συνειδήσει τῶν ἀκροωμένων.

15 Ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν·

Ὑπόδειγμα τῆς ἐν ἀγάπῃ ταπεινώσεως ἔδωκα ὑμῖν, διὰ τῆς τοιαύτης πράξεως.

15 Ἵνα, καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε.

Ἐξ ἀγάπης ταπεινούμενοι, καὶ διακονοῦντες τοῖς ὑποβεβηκόσι. Καίτοιγε, αὐτὸς μὲν ἦν ὑπὲρ ἔννοιαν καὶ λόγον· ἡμεῖς δέ ἐσμεν γῆ καὶ σποδὸς, καὶ τέφρα, καὶ κόνις, καὶ εἴ τι τούτων εὐτελέστερον. Ὅταν δὲ οὐ μόνον οὐ ταπεινούμεθα πρὸς τοὺς ἐλάττονας, ἀλλ᾽ οὐδὲ πρὸς τοὺς μείζονας· καὶ οὐ μόνον οὐ νίπτομεν τοὺς πόδας τῶν δούλων, ἀλλ᾽ οὐδὲ τῶν φίλων, οἱ καὶ τοὺς τῶν ἐπιβούλων νίπτειν ὀφείλοντες· ποίας οὐκ ἂν εἴημεν ἄξιοι καταδίκης, οὐ μόνον οὐ μιμούμενοι τὸ δοθὲν ὑπόδειγμα, ἀλλὰ καὶ ἐξ ἐναντίας ἱστάμενοι, καὶ κατὰ διάμετρον ἐπαιρόμενοι, καὶ τὴν ὀφειλὴν οὐκ ἀποδιδόντες; *Καὶ ὑμεῖς* γάρ, φησιν, *ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας*.

16 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν.

Λοιπὸν οὖν, εἰ ἐγὼ ὁ ἀσυγκρίτως μείζων, οὕτως ἐταπεινώθην, πολλῷ μᾶλλον ὑμεῖς. Καὶ τοῦτο δὲ τῆς ἀφάτου ταπεινώσεως αὐτοῦ, τὸ δοῦναι ἑαυτὸν παράδειγμα, τὸν πλάστην τοῖς πλάσμασι, καὶ τρόπον τινὰ συγκρίνεσθαι τὸν ἀσύγκριτον.

Εἶπε δὲ τὸ νόημα τοῦτο καὶ ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, καὶ ζήτησον ἐκεῖ τό· *Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ*, καὶ τὰ ἑξῆς (α).

[*Οὐκ ἔστι δοῦλος* (1). Ἕως ἂν ὁ μέν ἐστι δοῦλος τούτου, ὁ δὲ, ἀπόστολος ἐκείνου. Ἐλάττωσις γὰρ καὶ τὸ δουλεύειν, καὶ τὸ ἀποστέλλεσθαι.]

17 Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά.

Εἰ *ταῦτα οἴδατε*, τὰ ῥηθέντα· οἴδατε δὲ αὐτὰ, παρ᾽ ἐμοῦ μαθόντες· *μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά*. Οὐκ ἀρκεῖ γὰρ εἰδέναι μόνον, ἀλλὰ χρὴ καὶ ποιεῖν.

18 Οὐ περὶ πάντων ὑμῶν λέγω·

Τὸ, *Ἐὰν ποιῆτε αὐτά*. Περὶ τοῦ Ἰούδα γὰρ τοῦτο ἔλεγεν, ὃς οὐ μόνον οὐκ ἔμελλε ποιήσειν αὐτὰ, ἀλλ᾽ οὐδ᾽ ἄλλό τι τῶν ἐντεταλμένων, ἤδη τὴν προδοσίαν μελετῶν.

18 Ἐγὼ οἶδα οὓς ἐξελεξάμην·

Οἶδα, ὡς θεὸς, τίνες μὲν τῶν παρ᾽ ἐμοῦ ἐκλεγέντων ποιήσουσιν αὐτὰ, τίς δὲ οὐ ποιήσει. Καὶ ἀνωτέρω δὲ εἰπών· ὅτι *Καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ᾽ οὐχὶ πάντες* (β)· καὶ ἐν διαφόροις δὲ καιροῖς πολλὰ τοιαῦτα φθεγξάμενος, νύττοντα μόνον τὸ τοῦ προδότου συνειδὸς, καὶ ἅμα μὲν διδάσκοντα, ὅτι οὐ λανθάνει ἐπιβουλεύων, ἅμα δὲ καὶ εἰς μεταμέλειαν καὶ διόρθωσιν ἐκκαλούμενα, οὐκ ἔπεισεν.

Διὰ τί δὲ ἐξελέξατο καὶ τὸν προδότην, εἰρήκαμεν ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Μάρκον, καὶ ζήτησον ἐκεῖ τό· *Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτὸς* (γ),

---

(α) Ματθ. Ι, 24. (1) Ταῦτα παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ. (β) Ἰωαν. ΙΓ', 10. (γ) Μαρκ. Γ', 13.

καὶ τὰ ἑξῆς, καὶ ἀνάγνωθι τὴν ὅλην ἐξήγησιν τῶν τοιούτων ῥητῶν.

18 Ἀλλ' ἵνα ἡ Γραφὴ πληρωθῇ· «Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ.»

Κἀνταῦθα τὸ, *ἵνα*, δηλωτικόν ἐστι τοῦ μέλλοντος· οἷον· Ἀλλὰ διὰ τὸν προδότην τοῦτο λέγω· μέλλει γὰρ ἡ Γραφὴ πληρωθῆναι ἡ δαυϊτικὴ, ἡ λέγουσα· *Ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν* (α).

Οἱ μὲν οὖν Ἑβδομήκοντα οὕτως ἀπὸ τοῦ ἑβραϊκοῦ τὸ ῥητὸν ἡρμήνευσαν· ὁ δὲ Χριστὸς ἀπὸ τοῦ αὐτοῦ τὸ αὐτὸ νῦν μεθερμηνεύων, τὰ αὐτὰ καὶ αὐτὸς λέγει, δι' ἑτέρων *ἰσοδυνάμων* λέξεων. Ἶσον γὰρ τὸ, *Ὁ ἐσθίων*, καὶ τὸ, *Ὁ τρώγων*, καὶ τὸ, *Ἐμεγάλυνε*, καὶ τὸ, *Ἐπῆρε*· καὶ τὰ λοιπὰ δὲ ὁμοίως ἔχουσιν.

Φησὶ δὲ περὶ τοῦ Ἰούδα, ὅτι ὁ τρεφόμενος *παρ' ἐμοὶ*, *ὁ κοινωνῶν* μοι τραπέζης, οὐδ' αὐτὸ τοῦτο αἰδεσθεὶς, *ἐμεγάλυνε καὶ ἐπῆρεν*, ἤγουν, ἐκραταίωσε καὶ ἐκίνησε κατ' ἐμοῦ, *πτέρναν καὶ πτερνισμὸν*, εἴτουν, ἐπιβουλὴν καὶ δόλον, διὰ τὸ συλλαλῆσαι τοῖς ἐχθροῖς. Εἰώθασι γὰρ, οἱ τοὺς τρέχοντας ὑποσκελίζειν πειρώμενοι, διὰ τῆς πτέρνης ἐπιβουλεύειν. Διὸ *πτέρνα καὶ πτερνισμὸς*, ἡ ἐπιβουλὴ καὶ ὁ δόλος.

19 Ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα, ὅταν γένηται, πιστεύσητε, ὅτι ἐγώ εἰμι.

Ἵνα, ὅταν πληρωθῇ ἡ τοιαύτη Γραφὴ, πιστεύσητε, ὅτι ἐγώ εἰμι, περὶ οὗ ἐκείνη προεφήτευσεν.

20 Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Ὁ λαμβάνων, ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν πέμψαντά με.

Καὶ πρὸς τῷ τέλει τοῦ ἐννεακαιδεκάτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον εἶπεν· *Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ*

(γ) Ψαλμ. Μ', 10.

ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με (α)· καὶ νῦν δὲ τὸ αὐτὸ λέγει, παρηγορῶν αὐτοὺς ἐπὶ πλέον, μέλλοντας ὅσον οὔπω διατρέχειν τὴν οἰκουμένην.

21 Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, ἐταράχθη τῷ πνεύματι,

Πνεῦμα νόει, τὸ πάθος τῆς λύπης καὶ συγχύσεως, τῆς ἐπὶ τῇ ἀπωλείᾳ τοῦ προδότου· ὑπὸ γὰρ τῆς ἄγαν συμπαθείας ἐταράχθη, ὑπεραλγήσας αὐτοῦ. Καὶ ἐπὶ τοῦ Λαζάρου δὲ τό, *Ἐνεβριμήσατο τῷ πνεύματι* (β), ἑρμηνεύοντες, πνεῦμα τὸ πάθος τῆς συγχύσεως εἰρήκαμεν.

21 Καὶ ἐμαρτύρησε, καὶ εἶπεν· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.

Ἐμαρτύρησεν, ἤγουν, διεμαρτύρατο περὶ τῆς προδοσίας.

22 Ἔβλεπον οὖν εἰς ἀλλήλους οἱ μαθηταὶ, ἀπορούμενοι περὶ τίνος λέγει.

Οὔπω γὰρ ἤθελε δημοσιεῦσαι τὸν ἄθλιον, ἀναμένων ἔτι τὴν ἐπιστροφὴν αὐτοῦ.

23 Ἦν δὲ ἀνακείμενος εἷς τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς.

Αὐτὸς ἦν ὁ ταῦτα γράφων, ὡς αὐτὸς ἐπὶ τέλους τοῦ εὐαγγελίου δεδήλωκε. Τοῦτον δὲ ἠγάπα ὁ Ἰησοῦς, πλέον δηλονότι, ὡς ἄξιον ἀγαπᾶσθαι πλέον, διὰ πλεονεξίαν ἀρετῆς μεγάλης, ἣν αὐτὸς ἀπέκρυψε διὰ μετριοφροσύνην.

Λέγεται δὲ καὶ τοσοῦτον ἐκ νεότητος ἐπιμελήσασθαι καθαρότητος, ὡς μὴ ἐᾶσαί ποτε μηδὲ λογισμὸν αἰσχρὸν ἀναβῆναι εἰς τὴν καρδίαν αὐτοῦ· λογισμὸν δὲ αἰσχρὸν, οὐ τὴν φυσικὴν κίνησιν οἰητέον· ἀλλὰ τὴν προαιρετικὴν φαντασίαν· διὸ καὶ παρθένος ὕστερον ἐπωνομάσθη. Τοῦτο δὲ τὸ προτέρημα καὶ τῇ Θεοτόκῳ προσῆν.

Λέγει δὲ ὁ Χρυσόστομος (ι), ὅτι ἠγάπα αὐτὸν πλέον, καὶ

(α) Ματθ. Ι, 40. (β) Ἰωαν. ΙΑ', 33. (ι) Τομ. Η. Σελ. 194. Α.

δι' ὑπερβάλλουσαν ταπεινοφροσύνην καὶ πρᾳότητα, ἅπερ ἐκτήσατο μετὰ τὸ ἐπιτιμηθῆναι διὰ τὴν προεδρίαν. Ταῦτα γὰρ καὶ τὸν Μωϋσῆν ὕψωσαν.

Σκόπει δὲ καὶ τοῦτο, ὅτι καὶ τοῖς πάθεσι τοῦ διδασκάλου μόνος τῶν μαθητῶν παρέμεινεν ἄχρις ἂν ἐξέπνευσε. Διὰ ταῦτα οὖν καὶ ἠγαπᾶτο πλέον, καὶ ἀνέκειτο κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν τῷ κόλπῳ αὐτοῦ, ὡς παῖς ἐν κόλπῳ πατρός, ἀναλόγως ἐγγίζων αὐτῷ, διὰ τὴν ἀπὸ τῆς ἀρετῆς ἐγγύτητα. Εἰκὸς γὰρ, αὐτὸν γνόντα ἤδη τὸν θάνατον τοῦ διδασκάλου, σφόδρα σκυθρωπάζειν, καὶ διὰ τοῦτο, μετὰ τὸν νιπτῆρα, προσκληθῆναι, καὶ ἀναπεσεῖν ἐκεῖ, χάριν παρηγορίας. Ἔγραψε μὲν οὖν ταῦτα, οὐ φιλοτιμούμενος· καὶ γὰρ φεύγων τὸν κόμπον, τὸ ἑαυτοῦ παρεσιώπησεν ὄνομα.

Ἀλλ' ἐπειδὴ παρέδραμον οἱ ἄλλοι εὐαγγελισταὶ τὰ περὶ τοῦ ἐμβαφέντος ψωμίου καὶ δοθέντος τῷ Ἰούδᾳ, μέλλων διηγήσασθαι τοῦτο, ἀναγκαίως ἐνέπεσε καὶ εἰς τὴν τούτων ἀπαγγελίαν. Ἐπεὶ γὰρ αὐτὸς, ἐπιτραπεὶς παρὰ τοῦ Πέτρου, ἠρώτησε κρυφίως, Τίς ἐστιν ὁ παραδιδούς αὐτόν· ἀναγκαῖον ἦν εἰπεῖν, ποῦ ἀνακείμενος ἠδύνατο ἐρωτᾷν κρυφίως, καὶ πῶς ἐθάῤῥει ἐκεῖ τε ἀνακεῖσθαι, καὶ ἐρωτᾷν μυστικῶς.

Ἢ τὸ μὲν *ἀνακεῖσθαι ἐν τῷ κόλπῳ αὐτοῦ* φησὶ, δηλῶν τὴν ὑπεράπειρον ταπείνωσιν τοῦ τὴν δόξαν ὑπεραπείρου· τὸ δὲ *ἀγαπᾶσθαι* λέγει, δεικνύων ἑαυτόν τε εὐχάριστον, κἀκεῖνον φιλανθρωπότατον. Καὶ ὅτι μὲν ἠγαπᾶτο, ὁμολογεῖ· διὰ τί δὲ ἠγαπᾶτο, οὐ προστίθησιν· εὐχαριστῶν μὲν ἅμα, καὶ μετριοφρονῶν.

24 Νεύει οὖν τούτῳ Σίμων Πέτρος, πυθέσθαι, τίς ἂν εἴη, περὶ οὗ λέγει.

Αὐτὸς μὲν οὐκ ἐθάῤῥησεν ἐρωτῆσαι, διὰ τὴν αἰτίαν, ἣν εἰρήκαμεν ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον· τῷ Ἰωάννῃ δὲ τοῦτο ἐπέτρεψεν, ὡς ἠγαπημένῳ μάλιστα τῷ διδασκάλῳ, καὶ ἀνακειμένῳ τηνικαῦτα ἐν τῷ κόλπῳ αὐτοῦ.

25 Ἐπιπεσὼν δὲ ἐκεῖνος οὕτως ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, λέγει αὐτῷ· Κύριε, τίς ἐστιν;

Οὕτως· ὡς ἀνέκειτο, τουτέστι, μὴ ἀναστὰς, ἀλλὰ μόνον μεταστραφεὶς (1). Ὁ μὲν οὖν Ἰωάννης ἐξ ἁπλότητος καὶ ἀγάπης ἐπέπεσεν· οὔπω γὰρ φύσει θεὸν αὐτὸν ἐγίνωσκεν· αὐτὸς δὲ ἠνέσχετο, κἂν τούτῳ ψυχαγωγῶν αὐτόν.

26 Ἀποκρίνεται ὁ Ἰησοῦς· Ἐκεῖνός ἐστιν, ᾧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω. Καὶ ἐμβάψας τὸ ψωμίον, δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ.

Ζήτησον ἐν τῷ δηλωθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τό· *Λέγω δὲ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης* (α), καὶ ἀνάγνωθι τὴν ὅλην ἐξήγησιν· ἐν αὐτῇ γὰρ περὶ τούτων τε καὶ τῶν ἐφεξῆς ἐῤῥήθη κατὰ λόγον.

27 Καὶ μετὰ τὸ ψωμίον, τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ σατανᾶς.

Ἐν τῷ τέλει τῆς ἐξηγήσεως ἐκείνης εὑρήσεις περὶ τούτου σαφῶς. *Εἰσῆλθε δὲ εἰς ἐκεῖνον*, οὐχ ὥστε δαιμονᾷν αὐτὸν, ἀλλ' ὥστε κατακυριεύειν καὶ δουλαγωγεῖν αὐτὸν, ὡς καὶ ἐν τῷ ἑβδομηκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ κατὰ Λουκᾶν εἰρήκαμεν. Ἢ καὶ διὰ τῶν λογισμῶν εἰσῆλθεν εἰς ἐκεῖνον(2).

27 Λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς· Ὃ ποιεῖς, ποίησον
τάχιον. Τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων,
28 πρὸς τί εἶπεν αὐτῷ. Τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ
γλωσσόκομον εἶχεν ὁ Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ
29 Ἰησοῦς· Ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν· ἢ τοῖς πτωχοῖς ἵνα τὶ δῷ.

Ἐν ἐκείνῃ τῇ ἐξηγήσει καὶ ταῦτα πάντα διηρμηνεύθησαν ἄριστα.

---

(1) Ἐν τῷ κειμένῳ, τὸ ὁποῖον παρεδέχθη ὁ Εὐθύμιος, ἀναγινώσκεται καὶ τὸ, οὕτως, μετὰ τὸ, ἐκεῖνος, καὶ διὰ τοῦτο ἑρμηνεύεται.

(α) Ματθ. ΚΣΤ', 29. (2) εἰς αὐτόν.

30 Λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος, εὐθέως ἐξῆλθεν·

Ὁμοίως καὶ τοῦτο.

30 Ἦν δὲ νύξ, ὅτε ἐξῆλθε.

Ἐπεσημήνατο τὸν καιρὸν ὁ εὐαγγελιστὴς, δεικνύων, ὅτι οὐδὲ ἡ νὺξ ἐπέσχεν αὐτόν.

31 Λέγει ὁ Ἰησοῦς· Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου,

Ἀνωτέρω μὲν εἶπεν, ἐν τῷ πεντεκαιδεκάτῳ κεφαλαίῳ, *Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου* (α)· ἐνταῦθα δὲ, *Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου*. Ἀπὸ τοῦ νῦν ἐδοξάσθη, φησὶ, τοῖς ὑπὲρ τοῦ κόσμου πάθεσι· *δόξα γὰρ τῷ δεσπότῃ τὰ ὑπὲρ τῶν δούλων πάθη*. Ὡς γεγονὸς δὲ λέγει τὸ γενησόμενον, διὰ τὸ ὅσον οὔπω μέλλειν συλληφθῆναι καὶ πάσχειν. Εἰ δὲ τῷ δεσπότῃ δόξα, τὰ ὑπὲρ τῶν δούλων πάθη, πολλῷ μᾶλλον τοῖς δούλοις δόξα, τὰ ὑπὲρ τοῦ δεσπότου.

31 Καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ.

Ὁ πατὴρ ἐδοξάσθη ἐν τῷ υἱῷ, διὰ τῆς πολιτείας, ἣν ὡς ἄνθρωπος ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἐπολιτεύσατο. Ὥσπερ γὰρ τῷ υἱῷ δόξα, τὸ ἔχειν τοιοῦτον πατέρα· οὕτως ἄρα καὶ τῷ πατρὶ δόξα, τὸ ἔχειν τοιοῦτον υἱόν. Ἄλλως τε καὶ οἱ ἄνθρωποι, βλέποντες, ἃ ἐτερατούργει καὶ ἐδίδασκεν, ἐδόξαζον τὸν θεὸν, ὡς οἱ εὐαγγελισταί φασιν.

32 Εἰ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ,

Δοξάσει τὸν υἱὸν δι' ἑαυτοῦ, τερατουργῶν ἐν τῷ καιρῷ τοῦ σταυροῦ τὰ φοβερὰ καὶ ἐξαίσια σημεῖα, καὶ δεικνύων ἐντεῦθεν, ὅτι γνήσιος υἱὸς αὐτοῦ ἐστι. Διὰ τοῦτο γὰρ καὶ προλαβὼν εἶπεν· Ὅταν *ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι* (β)· ἔνθα πλατύτερον ὁμοῦ καὶ σαφέστερον ἐξηγησάμεθα.

(α) Ἰωαν. ΙΒ', 23. (β) Ἰωαν. Η, 28.

32 Καὶ εὐθὺς δοξάσει αὐτόν.

Εὐθὺς, ἐν αὐτῷ τῷ σταυρῷ. Τοῦτο δὲ εἶπεν, ἵνα μὴ ὑπολάβωσιν, ὅτι περὶ τῆς δόξης ἐκείνης λέγει τῆς ἐν τῇ δευτέρᾳ παρουσίᾳ αὐτοῦ, περὶ ἧς διαφόρως ἐδίδαξεν αὐτούς. Ταῦτα δὲ λέγων, ἀνίστησι καταπεπτωκότας τοὺς λογισμοὺς αὐτῶν, καὶ πείθει, μὴ μόνον μὴ δυσφορεῖν, ἀλλὰ μᾶλλον χαίρειν, διὰ τὴν μετὰ βραχὺ δόξαν αὐτοῦ.

33 Τεκνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι.

Πάλιν προλέγει αὐτοῖς τὰ μέλλοντα, ἵνα τε μετὰ ταῦτα ὑπομιμνησκόμενοι γινώσκοιεν, ὅτι προεῖπε, πάντα σαφῶς εἰδὼς, καὶ ἵνα μὴ, ἀθρόον ἐπελθόντα, διαταράξωσιν αὐτοὺς, οὐ προσδοκῶντας. *Τεκνία* δὲ ἐκάλεσε τούτους, οὐ μόνον ὡς ποιητὴς αὐτῶν, ἀλλὰ καὶ ὡς διδάσκαλος. Εἰπὼν δὲ, *Τεκνία, ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι*, σφοδρότερον αὐτοῖς ἐξάπτει τὸν πόθον.

33 Ζητήσετέ με·

Μετὰ τὸ ἀποθανεῖν με. Τοῖς μὲν Ἰουδαίοις εἰπών· *Ζητήσετέ με* (α)· προσέθηκεν, ὅτι *Καὶ οὐχ εὑρήσετε*· ἐπὶ δὲ τῶν μαθητῶν, οὐ προσέθηκε τοῦτο· διότι ἔμελλον εὑρεῖν αὐτὸν οὗτοι μετὰ τὴν ἀνάστασιν. Καὶ ἐκείνοις μὲν, παραμυθούμενος τὴν μανίαν, εἶπεν, ὅτι, *Ζητήσετέ με*· τούτοις δὲ, πόθον ἐμβάλλων πλείονα.

33 Καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις· Ὅτι ὅπου ὑπάγω ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν· καὶ ὑμῖν λέγω ἄρτι.

Ἀλλ' ἐκείνοις μὲν εἶπε τοῦτο, ὡς ἀναξίοις τοῦ τόπου ἐκείνου· τούτοις δὲ, ὡς οὔπω ἀποθανουμένοις.

34 Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους·

Καὶ μὴν παλαιὰ ἐντολὴ ἦν· *Ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν*· ἀλλ' ἡ νῦν διδομένη, μείζων ἐκείνης· ἐπάγει γάρ·

(α) Ἰωαν. Ζ', 34.

34 **Καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους.**

Τοῦτο ἡ καινότης· ἐκείνη μὲν γὰρ ἐκέλευεν, ἀγαπᾷν τὸν πλησίον, ὡς ἑαυτόν· αὕτη δὲ, καὶ ὑπὲρ ἑαυτόν. Ὁ γὰρ Χριστὸς οὕτως ἠγάπησεν ἡμᾶς, ὡς μηδὲ ἑαυτοῦ φείσασθαι, ἀλλ' ἀποθανεῖν ὑπὲρ ἡμῶν.

Τινὲς δὲ ἑτέρως ἑρμηνεύουσιν, ὅτι, ἐπειδὴ παλαιὰ ἐντολὴ ἦν· *Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου* (α)· καὶ (1) νῦν δίδωσιν, ἀγαπᾷν πάντας, ἤγουν, καὶ τοὺς ἐχθρούς· καὶ αὐτὸς γὰρ ἠγάπησε τοὺς μαθητὰς πάντας, ὡς μηδὲ τὸν Ἰούδαν μισῆσαι, ἐπιβουλεύοντα αὐτῷ, ἀλλὰ καὶ μᾶλλον ταραχθῆναι τῷ πνεύματι, τουτέστι, τῷ πάθει τῆς λύπης καὶ συγχύσεως, τῆς ἐπὶ τῇ ἀπωλείᾳ αὐτοῦ.

35 **Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ *μαθηταί* ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.**

Καθὼς καὶ ἐγὼ πρὸς ὑμᾶς· ἐπεὶ καὶ μαθητὴς ἀληθὴς, ὁ μιμούμενος τὸν διδάσκαλον. Τοῦτο σαφὴς χαρακτὴρ τοῦ χριστιανοῦ· τοῦτο φανερὸν γνώρισμα· ἡ ἀληθὴς γὰρ ἀγάπη, πάσης ἐστὶν ἀρετῆς κεφάλαιον.

Τί οὖν; Οὐ πολλῷ μᾶλλον τὰ θαύματα δεικνύουσιν τὸν τοῦ Χριστοῦ μαθητήν; Οὐδαμῶς· εἴρηκε γὰρ πρὸς τῷ τέλει τοῦ ἕκτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον· ὅτι *Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; Καὶ τότε ὁμολογήσω αὐτοῖς· Ὅτι οὐδέποτε ἔγνων ὑμᾶς* (β)· καὶ ἀνάγνωθι τὴν ἐκεῖ ῥηθεῖσαν πᾶσαν ἐξήγησιν.

Καὶ μὴν, τὰ θαύματα μάλιστα τὴν οἰκουμένην ἐπηγάγετο. Ἀλλὰ διότι προϋπῆν τοῖς θαυματουργοῦσιν ἡ ἀγάπη.

36 **Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, ποῦ ὑπάγεις;**

(α) Ματθ. Ε', 43.

(1) Καινὴν, ἀντὶ τοῦ, καὶ νῦν, παρὰ τῷ Α. Ἴσως, καινὴν νῦν.

(β) Ματθ. Ζ', 22. 23.

Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ὅπου ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, ὕστερον δὲ ἀκολουθήσεις μοι.

Ὁ μὲν Πέτρος ἠρώτησεν, οὐχ οὕτω βουλόμενος μαθεῖν, ὡς ἐπιθυμῶν ἀκολουθῆσαι· ὁ δὲ Χριστὸς τὴν διάνοιαν αὐτοῦ γνοὺς, πρὸς αὐτὴν ἀπεκρίθη. Οὐκ εἶπε γὰρ, ποῦ ὑπάγει, ἀλλ' ὅτι *Οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι*· ὑπεδήλου δὲ περὶ τῆς σφαγῆς.

37 **Λέγει αὐτῷ ὁ Πέτρος· Κύριε, διατί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑπέρ σοῦ θήσω.**

Τί ποιεῖς, ὦ Πέτρε; Ἐκείνου εἰπόντος, ὅτι *Οὐ δύνασαι*, σὺ λέγεις, ὅτι Διατί οὐ δύναμαι; Οὐκοῦν ἡ πεῖρα διδάξει σε μὴ ἀντιλέγειν.

38 **Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις; Ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσει, ἕως οὗ ἀπαρνήσῃ με τρίς.**

Ζήτησον ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, τό· *Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· Εἰ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι* (α)· καὶ ἀνάγνωθι καὶ τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν· ἔτι δὲ καὶ τὰς τῶν ἐφεξῆς ῥητῶν, ἄχρι τοῦ· *Ὁμοίως δὲ καὶ πάντες οἱ μαθηταὶ εἶπον* (β).

Εἰ δὲ καὶ παραλλαγήν τινα φέρουσι τὰ ῥητὰ, καινὸν οὐδέν. Ταῦτα μὲν γὰρ ἐρρήθησαν πρὸ τοῦ ἐξελθεῖν αὐτοὺς εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· ἐκεῖνα δὲ, μετὰ τὸ ἐξελθεῖν ἐκεῖ· δὶς γὰρ ἐνστάντι τῷ Πέτρῳ, δὶς περὶ τῆς ἀρνήσεως διεμαρτύρατο ὁ Χριστός· καὶ περὶ μὲν τῆς πρώτης ἐνστάσεως καὶ διαμαρτυρίας Ματθαῖος καὶ Μάρκος (γ) ἔγραψαν· περὶ δὲ τῆς δευτέρας, Λουκᾶς (δ) καὶ Ἰωάννης.

(α) Ματθ. ΚΣΤ', 33. (β) Ματθ. ΚΣΤ', 35. (γ) Μαρκ. ΙΔ', 29.
(δ) Λουκ. ΚΒ', 33.

ΚΕΦ. XIV, 1 Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία.

Εἰπόντος τοῦ Κυρίου πρὸς τὸν Πέτρον· ὅτι *Ὕστερον ἀκολουθήσεις μοι* (α)· καὶ ὅτι *Ἀπαρνήσῃ με τρίς* (β)· ἐταράχθησαν δὴ ἀμφότερα, δεδοικότες, μήποτε αὐτοὶ ἀπεκόπησαν αὐτοῦ, μόνου τοῦ Πέτρου ἀκολουθήσοντος, καὶ μήποτε καὶ αὐτοὶ τοῦτον ἀπαρνήσωνται, ὡς ὁ κορυφαῖος. Καταστέλλων οὖν τὴν ἐντεῦθεν ἀγωνίαν αὐτῶν, πρῶτα μὲν περὶ τοῦ φόβου τῆς ἀπαρνήσεως παραμυθεῖται, εἶτα καὶ περὶ τοῦ φόβου τῆς ἀποκοπῆς.

1 Πιστεύετε εἰς τὸν θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε.

Πιστεύετε βεβαίως, εἰς τὸν πατέρα καὶ εἰς ἐμέ· καὶ λοιπὸν, ἡ εἰς ἡμᾶς πίστις συντηρήσει ὑμᾶς ἀηττήτους.

2 Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν·

Ἱκαναὶ δέξασθαι καὶ ὑμᾶς, συνεσομένους ἡμῖν ἀεί.

2 Εἰ δὲ μὴ, εἶπον ἂν ὑμῖν· Πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν.

Εἰ δὲ μὴ ἦσαν ἐκεῖ πολλαὶ μοναὶ, καὶ δαψίλεια καταγωγίων, εἶπον ἂν ὑμῖν, ὅτι πορεύομαι ἑτοιμάσαι τόπον μονῆς ὑμῖν τοῖς ἐμοῖς· καὶ πρὸ πάντων τούτου πάντως ἂν ἐφρόντισα, ἵνα, ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς ἦτε. Προείρηκε γὰρ αὐτοῖς· ὅτι Ὅπου *εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται* (γ).

3 Καὶ ἐὰν πορευθῶ, καὶ ἑτοιμάσω ὑμῖν τόπον, πάλιν ἔρχομαι, καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτὸν· ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς ἦτε.

Καὶ εἶπον ἂν ὑμῖν καὶ τοῦτο, ὅτι *Ἐὰν πορευθῶ ἑτοιμάσαι ὑμῖν τόπον μονῆς, πάλιν ἔρχομαι, καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτὸν*, καὶ τὰ ἑξῆς. Ὥστε οὐδὲ οὕτως ἔδει ἀθυμεῖν. Ἐπεὶ δὲ πάλαι παρεσκεύασται τὸ πλῆθος τῶν μονῶν, καὶ ἀποκεκλήρωνται τοῖς ἀξίοις, χρὴ θαῤῥεῖν, καὶ μὴ ἀπογινώσκειν.

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι *Καὶ ἐὰν πορευθῶ ἑτοιμάσαι*

(α) Ἰωαν. ΙΓ', 36. (β) Ἰωαν. ΙΓ', 38. (γ) Ἰωαν. ΙΒ', 26.

ὑμῖν τόπον, ἤγουν, ἐγκαινίσαι ὑμῖν ἄνοδον πρὸς τὸν οὐρανὸν, ἣν οὐδεὶς οὐδέπω τῶν ἀνθρώπων ἀνῆλθε, *πάλιν ἔρχομαι*, κατὰ τὴν δευτέραν μου παρουσίαν, *καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτὸν*, ἀναστάντας ἐκ νεκρῶν, συμβασιλεύσοντάς μοι αἰωνίως. Εἰ γὰρ καὶ ἀποθανόντες, πρὸς αὐτὸν ἀνῆλθον, ἀλλ' οὐ μετὰ τῶν σωμάτων· καὶ εἰ σύνεισιν αὐτῷ, ἀλλ' οὐ συμβασιλεύοντες. Ἐπεὶ δὲ, εἰδὼς τὰ κινήματα τῶν καρδιῶν αὐτῶν, ἔγνω ἐπιθυμοῦντας μαθεῖν, ποῦ ὑπάγει, καὶ τὴν ὁδὸν τὴν ἄγουσαν, ὅπου ὑπάγει, φησί·

4 Καὶ ὅπου ἐγὼ ὑπάγω, οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε.

Ἐξ ὧν διαφόρως εἶπον ὑμῖν, οἴδατε καὶ ἀμφότερα, εἰ ἀναμνησθῆτε. Ὑπῆγε μὲν οὖν πρὸς τὸν πατέρα, ἀφ' οὗ καὶ ἐξῆλθεν· ὁδὸς δέ ἐστιν αὐτὸς, δι' οὗ ἐρχόμεθα πρὸς τὸν πατέρα, ὡς προϊὼν ἐρεῖ.

5 Λέγει αὐτῷ Θωμᾶς· Κύριε, οὐκ οἴδαμεν, ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι;

Ὤιετο γὰρ, αἰσθητὸν εἶναί τινα τόπον, ὅπου ὑπάγει, καὶ ὁδὸν ὁμοίως τοιαύτην.

6 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή·

Ὁδὸς μὲν, ὅτι δι' ἐμοῦ ἔρχεσθε· *ἀλήθεια* δὲ, ὅτι ἀληθεύω, καὶ πάντως ἔσται ταῦτα· *ζωὴ* δὲ, ὅτι καὶ τοῦ θανάτου κυριεύω. Εἰ οὖν ἐγώ εἰμι ἡ ὁδὸς, ὁδηγήσω ὑμᾶς· εἰ δὲ καὶ ἀλήθεια, οὐ ψεύδομαι· εἰ δὲ καὶ ζωὴ, οὐδὲ ὁ θάνατος διαστήσει ὑμᾶς ἐμοῦ.

6 Οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ.

Ἐν τῷ ἐννάτῳ δὲ κεφαλαίῳ εἶπεν· *Οὐδεὶς δύναται ἐλθεῖν πρὸς ἐμὲ, ἐὰν μὴ ὁ πατὴρ, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν* (α)· ὁ μὲν

(α) Ἰωαν. Ϛ', 44.

γὰρ ἑλκύει, ὁ δὲ ὁδηγεῖ· καὶ ἀμφότεροι συνεργοῦσιν εἰς τὴν σωτηρίαν τῶν ἀνθρώπων.

7 Εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν·

Ἀνωτέρω μὲν εἰπὼν, ὅτι *Καὶ ὅπου ὑπάγω, οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε* (α)· ἐδήλωσεν, ὅτι καὶ τὸν πατέρα οἴδασι καὶ αὐτόν. Ἐνταῦθα δὲ ἐπαγαγὼν, ὅτι *Εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν*· ἐνέφηνεν, ὅτι καὶ αὐτὸν ἀγνοοῦσι, καὶ τὸν πατέρα. Καὶ πολλαχοῦ δὲ τοῦτο ποιεῖ· ἐπεὶ γὰρ ἐγίνωσκον μὲν καὶ ἀμφοτέρους, οὐχ ὡς προσῆκον δέ· (ὕστερον γὰρ ἐπιφοιτῆσαν τὸ πανάγιον Πνεῦμα κατεσκεύασεν αὐτοῖς τελείαν τὴν γνῶσιν·) ποτὲ μὲν, ὅτι γινώσκουσι, λέγει· διότι ὁπωσδήποτε γινώσκουσι· ποτὲ δὲ, ὅτι οὐ γινώσκουσι· διότι, ὡς ἐχρῆν οὐ γινώσκουσι. Νῦν δὲ φησιν, *Εἰ ἐγνώκειτέ με*, ὡς χρὴ, τίς εἰμι τὸ νοούμενον, *καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν*· ἐπεὶ γὰρ ἶσος ἐμοὶ καὶ ἀπαράλλακτός ἐστιν, ὁ νενοηκὼς ἐμὲ, νενόηκε καὶ τὸν πατέρα.

7 Καὶ ἀπ' ἄρτι γινώσκετε αὐτόν,

Ἐπεὶ ἐμὲ γινώσκετε, εἰ καὶ μὴ ὡς χρὴ, λοιπὸν γινώσκετε καὶ αὐτὸν ὡσαύτως.

Ὁ δὲ Χρυσόστομος (1), *Γνώσεσθε*, ἑρμηνεύει, ἤγουν, Ὅσον οὔπω γνώσεσθε αὐτὸν, ὡς προσῆκον, ἐπιφοιτήσαντος ὑμῖν τοῦ ἁγίου Πνεύματος.

7 Καὶ ἑωράκατε αὐτόν.

Καὶ ἑωράκατε τὴν δύναμιν αὐτοῦ, διὰ τῆς ἐμῆς δυνάμεως, διὰ τῶν θεοπρεπῶν σημείων, ὧν ἐποίησα. Ἃ γὰρ ἐγὼ δύναμαι, ταῦτα κἀκεῖνος.

8 Λέγει αὐτῷ Φίλιππος· Κύριε, δεῖξον ὑμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν.

Καὶ ἀρκεῖ ἡμῖν, ὡς σὲ τέως ἐγνωκόσιν. Ἐπεὶ οὖν ἐζήτησε γνῶναι τὸν πατέρα, δείκνυσιν ὁ Χριστὸς, ὅτι οἶδεν αὐτόν.

(α) Ἰωαν. ΙΔ', 4.

(1) Τομ. Η. Σελ. 432. C.

9 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε;

Κατ' ἐρώτησιν ὁ λόγος. Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, θεοσημείας ἐργαζόμενος, καὶ οὐκ ἔγνωκάς με ἀπὸ τούτων, τίς εἰμι τὴν ἀξίαν καὶ τὴν δύναμιν; ὅτι Θεὸς παντοδύναμος; Ναὶ πάντως ἔγνωκάς με· καὶ εἰ ἔγνωκάς με, λοιπὸν ἔγνωκας τὸν πατέρα· εἰκὼν γὰρ ἀπαράλλακτος ἐγὼ τοῦ πατρός.

9 Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα·

Ὁ ἐγνωκὼς τὴν ἐμὴν ἀξίαν καὶ δύναμιν, ἔγνωκε τὴν τοῦ πατρός· ἀπαράλλακτοι γὰρ ἡμεῖς, καὶ δι' ἀλλήλων γνωριζόμενοι.

9 Καὶ πῶς σὺ λέγεις· Δεῖξον ἡμῖν τὸν πατέρα;

Πῶς θέλεις γνῶναι, ὃν ἔγνωκας; πῶς ζητεῖς, ὃ ἔχεις;

Νοοῦνται δὲ καὶ ἑτέρως τὰ ῥητὰ, ὅτι ἐζήτησε μὲν ὁ Φίλιππος ἰδεῖν τὸν πατέρα, τοῖς αἰσθητοῖς ὀφθαλμοῖς, ἴσως ἀκούων, ὁραθῆναι πολλοῖς πολλάκις τῶν προφητῶν ἐν ἀνθρωπίνῳ εἴδει καὶ σχήματι· καὶ προσέθηκεν, ὅτι *Καὶ ἀρκεῖ ἡμῖν*, ὡς αὐτὸν τέως ὁρῶν καὶ εἰδώς. Δείκνυσι δὲ ὁ Χριστὸς, ὅτι οὔτε αὐτὸν εἶδεν, οὐδὲ οἶδε κατὰ τὴν φύσιν τῆς θεότητος. Λέγει οὖν αὐτῷ κατὰ ἀπόφασιν, *Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε*· ἀθέατος γὰρ ἡ θεία φύσις καὶ ἄγνωστος. Ὁ *ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα*· ὁ δὲ ἐμὲ μὴ δυνάμενος ἰδεῖν, οὐδὲ τὸν πατέρα δύναται ἰδεῖν. Καὶ πῶς σὺ λέγεις, *Δεῖξον ἡμῖν τὸν πατέρα*, ἐμὲ μὴ ἰδὼν, μήτε γνοὺς, εἰ καὶ ὑπολαμβάνεις ἰδεῖν καὶ γνῶναί με;

10 Οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν;

Ὅτι δι' ἀλλήλων γνωριζόμεθα, ὡς ἀπαράλλακτοι; Ζήτησον δὲ πρὸς τῷ τέλει τοῦ δεκάτου κεφαλαίου τό· *Ἵνα γνῶτε καὶ πιστεύσητε, ὅτι ἐν ἐμοὶ ὁ πατὴρ, κἀγὼ ἐν αὐτῷ* (α)· καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτοῦ.

(α) Ἰωαν. Ι', 38.

10 Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ·

Ἀλλ' ἀπὸ τοῦ πατρός· καὶ εἰ ἀπὸ τοῦ πατρὸς, ἄρα ἀπ' ἐμαυτοῦ· τὰ ἐμὰ γὰρ, ἐκείνου, καὶ τὰ ἐκείνου, ἐμά. Πάντα γὰρ κοινὰ καὶ ἴσα κεκτήμεθα. Εἰπὼν δὲ περὶ τῶν λόγων, λέγει καὶ περὶ τῶν ἔργων.

10 Ὁ δὲ πατὴρ, ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα.

Πρὸς τῷ τέλει μὲν τοῦ εἰρημένου κεφαλαίου εἶπεν· Εἰ οὐ ποιῶ *τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι* (α)· ἐνταῦθα δὲ λέγει, ὅτι ὁ πατὴρ *ποιεῖ τὰ ἔργα*, ἃ ἐργάζομαι, δηλονότι. Καὶ τότε δὲ καὶ νῦν τὸ αὐτὸ ἐνέφηνεν, ὅτι τὰ αὐτὰ καὶ δύνανται, καὶ θέλουσιν. Ὁ τοίνυν πατὴρ λαλεῖ μὲν διὰ τοῦ υἱοῦ, ὡς διὰ ἰδίου λόγου· ἐργάζεται δὲ διὰ τοῦ υἱοῦ, ὡς διὰ ἰδίας δυνάμεως. Τὸ δὲ, Ὁ *ἐν ἐμοὶ μένων*, ἀντὶ τοῦ, ὁ μὴ κεχωρισμένος μου, ἢ ὁ δι' ἐμοῦ χαρακτηριζόμενος.

11 Πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν·

Πιστεύετέ μοι, λέγοντι, *ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ* θεωρούμεθα.

11 Εἰ δε μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι.

Εἰ δὲ μὴ πιστεύετέ μοι διὰ τοὺς λόγους μου, κἂν διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι, ὑπερφυῆ καὶ θεοπρεπῆ ὄντα. Καὶ πρὸς τῷ τέλει δὲ ὁμοίως τοῦ δηλωθέντος κεφαλαίου εἴρηκεν· ὅτι *Κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε* (ϐ).

12 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει·

Οὐκ εἶπεν, ὅτι καὶ μείζονα, ὧν εἰργασάμην, δύναμαι ἐργάσασθαι· ἀλλ', ὃ πολλῷ θαυμασιώτερον, ὅτι καὶ ἑτέροις δώσω τοιαῦτα ἐργάζεσθαι. Εἶτα προστίθησι καὶ τὸ ἔτι μεῖζον, λέγων·

(α) Ἰωαν. Ι', 37. (ϐ) Ἰωαν. Ι', 38.

12 Καὶ μείζονα τούτων ποιήσει·

Τοῦτο δὲ τῆς δυνάμεως τοῦ δεδωκότος ἐστὶν ἀπόδειξις, οὐ τῆς τοῦ ποιοῦντος· ὁ γὰρ ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ μείζονα τῶν τοῦ Χριστοῦ ἔργα ποιῶν, τὴν τοῦ Χριστοῦ δύναμιν ἀνακηρύττει.

12 Ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι.

Ὑμῶν, φησίν, ἐστι τοῦ λοιποῦ καὶ τὸ θαυματουργεῖν· διότι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι, καὶ εἰς τὴν οἰκείαν δόξαν ἀποκαθίσταμαι. Ταῦτα δὲ πάντα παραμυθούμενος αὐτοὺς ἔλεγε, σκυθρωπάζοντας καὶ δυσφοροῦντας, διὰ τὸ μήπω γινώσκειν τοὺς περὶ τῆς ἀναστάσεως αὐτοῦ λόγους.

13 Καὶ ὅ, τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω·

Ὃ ἂν αἰτήσητε, ἐπικαλούμενοι τὸ ὄνομά μου. *Ποιήσω* δὲ, εἶπε, δεικνὺς τὴν ἐξουσίαν αὐτοῦ.

13 Ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ.

Δόξα γὰρ τῷ πατρὶ, τὸ παντοδύναμον τοῦ υἱοῦ.

14 Ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω.

Ἐγὼ, ὡς παντοδύναμος ἐπίσης τῷ πατρί. Τὸ αὐτὸ δὲ λέγει, ϐεϐαιῶν μάλιστα τὸν λόγον. Ἐπεὶ δὲ ἐκείνους χρὴ αἰτεῖν, τοὺς ἀγαπῶντας αὐτὸν, διδάσκει, πῶς χρὴ ἀγαπᾷν αὐτὸν, ὅτι οὐ λόγῳ μόνον, ἀλλὰ καὶ ἔργῳ.

15 Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε:

Τοῦ ἀγαπᾷν με γὰρ σημεῖον ἡ τήρησις τῶν ἐντολῶν τῶν ἐμῶν· τήρησις δὲ αὐτῶν, ἡ πλήρωσις, ἡ ἐργασία αὐτῶν. Ἐπεὶ δὲ εἰκὸς, αὐτοὺς ἐπιζητεῖν τὴν σωματικὴν αὐτοῦ συνουσίαν, καὶ τὰς συνήθεις ὁμιλίας, ἔτι παραμυθούμενος τό ἄλγος αὐτῶν, φησί·

16 Καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν,

Ἐντεῦθεν ἄρχεται γνωρίζειν τοῖς μαθηταῖς τὰ περὶ τοῦ ἁγίου

Πνεύματος. *Ἄλλον δὲ παράκλητον*, ὡς ἐμὲ, ἤτοι, παραινέτην καὶ ἀλείπτην ἐν τοῖς ἄθλοις τῆς ἀρετῆς, καὶ (1) ψυχαγωγίαν ἐν ταῖς θλίψεσι καὶ ἀντίληψιν. Εἰπὼν μὲν οὖν, ὅτι *ἄλλον*, ἔδειξε τῶν ὑποστάσεων τὸ διάφορον. Φήσας δὲ, ὅτι *παράκλητον*, ἐδίδαξε τῆς φύσεως τὸ ταὐτόν· παράκλητοι γὰρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

Οὐκ εἶπε δὲ, ὅτι *Πέμψω*, ἵνα μὴ ἀντίθεος εἶναι δόξῃ, καὶ ὡς ἀπὸ ἄλλης τινὸς ἐξουσίας ποιεῖσθαι τοὺς λόγους. Ἀλλὰ νῦν μὲν ἐρωτῆσαι τὸν πατέρα ἐπηγγείλατο, διά τε τὴν ῥηθεῖσαν αἰτίαν, καὶ ἵνα λογισθῇ ἀξιόπιστος· προϊὼν δὲ τὸ οἰκεῖον ἐμφανίζει ἀξίωμα, λέγων· *Ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς* (α)· καὶ πάλιν· *Λάβετε πνεῦμα ἅγιον* (β).

Ἀλλὰ πῶς παρ' ἄλλου *δίδοται καὶ πέμπεται* τὸ *πανταχοῦ* παρὸν, καὶ *διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται* (γ), τὰ χαρίσματα; Οὐχ ὡς δοῦλον, ἀλλ' ὡς ὁμοφυὲς, καὶ τὰ αὐτὰ τῷ πατρὶ καὶ τῷ υἱῷ βουλόμενον. Οὐ γὰρ ὥσπερ ἐπὶ τῶν κτιστῶν, οὕτω καὶ ἐπὶ τῆς ἀκτίστου Τριάδος τὰ τοιαῦτα σημαίνουσι. Καὶ δίδοται μὲν ἐκ τοῦ πατρὸς, ὡς ἐξ αὐτοῦ ἐκπορευόμενον· πέμπεται δὲ παρὰ τοῦ υἱοῦ, ὡς συνεργὸν καὶ οὐκ ἐναντίον. Νῦν μὲν οὖν δίδοσθαι καὶ πέμπεσθαί φησι τὸ Πνεῦμα τὸ ἅγιον· προβαίνων δὲ καὶ τὴν τούτου δείκνυσιν ἐξουσίαν, λέγων· *Ὅταν δὲ ἔλθῃ ἐκεῖνος* (δ).

16 Ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα·

Μηδὲ μετὰ τὴν τελευτὴν ὑμῶν ἀφιστάμενος. Εἶτα διδάσκει, καὶ τίς ἐστιν ὁ ἄλλος παράκλητος.

17 Τὸ πνεῦμα τῆς ἀληθείας,

Τὸ ἀληθινὸν, ἤτοι τὸ ἐξαίρετον, πρὸς τὰ ἄλλα πνεύματα.

---

(1) Τάχα δὲν εἶναι καταλληλότερον τό νὰ τραπῇ τὸ, καί, εἰς τὸ, πρός;

(α) Ἰωαν. ΙϚʹ, 7. (β) Ἰωαν. Κʹ, 22. (γ) Αʹ Κορ. ΙΒʹ, 11.

(δ) Ἰωαν. ΙϚʹ, 13.

Πνεῦμα γὰρ λέγεται, καὶ ὁ ἄγγελος, καὶ ἡ ψυχὴ, καὶ ὁ ἄνεμος, καὶ ἕτερα πλείονα. Ἵνα δὲ μὴ ἀκούσαντες, ὅτι ἄλλον παράκλητον, ὑποπτεύσωσι κἀκεῖνον ἔνσαρκον, καὶ ὁρατὸν αἰσθητοῖς ὀφθαλμοῖς, φησίν·

17 Ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν·

Οὐ δύναται λαβεῖν αἰσθητῶς.

17 Ὅτι οὐ θεωρεῖ αὐτό,

Σωματικῶς· ἀσώματον γάρ.

17 Οὐδὲ γινώσκει αὐτό·

Μὴ ἰδὼν αὐτό.

Νοεῖται δὲ καὶ ἑτέρως, ὅτι Ὁ κοσμικὰ φρονῶν, οὐ δύναται ὑποδέξασθαι αὐτὸ, ὅτι οὐ θεωρεῖ αὐτὸ, πεπηρωμένος ὢν τοὺς νοητοὺς ὀφθαλμούς· οὐδὲ γινώσκει αὐτὸ, μηδὲν ὑψηλὸν ἐννοεῖν ἰσχύων.

17 Ὑμεῖς δὲ γινώσκετε αὐτό,

Γινώσκετε, ὅσον οὔπω. Οὐκ εἰς μακρὰν γὰρ ἐπιφοιτήσει, καὶ διδάξει ὑμᾶς.

Ἢ, *Γινώσκετε αὐτὸ*, ἀπὸ τοῦ γινώσκειν ἐμέ. Ὥσπερ γὰρ ὁ νενοηκὼς ἐμὲ, νενόηκε τὸν Πατέρα· οὕτω πάλιν ὁ νενοηκὼς ἐμὲ, νενόηκε τὸ Πνεῦμα. Μιᾶς γὰρ οἱ τρεῖς οὐσίας καὶ φύσεως καὶ δυνάμεως καὶ ἀξίας.

17 Ὅτι παρ' ὑμῖν μένει,

Ὥσπερ γὰρ ὁ Πατὴρ μετ' ἐμοῦ ἐστιν· οὕτω καὶ τὸ Πνεῦμα· ἀχώριστος γὰρ ἡ μακαρία Τριάς.

17 Καὶ ἐν ὑμῖν ἔσται.

Μὴ ἀποθνῆσκον, ὡς ἐγώ· οὐδὲ γὰρ ἐνηνθρώπησεν, ὡς ἐγώ. Ἐπεὶ δὲ τοσαῦτα εἰπὼν, οὔπω τὴν ἀθυμίαν αὐτῶν ἐξέβαλεν, ἀδημονούντων ἔτι καὶ ἀλγυνομένων, ὡς ὀρφανῶν ἤδη καταλιμπανομένων, θεραπεύει τὸ τοιοῦτον ἄλγος.

18 Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς·

Πατρικῆς εὐσπλαγχνίας τὸ ῥῆμα, πολλὴν εἰσάγον παράκλησιν καὶ ψυχαγωγίαν. Οὐ παντάπασιν ἀφήσω ὑμᾶς, τὰ τεκνία μου.

18 Ἔρχομαι πρὸς ὑμᾶς.

Ἔρχομαι πάλιν, μετὰ τὴν τριήμερον ἀνάστασιν, εἰ καὶ μὴ ὡς τὸ πρότερον συνεσόμενος.

19 Ἔτι μικρὸν, καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ·

Ἀποθανόντα, ὡς ἄνθρωπον.

19 Ὑμεῖς δὲ θεωρεῖτέ με·

Ἐπιφαινόμενον ὑμῖν ἐκ διαλειμμάτων, συνόντος ὑμῖν ἀεὶ τοῦ ἄλλου παρακλήτου.

19 Ὅτι ἐγὼ ζῶ,

Ζῶ, πάλιν ἀναστὰς ἐκ νεκρῶν.

19 Καὶ ὑμεῖς ζήσεσθε.

Μὴ ἀναιρούμενοι αὐτίκα σὺν ἐμοὶ, ἀλλ' ὑπὸ τῆς ἐμῆς δυνάμεως ἐφ' ἱκανὸν συντηρούμενοι. Ἢ, *Καὶ ὑμεῖς ζήσεσθε*, μετὰ θάνατον, τὴν μακαρίαν ζωήν.

20 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς, ὅτι ἐγὼ ἐν τῷ πατρί μου,

Ἐν *ἐκείνῃ τῇ ἡμέρᾳ*, τῇ τῆς ἀναστάσεώς μου, δηλονότι, *γνώσεσθε, ὅτι ἐγὼ ἐν τῷ πατρί μου*, ὅτι ἐγὼ ἀδιαίρετος τοῦ πατρός μου, ἐν τῷ τὰ αὐτὰ ἐκείνῳ δύνασθαι.

20 Καὶ ὑμεῖς ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν.

Καὶ ὅτι Καὶ *ὑμεῖς ἐν ἐμοὶ*, φρουρούμενοι καὶ νευρούμενοι· *κἀγὼ ἐν ὑμῖν*, φρουρῶν καὶ νευρῶν ὑμᾶς. Γνώσεσθε δὲ ταῦτα, τῶν ἐχθρῶν καταστελλομένων, ὑμῶν παῤῥησιαζομένων, τοῦ κηρύγματος καθ' ἑκάστην ἀνθοῦντος τὴν ἡμέραν.

Ὁ μὲν οὖν Χριστὸς ἐν τῷ πατρὶ, κατὰ λόγον ἰσοδυναμίας· οἱ δὲ ἀπόστολοι ἐν αὐτῷ, καὶ αὐτὸς ἐν αὐτοῖς, κατὰ λόγον

βοηθείας. Οἶδε γὰρ ἡ Γραφὴ πολλάκις τοῖς αὐτοῖς ῥήμασιν, ἐπὶ θεοῦ καὶ ἀνθρώπων κειμένοις, οὐχ ὁμοίως κεχρῆσθαι. Καὶ ὁ Χριστὸς γὰρ, καὶ ἡμεῖς υἱοὶ θεοῦ, καὶ θεοὶ, λεγόμεθα, καὶ εἰκὼν θεοῦ, καὶ δόξα θεοῦ· ἀλλὰ πολὺ τὸ διάφορον. Καὶ πολλὰ πολλαχοῦ τοιαῦτα.

21 Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με·

Οὐκ ἀρκεῖ γὰρ τὸ ἔχειν αὐτὰς μόνον, ἀλλὰ χρὴ καὶ ποιεῖν αὐτάς. Εἰπὼν δὲ τοῦτο καὶ πρότερον, λέγει αὐτὸ καὶ νῦν, ἐμφαίνων, ὅτι τῆς ἀγάπης αὐτοῦ σημεῖον, οὐ τὸ ἀθυμεῖν ἐπὶ τῷ χωρισμῷ αὐτοῦ· τοῦτο γὰρ δειλίας μᾶλλόν ἐστιν· ἀλλὰ τὸ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ.

21 Ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτόν,

Καὶ ἐγὼ, ὡς μετὰ τὸ ἀναστῆναι ἀποκαταστὰς εἰς τὸ πρότερον ἀξίωμα. Ὅρα δὲ θαυμαστὴν ἀκολουθίαν! Ὁ τηρῶν τὰς ἐντολάς μου, φησὶν, ἀγαπᾷ με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου· ὃν δὲ ἀγαπήσει ὁ πατήρ μου, καὶ ἐγὼ ἀγαπήσω πάντως, ὡς ἀμφοτέρων τὰ αὐτὰ θελόντων καὶ ἀποδεχομένων.

21 Καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν.

Ποτὲ μὲν, ἀνθρωποπρεπῶς, ποτὲ δὲ, δι' ἐλλάμψεως. Τοῦτο δὲ ἀκούσας Ἰούδας ὁ Ἰακώβου, ὁ καὶ Λεββαῖος, καὶ Θαδδαῖος καλούμενος, ἐνόμισεν, ὅτι, ὡς οἱ νεκροὶ πολλάκις ἐν ὀνείροις, ἐμφανίσει ἑαυτόν· διὸ καὶ συγχυθεὶς, οὐκ ἐτόλμησε μὲν εἰπεῖν, ὃ ἐβούλετο, οἷον Οὐαὶ ἡμῖν, ὅτι ἀποθνήσκεις, καὶ νεκροῦ τρόπον ἐμφανίζεσθαι μέλλεις· ἑτέρως δὲ δι' ἐρωτήσεως τὴν σύγχυσιν ὑποφαίνει.

22 Λέγει αὐτῷ Ἰούδας· (οὐχ ὁ Ἰσκαριώτης·) Κύριε, τί γέγονεν, ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν, καὶ οὐχὶ τῷ κόσμῳ;

Τὸ, *Τί γέγονε;* δυσφοροῦντός ἐστι καὶ συγχεομένου. Τί συμβέ-

θηκεν, ὅτι ἡμῖν ἐμφανισθήσῃ ἐν ὀνείροις, καὶ οὐχὶ τῷ κόσμῳ συνήθως; Ὑπὸ γὰρ τοῦ μὴ θέλειν, ἵνα ἀποθάνῃ, παράδοξον καὶ ἀνέλπιστον ᾤοντο τὸν θάνατον αὐτοῦ.

23 Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

Πρὸς τὸν ἀγαπῶντά με ἐγὼ καὶ ὁ πατήρ μου *ἐλευσόμεθα*, τουτέστιν, οὕτως, ἐμφανισθήσομαι, ὡς ὁ πατήρ μου, καὶ οὐχ, ὡς οἱ νεκροί· *καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*, οἰκοῦντες ἐν αὐτῷ θεοπρεπῶς, ὅπερ ὀνειράτων οὐκ ἔστιν.

24 Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· καὶ ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με πατρός.

Ἀποδείκνυσιν, ὅτι ὁ τοὺς λόγους αὐτοῦ μὴ τηρῶν, οὔτε αὐτὸν ἀγαπᾷ, οὔτε τὸν πατέρα. Λέγει γὰρ, ὅτι Ὁ *μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ*· ἃ δὲ λέγω, οὐκ εἰσὶν ἐμὰ, ἀλλὰ τοῦ πατρός· μὴ τηρῶν δὲ τοὺς λόγους μου, οὐ τηρεῖ τοὺς λόγους τοῦ πατρός· μὴ τηρῶν δὲ τοὺς λόγους τοῦ πατρὸς, οὐδὲ τὸν πατέρα ἀγαπᾷ· τεκμήριον γὰρ ἀγάπης, ἡ τήρησις τῶν ἐντολῶν. Πῶς δὲ ὁ λόγος, ὃν λέγει, καὶ αὐτοῦ ἐστι, καὶ οὐκ ἐστιν αὐτοῦ, προειρήκαμεν. Ἐπεὶ δὲ ἐγίνωσκεν, αὐτοὺς τινὰ μὲν μὴ συνιέντας, ἔν τισι δὲ καὶ ἀμφιβάλλοντας, ὑπισχνεῖται καὶ τὴν τῶν ἀγνοουμένων, καὶ τὴν τῶν ἀμφιβαλλομένων διδασκαλίαν.

25 Ταῦτα λελάληκα ὑμῖν, παρ' ὑμῖν μένων·

Ταῦτα, τὰ δοκοῦντα ἀσαφῆ· τὸ δὲ, *Παρ' ὑμῖν μένων*, προσέθηκεν, ἐμφαίνων κἀνταῦθα, ὅτι τοῦ λοιποῦ ἄπεισι πρὸς τὸν πατέρα.

26 Ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον, ὃ πέμψει

ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα,

Τὰ προσιστάμενα ὑμῖν δηλαδή. Τὸ δὲ, *Ἐν τῷ ὀνόματί μου*, τὸ, ἀντ' ἐμοῦ, σημαίνει ἐνταῦθα. Ἐπεὶ γὰρ αὐτὸς, πληρώσας τὴν οἰκονομίαν, ἀνῆλθε πρὸς τὸν πατέρα, λοιπὸν ἀντ' αὐτοῦ κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα παράκλητος ἡμῖν μὴ λείπῃ, καθώς φησιν ὁ θεολόγος Γρηγόριος.

Καὶ διὰ τί οὐκ αὐτὸς ἐδίδαξε τότε τὰ προσιστάμενα; Διότι οὐκ ἠδύναντο βαστάζειν πλεῖον, ὡς προϊὼν ἐρεῖ.

26 Καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν.

Ἀναμνήσει τελεώτερον τελεωτέρους γενομένους. [Εἰκὸς (1) γὰρ αὐτοὺς ἐπιλαθέσθαι τινῶν.]

27 Εἰρήνην ἀφίημι ὑμῖν.

Οἱ μὲν ἄλλοι ἄνθρωποι ἀποθνήσκοντες χρήματα καὶ κτήματα τοῖς οἰκείοις ἀφιᾶσιν· ὁ δὲ Χριστὸς εἰρήνην τοῖς ἰδίοις ἀφῆκεν, εἰρήνην, τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα. *Εἰρήνην*, φησὶν, *ἀφίημι ὑμῖν*, ἵνα εἰρηνεύητε πρὸς ἀλλήλους καὶ πρὸς ἐμέ· καὶ λοιπὸν, οὐδὲν ὑμᾶς ἡ τοῦ κόσμου ταραχὴ βλάψει οὐδ' ἐμποδίσει.

27 Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν·

Τὴν ἐμοὶ πεφιλημένην, τὴν ἐπὶ τοῖς ψυχωφελέσιν, οὐ τὴν τοῦ κόσμου, τὴν ἐπὶ τοῖς ψυχοβλαβέσιν.

27 Οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν.

Ὁ μὲν γὰρ κόσμος, ἤγουν, οἱ κοσμικὰ φρονοῦντες, εἰρήνην διδόασιν ἀλλήλοις ἐπὶ κακῷ· ἐγὼ δὲ εἰρήνην δίδωμι ὑμῖν ἐπ' ἀγαθῷ.

Ἢ ὁ μὲν κόσμος χρήματα καὶ κτήματα δίδωσι τοῖς αὐτοῦ· ἐγὼ δὲ εἰρήνην δίδωμι ὑμῖν τοῖς ἐμοῖς. Ἐπεὶ δὲ τὸ, *ἀφίημι*

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

ὑμῖν, ἀναχώρησιν ἐμφαῖνον, σύγχυσιν πλείονα αὐτοῖς ἐνεποίησε, φησί·

27 Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω.

Ὁρᾷς, ὅτι οὐ τοσοῦτον ἀπὸ φιλοστοργίας, ὅσον ἀπὸ δειλίας ἔπασχον, οἰόμενοι διασπαραχθήσεσθαι παρὰ τῶν ἐχθρῶν αὐτοῦ.

28 Ἠκούσατε, ὅτι ἐγὼ εἶπον ὑμῖν· Ὑπάγω, *καὶ ἔρχομαι* πρὸς ὑμᾶς·

Οὐκ εἶπον, ὅτι *ὑπάγω* μόνον, ἀλλ' ὅτι καὶ *ἔρχομαι* πρὸς ὑμᾶς. Λοιπὸν, τί δειλιᾶτε;

28 Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν, ὅτι εἶπον· *Πορεύομαι* πρὸς τὸν πατέρα·

Ἐπειδὴ οὔπω περὶ τῆς ἐμῆς πεπληροφόρησθε δυνάμεως, καὶ διότι ἀποθνήσκω, νομίζετέ με *μὴ δύνασθαι μετὰ θάνατον* συντηρεῖν ὑμᾶς· ὠφείλετε χαίρειν, ὅτι εἶπον, *Πορεύομαι πρὸς τὸν πατέρα*, τὸν δυνάμενον ἐξελέσθαι ὑμᾶς πάσης ἐπιβουλῆς, ἐννοοῦντες, ὅτι πρεσβεύσω πάντως ὑπὲρ ὑμῶν.

28 Ὅτι ὁ πατήρ μου μείζων μου ἐστί.

Μείζων μου ἐστὶ, τῇ δυνάμει, ὡς ὑμεῖς δοκεῖτε, ἅτε περιφανέστερον ἐν ταῖς Γραφαῖς ἀνακηρυττόμενος. Ταῦτα δὲ πάντα λέγει, συγκαταβαίνων τῇ ὑπολήψει καὶ ἀσθενείᾳ τῶν μαθητῶν, καὶ ἐξ αὐτῆς τῆς οὐκ ὀρθῆς αὐτῶν ὑπολήψεως ἐλέγχων αὐτούς. Κατὰ γὰρ τὸν ἀληθῆ λόγον, ὁ πατὴρ μείζων μὲν, ἀλλ' οὐ τῇ δυνάμει· μόνῳ δὲ τῷ αἰτίῳ· ὅτι αἴτιος τῷ υἱῷ τῆς γεννήσεως· ἐκ τοῦ πατρὸς γὰρ ὁ υἱός.

29 Καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι· ἵνα, ὅταν γένηται, πιστεύσητε.

Εἴρηκα ὑμῖν, τὰ περὶ τῆς ἀποδημίας καὶ πάλιν ἐπιδημίας μου, καὶ τὰ περὶ τοῦ ἄλλου παρακλήτου, *ἵνα, ὅταν γένηται, πιστεύσητε*, ὅτι πάντα καὶ οἶδα καὶ δύναμαι. Οὕτως οὖν παραμυθησάμενος αὐτοὺς, πάλιν λέγει τὰ λυπηρὰ, τῇ συνεχείᾳ

τούτων γυμνάζων αὐτοὺς εἰς τὸ μὴ θορυβηθῆναι κατὰ τὸν καιρὸν τῶν δεινῶν· τὸ γὰρ προσδοκηθὲν, ὁμαλώτερον εἴωθε προσβάλλειν.

30 Οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου ἄρχων,

Ἐνταῦθα *κόσμον* μὲν λέγει, τὴν κακίαν· *ἄρχοντα* δὲ, τὸν διάβολον· οὐ γὰρ οὐρανοῦ καὶ γῆς ἄρχει· ἐπεὶ πάντα ἂν ἀνέτρεψε καὶ κατέβαλεν. Ὁ αὐτὸς δὲ καὶ ἄρχων τοῦ σκότους ὀνομάζεται, ἤγουν, τῆς ἁμαρτίας. Φησὶν οὖν, ὅτι Ἔρχεται κατ' ἐμοῦ ὁ διάβολος μετὰ τῶν πονηρῶν Ἰουδαίων, δοθείσης αὐτοῖς ἐξουσίας ἄνωθεν. Εἶπε γὰρ καὶ ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ πρὸς τοὺς συλλαμβάνοντας αὐτόν· ὅτι *Αὕτη ὑμῶν ἐστιν ἡ ὥρα καὶ ἡ ἐξουσία τοῦ σκότους* (α).

30 Καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν.

Ἐπὶ μὲν τῶν ἄλλων ἀνθρώπων, αἴτιον τοῦ θανάτου ἡ ἁμαρτία· οὐδεὶς γὰρ ἀναμάρτητος· διὸ καὶ οὐδεὶς ἀθάνατος· *ἐν ἐμοὶ δὲ οὐκ ἔχει οὐδὲν* αἴτιον θανάτου· ἀναμάρτητος γὰρ ἐγώ· διὸ καὶ κατακριθήσεται, καθὼς προεξηγησάμεθα ἐν τῷ πεντεκαιδεκάτῳ κεφαλαίῳ, ἔνθα κεῖται τό· *Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω* (β).

31 Ἀλλ' ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν πατέρα,

Ἀλλ' ἀποθνήσκω, ἵνα γνῶσι πάντες, ὅτι ἀγαπῶ τὸν πατέρα, ὑπακούων αὐτοῦ τῷ θελήματι· θέλημα δὲ αὐτοῦ, ἀποθανεῖν με ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων.

31 Καὶ καθὼς ἐνετείλατό μοι ὁ πατὴρ, οὕτω ποιῶ·

Καὶ ἵνα γνῶσιν, ὅτι πληρῶ τὴν ἐντολὴν αὐτοῦ, ἀποθνήσκων.

31 Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.

Βλέπων τοὺς μαθητὰς σφόδρα δειλιῶντας, καὶ φανταζομένους

(α) Λουκ. ΚΒ', 53. (β) Ἰωάν. ΙΒ', 31.

ἤδη τοὺς συλληψομένους καὶ ἀναιρήσοντας, καὶ διὰ τοῦτο πυκνὰ μεταστρεφομένους, καὶ μὴ δυναμένους προσέχειν τοῖς λεγομένοις· καὶ γὰρ ἐνεποίουν αὐτοῖς ἀγωνίαν, καὶ ὁ τόπος, κατάδηλος ὤν, καὶ ἡ νὺξ, καὶ τὸ εἰπεῖν· ὅτι *Ἔρχεται ὁ τοῦ κόσμου ἄρχων* (α)· μετάγει τούτους εἰς ἕτερον τόπον ἀσφαλέστερον, ἵνα, νομίσαντες ἐν ἀσφαλείᾳ καταστῆναι, μετὰ ἀδείας ἀκούσωσι· καὶ γὰρ ἔμελλον μεγάλων ἀκούσεσθαι δογμάτων. Εἶτα πάλιν φησίν·

ΚΕΦ. XV, 1 Ἐγώ εἰμὶ ἡ ἄμπελος ἡ ἀληθινὴ,

Η ἐξαίρετος, ἡ ἄφθαρτος, ἡ πνευματική. Ταῦτα γὰρ πολλάκις τὸ ἀληθινὸν δηλοῖ.

Καὶ ἑτέρως δὲ, *Ἄμπελος ἀληθινή*, ἡ τὴν ἀλήθειαν καρποφοροῦσα.

Ἄμπελον μὲν οὖν ἑαυτὸν ὀνομάζει, ὡς παρέχοντα τὸ νόστιμον καὶ εὐφραῖνον καρδίαν ἀνθρώπου κήρυγμα, ὃ καὶ *οἶνον* ἡ Γραφὴ προσαγορεύει· καὶ ὡς ῥίζαν τῶν μαθητῶν· *κλήματα* δὲ, τοὺς μαθητὰς, ὡς ἐξ αὐτοῦ βλαστήσαντας τῷ λόγῳ τῆς διδασκαλίας, καὶ δι' αὐτοῦ τρεφομένους εἰς καρποφορίαν βοτρύων ὡραίων, εἴτουν, ἀρετῶν, καὶ παροχὴν ὁμοίως τοῦ διδασκαλικοῦ οἴνου.

1 Καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι.

Ο ἐπιμελητὴς, πλὴν οὐ τῆς ῥίζης, ἀλλὰ τῶν κλάδων. Ἐξαίρετος γὰρ ὄντως αὕτη ἡ ἄμπελος, κατὰ τοὺς κλάδους μόνον δεομένη ἐπιμελείας! Τῷ πατρὶ δὲ τὴν ἐπιμέλειαν αὐτῶν ἀνατίθησιν, ὡς θεῷ· δεικνὺς, ὅτι συνεργεῖ τοῖς καρποφοροῦσι, καὶ κολάζει τοὺς μὴ καρποφοροῦντας.

2 Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό·

Π*ᾶν κλῆμα ἐν ἐμοὶ* βλαστῆσαν, καὶ διὰ πίστεως ἡνωμένον μοι, *μὴ φέρον καρπὸν*, ἤγουν, ἀρετὰς, ἐκκόπτει αὐτὸ, ὡς

(α) Ἰωαν. ΙΑ', 30.

ἄχρηστον καὶ πυρὸς ἄξιον. Λοιπὸν οὖν, πᾶς χριστιανὸς μὲν, ἄκαρπος δὲ, ἐκκέκοπται τοῦ Χριστοῦ, καὶ (1) εἰ δοκεῖ συνῆφθαι αὐτῷ διὰ τῆς πίστεως, καὶ τῷ αἰωνίῳ πυρὶ τετήρηται.

2 Καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ.

Κ*αθαίρει αὐτὸ*, διὰ τῶν πειρασμῶν, παραχωρῶν ἐπάγεσθαι τούτους αὐτῷ, πᾶν μὲν βλαβερὸν ἀποξέοντας, πᾶσαν δὲ στερρότητα καὶ γονιμότατα πλείονος ἀρετῆς ἐμποιοῦντας. Ἵνα δὲ μὴ ὑπολάβωσιν, ἀκάρπους εἶναί τινας αὐτῶν, καὶ πάλιν θορυβηθῶσι περὶ ἑαυτῶν, προαναιρεῖ τὸν τοιοῦτον θόρυβον, λέγων·

3 Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν.

Περικαθαρθέντες τῷ διδασκαλικῷ λόγῳ μου. Ὁρᾷς, ὅτι εἰ καὶ ἄμπελός ἐστιν, ἀλλὰ καὶ γεωργός· κοινὴ γὰρ ἡ τοιαύτη γεωργία καὶ τῷ πατρὶ καὶ τῷ υἱῷ, ὥσπερ δὴ καὶ τἄλλα. Ἵνα δὲ μὴ ὑπὸ τῆς πολλῆς δειλίας ἀποσχισθῶσι τῆς εἰς αὐτὸν πίστεως καὶ σχέσεως, χαυνωμένην αὐτῶν ἤδη τὴν ψυχὴν ἐπισφίγγει, καὶ ἑαυτῷ συγκολλᾷ, εἰπών·

4 Μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν·

Μ*είνατε ἐν ἐμοὶ*, συγκολλώμενοί μοι βεβαιότερον διὰ πίστεως ἀδιστάκτου καὶ σχέσεως ἀῤῥήκτου, κἀγὼ μενῶ *ἐν ὑμῖν*, συνὼν τῇ δυνάμει, καὶ περιέπων ἢ συνέχων ὑμᾶς, ὡς ἄμπελος κλήματα, καὶ καρποφόρους ἀπεργαζόμενος.

4 Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε.

Οὐδὲ ὑμεῖς δύνασθε καρποφορεῖν, ἐὰν ἀποσχισθῆτε τῆς συναφείας μου.

5 Ἐγὼ εἰμὶ ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ μένων

(1) Ἴσως, εἰ καὶ, ἢ, κἂν δοκῇ.

ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν·

Σαφηνίζει τὴν παραβολήν. Καὶ σκόπει, πῶς εἶπεν, *Ὁ μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν*. Πολλάκις γὰρ μένει μέν τις ἐν τῷ Χριστῷ συνημμένος αὐτῷ διὰ τῆς πίστεως, οὐ μένει δὲ καὶ ὁ Χριστὸς ἐν αὐτῷ, ἀποστρεφόμενος αὐτόν, ὡς ἀναξίως αὐτοῦ πολιτευόμενον. Οὗτος φέρει μὲν καρπόν, ὀλίγον δέ, ἕν τι ἀγαθόν, ἢ καὶ δύο που διαπραξάμενος. Ὁρῶμεν δὲ καὶ ἐν ἀμπέλοις τοιαῦτα κλήματα, ἅ, μὴ χαιρουσῶν αὐτοῖς τῶν ἀμπέλων, βοτρύδια οἰκτρά τινα φέρουσιν.

5 Ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

Ὥσπερ οὐδ᾽ οἱ βλαστοί, μὴ ἀπολαύοντες δυνάμεως ἐκ τῆς ῥίζης. Εἰπὼν δὲ ἀνωτέρω· ὅτι Οὐ δύνασθε καρποφορεῖν, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε· νῦν λέγει καὶ τὸν κίνδυνον τοῦ μὴ ἐν αὐτῷ μένοντος.

6 Ἐὰν μή τις μείνῃ ἐν ἐμοί, ἐβλήθη ἔξω, ὡς τὸ κλῆμα,

Ὡς τὸ κλῆμα, τὸ ἄχρηστον.

6 Καὶ ἐξηράνθη·

Καὶ ἀπώλεσεν, ἣν εἶχε ἐκ τῆς ῥίζης ἰκμάδα χάριτος.

6 Καὶ συνάγουσιν αὐτά,

Καὶ συνάγουσι τὰ τοιαῦτα κλήματα οἱ ἄγγελοι, κατὰ τὸν καιρὸν τῆς κρίσεως.

6 Καὶ εἰς τὸ πῦρ βάλλουσι,

Τὸ τῆς γεέννης.

6 Καὶ καίεται.

Καὶ φλέγονται, οὐ μὴν κατακαίονται. *Οὐ μένοντας δὲ ἐν αὐτῷ* λέγει, οὐ μόνον τοὺς ἀποκοπέντας ἢ ἀποσχισθέντας αὐτοῦ, ἀλλὰ καὶ τοὺς μηδ᾽ ὅλως συναφθέντας αὐτῷ.

7 Ἐὰν μείνητε ἐν ἐμοί, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν

μείνῃ, ὃ ἐὰν θέλητε, αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν.

Οὐδὲν γὰρ ἀνάξιον αἰτήσεται, ὁ ταῖς ἐντολαῖς τοῦ θεοῦ ἐμπολιτευόμενος. Σκόπει δέ, ὅτι τοῦτό ἐστι τὸ μένειν τὸν Χριστὸν ἐν τοῖς μαθηταῖς, τό, τὰ ῥήματα αὐτοῦ μένειν ἐν αὐτοῖς, εἴτουν, τηρεῖσθαι, ἐνεργεῖσθαι.

8 Ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε·

Τὸ μέν, *ἐδοξάσθη*, ἀντὶ τοῦ, δοξάζεται· τὸ δέ, *ἵνα φέρητε*, ἀντὶ τοῦ, ἐὰν φέρητε. Πολλὰ γὰρ τοιαῦτα ἰδιώματα παρὰ τῇ Γραφῇ.

8 Καὶ γενήσεσθε ἐμοὶ μαθηταί.

Ἀπαρτισθήσεσθε. Παρατηρητέον οὖν, ὅτι ὁ καρπὸν πολὺν φέρων, οὗτος ἀπαρτίζεται μαθητὴς τοῦ Χριστοῦ. *Δοξάζεσθαι* δέ, ἤτοι, χαίρειν, τὸν πατέρα εἶπεν, ἐν τῇ πολλῇ καρποφορίᾳ καὶ τελείᾳ μαθητείᾳ αὐτοῦ, προτρεπόμενος αὐτοὺς ἐπὶ τὸ πρᾶγμα, ὡς ἐπὶ εὐαπόδεκτον τῷ θεῷ.

9 Καθὼς ἠγάπησέ με ὁ πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς·

Ὃν τρόπον ἠγάπησέ με ὁ πατήρ, ὡς ποιοῦντα δηλαδὴ τὸ θέλημα αὐτοῦ· οὕτω κἀγὼ ἠγάπησα ὑμᾶς, ὡς ποιοῦντας τὸ θέλημά μου.

Προδιέσταλται δὲ ἡμῖν, ὅτι τό, *καθώς*, καὶ τὰ τοιαῦτα, ὅταν μὲν ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος λέγωνται, ἰσότητα δηλοῦσιν· ὅταν δὲ ἐπὶ θεοῦ καὶ ἀνθρώπων, ὁμοιότητα σημαίνουσιν· ἡ δὲ ὁμοιότης, οὐ παντάπασιν ἀπαράλλακτος.

9 Μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ.

Πάλιν ἐπισφίγγει αὐτούς.

10 Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου· καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ.

Καὶ πῶς ἀποθνήσκεις, ὡσεὶ ἄνθρωπος ἀβοήθητος; Διότι θέλει

τοῦτο καὶ ὁ πατὴρ κἀγὼ, ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων ἐπεὶ καὶ δόξαν τὸ πρᾶγμα ἥγημαι. Ὥσπερ οὖν ἐγὼ, οὕτως ἀγαπώμενος ὑπὸ τοῦ πατρὸς, ὅμως ἀποθνήσκω δἰ ὑμᾶς· οὕτω καὶ ὑμεῖς, οὕτως ἀγαπώμενοι παρ' ἐμοῦ, ὅμως ἀποθανεῖσθε δἰ ἐμέ. Κατ' εὐδοκίαν γὰρ ὁ τοιοῦτος θάνατος, οὐ κατὰ ἀποστροφὴν ἢ ἀσθένειαν.

11 Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ,

Ταῦτα, τὰ παραμυθητικὰ ῥήματα, *λελάληκα ὑμῖν*, ἀνιωμένοις ἐπὶ τῷ θανάτῳ μου, ἵνα ἡ χαρὰ ἡ δἰ ἐμὲ, ἣν ἐχαίρετε ἐπ' ἐμοὶ μέχρι τῶν σκυθρωπῶν τούτων, μὴ ἀφανισθῇ, ἀλλὰ ἐν ὑμῖν μείνῃ βεβαιωθεῖσιν, ὅτι οὐκ ἀφήσω ὑμᾶς ὀρφανοὺς, ἀλλὰ πάλιν ἔρχομαι πρὸς ὑμᾶς.

11 Καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ.

Καὶ ἵνα ἡ χαρὰ ὑμῶν, ἡ ἐπ' ἐμοὶ, πληρωθῇ, ὡς ἐν ἀρχῇ αὐτῆς προσεδοκᾶτε, ἐλπίζοντες ἀεί μοι συνεῖναι.

12 Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς.

Ἵνα ἀγαπᾶτε ἀλλήλους οὕτω σφοδρῶς, ὡς καὶ ὑπὲρ ἀλλήλων ἀποθνήσκειν. Οὕτω γὰρ κἀγὼ ἠγάπησα ὑμᾶς, ὡς καὶ ὑπὲρ ὑμῶν ἀποθνήσκειν ἤδη. Συνεχῶς δὲ τὰ τοιαῦτα λέγει, ἀνεξάλειπτον ταῖς καρδίαις αὐτῶν ἐγκολάπτων τὴν ἀγάπην.

Ὅρα δὲ θαυμασίαν σειράν! Δέδεικται γὰρ, ὅτι τὸ μεῖναι ἐν τῷ Χριστῷ γίνεται ἀπὸ τοῦ ἀγαπᾷν αὐτόν· τὸ δὲ ἀγαπᾷν αὐτὸν, ἀπὸ τοῦ τὰς ἐντολὰς αὐτοῦ τηρεῖν· ἡ ἐντολὴ δὲ αὐτοῦ, ἵνα ἀγαπῶμεν ἀλλήλους. Ὥστε τὸ ἀγαπᾷν ἀλλήλους, μένειν ἐν τῷ Χριστῷ ἐστι, καὶ ἀγαπᾷν τὸν θεόν ἐστι, καὶ ἀναπεπλεγμέναι πρὸς ἀλλήλας εἰσὶν ἥ τε πρὸς θεὸν καὶ ἡ πρὸς ἀλλήλους ἀγάπη. Εἰπὼν δὲ, ὅτι *Καθὼς ἠγάπησα ὑμᾶς*, ἔδειξεν, ὅτι ἑκουσίως ἀποθνήσκει διὰ τὴν ἀγάπην αὐτῶν.

13 Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.

Μείζονα ταύτης, τῆς οὕτω μεγάλης, ὡς καὶ τὴν ψυχὴν ἀφεῖναι ὑπὲρ τῶν φίλων, καθὼς ἐγὼ ποιῶ νῦν. Λοιπὸν οὖν οὐκ ἐξ ἀσθενείας ἐμῆς, ἀλλ' ἐξ ἀγάπης ὑμῶν ἀποθνήσκω, καὶ οἰκονομικῶς ὑμῶν χωρίζομαι, καὶ μὴ ἀθυμεῖτε. Ἐπεὶ δὲ αὐτοὺς φίλους αὐτοῦ ὑπεδήλωσε, λέγει, πῶς εἰσὶ φίλοι αὐτοῦ.

14 Ὑμεῖς φίλοι μου ἐστὲ, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν.

Ω τῆς ἀνεικάστου φιλανθρωπίας! Ἐφ' ἡμῶν μὲν, οὐκ ἄν ποτέ τις τὸν εὐγνώμονα δοῦλον ποιήσῃ φίλον· ὁ δὲ Χριστὸς καὶ τοῦτο ποιεῖ, μᾶλλον δὲ καὶ ἀδελφὸν αὐτὸν ἀπεργάζεται· *Ἀπαγγείλατε γάρ*, φησι, *τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν* Γαλιλαίαν (α)· καὶ υἱοθετεῖ τοῦτον τῷ πατρὶ, καὶ καθιστᾷ συγκληρονόμον τῆς βασιλείας τῶν οὐρανῶν.

15 Οὐκέτι ὑμᾶς λέγω δούλους·

Καὶ πότε αὐτοὺς εἶπε *δούλους*; Ὅτε διδάσκων ἀπεκάλυπτε τὴν ἐξουσίαν τῆς ἑαυτοῦ θεότητος. Καὶ προλαβὼν δὲ εἶπεν· *Ὑμεῖς φωνεῖτέ με· Ὁ κύριος καὶ ὁ διδάσκαλος· καὶ καλῶς λέγετε· εἰμὶ γάρ* (β).

15 Ὅτι ὁ δοῦλος οὐκ οἶδε, τί ποιεῖ αὐτοῦ ὁ κύριος·

Τὶ ποιεῖ ἀπόῤῥητον.

15 Ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα, ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν.

Ἀνήγγειλα ὑμῖν, ὡς φίλοις, πάντα, ὅσα ἠδύνασθε βαστάζειν δηλονότι, ὅσα ἀκοῦσαι ὑμᾶς εἰκός. Τῷ φίλῳ γάρ τις, οὐ τῷ δούλῳ, καταπιστεύει τὰ ἀπόῤῥητα.

Καὶ μὴν ἀνωτέρω εἰπών· *Ὑμεῖς φίλοι μου ἐστὲ, ἐὰν ποιῆτε, ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν·* ἐνέφηνεν, ὅτι οὔπω εἰσὶν,

(α) Ματθ. ΚΗ', 10. (β) Ἰωαν. ΙΓ', 13

ἀλλὰ τότε εἰσὶν, ὅτε ποιοῦσι· πῶς οὖν ἐνταῦθά φησιν· *Ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα, ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν;* Τὸ, ἐστὲ, ἀντὶ τοῦ, διαμένετε, νόησον· ὅτι ὄντες ἤδη,καὶ εἰς τὸ ἑξῆς διαμένετε, ἐὰν ποιῆτε, ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν.

Εἶτα τίθησι καὶ ἄλλο τεκμήριον τοῦ ἔχειν αὐτοὺς φίλους ἑαυτοῦ.

16 Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς,

Κατὰ ἀπόφασιν ὁ λόγος· ὅτι ἐγὼ εἱλόμην ὑμᾶς φίλους, ἐγὼ τῇ φιλίᾳ ὑμῶν ἐπέδραμον.

16 Καὶ ἔθηκα ὑμᾶς,

Καὶ ἐφύτευσα (1) ὑμᾶς εἰς τὴν ἐμὴν ἀγάπην, εἰς τὴν εἰς ἐμὲ πίστιν.

16 Ἵνα ὑμεῖς ὑπάγητε,

Ἵνα ἐκτείνησθε (2) αὐξανόμενοι.

16 Καὶ καρπὸν φέρητε,

Ὡς ἀνωτέρω δεδήλωται· ἢ *καρπὸν*, τὰ πνευματικὰ χαρίσματα, ἢ τὰ πλήθη τῶν σωζομένων ἐκ τῆς αὐτῶν σπουδῆς.

16 Καὶ ὁ καρπὸς ὑμῶν μένῃ·

Καὶ ἵνα μένῃ ἀνώλεθρος, διηνεκής.

16 Ἵνα, ὅ, τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν.

Ἐν τῷ ὀνόματί μου, τουτέστιν, ὡς ἐμοὶ, ὡς χριστιανοί.

---

(1) Οὕτως ἐξηγεῖ τὸ, ἔθηκα, ὁ Χρυσόστομος. Τομ. Η'. Σελ. 452. C. Θεοφυλ. Σελ. 782. A. B. (2) Οὕτως ὁ Χρυσόστομος. Τόμ. Η'. Σελ. 452. C. Θεοφυλ. Σελ. 782. A. Ὁ Κύριλλος ἐξηγεῖ, ἀνάγειν, τὸ, ὑπάγειν. Τομ. Δ'. Σελ. 892. E. Στηρίζεται δὲ ἡ ἑρμηνεία αὕτη τοῦ, ἔθηκα, καὶ τοῦ, ὑπάγητε, εἰς τὰ ἑπόμενα ῥήματα, καρπὸν φέρητε. Ἀλλ' ἴσως ἡ ἑρμηνεία αὕτη εἶναι σοφὴ μᾶλλον ἢ ἀληθής. Τὸ, τιθέναι, εὑρίσκεται καὶ παρὰ τοῖς ἔξω συγγραφεῦσι περὶ φυτεύσεως, ὡς Ξενοφ. Οἰκον. ΙΘ'. ζ'. θ'. Τὸ δὲ, ὑπάγειν, ἀντὶ τοῦ, ἐκτείνεσθαι, ἀνάγειν, αὔξειν, μένει χωρὶς παραδείγματος.

Ἢ Ἐπικαλούμενοι τὸ ὄνομά μου, ὡς καὶ προλαβόντες ἡρμηνεύσαμεν, ἔνθα ἔλεγε· *Καὶ ὅ,τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω* (α)· καὶ πάλιν· *Ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω* (β)· ἀφ' ὧν δείκνυται τὸ ἰσοδύναμον πατρὸς καὶ υἱοῦ.

17 Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.

Ταῦτα λαλῶ (1) ὑμῖν, τὸ, ὅτι ἀποθνήσκω ὑπὲρ ὑμῶν, καὶ τὸ, ὅτι ἐγὼ τῇ φιλίᾳ ὑμῶν ἐπέδραμον, οὐκ ὀνειδίζων, ἀλλ' ἐνάγων ὑμᾶς εἰς τὸ ἀγαπᾷν ἀλλήλους. Ἐπεὶ δὲ ἐθορυβοῦντο, ὡς ἤδη πᾶσι τοῖς Ἰουδαίοις μισητοὶ γενόμενοι, παραμυθεῖται καὶ τὴν ἐντεῦθεν ἀθυμίαν.

18 Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε, ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν.

Κόσμον λέγει τοὺς πονηροὺς Ἰουδαίους. Ἔστω, φησὶν, ὑμῖν εἰς παραμυθίαν, τὸ πρὸ ὑμῶν ἐμὲ μισηθῆναι, καὶ χαίρετε μᾶλλον, ὅτι κοινωνεῖτέ μοι τοῦ παρὰ τῶν πονηρῶν μίσους. Εἶτα λέγει καὶ ἑτέραν παραμυθίαν, ὅτι Ἐὰν ἐκ τῶν πονηρῶν ἦσαν, οἱ πονηροὶ ἂν ἐφίλουν αὐτούς.

19 Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει·

Τὸ ὅμοιον. Χαίρει γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον.

19 Ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστὲ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος.

Ὥστε τὸ μισεῖσθαι ὑμᾶς παρὰ τῶν πονηρῶν, ἀπόδειξίς ἐστιν ἀρετῆς, ὥσπερ καὶ τὸ φιλεῖσθαι παρὰ τῶν τοιούτων, κακίας. Ἐπάρας οὖν αὐτῶν καταπίπτον τὸ φρόνημα, πάλιν ἀπὸ τῶν καθ' ἑαυτὸν τούτους παρηγορεῖ.

(α) Ἰωάν. ΙΔ', 13. (β) Ἰωαν. ΙΔ', 14. (1) Λέγει ὁ Εὐθύμιος, λαλῶ ὑμῖν· διότι ὁ Χρυσόστομος Τομ. Η'. Σελ. 452. D. ἀντὶ τοῦ. ἐντέλλομαι, ἔχει, λελάληκα.

20 Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν·

Καὶ ποῖός ἐστιν ἐκεῖνος ὁ λόγος, ἄκουσον·

20 Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ.

Τοῦτον γὰρ τὸν λόγον προλαβὼν εἶπεν αὐτοῖς, καὶ οὐχ ἅπαξ, ἀλλὰ διαφόρως. Λέγει οὖν, ὅτι Οὐκ ἐμοῦ κρείττους ὑμεῖς.

20 Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν·

Ἀκόλουθον γάρ, εἴγε μαθηταί μου ἐστέ. Εὐψυχεῖτε οὖν, τὰ ὅμοια τῷ διδασκάλῳ πάσχοντες, καὶ κατ' ἴχνος ἀκολουθοῦντές μοι.

20 Εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν.

Μήτε διωκόμενοι δυσφορεῖτε, μήτε τοῦ λόγου ὑμῶν ἀθετουμένου· ἃ γὰρ εἰς ἐμὲ ἐνεδείξαντο, ταῦτα καὶ εἰς ὑμᾶς ἐνδείξονται· καὶ ἀρκετόν, φησι, τῷ δούλῳ, ἵνα γένηται ὡς ὁ κύριος αὐτοῦ (α).

21 Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου·

Ταῦτα πάντα, διώκοντες δηλαδή, καὶ τὸν λόγον ὑμῶν μὴ τηροῦντες. Εἰ οὖν ἀγαπᾶτέ με, χαρήσετε πάντως, ὅτι δι' ἐμὲ ταῦτα πάσχετε, ἐπεὶ κἀγὼ δι' ὑμᾶς· καὶ ὑμεῖς μὲν ὑπὲρ δεσπότου, ἐγὼ δὲ ὑπὲρ δούλων. Εἶτα τίθησι καὶ ἄλλην παραμυθίαν.

21 Ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με.

Ὅτι ἀθετοῦσι τὸν ἀποστείλαντά με, τουτέστιν, ὑβρίζουσι καὶ τὸν πατέρα. Λοιπὸν τοίνυν ἀγαλλιᾶσθε, ὑβριζόμενοι μεθ' ἡμῶν. Ἔπειτα ἀποστερεῖ τοὺς Ἰουδαίους ἁπάσης συγγνώμης ἐθελοκακοῦντας, καὶ τοιαῦτα διαπραττομένους.

22 Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ

(α) Ματθ. Ι', 25.

εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν.

Εἰ μὴ ἐδίδαξα αὐτούς, ἁμαρτίαν οὐκ εἶχον, διώκοντες καὶ ὑβρίζοντες ἐμέ τε καὶ ὑμᾶς τοὺς ἐμούς, ὡς μήτε, τίς εἰμι, λέγοντα, μήτε ἀπὸ τῶν Γραφῶν τοῦτο δεικνύοντα.

23 Ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ.

Σαφηνίζει καὶ αὔξει τὴν ἁμαρτίαν αὐτῶν, λέγων, ὅτι καὶ ἡ τοῦ υἱοῦ ὕβρις, τοῦ πατρός ἐστιν ὕβρις. Εἰπὼν δὲ περὶ τῆς διδασκαλίας αὐτοῦ, λέγει καὶ περὶ τῶν σημείων αὐτοῦ.

24 Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον·

Καὶ ὄντως αὐτοὶ τούτων μάρτυρες, λέγοντες· ὅτι *Οὐδέποτε οὕτως ἐφάνη ἐν τῷ Ἰσραὴλ* (α), καὶ ἕτερα τοιαῦτα.

24 Νῦν δὲ καὶ ἑωράκασι,

Τὰ τοιαῦτα ἔργα.

24 Καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου.

Ἀνωτέρω γὰρ εἶπεν· ὅτι *Ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ* (β). Καὶ ἀλλαχοῦ πάλιν· *Ὁ μὴ τιμῶν τὸν υἱόν, οὐ τιμᾷ τὸν πατέρα, τὸν πέμψαντα αὐτόν* (γ).

25 Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν· «Ὅτι ἐμίσησάν με δωρεάν.»

Κἀνταῦθα τό, *Ἵνα*, οὐκ αἰτιολογικόν, ἀλλὰ δηλωτικὸν τοῦ μέλλοντος, ὅτι μέλλει πληρωθῆναι ὁ λόγος οὗτος. *Νόμον* δὲ λέγει τὴν βίβλον τῶν ψαλμῶν, ἐν ᾗ γέγραπται· ὅτι *Καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν* (δ). Ἐμίσησαν οὖν αὐτὸν *δωρεάν*, ἤτοι, μάτην, ἀνευλόγως (1), διὰ τὴν πονηρίαν αὐτῶν.

(α) Ματθ. Θ', 33. (β) Ἰωαν. ΙΕ', 23. (γ) Ἰωαν. Ε', 23.
(δ) Ψαλμ. ΡΗ', 2. (1) οὐκ εὐλόγως, ἄνευ λόγου.

Ἵνα δὲ μὴ εἴπωσιν οἱ ἀπόστολοι· Εἰ σὲ ἐδίωξαν, καὶ τὸν λόγον σου οὐκ ἐτήρησαν· εἰ τοιαῦτα διδαχθέντες, καὶ τοιαῦτα ἑωρακότες, οὐδὲν ἀπώναντο· εἰ σὲ καὶ τὸν πατέρα σου μεμισήκασι, μέλλουσι δὲ καὶ εἰς ἡμᾶς τὰ ὅμοια ἐνδείξασθαι, τίνος ἕνεκεν εἰς τοιούτους ἀποστέλλεις ἡμᾶς; ἐπάγει παραμυθίαν, λέγων, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον συνεργήσει αὐτοῖς.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ.

Περὶ τοῦ παρακλήτου.

26 Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, (τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται,) ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ.

Περὶ τῆς ἐμῆς θεότητος. Τοῦ γὰρ πατρὸς διαφόρως μαρτυρήσαντος περὶ ἐμοῦ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον διαφόρως μαρτυρήσει πάντως. Μαρτυρήσει δὲ, ἐλλάμπον ταῖς καρδίαις ὑμῶν εἰς πληροφορίαν τελειοτέραν, καὶ τερατουργοῦν ἐπὶ τῷ ὀνόματί μου. Ὅρα δὲ, ὅτι πέμπει μὲν αὐτὸ καὶ ὁ υἱὸς, ὡς ὁμότιμος τῷ πατρί· παρὰ τοῦ πατρὸς δὲ, ὡς παρὰ τοῦ πατρὸς ἐκπορευόμενον. Παρὰ τοῦ πατρὸς δὲ ἐκπορεύεται, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ ὄν. Διὸ καὶ οἶδε πάντα τὰ τοῦ πατρὸς, ὥσπερ καὶ ὁ υἱός.

Εἰ δέ τις ἐρωτᾷ, Πῶς οὐ λέγεται καὶ τὸ Πνεῦμα Υἱὸς, οἷα ἐκ τοῦ αὐτοῦ πατρὸς ὄν; Ἐροῦμεν, διότι οὐ γεννᾶται, ὡς ὁ υἱὸς, ἀλλ' ἐκπορεύεται τρόπον ἕτερον. Διὸ τῷ γεννητῷ μὲν κλῆσις, υἱὸς, τῷ ἐκπορευτῷ δὲ, πνεῦμα. Εἰ δὲ προσερωτήσει, Τίς ἐστιν αὕτη ἡ ἐκπόρευσις; Προσεροῦμεν, ὅ φησιν ὁ θεολόγος Γρηγόριος (1), μικρὸν ὑπαλλάξαντες· ὅτι Εἰπὲ σὺ τὴν γέννησιν τοῦ

(1) Τὸ χωρίον Γρηγορίου τοῦ Ναζιανζηνοῦ ἐν τῷ Περὶ τοῦ ἁγίου Πνεύματος λόγῳ Σελ. 221. ἔχει οὕτω· «Τίς οὖν ἡ ἐκπόρευσις; Εἰπὲ σὺ τὴν ἀγεννησίαν τοῦ πατρὸς, κἀγὼ τὴν γέννησιν τοῦ υἱοῦ φυσιολογήσω, καὶ τὴν ἐκπόρευσιν τοῦ πνεύματος, καὶ παραπληκτίσομεν ἄμφω εἰς θεοῦ μυστήρια παρακύπτοντες.»

υἱοῦ, καὶ ἡμεῖς φυσιολογήσομεν τὴν ἐκπόρευσιν τοῦ πνεύματος, καὶ παραπληκτίσομεν ἐπίσης εἰς θεοῦ μυστήρια παρακύπτοντες.

Καὶ διὰ τί ὁ Υἱὸς καὶ τὸ Πνεῦμα οὐ λέγονται ἀδελφοὶ, τὸν αὐτὸν ἔχοντες πατέρα; Διότι οὐ τὸν αὐτὸν τρόπον εἰσὶν ἐξ αὐτοῦ· ὁ μὲν γὰρ γεννᾶται, τὸ δὲ ἐκπορεύεται.

27 Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστέ.

Καὶ ὑμεῖς μάρτυρες τῶν λόγων καὶ ἔργων μου, καὶ τῆς ἐμῆς θεοπρεποῦς δυνάμεως ἀξιόπιστοι· ἀπ' ἀρχῆς τοῦ κηρύγματος καὶ τῶν θαυμάτων μετ' ἐμοῦ ἐστὲ, καὶ πολλοὺς πάντως ἀγρεύσετε πρὸς τὴν πίστιν· οὐ γὰρ πάντες ὁμοίως πονηροί.

ΚΕΦ. XVI, 1 Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε.

Ὅταν ἴδητε τοὺς πονηροὺς διώκοντας ὑμᾶς καὶ κακοῦντας· ἀλλ' ἵνα γινώσκοντες, ὅτι ὁ παράκλητος ἐπικουρεῖ ὑμῖν, εὐψυχεῖτε καὶ ἀνδρίζεσθε.

2 Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς·

Προείρηται γάρ· ὅτι *Συνέθεντο οἱ Ἰουδαῖοι, ἵνα, ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγος γένηται* (α).

2 Ἀλλ' ἔρχεται ὥρα, ἵνα, πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ.

Ἀλλὰ προϊόντος τοῦ χρόνου, φησὶ, τοσοῦτον ἐκμανήσονται, καὶ περισπούδαστον ποιήσονται τὸν θάνατον ὑμῶν, ὥστε τὸν ἀποκτείνοντα ὑμᾶς δοκεῖν θυσίαν προσφέρειν τῷ θεῷ, καὶ νομίζειν εὐσεβεῖν μᾶλλον καὶ εὐαρεστεῖν αὐτῷ, ὡς ἀποκτείνοντα πλάνους καὶ λυμεῶνας καὶ θεοστυγεῖς. Προειπὼν δὲ τὰ λυπηρὰ, ἐπάγει πάλιν παραμυθίαν.

3 Καὶ ταῦτα ποιήσουσιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα, οὐδὲ ἐμέ.

Δι' οὓς ταῦτα ὑποστήσεσθε. Καὶ ἀρκεῖ ὑμῖν εἰς παράκλησιν

(α) Ἰωαν. Θ΄, 22.

τὸ, δἰ ἡμᾶς ταῦτα πάσχειν. Οὐκ ἔγνωσαν δὲ τὸν πατέρα, οὐδὲ ἐμὲ, ἑκόντες, ὡς ἐθελοκακοῦντες.

4 Ἀλλὰ ταῦτα λελάληκα ὑμῖν, ἵνα, ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον ὑμῖν.

Ἵνα, ὅταν ἔλθῃ ὁ καιρὸς τῆς διώξεως καὶ ἀναιρέσεως ὑμῶν, μνημονεύητε αὐτῶν, ὧν δὴ (1) λελάληκα ὑμῖν, ἤγουν, ἵνα μνημονεύητε, ὅτι ἐγὼ εἶπον ὑμῖν πάντα, ὡς πάντα εἰδώς· καὶ ἵνα ἀπὸ τῆς ἀληθοῦς προαγορεύσεως τῶν σκυθρωπῶν ἡγῆσθέ με πιστὸν καὶ ἐπὶ ταῖς ἀγαθαῖς ἐπαγγελίαις· ὁ γὰρ ἀπατῶν, οὐ προλέγει τὰ ἀπάγοντα τῆς ἀπάτης, ἀλλὰ μόνα τὰ ἕλκοντα.

Ταῦτα δὲ καὶ τὰ τοιαῦτα συνεχῶς αὐτοῖς ἐπιλέγει, ἵνα, ὅταν πάσχωσι, μὴ θορυβῶνται, προειδότες τοῦτο, μηδὲ μαλακίζωνται, γινώσκοντες, ὅτι διὰ τὸν θεὸν πάσχουσι. Μέγα γὰρ φάρμακον ἐν τοῖς ὑπὲρ ἀρετῆς ἀγῶσι, τὸ γινώσκειν **ὑπὲρ τίνος ὁ** ἀγών. Καὶ ἡμᾶς οὖν, ὑπὲρ καλοῦ πάσχοντας, παραμυθείσθω τὸ γινώσκειν, ὅτι ὑπὲρ καλοῦ πάσχομεν· εἰ γὰρ ὑπὲρ ἀγαπητοῦ τις πάσχων χαίρει, πολλῷ μᾶλλον ὑπὲρ τοῦ θεοῦ καὶ ὑπὲρ ἀρετῆς.

4 Ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην.

Ὅτι μεθ' ὑμῶν ἤμην, καὶ οὐκ ἐμέλλετε οὕτω παθεῖν, ἕως μεθ' ὑμῶν ἤμην. Νῦν δὲ ταῦτα λέγω, διότι χωρίζομαι ὑμῶν, καὶ ἐγγίζουσιν ἤδη τὰ δεινὰ ὑμῖν.

Καὶ μὴν καὶ ἐξ ἀρχῆς, ὅτε ἐκάλεσεν αὐτοὺς, καὶ εἰς ἀποστολὴν ἔταξεν, εἶπεν αὐτοῖς· ὅτι *Ἰδοὺ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων* (α)· καί· ὅτι *Παραδώσουσιν ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς* (β)· καί· ὅτι *Ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ·* καί· ὅτι *Ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου* (α)· καί· ὅτι *Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα* (β)· καὶ πολλὰ τοιαῦτα. Πῶς οὖν εἶπεν, ὅτι *Ταῦτα ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον;* Διότι ἐνταῦθα τὸ, *Ταῦτα*, ἕτερα παρ' ἐκεῖνα δηλοῖ, φημὶ δὴ, τό· *Ἀλλ' ἔρχεται ὥρα·* εἴτουν, ἐγγίζει· καὶ τό· *Ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ.* Ταῦτα γὰρ νῦν εἶπεν αὐτοῖς, φοβερώτερα ἐκείνων ὄντα.

(1) Δηλαδὴ, ἀντὶ τοῦ, δὴ, παρὰ τῷ Α. (α) Ματ. Ι', 16.
(β) Ματθ. Ι', 17. 18.

5 Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· Ποῦ ὑπάγεις;

Ἰδὼν αὐτοὺς οὕτως ὑπὸ τῆς ἀθυμίας καταπαλαισθέντας, ὡς ἀφώνους γενέσθαι, καὶ μὴ δύνασθαι αὐτῷ προσλαλεῖν, ὀνειδίζει τὴν ἀπὸ τῆς τοιαύτης ἀθυμίας σιγὴν, λέγων· *Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐρωτᾷ με· Ποῦ ὑπάγεις;*

Καὶ μὴν ὁ Πέτρος ἠρώτησεν αὐτὸν, εἰπών· *Κύριε, ποῦ ὑπάγεις* (γ); Ἀλλ' ἐκεῖ μὲν ὁ Πέτρος εἰπών· *Ποῦ ὑπάγεις;* περὶ τόπου ἠρώτησεν· ἐνταῦθα δὲ τό· *Ποῦ ὑπάγεις;* τὸ, Τί ποιεῖς; ὑποφαίνει. Εἰώθασι γὰρ οἱ δεινοπαθοῦντες οὕτως ἐπιφωνεῖν τῷ πρὸς θάνατον ὁρμῶντι. Ἔδει οὖν καὶ τοὺς μαθητὰς ἐπιλέγειν· *Ποῦ ὑπάγεις;* ἤγουν, Τί ποιεῖς ἀπολιμπάνων ἡμᾶς;

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι, ἐπειδὴ τότε, τοῦ Πέτρου ἐρωτήσαντος, οὐκ ἀπεκρίνατο, ποῦ ὑπάγει, ἐχρῆν αὐτοὺς πάλιν ἐρωτῆσαι.

6 Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν.

Σφόδρα ἐλυπήθητε, καὶ διὰ τοῦτο σιγᾶτε.

7 Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν·

Ὡς αὐτοαλήθεια. Κἂν γὰρ μυριάκις λυπῆσθε, τὴν ἀλήθειαν λέγω, καὶ οὐκ ἀποκρύψω τὰ λυπηρὰ, ὡς οἱ λέγοντες πρὸς

(α) Ματθ. Ι', 22. (β) Ματθ. Ι', 28. (γ) Ἰωάν. ΙΓ', 36.

χάριν. Εἶτα παρηγορῶν, δείκνυσι λυσιτελοῦσαν αὐτοῖς τὴν ἀποδημίαν αὐτοῦ.

7 **Συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς.**

Ὑμεῖς μὲν βούλεσθε συνεῖναί με ὑμῖν· ἔστι δὲ τὸ συμφέρον ἕτερον. Κηδομένου δὲ, τὸ μὴ φείδεσθαι τῶν ἠγαπημένων, ὅταν ἀσύμφορα βούλωνται. Ἐπεὶ γὰρ εὐδόκησεν ἄνωθεν ἡ ἁγία Τριὰς, τὸν μὲν Πατέρα, ἑλκῦσαι αὐτοὺς πρὸς τὸν υἱόν· τὸν δὲ Υἱὸν, διδάξαι αὐτούς· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, τελειῶσαι αὐτούς· καὶ τὰ μὲν δύο ἤδη γεγόνασιν· ἔδει δὲ γενέσθαι καὶ τὸ τρίτον, τὴν διὰ τοῦ ἁγίου Πνεύματος τελείωσιν· οὐκ ἦν δὲ εἰκὸς, τοῦτο ἐλθεῖν, μὴ ἀπελθόντος τοῦ υἱοῦ· φησὶν οὖν, ὅτι *Συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω*, καὶ τὰ ἑξῆς. Ὥσπερ γὰρ, ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· οὕτω καὶ, ἐὰν ὁ παράκλητος οὐκ ἐλεύσηται πρὸς ὑμᾶς, οὐ τελειωθήσεσθε. Ἀναγκαῖον οὖν λοιπὸν ἐμὲ ἀπελθεῖν, πεπληρωκότα τὸ ἔργον, ὃ ἔδει ποιῆσαί με, ἵνα ὁ ἄλλος παράκλητος ἔλθῃ, καὶ τελειώσῃ ὑμᾶς.

8 **Καὶ ἐλθὼν ἐκεῖνος, ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας, καὶ περὶ δικαιοσύνης, καὶ περὶ κρίσεως.**

Ἐλέγξει, τουτέστι, καταδικάσει τέλεον τοὺς πονηροὺς, ἀναπολογήτους παντάπασιν ἀποφανεῖ, ὅταν, ἀποθανόντος μου, παρασκευάσῃ ὑψηλὰς διδασκαλίας, καὶ μέγιστα σημεῖα ἐπιτελεῖσθαι (1) ἐπὶ τῇ κλήσει τοῦ ὀνόματός μου. Τί γὰρ ἐροῦσιν ἔτι κατ' ἐμοῦ εὔλογον, οὗ καὶ ἀποθανόντος τηλικαῦτα δύναται τὸ ὄνομα μόνον; Ὄντως οὐδέν. Εἶτα ἑρμηνεύει, καὶ ἐφ' οἷς ἐλέγξει αὐτούς.

9 **Περὶ ἁμαρτίας μὲν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ·**

Ἁμαρτία γὰρ ἀσύγγνωστος, τὸ μὴ πιστεύειν ἔτι εἰς ἐμέ.

(1) Τραχὺ τὸ, παρασκευάσῃ διδασκαλίας, καὶ ἐπιτελεῖσθαι. Ὅθεν μετὰ τὸ, διδασκαλίας, πρέπει νὰ προστεθῇ τὸ, γίνεσθαι.

10 **Περὶ δικαιοσύνης δὲ, ὅτι πρὸς τὸν πατέρα μου ὑπάγω, καὶ οὐκέτι θεωρεῖτέ με·**

Δικαίου γὰρ γνώρισμα, τὸ πορεύεσθαι πρὸς τὸν θεὸν, καὶ συνεῖναι αὐτῷ. Τοῦτο γὰρ δηλοῖ τό· *Καὶ οὐκέτι θεωρεῖτέ με*. Καὶ λοιπὸν, εἰ μὴ ἤμην δίκαιος, οὐκ ἂν ἐπορευόμην πρὸς τὸν πατέρα. Πῶς γὰρ ἂν ἁμαρτωλὸς καὶ πλάνος, καὶ παράνομος, καὶ ἀντίθεος πορευθείη πρὸς τὸν δίκαιον καὶ ἀληθινὸν, καὶ νομοθέτην καὶ θεόν;

Καὶ πόθεν δῆλον, ὅτι πρὸς τὸν θεὸν ἀπῆλθε καὶ σύνεστιν αὐτῷ; Πόθεν; Ἀπὸ τῆς τοῦ ἁγίου Πνεύματος μαρτυρίας, τῆς δι' ἐλλάμψεως καὶ σημείων, ὡς προείρηται, ἐπὶ τῷ ὀνόματι αὐτοῦ γινομένης (2).

Οὐκέτι δὲ θεωρεῖτέ με, μετὰ τῆς νῦν δηλονότι ἀδοξίας καὶ εὐτελείας. Ἔμελλον γὰρ αὐτὸν ὁρᾶν, ἀλλ' οὐχ ὡς τὸ πρότερον.

11 **Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται.**

Ὅτι ὁ διάβολος κατακέκριται, καὶ ἐκβέβληται τῆς δυναστείας αὐτοῦ, μηκέτι δυνάμενος ὅλως φέρειν τὸ ἐμὸν ὄνομα, ἀλλὰ παραυτίκα δραπετεύων. Πῶς δ' ἂν τοῦτο πέπονθεν, εἰ φίλον αὐτὸν εἶχον, ὡς οἱ πονηροὶ λέγουσιν· ὅτι Ἐν τῷ Βεελζεβοὺλ, ἄρχοντι τῶν δαιμόνων, ἐκβάλλω τὰ δαιμόνια (α); καὶ· ὅτι δαιμόνιον ἔχω (β); καὶ τὰ τοιαῦτα.

Ἵνα δὲ τὸν λόγον ἀνακεφαλαιώσωμεν· Ἐλθὼν, φησιν, ὁ παράκλητος ἐλέγξει τοὺς πονηρούς· ἐπὶ ἁμαρτίᾳ μὲν, ὅτι ἁμαρτάνουσι, μὴ πιστεύοντες ἔτι· ἐπὶ δικαιοσύνῃ δὲ, ὅτι δίκαιος ἐγὼ, καὶ οὐχ ἁμαρτωλὸς, ὡς αὐτοὶ λέγουσιν· ἐπὶ κρίσει δὲ, ἤτοι κατακρίσει, ὅτι κατακέκριται ὁ ἄρχων τῶν δαιμονίων, ὡς ἐχθρὸς, καὶ οὐ φίλος μου.

(2) γενομένης παρὰ τῷ Α. (α) Ματθ. ΙΒ', 24. (β) Ἰωαν Ζ', 20.

12 Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι.

Ἀτελεῖς ὄντες ἔτι, καὶ μήπω, διὰ τῶν ἐν τῷ σταυρῷ καὶ τῇ ἀναστάσει μου φρικτῶν καὶ παραδόξων, προκόψαντες, μηδὲ ἐνδυσάμενοι δύναμιν ἐξ ὕψους.

13 Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν·

Εἰς τὸ εἰδέναι πᾶσαν τὴν ἀλήθειαν τῶν θείων δογμάτων, τὴν προσήκουσαν δηλονότι γνωρισθῆναι ὑμῖν. Εἶτα, ἵνα μὴ, τηλικαῦτα περὶ τοῦ ἁγίου Πνεύματος ἀκούσαντες, μεῖζον τὸ πνεῦμα νομίσωσι, καὶ εἰς ἐσχάτην ἀσέβειαν ἐμπέσωσιν, ἐπάγει θεραπείαν, καὶ φησίν·

13 Οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ·

Ὥσπερ οὐδ' ἐγὼ, καθὼς διαφόρως προδιεστειλάμην. Οὐδὲν γὰρ ἴδιον οὐδενὶ τῆς ἁγίας Τριάδος [προσώπῳ], πλὴν ἀγεννησίας, καὶ γεννήσεως, καὶ ἐκπορεύσεως, ἀλλὰ κοινὰ πάντα αὐτῇ.

13 Ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει,

Ὅσα ἂν ἀκούσῃ παρὰ τοῦ πατρὸς, ὃ καὶ περὶ ἐμαυτοῦ πολλάκις εἴρηκα, δηλῶν τὸ ὁμοούσιον, καὶ ὁμοφυὲς, καὶ ἴσον, καὶ ἀπαράλλακτον. Ὥσπερ γὰρ ὁ υἱὸς, πλήρωμα νόμου καὶ προφητῶν, τὰ τυπικῶς προδιαγραφέντα βεβαιώσας διὰ τῆς ἀληθείας· οὕτω καὶ τὸ θεῖον πνεῦμα, πλήρωμα τοῦ εὐαγγελίου, ἀναπληροῦν τὰ τοῦ υἱοῦ, καθὼς καὶ οὗτος τὰ τοῦ πατρός.

13 Καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν.

Τὰ μέλλοντα, ὥστε μὴ ἐμπίπτειν ὑμᾶς ἀφυλάκτως, καὶ προγνωστικοῦ χαρίσματος ἀξιώσει.

14 Ἐκεῖνος ἐμὲ δοξάσει·

Ἐν τῷ ἐμῷ ὀνόματι τὰς ἐνεργείας διδοὺς, ἀποκαλύπτων ὑμῖν τρανώτερον τὸ μυστήριον τῆς ἐμῆς ἐνανθρωπήσεως.

14 Ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.

Ἐκ τῆς ἐμῆς γνώσεως, ἤτοι, τῆς τοῦ πατρός. *Λήψεται* δὲ, ἀντὶ τοῦ, ἀκούσει. Τὰ τοιαῦτα δὲ συγκαταβατικῶς λέγει, διὰ τὴν ἀσθένειαν τῶν μαθητῶν. Τὸ γὰρ, *λαμβάνειν*, καὶ, *ἀκούειν*, τῶν κτιστῶν εἰσιν· ἡ δὲ ἄκτιστος Τριὰς οἶδε πάντα, καὶ ἐπὶ πᾶσιν ἀνενδεής ἐστιν. Εἶτα ἑρμηνεύει τὸ, *Ἐκ τοῦ ἐμοῦ*.

15 Πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι· διὰ τοῦτο εἶπον· Ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.

Ἐπεὶ γὰρ πάντα, ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστιν, ἓν δὲ τούτων καὶ ἡ γνῶσις αὕτη, εἰκότως εἶπον, ὅτι *Ἐκ τοῦ ἐμοῦ λήψεται*, τουτέστι, συνᾳδά μοι καὶ ἀκούσει καὶ ἀναγγελεῖ ὑμῖν, καὶ οὐδὲν ἀπᾷδον, ὡς κατὰ πάντα ἴσος ἐμοί. Λοιπὸν τοίνυν, ἅπερ ἂν διδάξῃ, ἐμά ἐστι, καὶ τῶν ἐμῶν ἀναπληρωτικά.

Καὶ διὰ τί οὐκ ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον, συνόντος αὐτοῖς ἔτι τοῦ υἱοῦ; Πρῶτα μὲν, διότι ἤρκει συνὼν αὐτοῖς ὁ Υἱός· ἔπειτα δὲ, διότι, μήπω τοῦ ἀμνοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου τυθέντος, οὔπω ἐλύθη ἡ ἁμαρτία· μήπω δὲ ταύτης λυθείσης, οὔπω καταλλαγὴ τοῦ θεοῦ πρὸς τοὺς ἀνθρώπους ἐγένετο· μήπω δὲ καταλλαγῆς γενομένης, οὐκ ἔδει δοθῆναι τὴν χάριν τοῦ ἁγίου Πνεύματος. Ὅτε δὲ καὶ καταλλαγὴ γέγονε, καὶ οἱ ἀπόστολοι πρὸς κινδύνους ἐπέμποντο, καὶ πρὸς τοὺς ἀγῶνας ἀπεδύοντο, καὶ χρεία τοῦ ἀλείφοντος ἦν, τότε λοιπὸν ὁ ἄλλος παράκλητος ἔρχεται.

Καὶ διὰ τί μὴ μετὰ τὴν ἀνάστασιν εὐθὺς ἔρχεται; Ἵνα ἐν πολλῇ αὐτοῦ καταστάντες ἐπιθυμίᾳ, μετὰ πολλῆς αὐτὸν χαρᾶς ὑποδέξωνται. Ἕως μὲν γὰρ συνῆν αὐτοῖς ὁ Χριστὸς, οὐκ ἦσαν ἐν θλίψει· ἐπεὶ δὲ ἀπῆλθε, γυμνωθέντες, καὶ ἐν πολλῷ φόβῳ καὶ ἀθυμίᾳ γενόμενοι, σφόδρα ἡδέως ἔμελλον ὑποδέξασθαι τὸ Πνεῦμα τὸ ἅγιον.

Ὥσπερ δὲ ὁ Πατὴρ ἠδύνατο τὰ ὄντα παραγαγεῖν, ὁ Υἱὸς δὲ ταῦτα παρήγαγεν, ἵνα μάθωμεν αὐτοῦ τὴν δύναμιν καὶ

θεότητα· οὕτω καὶ ὁ Υἱὸς ἠδύνατο τὰ τοῦ ἄλλου παρακλήτου ἐργάσασθαι ἐν τοῖς μαθηταῖς· τὸ Πνεῦμα δὲ τὸ ἅγιον εἰργάσατο, ἵνα μάθωμεν καὶ αὐτοῦ τὴν δύναμιν καὶ θεότητα. Ἐπεὶ γὰρ περὶ μὲν τοῦ Πατρὸς οὐδεὶς ἀμφέβαλλε, περὶ δὲ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἠγνόουν, διὰ τοῦτο ὁ μὲν, δι᾽ ἐνανθρωπήσεως ὁμιλεῖ αὐτοῖς, τὸ δὲ, τρόπον ἕτερον καταρτίζει.

Καὶ ἐπεὶ περὶ μὲν τοῦ Πατρὸς πολλὰ ἤκουσαν, τὸν δὲ Υἱὸν πολλάκις εἶδον θεοπρεπῶς ἐργαζόμενον, τὴν δὲ τοῦ ἁγίου Πνεύματος ἀξίαν οὔτε δι᾽ ἀκοῆς, οὔτε δι᾽ ὄψεως ἐγίνωσκον, λοιπὸν παρὰ τούτου τελειοῦνται, ἵνα καὶ τὴν τούτου θεότητα γνωρίσωσι. Διὰ τοῦτο καὶ ἐπὶ τοῦ θείου βαπτίσματος ἡ ζωοπάροχος Τριὰς παραλαμβάνεται, οὐχ ὡς τοῦ ἑνὸς μόνου μὴ ἀρκοῦντος εἰς ἀναγέννησιν, ἀλλ᾽ ἵνα διὰ τῆς κοινωνίας τῶν ἐπικλήσεων, ἡ κοινωνία τῆς θεότητος δήλη γένηται.

16 **Μικρὸν, καὶ οὐ θεωρεῖτέ με·**

Τεθαμμένον ὑπὸ γῆν.

16 **Καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με,**

Ἀναστάντα ἐκ νεκρῶν.

16 **Ὅτι ὑπάγω πρὸς τὸν πατέρα.**

Διάβασιν πανταχοῦ τὸ πρᾶγμα καλεῖ, δεικνὺς, ὅτι οὐ κατασχεθήσεται ἐπὶ πολὺ παρὰ τοῦ θανάτου. Χαρίεντα μὲν οὖν περὶ τοῦ ἄλλου παρακλήτου ἐπαγγειλάμενος, λυπηρὰ πάλιν ἐπήγαγε· καὶ πολλάκις ἤδη τοῦτο πεποίηκε, καὶ ποιεῖ, τοῖς θυμήρεσι τὰ θυμαλγῆ ἀναπλέκων, οἷα τοῦτο μὲν παρηγορῶν καταπίπτοντας, τοῦτο δὲ γυμνάζων ἑστῶτας. Οἱ γὰρ ἐν τοῖς ῥήμασι τὰ ἀπευκταῖα μελετήσαντες, εὐφορώτερον ἔμελλον οἴσειν αὐτὰ ἐν τοῖς πράγμασιν.

17 **Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους·**
Τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν· Μικρὸν, καὶ οὐ θεω-
ρεῖτέ με· καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με· καὶ·
18 **Ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα; Ἔλεγον οὖν·**

Τοῦτο τί ἐστιν ὃ λέγει, τὸ μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ.

Ἐδόκει γὰρ αὐτοῖς παραβολήν τινα κἀνταῦθα λέγειν, ὡς καὶ ἐν τῷ κατὰ Ματθαῖον προειρήκαμεν. Ἴσως δὲ καὶ τὸ σφοδρὸν τῆς ἀθυμίας τὴν ἀναισθησίαν ταύτην ἐνεποίησεν αὐτοῖς· καὶ οἱ πολλάκις ταῦτα ἀκούσαντες, οὕτω διέκειντο, ὡς μηδέποτε μηδὲν τούτων ἀκηκοότες.

19 **Ἔγνω οὖν ὁ Ἰησοῦς, ὅτι ἤθελον αὐτὸν ἐρωτᾷν, καὶ εἶπεν αὐτοῖς· Περὶ τούτου ζητεῖτε μετ᾽ ἀλλήλων, ὅτι εἶπον· Μικρὸν, καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με;**

Εἶτα διερμηνεύει τὸ ζητούμενον.

20 **Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς,**

Μὴ θεωροῦντές με, ὡς τεθαμμένον ὑπὸ γῆν.

20 **Ὁ δὲ κόσμος χαρήσεται·**

Οἱ πονηροὶ, ὡς ἀπαλλαγέντες μου.

20 **Ὑμεῖς δὲ λυπηθήσεσθε·**

Πρὸς καιρόν τινα. Ὅρα δὲ, πῶς εἶπε, *Κλαύσετε καὶ θρηνήσετε, καὶ λυπηθήσεσθε*, γυμνάζων αὐτοὺς ἐπὶ πλέον εἰς ὑπομονὴν διὰ τῆς συνεχείας καὶ ἐπιτάσεως τῶν ἀλγυνόντων.

20 **Ἀλλ᾽ ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται.**

Πάλιν θεωρούντων με, ὡς ἀναστάντα ἐκ νεκρῶν ἤδη. Εἶτα τίθησι καὶ κοσμικὸν ἀναντίῤῥητον παράδειγμα τῆς τὴν λύπην ἀφανιζούσης χαρᾶς.

21 **Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς·**

Ὁ καιρὸς τῶν ἐπωδύνων ὠδίνων.

21 **Ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει**

τῆς θλίψεως, διὰ τὴν χαρὰν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον.

Ὥσπερ τῇ ὠδινούσῃ γυναικὶ ἡ ἀπὸ τῶν ὠδίνων βραχεῖα λύπη γεννᾷ τὴν ἐπὶ τῷ γεννήματι μεγάλην χαράν· οὕτω καὶ ὑμῖν ἡ ἀπὸ τοῦ θανάτου μου πρόσκαιρος λύπη, γεννήσει τὴν ἐπὶ τῇ ἀναστάσει μου διηνεκῆ χαράν.

22 Καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν.

Οὐδεὶς ἀφαιρεῖται ὑμῶν· οὐκέτι γὰρ ἀποθανοῦμαι, οὐκέτι με ζημιωθήσεσθε. Πῶς δὲ περὶ τῆς γυναικὸς εἶπεν, ὅτι Χαίρει, διότι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον; οὐ διὰ τοῦτο γὰρ χαίρει, ἀλλὰ διότι ἐγεννήθη αὐτῇ παιδίον. Τοῦτο εἶπε, διότι καταρχὰς ὁ θεὸς εἴρηκεν· *Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν* (α)· καὶ προηγουμένως μὲν, εἰς τὸν κόσμον γεννᾶται ὁ ἄνθρωπος, ἑπομένως δὲ, καὶ εἰς θεραπείαν τῶν γεννητόρων.

Ἅμα δὲ καί τι μυστικὸν ἐντεῦθεν ὑποδηλοῦται, ὅτι ὡς διὰ μήτρας τινὸς, διὰ τοῦ θανάτου, τεχθεὶς ὁ Χριστὸς, καὶ τὰς ὠδῖνας τοῦ θανάτου λύσας, ἐγεννήθη ἄνθρωπος καινὸς, εἰς τὸν κόσμον τὸν καινὸν, πρωτότοκος ἐκ νεκρῶν, εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

23 Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν.

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τουτέστιν, ἐλθόντος τοῦ παρακλήτου, *οὐκ ἐρωτήσετέ με οὐδὲν*, ὧν ἐρωτᾶτε νῦν, οἷον, Ποῦ ὑπάγεις, καὶ, Δεῖξον ὑμῖν τὸν πατέρα, καὶ τὰ τοιαῦτα, διδασκόμενοι πάντα ὑπὸ τοῦ παρακλήτου.

Ἢ καὶ ἑτέρως. Οὐχ ἕξετε χρείαν ἐντυχεῖν μοι σωματικῶς· τοῦτο γὰρ δηλοῖ τὸ, *Ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν*· ἀλλὰ μόνον

(α) Γενέσ. Α, 28,

τὸ ὄνομά μου ὀνομάζοντες, πάντα λήψεσθε τὰ ζητούμενα. Ἐπάγει γάρ.

23 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν.

Οὗ δὲ τὸ ὄνομα τοσαῦτα δύναται, θεὸς ἀναντιῤῥήτως ἐστί. Διὸ καὶ ὁ Δαυΐδ διαφόρως ὑμνῶν αὐτό, φησιν, νῦν μέν· *Ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ* (α)· νῦν δέ· Ὅτι *ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου* (β).

Παρατηρητέον δὲ, ὅτι ποτὲ μὲν τῷ πατρὶ τὴν δόσιν τῶν αἰτηθέντων ἀνατίθησι· ποτὲ δὲ ἑαυτῷ, ὥσπερ δὴ καὶ τἄλλα, διὰ τὸ ἴσον καὶ ὁμοσθενές· ἐνταῦθα δὲ καὶ τῷ πατρὶ καὶ ἑαυτῷ. Φησὶ γὰρ, ὅτι *Ἐν τῷ ὀνόματί μου*. Ὁμοίως δὲ καὶ (1) ἔνθα ἂν τοῦτο (2) συνέζευκται.

[*Ὅσα* (3) *ἂν αἰτήσητε*· ὅσα συμφέροντα καὶ ὠφέλιμα.]

24 Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου·

Καὶ μὴν, ὅτε ἀπέστειλεν αὐτοὺς, δοὺς ἐξουσίαν πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν (γ), ἐν τῷ ὀνόματι αὐτοῦ ἐνήργουν. Ἀλλὰ τότε οὐ τὸν πατέρα ᾐτοῦντο ἐν τῷ ὀνόματι αὐτοῦ.

24 Αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.

Ἵνα γνόντες, ὅσα τὸ ὄνομά μου δύναται, χαρὰν ἔχητε τελείαν, ἤτοι πολλὴν, ἢ πλείονα.

25 Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν·

Τουτέστι, συνεσκιασμένα, καὶ οὐ πάντῃ σαφῆ· διότι, δεδοικότες ἔτι καὶ ἀθυμοῦντες, οὐ δύνασθε προσέχειν τοῖς λεγομένοις, ἢ πλεῖον ἐνωτίσασθαι.

(α) Ψαλμ. Η, 2. (β) Ψαλμ. ΡΜΗ, 13. (1) Νοεῖται τὸ, ἑαυτῷ καὶ τῷ πατρὶ ἀνατίθησι. (2) Τὸ, Ἐν τῷ ὀνόματί μου. (3) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περιθωρίῳ. (γ) Ματθ. Ι', 1.

25 Ἀλλ' ἔρχεται ὥρα, ὅτε οὐκέτι ἐν παροιμίαις λα-
λήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ πατρὸς
ἀναγγελῶ ὑμῖν.

Ἔρχεται καιρὸς, ὁ τῆς ἀναστάσεώς μου δηλαδὴ, ὅτε ἀπαρακαλύπτως καὶ σαφῶς διδάξω ὑμᾶς, ἐν εὐθυμίᾳ γενομένους ἤδη. Καὶ γὰρ μετὰ τὴν ἀνάστασιν ἐπὶ τεσσαράκοντα ἡμέρας ἦν ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ, καθά φησιν ἡ βίβλος τῶν Πράξεων (α).

26 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε·

Ἡ*μέραν*, τὸν καιρὸν πολλάκις εἴωθε λέγειν. Συνεχῶς δὲ περὶ τῆς ἐν τῷ ὀνόματι αὐτοῦ *αἰτήσεως* λέγει, πληροφορῶν αὐτοὺς περὶ τῆς δυνάμεως αὐτοῦ, καὶ θάρσος ἐμβάλλων.

26 Καὶ οὐ λέγω ὑμῖν, ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα
περὶ ὑμῶν·

Καὶ οὐ λέγω ὑμῖν τότε, ὅτι ἐγὼ παρακαλέσω τὸν πατέρα περὶ ὑμῶν.

27 Αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ
πεφιλήκατε, καὶ πεπιστεύκατε, ὅτι ἐγὼ παρὰ τοῦ
θεοῦ ἐξῆλθον.

Αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς τότε, ὡς ἐγὼ, ἐμμένοντας τῇ πρὸς ἐμὲ φιλίᾳ καὶ πίστει.

28 Ἐξῆλθον παρὰ τοῦ πατρὸς, καὶ ἐλήλυθα εἰς τὸν
κόσμον· πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι
πρὸς τὸν πατέρα.

Τὸ, *ἐξῆλθον*, καὶ, *ἐλήλυθα*, καὶ, *ἀφίημι*, καὶ, *πορεύομαι*, καὶ τὰ τοιαῦτα συγκαταβατικῶς λέγει, διὰ τὴν ἀσθένειαν τῆς διανοίας τῶν μαθητῶν, ὡς διαφόρως εἰρήκαμεν. Ὡς γὰρ θεὸς, καὶ ἐν τῷ πατρὶ ἦν, καὶ ἐν τῷ κόσμῳ· ἀπερίγραπτον γὰρ ἡ θεότης.

(α) Πραξ. Α', 3.

Τὸ μὲν οὖν, *Ἐξῆλθον παρὰ τοῦ πατρὸς*, δηλοῖ τὸ εἶναι αὐτὸν ἐκ τῆς οὐσίας τοῦ πατρὸς, ἤγουν, υἱὸν γνήσιον τοῦ πατρός· τὸ δὲ, *Ἐλήλυθα εἰς τὸν κόσμον*, σημαντικὸν τῆς ἐνανθρωπήσεως αὐτοῦ· ὁμοίως δὲ καὶ τὸ, *Ἀφίημι τὸν κόσμον*· τὸ δὲ, *Πορεύομαι πρὸς τὸν πατέρα*, παρίστησι τὴν ἀποκατάστασιν τῆς προτέρας ἐξουσίας καὶ δόξης αὐτοῦ.

29 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ἴδε, νῦν παῤ-
ῥησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις.

Νῦν φανερῶς λαλεῖς, καὶ οὐδὲν συνεσκιασμένον λέγεις. Ἔγνωμεν γὰρ, ἃ εἶπες νῦν.

30 Νῦν οἴδαμεν, ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις,
ἵνα τίς σε ἐρωτᾷ·

Τοῦτο λέγουσι, παρηγορηθέντες οὐ μικρῶς ἀπὸ τῶν ῥηθέντων λόγων, ὡς μαθόντες, ὅτι ἀναστήσεται, καὶ πάλιν διδάξει αὐτούς, καὶ ὅτι ὁ πατὴρ φιλεῖ αὐτούς. Τὸ μὲν γὰρ ἐλπίδα βοηθείας παρεῖχε, τὸ δὲ, πληροφορίαν ὀρθῆς πίστεως. Τότε γὰρ ταῦτα μάλιστα νενοήκασι. Φασὶν οὖν, ὅτι *Νῦν οἴδαμεν, ὅτι οἶδας πάντα*, καὶ τὰ ἀπόῤῥητα τῶν ἀνθρώπων, *καὶ οὐ χρείαν ἔχεις, ἵνα τίς σε ἐρωτᾷ*, περὶ ὧν βούλεται μαθεῖν, ἀλλὰ προφθάνων λύεις τὸ ζητούμενον. Καὶ ἡμῶν γὰρ συζητούντων, τί ἐστι τό· *Μικρὸν, καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με*, καὶ τὰ ἑξῆς· μὴ ἐρωτηθεὶς ἡρμήνευσας αὐτὰ, καὶ ἀνέπαυσας ἡμῶν τὴν διάνοιαν.

30 Ἐν τούτῳ πιστεύομεν, ὅτι ἀπὸ θεοῦ ἐξῆλθες. Ἀπε-
31 κρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἄρτι πιστεύετε;

Αὐτοὶ μὲν, ὥσπερ χάριν τινὰ παρέχοντες αὐτῷ, εἶπον, ὅτι Ἀπὸ τούτου πιστεύομεν ἐντελῶς, ὅτι ἐκ τοῦ θεοῦ ἀπεστάλης, ὅτι υἱὸς εἶ τοῦ θεοῦ· αὐτὸς δὲ ὀνειδίζων αὐτοῖς ἀτελῆ ἔτι πίστιν, φησὶν, *Ἄρτι πιστεύετε* ἐντελῶς; Οὐδ' ἄρτι· ἐλέγξει γὰρ ὑμᾶς ὁ ἐφεστὼς ἤδη καιρός.

32 Ἰδοὺ, ἔρχεται ὥρα, καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπι-

σθῆτε ἕκαστος εἰς τὰ ἴδια, καὶ ἐμὲ μόνον ἀφῆτε·

Τὸν καιρὸν λέγει τῆς ἐφόδου τῶν ἀμφὶ τὸν προδότην, ὅτε οἱ μαθηταὶ αὐτοῦ πάντες, ἀφέντες αὐτὸν, ἔφυγον, ὡς ἔγραψεν ὁ Ματθαῖος (α). Τότε γὰρ ὁ φόβος ἀτελῆ τὴν πίστιν αὐτῶν ἤλεγξε, σκανδαλισθέντων μικρὸν ἐπὶ τῷ πάθει αὐτοῦ.

32 Καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστι.

Συνών μοι ἀεὶ, ὡς ἀχώριστος.

33 Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε.

Ταῦτα λελάληκα ὑμῖν, οὐ τελείαν γνῶσιν παραδιδοὺς ὑμῖν, ἀλλ' ἵνα ἐπ' ἐμοὶ μὴ στασιάζητε τοῖς λογισμοῖς, μηδὲ ταράσσησθε, ὅτε συλλαμβάνομαι, καὶ δεσμοῦμαι, καὶ ἀπάγομαι, καὶ τἄλλα πάσχω ἀνθρωποπρεπῶς.

33 Ἐν τῷ κόσμῳ θλίψιν ἔχετε.

Οὐχ ὅτε πάσχω μόνον, ἀλλ' ἕως ἂν ἐν τῷ κόσμῳ τούτῳ ἐστέ. Στάδιον γὰρ ὁ παρὼν βίος, καὶ γυμναστήριον τῶν ἀθλητῶν τοῦ θεοῦ, καὶ δοκίμιον τῶν ἀγαπώντων με. Προείρηται γάρ· ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωήν (β). Ἵνα δὲ μὴ καταπέσωσιν, ἀκούσαντες, ὅτι διὰ βίου παντὸς θλιβήσονται, παραθαῤῥύνει αὐτούς.

33 Ἀλλὰ θαρσεῖτε· ἐγὼ νενίκηκα τὸν κόσμον.

Τὴν πονηρίαν, καὶ τὸν πονηρὸν, τὸν ταύτης πατέρα. Προείρηται γάρ· ὅτι Ὁ *ἄρχων τοῦ κόσμου τούτου κέκριται* (γ), ἤτοι, καταπεπάλαισται. Μὴ φοβεῖσθε οὖν· τοῦ διδασκάλου γὰρ νικήσαντος, ἀκόλουθον καὶ τοὺς μαθητὰς νικῆσαι, μιμουμένους αὐτόν. Οἱ γὰρ κακοῦντες καὶ ἀποκτείνοντες τὸ σῶμα, ἡττηθήσονται τῆς ψυχῆς ὑμῶν· καὶ τὸ μὲν ληπτὸν αἱρήσουσιν, ὑπὸ δὲ τοῦ ἀλήπτου περιφανῶς καταπαλαισθήσονται.

(α) Ματθ. ΚϚ', 56. (β) Ματθ. Ζ', 14. (γ) Ἰωαν. ΙϚ', 11.

ΚΕΦ. XVII, 1 Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν,

Μετὰ τὴν παραίνεσιν, ἐπὶ εὐχὴν τρέπεται, ὡς ἄνθρωπος, παιδεύων τοὺς ἀνθρώπους, ἐν τοῖς πειρασμοῖς πρὸς τὸν θεὸν βλέπειν, καὶ πάντα ἀφέντας, εἰς αὐτὸν καταφεύγειν, καὶ παρ' αὐτοῦ αἰτεῖσθαι βοήθειαν. Ἐνταῦθα μὲν οὖν ἄνω αἴρει τοὺς ὀφθαλμοὺς, διδάσκων τὸ ἐκτενὲς καὶ ἀπερίσπαστον ἐν ταῖς εὐχαῖς· ἀλλαχοῦ δὲ, πίπτει ἐπὶ πρόσωπον (α)· νομοθετῶν ταπείνωσιν καὶ συντριβὴν καρδίας ἐν ταῖς εὐχαῖς. Ἦλθε γὰρ, οὐχ ἑαυτὸν δεῖξαι μόνον, ἀλλὰ καὶ ἀρετὴν παραδοῦναι, μὴ μόνον διὰ ῥημάτων, ἀλλὰ καὶ διὰ πραγμάτων. Τοῦτο γὰρ διδασκάλου ἀληθοῦς.

1 Καὶ εἶπε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα·

Η τοῦ πάθους, ἡ τοῦ θανάτου, περὶ ἧς ἔλεγεν· ὅτι Ὁ *καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν* (β)· ὁ καιρὸς, ὃν ὁ προσλαβὼν θεὸς ὥρισε τῷ προσληφθέντι ἀνθρώπῳ.

1 Δόξασόν σου τὸν υἱόν·

Τοῖς ὑπὲρ τοῦ κόσμου πάθεσι. Δόξα γὰρ ἐμοὶ τῷ δεσπότῃ, πάσχειν ὑπὲρ τῶν δούλων μου, καὶ γνωρίζειν ἐντεῦθεν τοῖς ἀνθρώποις, οἵαν ἔχω φιλανθρωπίαν, ὥστε προσδραμεῖν πάντα τὰ ἔθνη, καὶ γνῶναί με θεόν. Φησὶ γὰρ ὁ Παῦλος· ὅτι οὕτως ἠγάπησεν ἡμᾶς, ὥστε παραδοῦναι ἑαυτὸν ὑπὲρ ἡμῶν (γ).

Ἢ, *Δόξασόν με*, τερατουργῶν ἐν τῷ καιρῷ τοῦ σταυροῦ τὰ φοβερὰ καὶ ἐξαίσια σημεῖα, καὶ δεικνύων ἐκ τούτων, ὅτι γνήσιος υἱός σου εἰμί. Ταῦτα δὲ εἴρηται καὶ ἔνθα κεῖται τό· Νῦν *ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου* (δ).

1 Ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε·

Διὰ τῆς ἑαυτοῦ δόξης· τῶν γὰρ ἐθνῶν πιστευόντων εἰς ἐμὲ,

(α) Ματθ. ΚϚ', 39. (β) Ἰωαν. Ζ', 6. (γ) Γαλατ. Β', 20. Ἐφεσ. Ε', 2. (δ) Ἰωαν. ΙΓ', 31.

καὶ σὺ δοξασθήσῃ. Καὶ εἰς σὲ γὰρ πιστεύσουσι, καὶ δοξάσουσί σε, ὡς τοῦ ἰδίου σου υἱοῦ μὴ φεισάμενον ὑπὲρ αὐτῶν· καὶ ἡ ἐμὴ δόξα ἔσται καὶ σή. Ζητῶν οὖν, ὡς δεδήλωται, δοξασθῆναι, δείκνυσιν, ὅτι ἐπὶ τὸν σταυρὸν ἑκουσίως ἔρχεται. Εἶτα λέγει καὶ τὴν αἰτίαν, δι' ἣν ζητεῖ δοξασθῆναι.

2 Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς,

Καθὼς, ἀντὶ τοῦ, Διότι. Φησὶν οὖν, *Δόξασόν σου τὸν υἱόν*· διότι ἔδωκας αὐτῷ ἐξουσίαν πάντων τῶν ἐθνῶν, ὥστε δοξάζεσθαι παρ' αὐτῶν. Γέγραπται γάρ· *Καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς* (α). *Δόξασόν σου τὸν υἱόν*· διότι εὐδόκησας γνωρισθῆναι αὐτὸν καὶ δοξασθῆναι πάσῃ τῇ οἰκουμένῃ. Καὶ τὸ ζητεῖν δὲ δοξασθῆναι, καὶ τὸ λέγειν, ὅτι Ἔδωκας, καὶ τὰ τοιαῦτα, συγκαταβατικῶς λέγει καὶ οἰκονομικῶς, ὡς διαφόρως προδιεστειλάμεθα, ἢ καὶ ὡς ἄνθρωπος.

2 Ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν αἰώνιον.

Ὅσον τὸ ἐπ' αὐτῷ. Εἰ δέ τινες οὔτε ἐπίστευσαν, οὔτε ἔλαβον ζωὴν αἰώνιον, τῶν τοιούτων ἐστὶ τὸ ἔγκλημα· ὁ μὲν γὰρ πατὴρ εὐδόκησεν, ἵνα πάντων ὁ υἱὸς ἐξουσιάσῃ διὰ τῆς πίστεως, καὶ πάντες ὑπὸ τὸν ζυγὸν τῶν ἐντολῶν αὐτοῦ γένωνται· καὶ ὁ υἱὸς δὲ πᾶσι διὰ τῶν ἀποστόλων δέδωκε τὸ εὐαγγέλιον, τὴν θεογνωσίαν, ἥτις ἐστὶ ζωὴ αἰώνιος, ὡς πρόξενος ζωῆς αἰωνίου· οἱ δὲ μὴ ὑποταγέντες, μηδὲ παραδεξάμενοι, αὐτοὶ τῆς ἑαυτῶν ἀπωλείας αἴτιοι· οὐδένα γὰρ ἄκοντα καταναγκάζει· αἱρετὴ γὰρ ἡ ἀρετή.

3 Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

Καὶ ὄντως αἰώνιος ζωὴ ἡ θεογνωσία, τῇ πίστει καὶ τῶν ἔργων δηλονότι συνεζευγμένων· *Ἡ πίστις γάρ, φησι, χωρὶς τῶν ἔργων νεκρά ἐστιν* (α). Ἵνα γινώσκωσι θεὸν, σὲ, τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ἐμέ.

(α) Ψαλμ. Β', 8.

Μόνον δὲ ἀληθινὸν θεὸν εἶπε τὸν πατέρα, πρὸς διαστολὴν τῶν ψευδωνύμων θεῶν, τῶν οὐκ ὄντων μὲν, λεγομένων δέ. Οὐ μὴν ἑαυτὸν ἐξέβαλε τοῦ εἶναι ἀληθινόν θεόν. Πῶς γάρ; ὅςγε ἀλήθειαν ἑαυτὸν καλεῖ, λέγων· *Ἐγώ εἰμι ἡ ἀλήθεια* (β)· καὶ ἴσον ἑαυτὸν τῷ πατρὶ κηρύττει, ἐν ἄλλοις τε πολλοῖς, καὶ ἐν οἷς φησίν· *Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμέν* (γ); Οὐκ εἶπεν οὖν τοῦτο καὶ περὶ ἑαυτοῦ νῦν, ὡς ἤδη γνώριμον, ἀφ' ὧν πολλάκις ἐδίδαξε. Καὶ γὰρ οὐδὲ τοῦ ἁγίου Πνεύματος ἐμνημόνευσεν ἐνταῦθα, ὡς καὶ περὶ τούτου δηλώσας, ἀφ' ὧν ἐδίδαξε, καὶ ὡς αὐτοῦ τοῦ παρακλήτου ὁδηγήσοντος αὐτοὺς εἰς πᾶσαν τὴν ἀλήθειαν, καθὼς προείρηται.

4 Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς·

Ἐπὶ τῆς γῆς εἶπε· διότι ἐν τῷ οὐρανῷ ἐδεδόξαστο, ἔν τε (1) φύσει τὴν δόξαν ἔχων, καὶ παρὰ τῶν ἀγγέλων προσκυνούμενος. Οὐ τοίνυν περὶ ἐκείνης τῆς δόξης λέγει, τῆς τῇ οὐσίᾳ αὐτοῦ συγκεκληρωμένης· ἐκείνην γὰρ, καὶ εἰ μηδεὶς ἐδόξαζεν αὐτὸν, ἔχει πεπληρωμένην· ἀλλὰ ταύτην φησὶ, τὴν ἀπὸ τῆς λατρείας τῶν ἀνθρώπων γινομένην. Οὐκοῦν τοιοῦτόν ἐστι καὶ τό· *Δόξασόν σου τὸν υἱόν*· καὶ ἵνα μάθῃς, ὅτι περὶ ταύτης τῆς δόξης φησὶν, ἐπήγαγε·

4 Τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι ἵνα ποιήσω.

Τὸ κήρυγμα τοῦ εὐαγγελίου. Καὶ μὴν ἀρχὴν ἔτι τὸ πρᾶγμα εἶχε· πῶς οὖν λέγει, *Ἐτελείωσα*; Ὅτι πᾶν τὸ ἑαυτοῦ πεποίηκεν ἤδη. Ἢ τὸ ἐσόμενον, ὡς γεγενημένον, λέγει. Ἢ τοῦτο εἶπεν, ὡς τὴν ῥίζαν τῶν ἀγαθῶν καταβαλλόμενος, ἥτις πάντως ἔμελλε καρποφορῆσαι.

(α) Ἰακ. Β', 20. (β) Ἰωαν. ΙΔ', 6. (γ) Ἰωαν. Ι', 30.
(1) Ἴσως, ἅτε φύσει.

Αὐτὸς οὖν τὸν πατέρα ἐδόξασεν ἐπὶ τῆς γῆς, ὡς ἤδη γνωρίσας αὐτὸν πάσῃ τῇ οἰκουμένῃ, διὰ τοῦ εὐαγγελίου, ὃ ἔμελλε κηρυχθῆναι ἐν ὅλῳ τῷ κόσμῳ διὰ τῶν ἀποστόλων. *Εἰς πᾶσαν γὰρ, φησι, τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν* (α). Ἐδόξασε δὲ αὐτὸν, καὶ ὡς τὰ πάντα αὐτῷ ἐπιγραφόμενος, καὶ τὰς διδασκαλίας, καὶ τὰ σημεῖα.

5 Καὶ νῦν δόξασόν με σὺ, πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ, ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί.

Ἐγὼ μὲν ἐδόξασά σε ἐπὶ τῆς γῆς, ὡς δεδήλωται· σὺ δὲ δόξασόν με παρὰ σεαυτῷ τῇ δόξῃ τῆς θεότητος, ᾗ εἶχον πρὸ τοῦ κόσμου. Δόξασόν με, τὸν ἄνθρωπον, παρὰ σεαυτῷ, τῆς παρὰ σοὶ βασιλικῆς καθέδρας ἀξιώσας· περὶ οὗ φησιν ὁ προφήτης· *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου* (β), τουτέστιν, ὁ πατὴρ τῷ υἱῷ· *Κάθου ἐκ δεξιῶν μου*. Δόξασόν με τῇ δόξῃ, ᾗ εἶχον, ὡς θεὸς, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ τῇ σῇ ἐξουσίᾳ· πρὸ τοῦ τὸν κόσμον γενέσθαι, τουτέστι, πρὸ πάντων, καὶ ἀεί· Τὸ δὲ, *Καὶ νῦν*, ἀντὶ τοῦ, λοιπόν.

Καὶ ἡμεῖς τοίνυν ἀπολαύσομεν ταύτης τῆς δόξης, ἐὰν μιμησώμεθα αὐτόν. Φησὶ γὰρ ὁ Παῦλος· *Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν* (γ). Μυρίων ἄρα δακρύων ἄξιοι πάντως οἱ, τοιαύτης προκειμένης δόξης, ἐκπίπτοντες αὐτῆς διὰ ῥαθυμίαν, καὶ δίκην μαινομένων καὶ ἀνοήτων ἐπιβουλεύοντες ἑαυτοῖς. Καὶ εἰ μὴ κόλασις γὰρ ἦν, ἀθλιώτατοι οἱ, συμβασιλεῦσαι καὶ συνδοξασθῆναι τῷ υἱῷ τοῦ θεοῦ παρὸν, τηλικούτων ἀγαθῶν ἑαυτοὺς ἀποστεροῦντες. *Οὐκ ἄξια γάρ, φησι, τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς* (δ).

6 Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις,

Εἰπὼν, ὅτι *Τὸ ἔργον ἐτελείωσα*, ἐπεξηγεῖται τὸν λόγον. Καὶ

(α) Ψαλμ. ΙΗ, 5. Ῥωμ. Ι', 18. (β) Ψαλμ. ΡΘ', 1. (γ) Ῥωμ. Η', 17.
(δ) Ῥωμ. Η', 18.

μὴν τοῖς Ἰουδαίοις πεφανερωμένον ἦν τὸ ὄνομα αὐτοῦ· ᾔδεισαν γὰρ, ὅτι θεός ἐστιν· ἀλλὰ περὶ τῶν ἄλλων ἐθνῶν λέγει, οἷς ἄγνωστον τοῦτο ἦν.

Ἢ *ὄνομα* λέγει, τὸ πατρικὸν, ὅτι ἐστὶ πατὴρ υἱοῦ γνησίου. Τοῦτο γὰρ ἀφανὲς αὐτοῖς ὂν, παρ' αὐτοῦ ἐφανερώθη.

6 Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου· σοὶ ἦσαν,

Ὡς θεοῦ.

6 Καὶ ἐμοὶ αὐτοὺς δέδωκας·

Ὡς ἴσῳ. Περὶ τῶν ἀποστόλων δὲ ὁ λόγος· δείκνυσι δὲ κἀνταῦθα, ὅτι οὐκ ἔστιν ἀντίθεος, καὶ ὅτι βούλημά ἐστι τοῦ πατρὸς, τὸ πιστεύειν αὐτοὺς εἰς τὸν υἱόν. Εἰ γὰρ, ὥς τινες ληροῦσιν, ὅτε ἦσαν του πατρὸς, οὐκ ἦσαν τοῦ υἱοῦ· λοιπὸν, δοὺς αὐτοὺς τῷ υἱῷ, ἐξέστη αὐτῶν, ὅπερ ἄτοπον. Δέδωκας δέ μοι εἶπεν, καθ' ὃν εἴρηκε λόγον πρότερον· ὅτι *Οὐδεὶς δύναται ἐλθεῖν πρὸς ἐμὲ, ἐὰν μὴ ὁ πατὴρ, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν* (α).

Ἀλλὰ πῶς εἴρηκεν, *Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου*; προλαβὼν γὰρ ἔφη πρὸς αὐτούς· ὅτι *Ἐκ τοῦ κόσμου οὐκ ἐστέ* (β). *Κόσμον* ἐκεῖ μὲν τοὺς πονηροὺς ὠνόμασεν, ἐνταῦθα δὲ λέγει τὴν κτίσιν ταύτην.

6 Καὶ τὸν λόγον σου τετηρήκασι.

Τὸ θέλημά σου πεπληρώκασιν, ἐν τῷ πιστεῦσαι εἰς ἐμέ.

7 Νῦν ἔγνωσαν, ὅτι πάντα ὅσα δέδωκάς μοι, παρὰ σοῦ ἐστιν·

Νῦν, ἤτοι, μετὰ τὸ μαθεῖν, *ἔγνωσαν, ὅτι πάντα, ὅσα δέδωκάς μοι*, τουτέστιν, ὅσα λέγω καὶ διδάσκω, ἀπὸ σοῦ εἰσι, σά εἰσιν ἐντάλματα, καὶ οὐδὲν ἴδιον ἐμοὶ ἢ ἀλλότριόν σου. Εἶτα λέγει, καὶ πόθεν τοῦτο ἔγνωσαν.

8 Ὅτι τὰ ῥήματα, ἃ δέδωκάς μοι, δέδωκα αὐτοῖς· καὶ

(α) Ἰωαν. Ϛ', 44. (β) Ἰωαν. ΙΕ', 19.

αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς, ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν, ὅτι σύ με ἀπέστειλας.

Τοῦτο ἔγνωσαν, ἀπὸ τῶν ῥημάτων, ὧν δέδωκα αὐτοῖς. Καὶ γὰρ διαῤῥήδην ἐδίδασκον, ὅτι σά εἰσιν, ὅσα λέγω καὶ διδάσκω, καὶ αὐτοὶ ἔλαβον εὐπειθῶς.

Ταῦτα δὲ, καὶ τὰ τοιαῦτα, διαλέγεται πρὸς τὸν πατέρα, δεικνύων τοῖς μαθηταῖς, οἷον ἔχει φίλτρον αὐτῶν. Ὁ γὰρ μὴ μόνον τὰ παρ' ἑαυτοῦ παρέχων, ἀλλὰ καὶ ἄλλον εἰς τοῦτο παρακαλῶν, πλείονα δεικνύει τὸν πόθον.

9 **Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ·**

Ὑπὲρ αὐτῶν παρακαλῶ σε, ὡς ἄνθρωπος.

9 **Οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι·**

Οὐ περὶ τοῦ κόσμου παντὸς παρακαλῶ, ἀλλὰ περὶ τῶν πιστευόντων εἰς ἐμέ· οἱ γὰρ μὴ πιστεύοντες, οὐ θέλουσιν, ἵνα περὶ αὐτῶν παρακαλῶ. Πυκνῶς δὲ τίθησι τὸ, *δέδωκας*, ἵνα μάθωσι βεβαιότερον, ὅτι θέλημα τοῦ πατρός ἐστι τὸ πιστεύειν εἰς τὸν υἱόν. Ἐπεὶ δὲ τὸ, *Δέδωκάς μοι*, καὶ τὸ, *Σοί εἰσι*, καὶ τὰ τοιαῦτα, ἔμελλον ἐμποιῆσαι τοῖς ἀσυνέτοις ὑποψίας πονηρὰς, ὅτι μείζων ἡ ἐξουσία τοῦ πατρὸς, καὶ προγενεστέρα, λύει ταύτας λέγων·

10 **Καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά·**

Εἶδες ἰσοτιμίαν; Τοῦτο γὰρ δηλοῖ νῦν ἡ ἀντιστροφή. Εἰπὼν μὲν οὖν ὅτι, *Σοί εἰσιν*, ἔδειξεν, ὅτι καὶ δοθέντες αὐτῷ, τῆς ἐξουσίας τοῦ πατρός εἰσιν. Ἵνα δὲ μὴ νομίσῃ τις ἐντεῦθεν, ὅτι ἐξουσιαστικώτερός ἐστιν ὁ πατὴρ, προσέθηκε, ***Καὶ τὰ ἐμὰ πάντα, σά ἐστι, καὶ τὰ σὰ, ἐμά.*** Ὥστε καὶ πρὸ τοῦ δοθῆναι, τοῦ υἱοῦ ἦσαν, καὶ μετὰ τὸ δοθῆναι, τοῦ πατρὸς, τουτέστιν, ἀεὶ ἀμφοτέρων, ὡς ἰσοτίμων. Δέδωκας οὖν μοι τοὺς ἐμούς· ***δέδωκας*** δὲ, εἶπον οἰκονομικῶς, ἵνα γνῶσιν, ὅτι οὐ παρὰ τὸ σὸν θέλημα τούτους ἐπεσπασάμην.

10 **Καὶ δεδόξασμαι ἐν αὐτοῖς.**

Καὶ ἐξουσίαν ἔχω ἐν τοῖς σοῖς, ὡς ἐμοῖς, ὥσπερ καὶ σὺ, ἐν τοῖς ἐμοῖς, ὡς σοῖς.

Ἢ, δεδόξασμαι ἐν τοῖς δοθεῖσί μοι μαθηταῖς, ἐπιγνοῦσι με Κύριον ἑαυτῶν, καὶ προσκυνοῦσι καὶ κηρύττουσί με θεόν.

11 **Καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ,**

Μετὰ μικρὸν ἀποθνήσκων. Πάλιν δὲ εἰσάγει (1) τὸ περὶ τοῦ θανάτου αὐτοῦ, μέλλων αὐτοὺς, ὡς ἄνθρωπος, παραθέσθαι τῷ θεῷ καὶ πατρί. Φησὶν οὖν, ὅτι *Οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ*, καθάπερ ἄχρι νῦν, συνὼν, καὶ στηρίζων, καὶ ἀλείφων, καὶ παρηγορῶν αὐτούς.

11 **Καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί,**

Μήπω ἀποθνήσκοντες, καὶ διὰ τοῦτο τῆς σῆς δέονται βοηθείας. Εἰπὼν δὲ, ὅτι *Οὐκ εἰμὶ ἐν τῷ κόσμῳ*, ἐφερμηνεύει τοῦτο, λέγων·

11 **Καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι.**

Ὡς υἱὸς, πρὸς πατέρα, τὸ ἔργον τελειώσας, ὡς εἴρηται.

11 **Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, ᾧ δέδωκάς μοι·**

Διὰ τοῦ ὀνόματός σου τοῦ παντοδυνάμου, ὃ ἔχω φύσει κἀγώ· θεὸς γὰρ κἀγώ. Πάλιν δὲ τὸ, *δέδωκας*, ἵνα μὴ δόξῃ ἀντίθεος· ἢ, *ὃ δέδωκάς μοι*, ὡς ἀνθρώπῳ.

11 **Ἵνα ὦσιν ἕν,**

Ἵνα ὦσιν ἕν, τῇ ἑνώσει τῆς εἰς ἐμὲ πίστεως, καὶ τῆς εἰς ἀλλήλους ἀγάπης, περὶ ἧς ἀνωτέρω πολλὰ αὐτοῖς ἐνετείλατο.

11 **Καθὼς ἡμεῖς.**

Προείρηκε γάρ· ὅτι *Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμέν* (α). Προδιε-

(1) Ἐπάγει, παρὰ τῷ Α. (α) Ἰωαν. Ι', 30.

στειλάμεθα δὲ καὶ ἐν ἄλλοις, ὅτι τὸ, *Καθὼς*, καὶ τὰ τοιαῦτα, ἐπὶ μὲν τῆς ἁγίας Τριάδος, ἰσότητα δηλοῦσιν· ἐπὶ δὲ θεοῦ καὶ ἀνθρώπων, ὁμοίωσίν τινα. Ἓν οὖν εἰσιν ὁ πατὴρ καὶ ὁ υἱὸς, ὥσπερ τῇ οὐσίᾳ καὶ τοῖς ἄλλοις, οὕτω καὶ τῇ ὁμονοίᾳ. Λοιπὸν οὖν τὸ, *Καθὼς ἡμεῖς*, διὰ τὸ ἀδιαίρετον καὶ ἀδιάῤῥηκτον.

12 Ὅτε ἤμην μετ᾽ αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου·

Ὅτε ἤμην ἐν τῷ κόσμῳ, ὡς ἄνθρωπος· ἀεὶ γάρ εἰμι, ὡς θεός· τότε *ἐγὼ ἐτήρουν αὐτοὺς* ἐν τῇ δυνάμει σου, ἤγουν ἐν σοί· ἡ ἐμὴ γὰρ δύναμις, σή, καὶ ἐγὼ καὶ σὺ ἕν ἐσμέν.

Καὶ ὡς ἄνθρωπος δὲ ταῦτα, καὶ τὰ τοιαῦτα, διαλέγεται, καὶ διὰ τὴν ἀσθένειαν τῶν μαθητῶν. Ἐπεὶ γὰρ, πολλὰ περὶ τῆς παρ᾽ αὐτοῦ βοηθείας ἀκούσαντες, καὶ ὅτι *Πάλιν ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ᾽ ὑμῶν* (α), οὐκ ἀπηλλάγησαν οὔπω τῆς ἀθυμίας τέλεον, τῷ πατρὶ λοιπὸν ὑπὲρ αὐτῶν διαλέγεται, ἵνα κἂν γοῦν τῷ πατρὶ παρατιθέμενοι θαῤῥήσωσιν. Ἀτελεῖς γὰρ ὄντες, οὐχ οὕτω τοῖς ὑψηλοῖς καὶ θεοπρεπέσι ῥήμασιν ἐπίστευον, ὡς τοῖς ταπεινοτέροις καὶ ἀνθρωποπρεπέσιν.

12 Οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας·

Ἰούδας, ὁ προδότης, ὁ φίλτατος τῆς ἀπωλείας, ὁ φιληθεὶς αὐτῇ καὶ φιλήσας αὐτήν. *Ἀπώλειαν* δὲ νόει, τὴν ἀπὸ τοῦ θεοῦ ἔκπτωσίν τε καὶ ἀλλοτρίωσιν· ἢ καὶ τὸν διάβολον, ὡς ἀπολλύοντα τοὺς πειθομένους αὐτῷ. Ἀπώλετο γὰρ ὁ Ἰούδας ἑκουσίως, διὰ φαυλότητα προαιρέσεως. Καὶ μὴν καὶ ἄλλοι ἀπὸ τῶν ἑβδομήκοντα μαθητῶν ἀπώλοντο· ἀλλ᾽ οὐ τότε, ἀλλ᾽ ὕστερον· τότε δὲ μόνος ὁ προδότης ἀπώλετο.

(α) Ἰωάν ΙϚ᾽, 22.

13 Ἵνα ἡ γραφὴ πληρωθῇ.

Ἡ δαυϊτική, ἡ πολλαχοῦ περὶ τῆς ἀπωλείας αὐτοῦ διαλαμβάνουσα, καὶ μᾶλλον ἐν τῷ ἑκατοστῷ ὀγδόῳ ψαλμῷ. Κἀνταῦθα τοίνυν τὸ, *Ἵνα*, οὐκ αἰτίας ἐστὶ δηλωτικὸν, ἀλλὰ τοῦ πάντως ἐσομένου, ὅτι μέλλει ἡ Γραφὴ πληρωθῆναι.

13 Νῦν δὲ πρὸς σὲ ἔρχομαι,

Πάλιν τὸ, *Πρὸς σὲ ἔρχομαι*, ὥσπερ καὶ τὸ, *Παρὰ τοῦ θεοῦ ἐξῆλθον*, καὶ τὰ τοιαῦτα, τῇ συνεχείᾳ πάντως ἐπὶ πλέον βεβαιῶν αὐτοῖς ταῦτα, καὶ ἅμα παραμυθίαν ἐντεῦθεν, οὐ τὴν τυχοῦσαν παρέχων.

13 Καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς.

Ταῦτα λαλῶ, ἐν τῷ κόσμῳ ὢν ἔτι. Ταῦτα· ποῖα; Τὸ, *Πρὸς σὲ ἔρχομαι*, καὶ τὸ, *Τήρησον αὐτούς*. Ταῦτα οὖν, φησιν, λαλῶ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν περὶ ἐμοῦ ὁλοτελῆ, πληροφορηθέντες, ὅτι καὶ ἐμὲ οὐ καθέξει ὁ ᾅδης, καὶ σὲ ἕξουσι βοηθόν. Εἰ γὰρ καὶ ἐπίστευον, ἀλλὰ, μήπω καταρτισθέντες, ἐκυμαίνοντο τοῖς λογισμοῖς πάλιν, καὶ ἠρεμεῖν οὐκ ἠδύναντο.

Ἢ, *Ταῦτα λαλῶ*, τὰ ταπεινὰ καὶ ἀνθρωποπρεπῆ· ἵνα, ἀναπαυομένης τῆς ἀσθενοῦς τέως διανοίας αὐτῶν, χαίρωσιν ἐντελῶς, ὡς μὴ δοκοῦντος μου ἀντιθέου.

14 Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου· καὶ ὁ κόσμος ἐμίσησεν αὐτοὺς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου.

Δέδωκα αὐτοῖς τὸν λόγον σου, τὸν εὐαγγελικόν· καὶ οἱ πονηροὶ ἐμίσησαν αὐτοὺς, ὡς μὴ ὄντας ἐξ αὐτῶν, ὅσον ἐπὶ τῇ ἀκακίᾳ. Καὶ προλαβὼν γὰρ εἶπε πρὸς αὐτούς· ὅτι *Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει* (α). *Κόσμον* γὰρ καὶ ἐκεῖ καὶ ἐνταῦθα, τοὺς πονηροὺς καλεῖ, διὰ τὸ φιλόκοσμον

(α) Ἰωάν. ΙΕ, 19.

καὶ φιλήδονον. Καὶ λοιπὸν, ὡς διὰ τὸν λόγον σου μισηθέντας, διαφύλαξον αὐτούς.

15 Οὐκ ἐρωτῶ, ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ.

Σαφηνίζει τὴν εὐχὴν, δἰ αὐτοὺς, ἵνα θαῤῥήσωσι μᾶλλον, ὡς οὐκ αὐτίκα τεθνηξόμενοι πρὸ τοῦ κηρύξαι, ἀλλὰ καὶ τῆς παρὰ τοῦ πατρὸς φυλακῆς ἀπολαύσοντες. Κἀνταῦθα δὲ ἡ ἐρώτησις τὴν παράκλησιν σημαίνει.

16 Ἐκ τοῦ κόσμου οὐκ εἰσὶ,

Συνεχῶς καὶ τοῦτο λέγει, προσμαρτυρῶν αὐτοῖς τὸ ἀπόνηρον, ἵνα βεβαιωθῶσιν εἰς τὸ μὴ θορυβεῖσθαι μισούμενοι, εἰδότες, ὅτι ἀντίκειται τῇ ἀρετῇ πάντως ἡ κακία. Ἅμα δὲ καὶ ἐπαινεῖ αὐτοὺς παρὰ τῷ πατρὶ, δεικνύων αὐτοῖς κἀντεῦθεν τὴν εἰς αὐτοὺς ἀγάπην αὐτοῦ. Φησὶν οὖν, ὅτι οὐρανοπολῖται (1) *εἰσὶν*, οὐ κοσμικὰ φρονοῦντες, ἀλλὰ οὐράνια.

16 Καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί.

Καὶ τῇ πρὸς ἑαυτὸν ὁμοιότητι παρηγορεῖ τούτους, καὶ διεγείρει πρὸς ὑπομονήν.

17 Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου·

Ἁγίους ποίησον διὰ τοῦ παναγίου Πνεύματος ἐν τῇ ἀληθείᾳ τῶν δογμάτων· τὰ γὰρ ἀληθῆ δόγματα ἁγιάζουσι τὸν ἄνθρωπον. Εἶτα διασαφεῖ, τί λέγει ἀλήθειαν.

17 Ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι.

Ο *λόγος*, ὁ τῶν δογμάτων, *ὁ σὸς*, ἤγουν, ὁ παρὰ σοῦ διὰ τοῦ ἁγίου Πνεύματος ἐνηχούμενος αὐτοῖς. Εἴρηκε γὰρ ἀνωτέρω· ὅτι Τὸ *Πνεῦμα τῆς ἀληθείας ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν* (α).

---

(1) Ὁ Χρυσόστομος Τομ. Η. Σελ. 483. D. λέγει « τῶν οὐρανῶν γεγόνασι πολῖται. » Ἐντεῦθεν οἱ οὐρανοπολῖται παρὰ Θεοφυλάκτῳ Σελ. 801. παρὰ τῷ Ἀμμωνίῳ ἐν τῇ σειρᾷ παρὰ Κορδερίῳ Σελ. 413. (α) Ἰωαν. Ιϛ', 13.

Νοεῖται δὲ καὶ ἑτέρως τὸ, *Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου*, ἀντὶ τοῦ, Ἀφόρισον αὐτοὺς ἐν τῷ εὐαγγελίῳ σου· *ὁ λόγος* γὰρ, *ὁ σὸς*, εἶτουν, ὁ εὐαγγελικὸς, *ἀλήθειά ἐστι*.

Τοῦ πατρὸς δὲ τὸν λόγον εἶναί φησι, καθὼς καὶ προλαβὼν εἶπεν· ὅτι *Ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε, τί εἴπω καὶ τί λαλήσω* (α).

18 Καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον.

Καθὼς σὺ, θέλων τὴν σωτηρίαν τῶν ἀνθρώπων, ἐμὲ ἀπέστειλας· οὕτω κἀγὼ, θέλων αὐτὴν, ἀπέστειλα αὐτούς· ἢ, Καθὼς σὺ, πατήρ μου ὢν, ἐμὲ ἀπέστειλας· οὕτω κἀγὼ, πατὴρ αὐτῶν ὢν, ἀπέστειλα αὐτούς. Ἀλλὰ σὺ μὲν πατήρ μου φύσει· ἐγὼ δὲ πατὴρ αὐτῶν, ὡς κτίστης, καὶ προνοητὴς, καὶ διδάσκαλος. Ὡς γεγονὸς δὲ λέγει τὸ γενησόμενον, διὰ τὸ ἤδη μέλλειν ἀποστεῖλαι αὐτοὺς μετὰ μικρόν.

19 Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν,

Ἐγὼ ἑκουσίως θυσιάζω ἐμαυτόν. *Ἁγιασμὸν* γὰρ ἐνταῦθα, τὸν θυσιασμὸν λέγει· *ἅγιον* γὰρ λέγεται καὶ ἡ θυσία· καὶ πολλὰ σημαίνει τὸ ἅγιον.

19 Ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ.

Ἵνα καὶ αὐτοὶ ὦσι τεθυμένοι ἐν ἀληθινῇ θυσίᾳ· ἡ γὰρ νομικὴ θυσία τύπος ἦν, οὐκ ἀλήθεια· ἵνα δὲ ὦσι τεθυμένοι, ὡς τῆς κεφαλῆς αὐτῶν τυθείσης. Ἢ ὡς καὶ αὐτοὶ θυόμενοι. *Ἐλογίσθημεν γάρ*, φησι, *ὡς πρόβατα σφαγῆς* (β)· καί· *Παραστήσατε τὰ μέλη* (1) *ὑμῶν, θυσίαν ζῶσαν* (γ). Ἔστι γὰρ θύεσθαι καὶ δίχα σφαγῆς. Ἵνα δὲ μὴ νομίσῃ τις ὑπὲρ τῶν ἀποστόλων μόνων ταῦτα λέγειν αὐτόν, φησίν·

(α) Ἰωαν. ΙΒ', 49. (β) Ψαλ. ΜΓ', 23. (1) Ἀντὶ τοῦ, τὰ σώματα, γράφει ὁ Εὐθύμιος, τὰ μέλη, ἐκ τοῦ Χρυσοστόμου Τομ. Η. Σελ. 484. C.
(γ) Ῥωμ. ΙΒ', 1.

20 Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν
21 πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ· ἵνα πάντες ἓν ὦσι·

Ἅμα καὶ παρεμυθήσατο αὐτοὺς πάλιν, δείξας, ὅτι διὰ τοῦ κηρύγματος αὐτῶν καὶ ἄλλοι ἔσονται μαθηταί.

21 Καθὼς σὺ, πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν·

Καθὼς σὺ ἐν τῇ ἐμῇ ἀγάπῃ, κἀγὼ ἐν τῇ σῇ, *ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν*, ἤγουν, ἐν τῇ εἰς ἡμᾶς πίστει, *ἓν ὦσιν*. Ὄντες γὰρ ἓν τῇ εἰς ἡμᾶς πίστει ἓν, ἔσονται καὶ ἐν τῇ εἰς ἀλλήλους ἀγάπῃ ἕν. Εἴρηκε γάρ· ὅτι *Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με* (α). *καί· Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους* (β). Ἐκ τῆς ἀγάπης τοίνυν καὶ ὁμονοίας ἀρξάμενος, εἰς ταύτην πάλιν κατέκλεισε τὸν λόγον, δεικνὺς, ὅτι θεοφιλὲς καὶ περισπούδαστον ἡ ἀγάπη.

21 Ἵνα ὁ κόσμος πιστεύσῃ, ὅτι σύ με ἀπέστειλας.

Ἵνα, πιστεύσας τοῖς ἀποστόλοις, πιστεύσῃ, ὅτι σύ με ἀπέστειλας· τοῦτο γὰρ μέλλουσι κηρύττειν. Οὐδὲν γὰρ οὕτως ἔμελλεν ἐμποδίζειν τῷ κηρύγματι, ὡς τὸ διεσχίσθαι τοὺς κήρυκας, τῇ τε διαφορᾷ τῆς πίστεως, καὶ τῇ πρὸς ἀλλήλους ἀπεχθείᾳ. Ἐπειδὴ, μαχομένων, ἐροῦσιν, οὐκ εἰρηνικοῦ εἶναι μαθητάς· εἰ δὲ οὐκ εἰρηνικοῦ, οὐδὲ παρὰ σοῦ ἀποσταλέντος· ὁμογνωμονούντων δὲ, καὶ τὰς ἐντολάς μου φυλαττόντων, γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί εἰσι, καὶ ὅτι σύ με ἀπέστειλας.

22 Καὶ ἐγὼ τὴν δόξαν, ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς·

Τὴν ἀπὸ τῶν διδαγμάτων καὶ τῶν θαυμάτων, ἢ καὶ τὴν ἀπὸ τῆς ὁμονοίας· οὐκ ἔλαττον γὰρ ἐκ ταύτης ἢ ἐκ τούτων δοξάζονται. *Δέδωκα* δὲ εἶπε, παραδηλῶν κἀνταῦθα καὶ τὸ ἑαυτοῦ

(α) Ἰωαν. ΙΔ', 21 (β) Ἰωαν ΙΕ', 12.

ἀξίωμα, καὶ τὸ πρὸς τὸν πατέρα ὁμότιμον, ὥσπερ καὶ ἐν ἄλλοις πολλάκις.

22 Ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς ἕν ἐσμεν·

Τοῦτο καὶ ἀνωτέρω εἴρηται, καὶ ἡρμήνευται· καὶ νῦν δὲ τοῦτο λέγει, σφόδρα τοῦτο βουλόμενος ἐνεῖναι αὐτοῖς, ὡς ἀναγκαιότατον.

23 (Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί·)

Ἐγὼ ἐν αὐτοῖς μένω, καὶ σὺ ἐν ἐμοὶ, τουτέστιν, *Ἐγὼ* καὶ σὺ ἐν αὐτοῖς μένομεν, καὶ πῶς οὐ συντηρήσομεν (1) αὐτούς; Καὶ ἀλλαχοῦ δὲ εἴρηκεν· *Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν* (α). Ἀλλ' ἐγὼ μὲν ἐν αὐτοῖς θεοπρεπῶς, διὰ τὴν πίστιν· σὺ δὲ ἐν ἐμοὶ πατροπρεπῶς, διὰ τὴν φύσιν.

23 Ἵνα ὦσι τετελειωμένοι εἰς ἕν·

Εἰς ἕνωσιν, εἰς ὁμόνοιαν. Ὥσπερ γὰρ ἡ στάσις διαλύει· οὕτως ἡ συμφωνία συγκροτεῖ.

23 Καὶ ἵνα γινώσκῃ ὁ κόσμος, ὅτι σύ με ἀπέστειλας,

Καὶ ἀνωτέρω εἶπεν· *Ἵνα ὁ κόσμος πιστεύσῃ, ὅτι σύ με ἀπέστειλας* (β). Πάλιν οὖν τὸ αὐτό φησιν, ἵνα βεβαίως ὁμονοῶσι, πληροφορηθέντες, ὅτι τοῦτο μᾶλλον πρὸς πίστιν ἐπισπάσεται τοὺς ἀνθρώπους.

23 Καὶ ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας.

Τεκμήριον γὰρ τῆς ἀγάπης αὐτῶν, τὸ μηδὲ τοῦ ἰδίου σου υἱοῦ φείσασθαι ὑπὲρ αὐτῶν. Κἀνταῦθα δὲ τὸ, *Καθὼς*, οὐκ ἰσότητα, ἀλλ' ὁμοίωσίν τινα δηλοῖ, καθάπερ προλαβόντες παρεσημειωσάμεθα. Τίθησι δὲ τοῦτο συνεχῶς, παραμυθούμενος αὐτοὺς διὰ τῆς πρὸς ἑαυτὸν ὁμοιώσεως, καὶ θαῤῥεῖν παρέχων.

(1) συντηρήσωμεν, παρὰ τῷ Α. (α) Ἰωαν ΙΔ', 23. (β) Ἰωαν ΙΖ', 21.

Μέχρι τούτου τὰ περὶ ἀγάπης καὶ ὁμονοίας περατώσας, διαλέγεται λοιπὸν καὶ περὶ τῶν μετὰ τὴν παροῦσαν ζωὴν ἀποκειμένων αὐτοῖς βραβείων καὶ στεφάνων, ἵνα πλέον θαῤῥήσωσι.

24 Πάτερ, οὓς δέδωκάς μοι, θέλω, ἵνα, ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ᾽ ἐμοῦ·

Ἐν τῇ βασιλείᾳ σου, δηλονότι, συμβασιλεύοντές μοι.

24 Ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν ἔδωκάς μοι·

Τὴν δόξαν τῆς θεότητος, ἣν δέδωκάς μοι, οὐχ ὡς ἐλάττονι, ἢ ὑστερογενεῖ, ἀλλ᾽ ὡς αἴτιος, εἴτουν, ὡς γεννήσας με. Πότε δὲ δέδωκεν; Ὅτε δηλονότι γεγέννηκε. Πότε δὲ γεγέννηκεν; Ὑπὲρ τὸ πότε τὸ ἐρώτημα, καὶ ὁ λόγος ἀνέφικτος. Ἅμα γὰρ καὶ ἦν, καὶ γεγέννηκε· καὶ οὐκ ἦν, ὅτε οὐκ ἦν πατὴρ ὁ πατήρ. Ἐπεὶ δὲ τὸ, *Δέδωκας*, συγκαταβατικὸν ὂν, ἔμελλέ τισι τίκτειν σκάνδαλον, δοκοῦν ἐλάττωσιν περιάπτειν τῷ υἱῷ, θεραπεύει τοῦτο λέγων·

24 Ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου.

Τουτέστι, πρὸ αἰώνων. Οὕτω γὰρ ἡ Γραφὴ δηλοῖ τὸ ἀϊδίως. Οὐκ εἶπε δὲ, Ἵνα μετέχωσι τῆς δόξης τῆς ἐμῆς, ἀλλ᾽ *Ἵνα θεωρῶσι*· τὸ μὲν γὰρ, ὑπὲρ αὐτοὺς ἦν, τὸ δὲ, πᾶσα ἀπόλαυσις αὐτοῖς, ὃ καὶ Παῦλός φησιν· *Ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι* (α). Μεγίστη γὰρ ὄντως δόξα, τὸ θεωρεῖν τὴν δόξαν αὐτοῦ.

25 Πάτερ δίκαιε,

Δίκαιον αὐτὸν λέγει νῦν, ὡς θέλοντα, μὴ μόνοις Ἰουδαίοις, ἀλλὰ πᾶσιν ἀνθρώποις ἐπιγνωσθῆναι, ἵνα πάντες σώζωνται, καὶ μηδεὶς δι᾽ ἄγνοιαν ἀπόληται. Τοῦτο γὰρ ἀκροτάτης δικαιοσύνης καὶ ἀγαθότητος.

(α) Β΄ Κορ. Γ΄, 18.

25 Καὶ ὁ κόσμος σε οὐκ ἔγνω·

Ὁ μὲν ἄλλος κόσμος, οὐδ᾽ ὅλως (1)· οἱ δὲ Ἰουδαῖοι, (2) πατέρα μου, διὰ τὸ ἐθελοκακεῖν.

25 Ἐγὼ δέ σε ἔγνων·

Φύσει.

25 Καὶ οὗτοι ἔγνωσαν, ὅτι σύ με ἀπέστειλας.

Οἱ μαθηταί μου ἔγνωσαν τοῦτο, ἀφ᾽ ὧν εἶπον καὶ ἔπραξα θεοπρεπῶς.

26 Καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου,

Τὸ τῆς πατρότητος. Ταῦτα δὲ καὶ ἀνωτέρω εἴρηκε, καὶ νῦν λέγει πάλιν, ἐπαναλαμβάνων.

26 Καὶ γνωρίσω·

Ἐπὶ πλέον διὰ τοῦ ἁγίου Πνεύματος. Ὁρᾷς, ὅτι, ὥσπερ ὁ πατὴρ λέγει διὰ τοῦ ἁγίου Πνεύματος, οὕτω καὶ ὁ υἱὸς γνωρίζει δι᾽ αὐτοῦ, ἃ βούλεται, τοῖς μαθηταῖς; ἀφ᾽ ὧν αὖθις τὸ ἰσότιμον καὶ σύμφωνον τῆς ἁγίας Τριάδος δείκνυται.

26 Ἵνα ἡ ἀγάπη, ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ,

Γνωρίσω, φησὶν, αὐτοῖς ἐπὶ πλέον τὸ ὄνομά σου, ἵνα, τοῦτο σαφῶς γνωρισάντων, καὶ διαγνόντων, ὅτι γνήσιος υἱὸς ἐγώ σου, καὶ φύσει ἀγαπητὸς, ἡ τοιαύτη ἀγάπη, ἡ γνησία καὶ φύσει, ἐν αὐτοῖς εἴη γνωριζομένη.

26 Κἀγὼ ἐν αὐτοῖς.

Κἀγὼ ἐν αὐτοῖς ὦ πλέον, διὰ πίστεως μείζονος, ἅτε γνωριζόμενος αὐτοῖς ἐντελέστερον. Πάλιν οὖν εἰς ἀγάπην κατέληξε, ταύτην ἐπιθεὶς τῷ λόγῳ τελείωσιν· τελειωτικὴ γὰρ τῶν ἀρετῶν ἡ ἀγάπη.

(1) Νοεῖται τὸ, ἔγνω σε. Ὁ Ἐντένιος εὕρηκεν ἴσως ἐνταῦθα προστεθειμένον, διὰ τὸ εἰδωλολατρεῖν, ὡς δῆλον ἐκ τῆς μεταφράσεως. (2) Φαίνεται, ὅτι πρέπει νὰ παρεντεθῇ ἐνταῦθα τὸ, οὐχ ὡς, ἤτοι, οὐχ ὡς πατέρα μου, ἔγνωσάν σε δηλονότι.

ΚΕΦ. XVIII, 1 Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, ἐξῆλθε σὺν
τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν Κέ-
δρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ
μαθηταὶ αὐτοῦ.

Ζήτησον ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον τό· *Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν Ἐλαιῶν* (α)· ἐκεῖ γὰρ ἐξηγήθη καὶ περὶ τούτων. Ἀλλὰ καὶ περὶ τῶν ἑξῆς πλατύτερόν τε καὶ ἀκριβέστερον ἐν ἐκείνῳ τῷ εὐαγγελιστῇ δεδηλώκαμεν.

2 Ἤδει δὲ καὶ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, τὸν τόπον·

Εἶτα λέγει, καὶ πόθεν τοῦτον ἐγίνωσκεν.

2 Ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν
μαθητῶν αὐτοῦ.

Πολλάκις ηὐλίσθη ἐκεῖ.

3 Ὁ οὖν Ἰούδας, λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρ-
χιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ
φανῶν καὶ λαμπάδων καὶ ὅπλων.

Τὰ ὅπλα ἐπήγοντο, δεδοικότες τοὺς ἑπομένους αὐτῷ· διὰ τοῦτο γὰρ καὶ ἀωρὶ τῶν νυκτῶν ἐπῆλθον.

Ἐν τῷ ἑξηκοστῷ δὲ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ἐῤῥήθη περὶ τούτων, ἔνθα κεῖται τό· *Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, Ἰούδας, εἷς τῶν δώδεκα, ἦλθε* (β)· τὰ γὰρ ἐν τῷ μέσῳ παρέδραμεν ὁ Ἰωάννης, ὡς τοῖς ἄλλοις ἱστορηθέντα, ὃ πολλαχοῦ πολλάκις ποιεῖ.

4 Ἰησοῦς οὖν, εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν,
5 ἐξελθὼν, εἶπεν αὐτοῖς· Τίνα ζητεῖτε; Ἀπεκρίθησαν
αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. Λέγει αὐτοῖς ὁ Ἰη-
σοῦς· Ἐγώ εἰμι. (Εἱστήκει δὲ καὶ Ἰούδας, ὁ παραδι-
6 δοὺς αὐτὸν, μετ' αὐτῶν.) Ὡς οὖν εἶπεν αὐτοῖς· Ὅτι

(α) Ματθ. ΚϚ', 30 (β) Ματθ ΚϚ', 47.

ἐγώ εἰμι· ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί.

Εἰδὼς ὡς θεὸς, πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν, ἐξελθὼν ἀταράχως ἠρώτησεν αὐτοὺς, ὡς ἄνθρωπος. Εἱστήκει δὲ καὶ ὁ προδότης μετ' αὐτῶν· καὶ οὐδὲ οὗτος ἠδυνήθη γνωρίσαι αὐτὸν, ἢ ἀπὸ τοῦ εἴδους, ἢ ἀπὸ τῆς φωνῆς. Ἔδειξεν οὖν ὅτι, μὴ βουλόμενον, οὐ μόνον οὐκ ἠδύναντο κατασχεῖν αὐτὸν, ἀλλ' οὐδὲ ὅλως ἰδεῖν. Ἐν τῷ ῥηθέντι δὲ κεφαλαίῳ καθεξῆς καὶ περὶ τούτων ἐμνημονεύθη.

7 Πάλιν οὖν αὐτοὺς ἐπηρώτησε· Τίνα ζητεῖτε; Οἱ δὲ
8 εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον. Ἀπεκρίθη ὁ Ἰη-
σοῦς· Εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι.

Αὐτὸς ἐμφανίζει ἑαυτὸν, παιδεύων τε τοὺς μαθητὰς, μηδὲ ἐν κινδύνῳ ψεύδεσθαι, καὶ πληροφορῶν, ὅτι ἑκουσίως ἐπιδίδωσιν ἑαυτὸν τοῖς φονεῦσιν.

8 Εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν. Ἵνα
9 πληρωθῇ ὁ λόγος, ὃν εἶπεν· «Ὅτι οὓς δέδωκάς μοι,
οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα.»

Τὸ *Ἵνα πληρωθῇ ὁ λόγος*, ἀφ' ἑαυτοῦ φησιν ὁ εὐαγγελιστής. Ἀνωτέρω γὰρ πρὸς τὸν πατέρα διαλεγόμενος, εἴρηκεν· ὅτι *Οὓς δέδωκάς μοι, ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας* (α). Τὸ γοῦν, *Οὐδένα ἐξ αὐτῶν ἀπώλεσα*, ταὐτόν ἐστι τῷ, *Οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο*. Οὐδεὶς γάρ, φησιν, ἐξ αὐτῶν ἀπώλετο παρ' ἐμὴν αἰτίαν, τουτέστιν, Οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα ἐξ ἐμῆς αἰτίας.

10 Σίμων οὖν Πέτρος, ἔχων μάχαιραν, εἵλκυσεν αὐτὴν,
καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ ἀπέκο-
ψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ
δούλῳ Μάλχος.

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καὶ περὶ τούτων ἐῤῥήθη, ἔνθα τό· *Καὶ ἰδοὺ, εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, ἀπέ-*

(α) Ἰωαν, ΙΖ', 12.

σπασε τὴν μάχαιραν αὐτοῦ (α). Προσέθηκε δὲ ὁ Ἰωάννης καὶ τὸ ὄνομα τοῦ πληγέντος, καὶ τὸ πληγὲν μέρος, διὰ τὸ περιφανὲς τοῦ πράγματος· οὐ μόνον, ὅτι ἐθεράπευσεν αὐτὸν ὁ Ἰησοῦς αὐτίκα, ὡς ἀπὸ τοῦ Λουκᾶ (β) μεμαθήκαμεν, ἀλλ' ὅτι καὶ (1) μέλλοντα μικρὸν ὕστερον (2) ῥαπίζειν αὐτὸν, ὡς ὁ Χρυσόστομος παρεσημειώσατο (3).

11 Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Βάλε τὴν μάχαι-
ράν σου εἰς τὴν θήκην· τὸ ποτήριον, ὃ δέδωκέ μοι
ὁ πατὴρ, οὐ μὴ πίω αὐτό;

Τὸ *ποτήριον*, τὸ τοῦ θανάτου, δηλονότι. Λέγει δὲ, ὅτι τὸν θάνατον, ὃν παρεχώρησεν ἐπενεχθῆναί μοι ὁ πατήρ· τοῦτο γὰρ δηλοῖ τὸ, *δέδωκεν*· οὐ μὴ δέξομαι; Πάνυ μὲν οὖν, ὡς τὰ αὐτὰ τῷ πατρὶ βουλόμενος. Ἐν τῷ εἰρημένῳ δὲ κεφαλαίῳ καὶ περὶ τούτων διελάβομεν ἐφεξῆς.

12 Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται
τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν
13 αὐτὸν· καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον·
ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς
τοῦ ἐνιαυτοῦ ἐκείνου.

Ὑπὸ τῆς ἡδονῆς ἐνεπόμπευον τῷ πράγματι, ὡς τρόπαιον στήσαντες· καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον, ὡς ἴσα πατρὶ τιμώμενον ὑπὸ τοῦ Καϊάφα, τοῦ τηνικαῦτα ἀρχιερέως, διὰ τὸ κῆδος. Ζήτησον ἐν τῷ μνημονευθέντι κεφαλαίῳ τό· *Οἱ δὲ, κρατήσαντες τὸν Ἰησοῦν, ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα* (γ)· καὶ ἀνάγνωθι τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν.

14 Ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις,
ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ
λαοῦ.

Ἵνα μὴ, ἀκούσας ὁ ἀκροατὴς δεσμὰ, θορυβηθῇ, ἀναμιμνήσκει

(α) Ματθ. ΚϚ', 51. (β) Λουκ. ΚΒ', 51. (1) Ἐκ τοῦ προηγουμένου δύναται νὰ νοηθῇ καὶ ἐνταῦθα τὸ, ἐθεράπευσεν. (2) Ἀναφέρεται εἰς τὸν στίχον 22. (3) Τομ. Η. Σελ. 491. Β. (γ) Ματθ. ΚϚ', 57.

τοῦτον τῆς προφητείας τοῦ Καϊάφα, δηλῶν, ὅτι ἐπὶ συμφέροντι τοῦ λαοῦ ἀπέθνησκεν, ἤγουν, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, ὡς ὁ Καϊάφας προεφήτευσεν.

15 Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος, καὶ ὁ
ἄλλος μαθητής·

Αὐτός ἐστιν, *ὁ ἄλλος μαθητής*. Ζήτησον ἐν τῷ τοιούτῳ κεφαλαίῳ τὴν ἐξήγησιν τοῦ· Ὁ *δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν, ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως* (α).

15 Ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ,
καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρ-
16 χιερέως. Ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω.

Ὅρα μετριοφροσύνην καὶ φιλαδελφίαν! Ἵνα γὰρ μήτε αὐτόν τις ἐπαινῇ συνεισελθόντα, μήτε τὸν Πέτρον ψέγῃ, μείναντα ἔξω, φησὶν, ὅτι αὐτῷ μὲν, ὡς γνωρίμῳ τοῦ ἀρχιερέως, παρεχωρήθη ἡ εἴσοδος· τῷ Πέτρῳ δὲ, ὡς μὴ γνωρίμῳ, ἀπεκλείσθη· καὶ ὅμως ἔτι παρέμενεν, ὃ καὶ μᾶλλον ἐγκώμιον τοῦ Πέτρου.

16 Ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος, ὃς ἦν γνωστὸς
τῷ ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν
17 Πέτρον. Λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέ-
τρῳ· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου
τούτου; Λέγει ἐκεῖνος· Οὐκ εἰμί.

Εὑρὲ ἐν τῷ αὐτῷ κεφαλαίῳ τό· *Καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος* (β)· καὶ ἀνάγνωθι τὰ ἐκεῖ ῥηθέντα, ἀναγκαιότατα τυγχάνοντα. Καὶ μὴν καὶ ἐν τῷ ἑξηκοστῷ ἕκτῳ τοῦ αὐτοῦ εὐαγγελιστοῦ τὴν ἐξήγησιν τοῦ· Ὁ *δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ. Καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη*, καὶ τὰ ἑξῆς (γ).

18 Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρα-
κιὰν πεποιηκότες, ὅτι ψύχος ἦν, καὶ ἐθερμαίνοντο·

(α) Ματθ. ΚϚ', 58. (β) Ματθ. ΚϚ', 58. (γ) Ματθ. ΚϚ', 69.

ἦν δὲ μετ᾽ αὐτῶν ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος.

Δείκνυσιν, ὅτι αὐτὸς μὲν κατὰ τὴν ἐνδοτέραν αὐλὴν συνὼν τῷ διδασκάλῳ, ἑώρα πάντα καὶ ἤκουεν· ὁ δὲ Πέτρος, κατὰ τὴν ἐξωτέραν ὢν, οὐδὲν τούτων ἐγίνωσκεν.

19 Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδαχῆς αὐτοῦ.

Περὶ τῶν μαθητῶν μὲν, ποῦ εἰσι, καὶ τίνος ἕνεκεν συνέλεξεν αὐτούς· περὶ τῆς διδαχῆς δὲ, τί διδάσκει, καὶ διὰ τί; Ταῦτα δὲ ἠρώτησεν, ἐλέγξαι βουλόμενος αὐτὸν νεωτεροποιὸν καὶ στασιαστὴν, ὡς παρασυναγωγὰς ποιοῦντα, καὶ καινὰ δογματίζοντα, καίτοι πολλάκις ἀκούσας αὐτοῦ διδάσκοντος.

20 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ·

Φανερῶς ἐδίδαξα τὸν λαὸν ἅπαντα, οὐ μόνον *τοὺς μαθητάς μου*.

20 Ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συναγωγῇ, καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντοτε οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν.

Οὐδὲν, οἷον ὑπολαμβάνεις, στασιῶδες καὶ ἀπαρέσκον Θεῷ. Τί οὖν; οὐχὶ καὶ κρυφίως πολλάκις ὡμίλησε τοῖς μαθηταῖς; Ναί· ἀλλ᾽ οὐδὲν τοιοῦτον, οἷον ὁ ἀρχιερεὺς ᾤετο.

21 Τί με ἐπερωτᾷς; ἐπερώτησον τοὺς ἀκηκοότας, τί ἐλάλησα αὐτοῖς· ἴδε, οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ.

Οὐκ αὐθαδιαζομένου τὰ ῥήματα, ἀλλὰ θαῤῥοῦντος τῇ ἀληθείᾳ τῶν διδαγμάτων. *Τὶ ἐμὲ ἐπερωτᾷς; ἐρώτησον τοὺς ἀκηκοότας*, μὴ τοὺς μαθητὰς, ἀλλὰ τοὺς ἄλλους, τοὺς μηδὲ πιστεύσαντας.

22 Ταῦτα δὲ αὐτοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν παρεστηκὼς ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ, εἰπών· Οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ;

Φρίξον οὐρανὲ, ἔκστηθι γῆ, τῇ τε τῶν δούλων ἀγνωμοσύνῃ

καὶ τῇ τοῦ δεσπότου μακροθυμίᾳ! Ὦ πάντολμε! τί αὔθαδες ἀπεκρίνατο; οὐχὶ μᾶλλον ἐτίμησε τὴν ἀρχιερωσύνην, μὴ ἐλέγξας τὸν ἀρχιερέα κακοήθως ἐρωτῶντα, περὶ ὧν οἶδε; Δυνάμενος οὖν σεῖσαι καὶ καταχῶσαι πάντας, ἢ καὶ τρόπον ἕτερον πικρῶς ἀπολέσαι, μακροθυμεῖ, καὶ φθέγγεται ῥήματα, πᾶσαν ἐκλύοντα θηριωδίαν, εἰ καὶ μὴ τὴν ἐκείνων.

23 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;

Μαρτύρησον περὶ τοῦ κακοῦ· τουτέστιν, Ἀπόδειξον τὸ κακῶς λαληθὲν, ἔλεγξον κακῶς λαλήσαντα.

Ζητοῦσι μὲν οὖν τινες, πῶς οὐκ ἔστρεψε καὶ τὴν ἄλλην σιαγόνα ὁ Χριστὸς τῷ ῥαπίσαντι, καθὼς τοῖς ἀποστόλοις ἐνετείλατο ποιεῖν, ἀλλὰ μᾶλλον ἠγανάκτησε; Λέγομεν δὲ ἡμεῖς, ὅτι καὶ ἡ ἐντολὴ ἐκείνη τὸ μὴ ἀμύνεσθαι εἰσηγήσατο, διὰ τὰς ἐντεῦθεν στάσεις· καὶ νῦν δὲ ὁ Χριστὸς οὐκ ἠμύνατο τὸν ῥαπίσαντα· μᾶλλον μὲν οὖν, μὴ παρωσάμενος αὐτὸν, μηδ᾽ ἀποπηδήσας, ἕτοιμος ἦν καὶ πρὸς ἑτέρας πληγάς· ἐδικαιολογήσατο δὲ, ἵνα μὴ σιωπήσας δόξῃ αὐθάδης, ὃ καὶ ᾐτιάθη.

24 Ἀπέστειλεν αὐτὸν ὁ Ἄννας δεδεμένον πρὸς Καϊάφαν
25 τὸν ἀρχιερέα. Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερ-
μαινόμενος. Εἶπον οὖν αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῶν μα-
θητῶν αὐτοῦ εἶ; Ἠρνήσατο οὖν ἐκεῖνος, καὶ εἶπεν·
26 Οὐκ εἰμί. Λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως,
συγγενὴς ὢν οὗ ἀπέκοψε Πέτρος τὸ ὠτίον· Οὐκ
27 ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ᾽ αὐτοῦ; Πάλιν οὖν
ἠρνήσατο ὁ Πέτρος·

Ἐν τῷ ἑξηκοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον ἠκριβολογήθη καὶ περὶ τούτων, ἔνθα κεῖται τό· *Καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος* (α).

27 Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε.

Ζήτησον ἐν τῷ ἑξηκοστῷ ἕκτῳ κεφαλαίῳ τοῦ ῥηθέντος εὐαγ-

(α) Ματθ. Κϛ΄, 58.

γελιστοῦ τό· *Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν* (α). Ἐκεῖ γὰρ ἐῤῥήθη περὶ τούτου σαφῶς.

28 Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ
πραιτώριον· ἦν δὲ πρωΐ· καὶ αὐτοὶ οὐκ εἰσῆλθον
εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φά-
γωσι τὸ πάσχα.

Ἐμνημονεύθησαν καὶ ταῦτα ἐν τῷ τέλει τοῦ δηλωθέντος κεφαλαίου, ὅπου τό· *Πρωΐας δὲ γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν* (β).

29 Ἐξῆλθεν οὖν ὁ Πιλάτος πρὸς αὐτοὺς, καὶ εἶπε· Τίνα
30 κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; Ἀπε-
κρίθησαν καὶ εἶπον αὐτῷ· Εἰ μὴ ἦν οὗτος κακοποιὸς,
31 οὐκ ἂν σοι παρεδώκαμεν αὐτόν. Εἶπεν οὖν αὐτοῖς
ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νό-
μον ὑμῶν κρίνατε αὐτόν.

Καὶ ταῦτα πάντα διηρμηνεύθησαν ἐκεῖ, ἐν τῷ ἐφεξῆς κεφαλαίῳ, ἔνθα τό· *Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος* (γ). Ἀνάγνωθι οὖν κἀκεῖνα. Ἀλλὰ πῶς, εἰπόντων, ὅτι κακοποιός ἐστι, σιγᾷ; Διότι οὐκ ἠρωτήθη περὶ τούτου· ἀνεξικακεῖ οὖν.

31 Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμῖν οὐκ ἔξεστιν ἀπο-
κτεῖναι οὐδένα.

Σταυρῷ δηλονότι. Τοῦτο γὰρ εἶπον, οὐ τοσοῦτον, ὡς κείμενοι ὑπὸ τὴν δεσποτείαν τῶν Ῥωμαίων, καὶ ἀφῃρημένοι τὴν οἰκείαν ἐξουσίαν, ὅσον ὡς βουλόμενοι σταυρῷ τὸν Χριστὸν ἀναιρεθῆναι, τῷ χαλεπωτάτῳ καὶ ἐπονειδίστῳ θανάτῳ, ὅπερ ὁ νόμος οὐκ ἐπέτρεπεν αὐτοῖς. Ὅτι γὰρ ἑτέρως ἀνῄρουν, δείκνυσιν ὁ Στέφανος λιθαζόμενος.

32 (Ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπε, σημαί-
νων, ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν.)

Τοῦτο εἶπον, *ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ*. Ἔμελλε γάρ,

(α) Ματθ. ΚϚ', 74. (β) Ματθ. ΚΖ', 1. (γ) Ματθ. ΚΖ', 11.

φησιν, ὁ λόγος αὐτοῦ πληρωθῆναι, ὃν εἶπε, λέγων· ὅτι *Ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν*· (α) ὡς καὶ ἐκεῖ ὁ εὐαγγελιστὴς παρεσημειώσατο περὶ τούτου, προσθείς· ὅτι *Τοῦτο ἔλεγε, σημαίνων, ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν*, τουτέστιν, αἰνιττόμενος τὸν σταυρόν.

33 Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλάτος,
καὶ ἐφώνησε τὸν Ἰησοῦν· καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ
34 βασιλεὺς τῶν Ἰουδαίων; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς·
Ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι σοι εἶπον
35 περὶ ἐμοῦ; Ἀπεκρίθη ὁ Πιλάτος· Μήτι ἐγὼ Ἰου-
δαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέ-
δωκάν σε ἐμοί·

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καθεξῆς εὑρήσεις καὶ περὶ τούτων, ἐν τῇ ἐξηγήσει τοῦ· *Καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν, λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων* (β);

36 Τί ἐποίησας; Ἀπεκρίθη Ἰησοῦς· Ἡ βασιλεία ἡ
ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ
κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται
ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰου-
δαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν.
37 Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος· Οὐκοῦν βασιλεὺς εἶ σύ;
Ἀπεκρίθη ὁ Ἰησοῦς· Σὺ λέγεις, ὅτι βασιλεύς εἰμι
ἐγώ.

Ἐκεῖ καὶ ταῦτα τετυχήκασιν ἐξηγήσεως ἀκολούθως.

37 Ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα
εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ.

Ἐρωτήσαντος ἐν ἀρχῇ τοῦ Πιλάτου· *Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων*; καὶ ἀποκριθέντος τοῦ Κυρίου, ὅτι *Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου*, καὶ βασιλέα ἐντεῦθεν ὑποφήναντος ἑαυτὸν, εἰ καὶ μὴ ἐπίγειον· πάλιν ἐπηρώτησεν ὁ Πιλάτος· *Οὐκοῦν βασιλεὺς εἶ σύ*; καὶ λοιπὸν προσαπεκρίθη,

(α) Ἰωαν. ΙΒ', 32. 33. (β) Ματθ. ΚΖ', 11.

ὅτι ἐστίν. Εἶτα βεϐαιῶν, ὅτι ἀληθεύει, φησί· *Διὰ τοῦτο γεγέννημαι*, διὰ τοῦτο ἐνηνθρώπησα, καὶ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα διδάξω τὴν ἀλήθειαν. Ὥσπερ οὖν ἀληθεύω τἄλλα, οὕτω δὴ καὶ τοῦτο.

Ἢ, *Εἰς τοῦτο γεγέννημαι*, ἀντὶ τοῦ, βασιλεὺς ὢν, εἰς τὸ βασιλεύειν ἐνηνθρώπησα, καὶ διὰ τοῦτο ἦλθον εἰς τὸν κόσμον, ἵνα διδάξω τὴν ἀλήθειαν, ὅτι, βασιλεὺς ὢν αΐδιος, ἐνηνθρώπησα εἰς τὸ βασιλεύειν τῶν πιστευόντων εἰς ἐμέ.

37 Πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς.

Πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ὁ φιλῶν τὴν ἀλήθειαν, πείθεταί μου τῷ λόγῳ, πιστεύει μου τῇ διδασκαλίᾳ.

38 Λέγει αὐτῷ ὁ Πιλάτος· Τί ἐστιν ἀλήθεια;

Μαθεῖν βουλόμενος, ἐρωτᾷ, *Τί ἐστιν ἀλήθεια, ἣ μαρτυρεῖς*, ἣν διδάσκεις; Γνοὺς δὲ, ὅτι καιροῦ δεῖται τὸ ἐρώτημα, πρὸς τὸ κατεπεῖγον ἵσταται· καὶ αὐτίκα ἐξελθὼν, σπουδάζει τοῦτον ἐξελέσθαι τῆς τῶν Ἰουδαίων ὁρμῆς. Ὅρα γάρ·

38 Καὶ τοῦτο εἰπὼν, πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαί-
ους, καὶ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω
ἐν αὐτῷ.

Ἐν τῷ προδηλωθέντι κεφαλαίῳ πάλιν ἀνάγνωθι τὴν ἐξήγησιν τοῦ· *Καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν*, λέγων· *Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων* (α); ἐν ᾗ καὶ ῥητὰ τοῦ Λουκᾶ ἐμνημονεύθησαν, ἀφ' ὧν καὶ τὸ παρὸν διαγινώσκεται.

39 Ἔστι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν
τῷ πάσχα· βούλεσθε οὖν, ὑμῖν ἀπολύσω τὸν βασι-
λέα τῶν Ἰουδαίων;

Ζήτησον ἐν αὐτῷ τό· *Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον* (β). Ἐκεῖ γὰρ ἐῤῥήθη καὶ περὶ τούτου.

(α) Ματθ. ΚΖ', 11. (β) Ματθ. ΚΖ', 15.

40 Ἐκραύγασαν οὖν πάλιν πάντες, λέγοντες· Μὴ τοῦ-
τον, ἀλλὰ τὸν Βαραϐϐᾶν· ἦν δὲ ὁ Βαραϐϐᾶς λῃστής.

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ φησὶν ὁ Ματθαῖος· *Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσι* (γ)· καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτοῦ.

ΚΕΦ. XIX, 1 Τότε οὖν ἔλαϐεν ὁ Πιλάτος τὸν Ἰησοῦν,
2 καὶ ἐμαστίγωσε. Καὶ οἱ στρατιῶται, πλέξαντες στέ-
φανον ἐξ ἀκανθῶν, ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ
3 ἱμάτιον πορφυροῦν περιέϐαλον αὐτόν· καὶ ἔλεγον·
Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐδίδουν αὐτῷ
ῥαπίσματα.

Ἐν τῷ τοιούτῳ κεφαλαίῳ καθεξῆς καὶ ταῦτα πάντα σαφῆ γεγόνασι κατὰ λόγον. Ἐν ἐπιτομῇ δὲ καὶ ταῦτα διέξεισιν ὁ Ἰωάννης, ὡς τοῖς ἄλλοις ἱστορηθέντα, σπεύδων ἀπαγγεῖλαι κἀνταῦθα τὰ παραλελειμμένα. Καὶ διὰ τί ὅλως μνημονεύει τῶν μνημονευθέντων τοῖς ἄλλοις; Διότι οὐκ ἂν ἑτέρως ἔμελλεν ἁρμοδίως ἱστορῆσαι τὰ ἀνιστόρητα.

4 Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐ-
τοῖς· Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω,

Ἔξω τοῦ πραιτωρίου. Τὸ δὲ, *Ἴδε*, ἀντὶ τοῦ, Ἰδού.

4 Ἵνα γνῶτε, ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω.

Τοῦτο λέγει, τῆς γνώμης αὐτῶν ἀποπειρώμενος.

5 (Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθι-
νον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον.)

Ἐξήγαγεν αὐτὸν περιϐεϐλημένον τὴν στολὴν τῆς χλεύης, ἵνα ἐν ἀτιμίᾳ τοσαύτῃ τοῦτον ἰδόντες, κορεσθῶσι καὶ δυσωπηθῶσι.

5 Καὶ λέγει αὐτοῖς· Ἴδε, ὁ ἄνθρωπος!

Ὁ *ἄνθρωπος*, εἶπεν, ὑπὸ συμπαθείας, ἵνα καὶ αὐτοὶ συμπαθήσωσιν.

(γ) Ματθ. ΚΖ', 20.

6 Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν, λέγοντες· Σταύρωσον, σταύρωσον αὐτόν.

Ὡς ἀνήμεροι κύνες, ἰδόντες μόνον (1), ἐμμανῶς καθυλάκτησαν· ὡς ἄγριοι θῆρες, αἰσθόμενοι τοῦ θηράματος, ὀξέως ἐπέδραμον· τῷ φθόνῳ γὰρ μεθύσαντες, εἰς τὸν κατ' αὐτοῦ φόνον ἐξεβακχεύθησαν.

6 Λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν.

Ὑμεῖς, φησίν, οἱ ἄδικοι. Παραχωρεῖ δὲ τούτοις τῆς ἐξουσίας, δυσανασχετῶν ἐπὶ τῇ βίᾳ καὶ ἀναισχυντίᾳ αὐτῶν.

7 Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν θεοῦ ἐποίησεν.

Γνήσιον δηλονότι. Ἀποτριβόμενοι δὲ τὴν ἀδικίαν, τοῦτο εἶπον. Πάλιν οὖν ἐφ' ἑτέραν μετεπήδησαν κατηγορίαν, ὑπ' ἀπορίας. Τί οὖν ὁ Χριστός; Τοιαῦτα κατηγορούντων, ἐσιώπα, πληρῶν τὸ προφητικόν· ὅτι *Οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ* (α).

8 Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη.

Μήποτε τῇ ἀληθείᾳ θεός ἐστι (1), καὶ ἐξολοθρεύσῃ τοῦτον, οὕτως ὑβριζόμενος παρ' αὐτῷ (2).

9 Καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ;

Οὐκέτι ἐρωτᾷ, Τί ἐποίησας, ἀλλά, *Πόθεν εἶ σύ;* ἐξ οὐρανοῦ ἢ ἐκ γῆς;

9 Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ.

Διότι, ὅπερ ἐζήτει μαθεῖν, ἔμαθεν, ὅτε ἤκουσεν, ὅτι *Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου* (α). Καὶ ὥσπερ

(1) αὐτόν. (α) Ἠσ. ΝΓ', 7. (1) Προτιμότερον τό, ἦ.
(2) Ἴσως, παρ' αὐτοῦ. (α) Ἰαν. ΙΗ, 36.

τότε μαλακῶς ἀντιποιούμενος (1), οὐδὲν ὠφέλησεν· οὕτως οὐδὲ νῦν ἔμελλεν ὠφελήσειν, ἄνανδρος ὢν καὶ ψοφοδεής.

10 Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας, ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε;

Καὶ φοβεῖται καὶ φοβεῖ. Παροξυνθεὶς γάρ, διότι οὐδὲ αὐτῷ τῷ θάλποντι αὐτὸν ἀπεκρίθη, λοιπὸν ἐπέσεισε τὴν ἐξουσίαν. Ἀλλ', ὦ ἀνόητε! Εἰ ἐξουσίαν ἔχεις ἀπολῦσαι αὐτόν, πῶς οὐκ ἀπολύεις, εἰδὼς ἀναίτιον, καὶ διαφόρως τοῦτο προσμαρτυρῶν αὐτῷ;

11 Ἀπεκρίθη Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν·

Ἀπεκρίθη, κατασπῶν τὴν ἀπὸ τῆς ἐξουσίας ὀφρῦν αὐτοῦ, καί φησιν· *Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι συγκεχωρημένον ἐκ θεοῦ*· δηλῶν, κατ' οἰκονομίαν τινὰ θειοτέραν πάσχειν. Ἵνα δὲ μή, ἀκούσας τοῦτο, νομίσῃ ἀπηλλάχθαι ἐγκλήματος, ἐπήγαγεν·

11 Διὰ τοῦτο ὁ παραδιδούς με σοί, μείζονα ἁμαρτίαν ἔχει.

Διότι ἐξουσίαν ἔχεις, καὶ οὐκ ἀπολύεις με, οὐκ ἀπολέλυσαι ἁμαρτίας, εἰ καὶ ἐλάττονος τῆς τῶν παραδόντων μέ σοι· καὶ γὰρ οὗτοι μὲν μιαιφόνοι, σὺ δέ, ἁπαλὸς καὶ εὐρίπιστος.

12 Ἐκ τούτου ἐζήτει ὁ Πιλάτος ἀπολῦσαι αὐτόν·

Καταπλαγεὶς τοὺς λόγους αὐτοῦ. Ἰουδαῖοι δέ, καὶ θεοπρεπῆ σημεῖα αὐτοῦ πολλὰ θεασάμενοι, μᾶλλον ἐμαίνοντο.

12 Οἱ δὲ Ἰουδαῖοι ἔκραζον, λέγοντες· Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι.

Ἰδόντες ἀνόνητον τὸν προβληθέντα νόμον, καὶ γνόντες, ὅτι

(1) Νόει τό, τοῦ Ἰησοῦ τοῖς Ἰουδαίοις. Ἢ ἁπλῶς, ἀντιποιούμενος, ἀντὶ τοῦ, ἐναντιούμενος τοῖς Ἰουδαίοις.

ζητεῖ ἀπολῦσαι αὐτὸν, πάλιν ἐπὶ τὴν κατηγορίαν τῆς τυραννίδος μεταχωροῦσιν, ὡς οὐ παροπτέαν τῷ Πιλάτῳ, διὰ τὸν ἀπὸ τοῦ Καίσαρος φόβον. *Οὐκ εἶ φίλος*, εἴτουν, εὔνους. *Ἀντιλέγει* δὲ, ἤτοι, ἀνταίρει.

Καὶ ποῦ οὗτος τυραννίδος ἑάλω; πόθεν ἔχετε δεῖξαι τοῦτο; ἀπὸ τῆς ἁλουργίδος; ἀπὸ τοῦ διαδήματος; ἀπὸ τοῦ ὀχήματος; ἀπὸ τῆς ἄλλης παρασκευῆς καὶ τῶν παρασήμων; Οὐ πάντα ἦν εὐτελὴς καὶ τροφὴν καὶ στολὴν καὶ οἴκησιν καὶ τὰ λοιπά; μετὰ δώδεκα μόνων περιερχόμενος μαθητῶν, καὶ τούτων οἰκτρῶν· τὰ πλείω δὲ μόνος.

13 Ὁ οὖν Πιλάτος, ἀκούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος, εἰς τόπον, λεγόμενον *Λιθόστρωτον*, Ἑβραϊστὶ δὲ Γαββαθᾶ·

Νομίσας προσκρούειν τῷ Καίσαρι, καὶ κινδυνεύειν, εἰ παρίδοι τὴν τοιαύτην κατηγορίαν ἀνεξέταστον, ἤγαγεν ἔξω τῆς πόλεως (1) τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ βήματος δημοσίᾳ, ἵνα πάντας ἔχοι μάρτυρας τῆς ἐξετάσεως.

14 (Ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη·)

Παρεσημειώσατο καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν, δεικνύων, ὅτι οὐ μόνον ἐν αὐτῇ τῇ ἡμέρᾳ τοῦ πάσχα, ἀλλὰ καὶ τῆς ἡμέρας ἤδη κλινούσης, καὶ ἐγγιζούσης τῇ ἑσπέρᾳ τῆς ἑορτῆς, ὅτε τὸ πάσχα ἔθυον, δικαστήριον θανατηφόρον συνεκρότουν, οἱ πρὸ βραχέος μιασμὸν ἡγησάμενοι τὸ ἐπιβῆναι τοῦ δικαστηρίου.

14 Καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε, ὁ βασιλεὺς ὑμῶν!

Ἀφεὶς ἐξετάσαι, πάλιν εἰς τὸ δυσωπῆσαι τούτους ἐτράπετο. *Ἴδε* γάρ, φησιν, *ὁ βασιλεὺς ὑμῶν*! ἰδού, ἕστηκεν ὁ (1) κατηγορούμενος, οὐκ ἀπολέλυται, μὴ δειλιᾶτε. Γνώριμον δὲ πάντως, ὅτι τὸ, *Ἴδε*, πολλάκις, ἀντὶ τοῦ, *Ἰδού*, τίθησιν ἡ Γραφή.

(1) Ὁ Ἐντένιος ἔχει, ἔξω τοῦ πραιτωρίου. Τὸ, πόλεως, δὲν ἔχει χώραν ἐνταῦθα· διότι μετὰ τὴν καταδίκην ἀπήχθη ὁ Χριστὸς ἔξω τῆς πόλεως· Ὅθεν δύναταί τις νὰ εἰκάσῃ, ἔξω τῆς πύλης, ἢ, τοῦ πυλῶνος τοῦ πραιτωρίου. (1) Προτιμότερον χωρὶς τοῦ ἄρθρου, ἤτοι, Ἰδοὺ, ἕστηκεν ὁ βασιλεὺς ὑμῶν κατηγορούμενος.

15 Οἱ δὲ ἐκραύγασαν· Ἆρον, ἆρον, σταύρωσον αὐτόν.

Ὢ μανίας ἀνυπερβλήτου!

15 Λέγει αὐτοῖς ὁ Πιλάτος· Τὸν βασιλέα ὑμῶν σταυρώσω;

Τοῦτο εἶπε, χλευάζων δῆθεν τὸν Χριστὸν, εἰς θεραπείαν τῆς τῶν Ἰουδαίων ἀπηνείας.

15 Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα.

Ἐπεὶ τὴν τοῦ Χριστοῦ βασιλείαν ἀπωσάμενοι, τὴν Καίσαρος ἐξουσίαν εἵλοντο, λοιπὸν, γυμνωθέντες τῆς θείας ἐπισκοπῆς, τοῖς Ῥωμαίοις παρεδόθησαν εἰς πανωλεθρίαν, κατ' αὐτὴν αὖθις τὴν ἡμέραν τοῦ πάσχα, καθ' ἣν ἐκραύγασαν τό· *Οὐκ ἔχομεν βασιλέα*, εἰ μὴ Καίσαρα.

16 Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ.

Ἡττηθεὶς τῆς ἐνστάσεως αὐτῶν. Τίσι δὲ τοῦτον παρέδωκε; Τοῖς Ἰουδαίοις, δηλονότι, καὶ τοῖς στρατιώταις.

16 Παρέλαβον δὲ τὸν Ἰησοῦν, καὶ ἤγαγον.

Ζήτησον εἰς τὸ ἑξηκοστὸν ἕβδομον κεφάλαιον τοῦ κατὰ Ματθαῖον τό· *Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ* (α), καὶ ἀνάγνωθι τὴν ἐξήγησιν.

17 Καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ, ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς λέγεται Ἑβραϊστὶ
18 Γολγοθᾶ· ὅπου αὐτὸν ἐσταύρωσαν,

Ἐκεῖ καὶ ταῦτα ἐν τοῖς ἐφεξῆς ἐμνημονεύθησαν καὶ ἐσαφηνί-

(α) Ματθ. ΚΖ', 31.

σθησαν. Ἔφερε δὲ τὸν σταυρὸν ἐπὶ τῶν ὤμων, οἷά τις ἀριστεὺς δόρυ, δι' οὗ καταβαλεῖν ἔμελλε τὸν ἐχθρόν.

18 Καὶ μετ' αὐτοῦ ἄλλους δύο, ἐντεῦθεν καὶ ἐντεῦθεν,
μέσον δὲ τὸν Ἰησοῦν.

Ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καὶ περὶ τῶν δύο τούτων ἐῤῥήθη σαφῶς, ἔνθα τό· *Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων* (α).

Οἱ μὲν οὖν Ἰουδαῖοι συσταυρῶσαι τοῦτον τοῖς κακούργοις ἐσπούδασαν, ἵνα τῇ κοινωνίᾳ τῆς πονηρίας, ἡ πονηρὰ ἐκείνων φήμη τὴν ἀγαθὴν τούτου συσκιάσῃ. Ἔλαμψε δὲ τοσοῦτον ἡ δόξα αὐτοῦ, ὅτι (1) καὶ τῶν τριῶν ὁμοῦ κρεμαμένων, ὅτε τὰ φοβερὰ σημεῖα ἐγίνοντο, μόνῳ τούτῳ ταῦτα πάντες ἐπέγραφον· καὶ οὐ μόνον οὐ μετέσχε τῆς ἐκείνων ὑπολήψεως, ἀλλὰ καὶ μᾶλλον πρὸς τὴν εἰς αὐτὸν πίστιν τὸν ἕνα τούτων ἐπεσπάσατο, καὶ τὸ πᾶν τέχνασμα περιετράπη κατὰ τῆς κεφαλῆς τῶν Ἰουδαίων καὶ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου.

19 Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος, καὶ ἔθηκεν ἐπὶ
τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένον· ΙΗΣΟΥΣ Ο ΝΑ-
20 ΖΩΡΑΙΟΣ, Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ. Τοῦ-
τον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων·
ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως, ὅπου ἐσταυρώθη
ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστί, Ἑλλη-
21 νιστί, Ῥωμαϊστί. Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρ-
χιερεῖς τῶν Ἰουδαίων· Μὴ γράφε· Ὁ βασιλεὺς τῶν
Ἰουδαίων· ἀλλ' ὅτι ἐκεῖνος εἶπε· Βασιλεύς εἰμι τῶν
22 Ἰουδαίων. Ἀπεκρίθη ὁ Πιλάτος· Ὃ γέγραφα,
γέγραφα.

Ὁμοίως ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καὶ ταῦτα ὁμοῦ πάντα τῆς ἁρμοζούσης ἔτυχον ἑρμηνείας, ἔνθα τό· *Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων* (β).

(α) Ματθ. ΚΖ', 38. (1) Ὀρθότερον τό, ὥστε. (β) Ματθ. ΚΖ', 37.

23 Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν,
ἔλαβον τὰ ἱμάτια αὐτοῦ, (καὶ ἐποίησαν τέσσαρα
μέρη, ἑκάστῳ στρατιώτῃ μέρος,) καὶ τὸν χιτῶνα·
ἦν δὲ ὁ χιτὼν ἄῤῥαφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς
24 δι' ὅλου. Εἶπον οὖν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν
αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται. Ἵνα
ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα· « Διεμερίσαντο τὰ
ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου
ἔβαλον κλῆρον. »

Ἔτι καὶ ταῦτα, ἔνθα τό· *Σταυρώσαντες δὲ αὐτόν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον* (α)· καὶ ἀνελλιπῶς ἐκεῖ πάντα διηρμηνεύθησαν.

25 Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν. Εἱστήκεισαν
δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ
ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ,
καὶ Μαρία ἡ Μαγδαληνή.

Καὶ μὴν μονογενὴς ἦν ἡ Θεοτόκος· ἀλλ' ἐπεὶ Ἰωσὴφ καὶ Κλωπᾶς ἀδελφοί, ἔθος δὲ παρ' Ἑβραίοις καὶ τὰς τῶν ἀδελφῶν γυναῖκας ἀδελφὰς προσαγορεύεσθαι, διὰ τὴν τῶν ἀνδρῶν ἀδελφότητα, λοιπὸν τὴν σύννυμφον αὐτῆς, ἀδελφὴν ὠνόμασεν. Ἀλλ' Ἰωσὴφ μὲν καὶ Κλωπᾶς, οἱ ἄνδρες αὐτῶν, φύσει ἀδελφοί· αὗται δέ, αἱ τούτων γυναῖκες, ἀγχιστείᾳ ἀδελφαί. *Εἱστήκεισαν* δὲ *παρὰ τῷ σταυρῷ*, ἄδειαν εὑροῦσαι τηνικαῦτα. Πρῶτον γὰρ πᾶσαι αἱ μαθήτριαι ἀπὸ μακρόθεν ἐθεώρουν, ὡς οἱ ἄλλοι ἐδίδαξαν εὐαγγελισταί.

Ἀνάγνωθι ἐν τῷ αὐτῷ κεφαλαίῳ τὴν ἐξήγησιν τοῦ· *Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα* (β).

26 Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα, καὶ τὸν μαθητὴν
παρεστῶτα, ὃν ἠγάπα,

Τότε γὰρ καὶ αὐτὸς συμπαρέστη, τῶν ἐχθρῶν Ἰουδαίων ἤδη ἀναχωρούντων.

(α) Ματθ. ΚΖ', 35. (β) Ματθ. ΚΖ', 50.

26 Λέγει τῇ μητρὶ αὐτοῦ· Γύναι, ἴδε, ὁ υἱός σου.
27 Εἶτα λέγει τῷ μαθητῇ· Ἰδοὺ, ἡ μήτηρ σου.

Ἤδη ἀποθνήσκων παρατίθεται τὴν μητέρα τῷ μαθητῇ, τὴν ἠγαπημένην τῷ ἠγαπημένῳ, τὴν παρθένον τῷ παρθένῳ, παιδεύων ἡμᾶς φροντίζειν τῶν γονέων ἄχρις ἐσχάτης ἀναπνοῆς, ὅταν οὐ μόνον οὐκ ἐμποδίζωσιν εἰς ἀρετὴν, ἀλλὰ καὶ μᾶλλον συμφιλοσοφῶσιν ἡμῖν τὰ σωτήρια. Ὅτε μὲν γὰρ ἀκαίρως ἠνώχλει, ἔλεγε· *Τί ἐμοὶ καὶ σοὶ, γύναι* (α); καί· *Τίς ἐστιν ἡ μήτηρ μου* (β); νῦν δὲ πολλὴν ἐπιδείκνυται φιλοστοργίαν. *Ἴδε, ὁ υἱός σου*, τουτέστιν, οὗτος ἔσται σοι ἀντ' ἐμοῦ· *Ἰδοὺ, ἡ μήτηρ σου*, ἤγουν, σὺ ἔσῃ ταύτῃ ἀντ' ἐμοῦ, ὀφείλεις, ὡς μητρός σου, ταύτης φροντίζειν. Τῆς μὲν οὖν μητρὸς ἐφρόντισε· τὸν δὲ μαθητὴν ἐτίμησε τιμὴν τὴν μεγίστην, καὶ τῆς παραμονῆς τοῦτο μισθὸν τέως δέδωκε.

Διὰ τί δὲ μὴ καὶ τῆς ἄλλης ἐφρόντισε γυναικός; Ὅτι ἐκείνη μὲν εἶχε κηδεμόνα, ἡ δὲ μήτηρ οὐδένα, καὶ ἵνα γνῶμεν, ὅτι χρὴ τοὺς τοιούτους γεννήτορας προτιμᾷν τῶν ἄλλων, ἀνθ' ὧν ἔτεκον, ἀνθ' ὧν ἀνέθρεψαν, ἀνθ' ὧν μυρία δεινὰ πεπόνθασι.

Σκόπει δὲ, πῶς πρὸ μὲν τοῦ πάθους ἠγωνία, νῦν δὲ ἀταράχως διαλέγεται; Ἐκεῖ μὲν γὰρ ἡ τῆς φύσεως ἀσθένεια, ἐνταῦθα δὲ ἡ τῆς ὑπομονῆς περιουσία φαίνεται. Ὥσπερ γὰρ τὴν ἐπιθυμίαν τῆς μίξεως τῶν σωμάτων, καίτοι σφοδρὰν ἡμῖν ἐνσπαρεῖσαν πρὸς διαδοχὴν τοῦ γένους, φιλοσοφοῦντες μαραίνομεν· οὕτω καὶ τὴν ἐπιθυμίαν τῆς ζωῆς, καίτοι πολλὴν ἡμῖν ἐντεθεῖσαν πρὸς τὸ μὴ ἀναιρεῖν ἑαυτοὺς, φιλοσοφοῦντες ἀμβλύνομεν· καὶ λοιπὸν ὁ ἐκ φιλοζωΐας τάραχος, ὑπὸ φιλοσοφίας καταστέλλεται, καὶ οὕτω προσγίνεται τὸ περιγίνεσθαι τῶν δεινῶν.

Οὐδὲν δὲ πλεῖον ἐπέσκηψε, τοῦτο μὲν, διὰ τὸ στενὸν τοῦ καιροῦ, τοῦτο δὲ, καὶ διὰ τὸ βιωτικὸν μὲν μηδὲν ἔχειν, περὶ δὲ τῶν πνευματικῶν προεντείλασθαι κοινῇ πᾶσιν.

(α) Ἰωάν. Β', 4. (β) Ματθ. ΙΒ', 48.

27 Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν αὐτὴν ὁ μαθητὴς εἰς τὰ ἴδια.

Κατὰ τὴν ἐντολὴν τοῦ διδασκάλου.

28 Μετὰ τοῦτο, εἰδὼς ὁ Ἰησοῦς, ὅτι πάντα ἤδη τετέλεσται,

Πάντα τἆλλα, τὰ τῆς οἰκονομίας.

28 Ἵνα τελειωθῇ ἡ γραφὴ, λέγει· Διψῶ. Σκεῦος οὖν
29 ἔκειτο ὄξους μεστόν· οἱ δὲ, πλήσαντες σπόγγον ὄξους, καὶ ὑσσώπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι.

Τοῦτο γὰρ μόνον ἔτι ἐνέλειπε. *Γραφὴν* δὲ λέγει, τὴν δαυϊτικὴν, τό· *Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος* (α).

Ζήτησον δὲ ἐν τῷ προδιαληφθέντι κεφαλαίῳ τό· *Ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον* (β)· καὶ ἀνάγνωθι τὰ ῥηθέντα ἐκεῖ. *Ὑσσώπῳ δὲ περιθέντες*, εἶπουν, ὑσσώπου καλάμῳ, προχείρως εὑρεθέντι, διὰ τὸ ὕψος τοῦ σταυροῦ. Ἐνέπαιζον δὲ αὐτῷ, προσφέροντες ὄξος.

30 Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε· Τετέλεσται!

Ἀπήρτισται, οὐδὲν ἐλλείπει.

30 Καὶ κλίνας τὴν κεφαλὴν, παρέδωκε τὸ πνεῦμα.

Οὐκ, ἐπειδὴ ἐξέπνευσεν, ἔκλινε τὴν κεφαλὴν, ὅπερ ἐφ' ἡμῶν γίνεται, ἀλλ' ἐπειδὴ ἔκλινε τὴν κεφαλὴν, ἐξέπνευσεν, ἵνα μάθωμεν, ὅτι, ὅτε ἠθέλησε, τότε ἀπέθανεν. Ὅτε πάντα ἐτελέσθησαν, τότε παρέδωκε τὸ πνεῦμα εἰς χεῖρας τοῦ πατρὸς, ὡς ἐδήλωσεν ὁ Λουκᾶς (α) ἐν τῷ ὀγδοηκοστῷ πρώτῳ κεφαλαίῳ, καὶ ἀνάγνωθι ἐν αὐτῷ τὴν ἑρμηνείαν τοῦ· Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς, εἶπε· Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου.

(α) Ψαλμ. ΞΗ', 22. (β) Ματθ. ΚΖ', 34. (α) Λουκ. ΚΓ', 46.

31 Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ
σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν· (ἦν
γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου·)

Ἐπὶ τοῦ σταυροῦ ἑκάστου. Ἐπεὶ γὰρ παρασκευὴ ἦν, εἰ μὴ τότε ἤρθησαν, ἔμελλον μένειν ἐπὶ τοῦ σταυροῦ καὶ ἐν τῷ σαββάτῳ, καὶ ἔμελλεν ἐπιφθάσαι αὐτὰ κρεμάμενα ἐκεῖνο τὸ σάββατον, καὶ ἐδόκει ἐντεῦθεν ἀτιμάζεσθαι.

Μεγάλην δὲ τὴν ἡμέραν ἐκείνου τοῦ σαββάτου φησὶν, ὅτι οὐ μόνον εἶχε τὸ τίμιον, ὡς σάββατον, ἀλλὰ καὶ, ὡς ἑορτῆς ἐν αὐτῷ λαχούσης, τῆς τῶν ἀζύμων· ἦν γὰρ διπλῆ ἑορτή. Τὰ τοιαῦτα δὲ σάββατα ὠνόμαζον σάββατα σαββάτων, οἷον, τίμια τιμίων, ἑορτὰς ἑορτῶν, διὰ τὸ διπλοῦν τῆς ἑορτῆς, ὡς εἴρηται.

[Ἄλλως τε (1), καὶ τὸ Δευτερονόμιον (6) ἐθέσπιζε περὶ τοῦ σταυρωθέντος, ὅτι Οὐκ ἐπικοιμηθήσεται τὸ σῶμα αὐτοῦ ἐπὶ τοῦ ξύλου, ἀλλὰ ταφῇ θάψετε αὐτὸν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.]

31 Ἠρώτησαν τὸν Πιλάτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ
σκέλη, καὶ ἀρθῶσιν.

Παρεκάλεσαν, ᾐτήσαντο, ἵνα θλασθῶσιν αὐτῶν τὰ σκέλη, πρὸς τὸ θᾶττον ἀποθανεῖν.

32 Ἦλθον οὖν οἱ στρατιῶται,

Οἱ τοῦτο κελευσθέντες παρὰ τοῦ Πιλάτου.

32 Καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη,

Τοῦ ἐν δεξιᾷ τοῦ Χριστοῦ σταυρωθέντος.

32 Καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ.

Τῷ Χριστῷ δηλονότι.

33 Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη
τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη·

Τελευταῖον ἦλθον ἐπ' αὐτὸν, ἐνυβρίσαι πλέον βουλόμενοι, πρὸς χάριν τῶν Ἰουδαίων.

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.
(6) Δευτερ. ΚΑ, 23.

34 Ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν
ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

Ὑπερφυὲς τὸ πρᾶγμα, καὶ τρανῶς διδάσκον, ὅτι ὑπὲρ ἄνθρωπον ὁ νυγείς. Ἐκ νεκροῦ γὰρ ἀνθρώπου, κἂν μυριάκις νύξῃ τις, οὐκ ἐξελεύσεται αἷμα. Νύττεται μὲν οὖν λόγχῃ τὴν πλευρὰν ὁ Σωτὴρ, διὰ τὴν νυγεῖσαν τῇ ἁμαρτίᾳ πλευρὰν τοῦ Ἀδὰμ, ἤγουν, τὴν Εὔαν, τῇ πληγῇ τῆς πλευρᾶς τὴν πληγὴν τῆς πλευρᾶς ἰώμενος. Βλύζει δε αἷμα καὶ ὕδωρ, δύο βαπτίσματα καινουργῶν, τὸ δἰ αἵματος, μαρτυρίου, καὶ τὸ δἰ ὕδατος, ἀναγεννήσεως· καὶ τῇ ῥοῇ τούτων τὴν ῥοὴν τῆς ἁμαρτίας κατακλύζει.

Καὶ ἑτέρως δὲ, δύο πηγάζει κρουνούς· τῷ ὕδατι μὲν καθαίρων τὴν ἐκκλησίαν· τῷ αἵματι δὲ τρέφων αὐτήν. Δἰ ὕδατος μὲν γὰρ ἀναγεννώμεθα, δἰ αἵματος δὲ καὶ σαρκὸς τρεφόμεθα, τῶν θείων καὶ μυστικῶν. Λοιπὸν οὖν, ὅταν προσέρχῃ τῷ φρικτῷ ποτηρίῳ, πέπεισο, ὅτι ἀπ' αὐτῆς μέλλεις πίνειν τῆς δεσποτικῆς πλευρᾶς, καὶ οὕτω διάκεισο. Εἶτα θέλων βεβαιῶσαι τὸ τοιοῦτον θαῦμα, φησί·

35 Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε,

Ὁ ταῦτα θεασάμενος, ταῦτα γέγραφεν, οὐ παρ' ἑτέρου τινὸς ἀκούσας.

35 Καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ·

Ὡς ἰδόντος τὰ, περὶ ὧν μαρτυρεῖ, καὶ ὡς προηγουμένως περὶ ὕβρεως τοῦ διδασκάλου γράφοντος· ὕβρις γὰρ ἡ νύξις τῆς πλευρᾶς αὐτοῦ, εἰ καὶ θαῦμα ταύτῃ ἐπηκολούθησε.

35 Κἀκεῖνος οἶδεν, ὅτι ἀληθῆ λέγει,

Ἀκριβῶς τοῦτο οἶδεν, οἷα παρὼν τότε, καὶ ὁρῶν, εἰ καὶ Ἰουδαῖοι ψεύδεσθαι αὐτὸν ἐνίστανται.

35 Ἵνα καὶ ὑμεῖς πιστεύσητε.

Ἀλλὰ ταῦτα γέγραφεν, ἵνα ὑμεῖς, οἱ πιστοὶ, πιστεύσητε καὶ περὶ τούτου.

36 Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ·

Η γεγραμμένη ἐν τῷ μωσαϊκῷ νόμῳ, καὶ λέγουσα·

36 «Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ.»

Εἰ γὰρ καὶ περὶ τοῦ τυπικοῦ ἀμνοῦ ἐδόκει γεγράφθαι (α), ἀλλὰ περὶ τοῦ ἀληθινοῦ ἐγέγραπτο, προδηλοῦσα τὸ γεγενημένον νῦν.

37 Καὶ πάλιν ἑτέρα γραφὴ λέγει·

Προφητική.

[Εἰκὸς (1) δὲ τουτὶ τὸ ῥητὸν ἐκβληθῆναι παρ' Ἰουδαίων μετὰ τὸ εὐαγγέλιον· οὐδαμοῦ γὰρ εὑρίσκεται νῦν· ἢ *ἑτέραν γραφὴν* λέγει, τῶν λεγομένων ἀποκρύφων βίβλων.]

37 «Ὄψονται εἰς ὃν ἐξεκέντησαν.»

Ὄψονται αὐτὸν, ἐξ οὐρανοῦ κατερχόμενον, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Ὄψονται γάρ, φησι, τὸν υἱὸν τοῦ *ἀνθρώπου, ἐρχόμενον* ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δυνάμεως καὶ δόξης πολλῆς (β)

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῆς αἰτήσεως τοῦ κυριακοῦ σώματος.

38 Μετὰ ταῦτα ἠρώτησε τὸν Πιλάτον Ἰωσὴφ, ὁ
ἀπὸ Ἀριμαθαίας, (ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων,) ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ·

Ηρώτησε· παρεκάλεσεν. Ἀνάγνωθι τὰ ἐξηγηθέντα ἐν τῷ τέλει τοῦ προμνημονευθέντος ἑξηκοστοῦ ἑβδόμου κεφαλαίου, ἔνθα τό· Ὀψίας δὲ γενομένης, ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, ὀνόματι Ἰωσήφ (γ).

(α) Ἐξοδ. ΙΒ', 46. Ἀριθ. Θ', 12. (1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ. — Οἱ ἑρμηνευταὶ ἀναφέρονται περὶ τοῦ ῥητοῦ τούτου εἰς Ζαχαρ. ΙΒ', 10. (β) Ματθ. ΚΔ', 30. (γ) Ματθ. ΚΖ', 57.

38 Καὶ ἐπέτρεψεν ὁ Πιλάτος. Ἦλθεν οὖν καὶ ἦρε τὸ
39 σῶμα τοῦ Ἰησοῦ. Ἦλθε δὲ καὶ Νικόδημος, (ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον,) φέρων
40 μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν. Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἔδησαν αὐτὸ ἐν ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν.

Ἐν τῷ ἑξηκοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον καθεξῆς καὶ περὶ τούτων πάντων εὑρήσεις. Πότε δὲ ὁ Νικόδημος ἦλθε πρὸς τὸν Χριστὸν νυκτὸς, εἴρηται ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ παρόντος εὐαγγελιστοῦ.

[Μιμησώμεθα (1) τὸν εὐσχήμονα βουλευτὴν, εὐσχημόνως βουλευόμενοι περὶ τῆς μεταλήψεως τοῦ δεσποτικοῦ σώματος, καὶ μυρίζοντες φιλοτίμως ταῖς ἀπὸ τῶν ἀρετῶν εὐωδίαις, καὶ καθαρᾷ σινδόνι συνειδήσεως ἑλίσσοντες αὐτὸ, καὶ καινῷ μνήματι καρδίας καὶ πάσης ἀκαθαρσίας ἀπηλλαγμένῳ ἐναποτιθέμενοι.]

41 Ἦν δὲ ἐν τῷ τόπῳ, ὅπου ἐσταυρώθη, κῆπος, καὶ
ἐν τῷ κήπῳ μνημεῖον καινὸν, ἐν ᾧ οὐδέπω οὐδεὶς
42 ἐτέθη. Ἐκεῖ οὖν, διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων,
ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

Ἐν τῷ ῥηθέντι κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον καὶ περὶ τούτου ἱστόρηται. Ἐβούλοντο μὲν οὖν ἐν ἑτέρῳ ἀξιολογωτέρῳ μνημείῳ τοῦτον θεῖναι, ποῤῥωτέρω τῆς πόλεως· διὰ δὲ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ἤγουν, τὴν παρατετηρημένην πρὸς ἑσπέραν τοῖς Ἰουδαίοις, ὅτε οὐκ ἦν θέμις ἢ ποῤῥωτέρω βαδίζειν, ἢ ἔτι ἐργάζεσθαι· καὶ μᾶλλον, ὅτι καὶ τὸ πάσχα τότε κατέλαβεν· εἰς τὸ πλησιάζον ἔθηκαν αὐτὸν, τῆς θείας προνοίας οὕτως οἰκονομησάσης, ἵνα καὶ αἱ μαθήτριαι θεωρήσωσι, ποῦ τίθεται, καὶ οἱ μαθηταὶ δύνωνται ἀπέρχεσθαι, διὰ τὴν

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

ἐγγύτητα, καὶ θεαθῶσι τὰ μετὰ τοῦτο τερατουργηθέντα ἐκεῖ παράδοξα.

ΚΕΦ ΧΧ, 1 Τῇ δὲ μιᾷ τῶν σαββάτων,

Ἐν τῷ λεχθέντι κεφαλαίῳ, ἔνθα κεῖται τό· *Ὀψὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων* (α)· ἀνάγνωθι τὰ ἐξηγηθέντα.

1 **Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης,**
εἰς τὸ μνημεῖον· καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ
2 **τοῦ μνημείου. Τρέχει οὖν, καὶ ἔρχεται πρὸς Σίμωνα**
Πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητὴν, ὃν ἐφίλει ὁ
Ἰησοῦς, καὶ λέγει αὐτοῖς· Ἦραν τὸν Κύριον ἐκ τοῦ
μνημείου, καὶ οὐκ οἴδαμεν, ποῦ ἔθηκαν αὐτόν.

Κἀνταῦθα τὰ μὲν περὶ τῶν ἄλλων γυναικῶν παρέδραμεν, ὡς προϊστορηθέντα τοῖς ἄλλοις· τὰ δὲ κατὰ τὴν Μαγδαληνὴν ἐκτίθεται, ὡς ἐκείνοις σεσιωπημένα. Λοιπὸν οὖν ἀνάγνωθι ἐν τῷ εἰρημένῳ κεφαλαίῳ, ἀπὸ τοῦ· *Ὀψὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων*, ἄχρι τοῦ· *Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν* (β)· καὶ εὑρήσεις πάντα κατὰ λόγον ἡρμηνευμένα, καὶ ἁρμονίαν μίαν τῶν τεσσάρων εὐαγγελιστῶν, καὶ σῶμα τῆς ἱστορίας ἕν.

Τῷ Πέτρῳ δὲ καὶ τῷ Ἰωάννῃ διαλέγεται ἡ Μαγδαληνή· τῷ μὲν, ὡς κορυφαίῳ· τῷ δὲ, ὡς ἠγαπημένῳ, καὶ ὡς πλεῖον τῶν ἄλλων ἀγαπῶσι τὸν Κύριον· καὶ γὰρ μόνοι τούτῳ ἠκολούθησαν, ἀπαγομένῳ δεσμίῳ πρὸς Ἄνναν καὶ Καϊάφαν.

3 **Ἐξῆλθεν οὖν ὁ Πέτρος, καὶ ὁ ἄλλος μαθητὴς, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον.**

Μηδενὶ μὲν τῶν ἄλλων μηδὲν εἰπόντες, καταφρονήσαντες δὲ καὶ τῶν Ἰουδαίων, καὶ τῶν φυλάκων, ὑπὸ θερμότητος.

4 **Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ·**

Τῇ ὁμοίᾳ θερμότητι ἁμιλλώμενοι.

(α) Ματθ. ΚΗ', 1. (β) Ματθ. ΚΗ', 1. Ματθ. ΚΗ', 16.

4 **Καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον.**

Ὡς ἀκμαιότερος τὸν τόνον τοῦ σώματος.

5 **Καὶ παρακύψας, βλέπει κείμενα τὰ ὀθόνια·**

Τὰ ἐντάφια, τὴν σινδόνα.

5 **Οὐ μέντοι εἰσῆλθεν.**

Φρίξας, ἢ ἀρκεσθείς.

6 **Ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον·**

Μὴ δειλιάσας, ἵνα τὸ τῆς προτέρας δειλίας ἀποτρίψηται ἔγκλημα, ἢ ἀκριβέστερον ἐρευνῆσαι βουλόμενος. Ἐνίκησαν οὖν ἀλλήλους ἄμφω, Ἰωάννης μὲν, τῷ προδραμεῖν· Πέτρος δὲ, τῷ εἰσελθεῖν εἰς τὸ μνημεῖον.

Ζήτησον καὶ ἐν τῷ ὀγδοηκοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ κατὰ Λουκᾶν τό· *Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον* (α), καὶ ἀνάγνωθι τὰ ἐξηγηθέντα εἰς τό· *Θαυμάζων τὸ γεγονὸς* (β), πάνυ ἀναγκαῖα ὄντα πρὸς τὰ παρόντα.

7 **Καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον.**

Ἃ καὶ ἄμφω σημεῖα ἦσαν τῆς ἀναστάσεως ἀναντίῤῥητα. Οὔτε γὰρ, εἰ μετέθηκέ τις αὐτὸν, ἐγύμνωσεν ἂν, οὔτε, εἰ ἔκλεψεν, ἐφρόντισεν ἂν, ὥστε καὶ τὸ σουδάριον ἐπιμελῶς ἐντυλίξαι, καὶ θεῖναι εἰς ἕνα τόπον, ἤγουν, εἰς ἕτερον παρὰ τὸν τῶν ὀθονίων· ἀλλ' οὕτως, ὡς εἶχε, τὸ σῶμα μετέθηκεν ἂν, ἢ ἔκλεψε, δεδιὼς τοσοῦτον ἀναλῶσαι καιρὸν εἰς πρᾶγμα περιττὸν, μήποτε κατάφωρος γένηται, καὶ τὴν ἐσχάτην ὑφέξῃ δίκην.

Ἄλλως τε, καὶ τῆς σμύρνης κολλωδεστάτης οὔσης, μεθ' ἧς

(α) Λουκ. ΚΔ', 12. (β) Λουκ. ΚΔ', 12.

ἦν ἐντεταφιασμένος; καὶ τὴν σινδόνα προσκολλώσης αὐτῷ λίαν συμφυῶς καὶ ἀναποσπάστως. Διὰ τοῦτο γοῦν ταῦτα χωρὶς ἀλλήλων ἔκειντο, καὶ τὸ σουδάριον ἐνετετύλικτο, ἵνα μάθωμεν, ὅτι κατ' ἐξουσίαν ἀνέστη, καὶ πᾶσαν ἄδειαν. Τὸ *σουδάριον* δὲ ἦν φακιόλιόν τι μικρὸν, οἵῳ καὶ ὁ τεθνηκὼς Λάζαρος τὴν ὄψιν περιεδέδετο.

8 Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς, ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον,

Κληθεὶς παρὰ τοῦ Πέτρου.

8 Καὶ εἶδε, καὶ ἐπίστευσεν.

Θεασάμενος σημεῖα τῆς ἀναστάσεως ἀναμφίβολα.

9 Οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι.

Απολογεῖται, πῶς οὐκ ἐπίστευσαν πρότερον ταῖς γυναιξὶν, εὐαγγελισαμέναις αὐτοῖς τὴν ἀνάστασιν· ἀλλ' ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν (α)· ἀλλ' οὐδὲ τοῖς πορευομένοις εἰς ἀγρὸν δυσὶν ἐξ αὐτῶν (β)· καὶ φησὶν, ὅτι οὔπω ἐνόουν τὴν γραφὴν, τὴν περὶ τῆς ἀναστάσεως αὐτοῦ διδάσκουσαν· διάφορος δὲ αὕτη, ἐν διαφόροις ψαλμοῖς δαυϊτικοῖς καὶ λόγοις προφητικοῖς κατεσπαρμένη.

10 Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί.

Πρὸς τὴν ἑαυτῶν καταγωγήν.

11 Μαρία δὲ εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω.

Υστέρησε γὰρ τοῦ Πέτρου καὶ Ἰωάννου, μὴ δυνηθεῖσα συντρέχειν αὐτοῖς, καὶ οὐδὲ στρεφομένοις (1) συνήντησε τούτοις, ἵνα καὶ μάθῃ τι βεβαιότερον.

11 Ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον· καὶ
12 θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς·

Περιβλήμασι, δηλονότι. Οὗτοι δὲ ἦσαν, οἱ καὶ πρότερον ὀφθέντες αὐτῇ τε καὶ ταῖς σὺν αὐτῇ. Καὶ πῶς οὐκ ἐφάνησαν οὗτοι τῷ Πέτρῳ καὶ Ἰωάννῃ; Ὅτι ἐκείνοις ἔμελλον ἀρκεῖν πρὸς πίστιν, ἃ ἐθεάσαντο, συνετωτέροις οὖσι.

(α) Λουκ. ΚΔ', 11. (β) Μακρ. ΙϚ', 12.
(1) Ἴσως, ἀναστρεφομένοις, ἢ, ὑποστρεφομένοις.

12 Καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ.

Εκάθηντο μὲν, δι' αὐτήν· φαιδροὶ δὲ φαιδρῶς, διὰ τὴν χαράν.

[Οἱ (1) τῷ τάφῳ τοῦ Χριστοῦ προσεδρεύοντες ἄγγελοι, πρὸς πίστωσιν παρέμενον καὶ διδασκαλίαν τοῦ ἐγηγέρθαι, ἀλλὰ μὴ κεκλέφθαι τὸν Κύριον.]

13 Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· Γύναι, τί κλαίεις;

Μὴ τολμώσης αὐτῆς ἐρωτῆσαι αὐτοὺς, αὐτοὶ διαλέγονται αὐτῇ.

13 Λέγει αὐτοῖς· Ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα, ποῦ ἔθηκαν αὐτόν.

Ωιετο γὰρ, ὑπὸ τῶν θαψάντων μετατεθῆναι αὐτόν.

14 Καὶ ταῦτα εἰποῦσα, ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα·

Καὶ πῶς, μήπω μηδὲν μαθοῦσα παρὰ τῶν ἐρωτησάντων, αἰφνίδιον ἐστράφη εἰς τὰ ὀπίσω; Ὅτι τοῦ Χριστοῦ ἄφνω φανέντος ὀπίσω αὐτῆς, οἱ ἄγγελοι τὸν δεσπότην ἑαυτῶν ἰδόντες, εὐθέως ἐξανέστησαν σύντρομοι, δουλοπρεπῶς ἀτενίζοντες εἰς αὐτόν. Ἐστράφη οὖν ἰδεῖν, τίς ὁ φανεὶς αὐτοῖς.

14 Καὶ οὐκ ᾔδει, ὅτι Ἰησοῦς ἐστι.

Εφάνη γὰρ αὐτῇ ἐν ἑτέρᾳ μορφῇ, καὶ ἐν εὐτελεστέρῳ καὶ κοινῷ σχήματι, ἵνα μὴ ἀθρόον καταπλαγῇ.

15 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἐκείνη, δοκοῦσα, ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι, ποῦ ἔθηκας αὐτὸν, κἀγὼ αὐτὸν ἀρῶ.

Από τε τοῦ κοινοῦ σχήματος, καὶ τοῦ εἶναι ἐν τῷ κήπῳ, ὑπέ-

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

λαβεν, ὅτι ὁ κηπουρός ἐστιν. Οὐδὲ γὰρ τὴν φωνὴν αὐτοῦ ἐγνώρισεν, ἀσυνήθη ἐνηχηθεῖσαν. Ὤετο δὲ, ὡς εἴρηται, μετατεθῆναι μὲν αὐτὸν εἰς ἕτερον τόπον ἀσφαλέστερον· βασταχθῆναι δὲ παρὰ τοῦ κηπουροῦ. *Εἰπέ μοι* οὖν, φησὶ, *ποῦ ἔθηκας αὐτὸν, κἀγὼ αὐτὸν ἀρῶ*, εἰς ἄλλον καταθήσουσα τόπον ἀνεπιβουλευτότερον.

[Ὁ μόνων (1) τῶν ἐν γενεᾷ καὶ φθορᾷ δημιουργὸν καὶ προνοητὴν νομίζων τὸν Κύριον, οὗτος εἰς κηπουρὸν παραγνωρίζει αὐτόν· διὸ καὶ φεύγει τούτου καὶ τὴν ἀφὴν ὁ δεσπότης, ὡς μήπω παρ' αὐτῷ ἀναβὰς πρὸς τὸ ἀξίωμα καὶ τὴν ἰσότητα τοῦ πατρός. Ἀνάξιοι γὰρ αὐτοῦ οἱ μετὰ τοιαύτης ὑπολήψεως αὐτῷ προσερχόμενοι.]

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μαρία. Στραφεῖσα ἐκείνη, λέγει αὐτῷ· Ῥαββουνὶ, (ὃ λέγεται, διδάσκαλε.)

Νῦν, καταστήσας τὴν φωνὴν καὶ τὴν μορφὴν καὶ τὸ σχῆμα πρὸς τὸ γνωριμώτερον, δέδωκεν αὐτῇ αἴσθησιν αὐτῶν· καὶ αὐτίκα τοῦτον ἐπιγνοῦσα, ἐβόησεν ὑπὸ περιχαρείας· *Διδάσκαλε!* Ἀλλὰ, πῶς στραφεῖσα λέγει, εἴγε πρὸς αὐτὸν διελέγετο; Διότι, εἰποῦσα, ὅπερ εἶπε, μετεστράφη πρὸς τοὺς ἀγγέλους ἰδεῖν, εἰ πάρεισιν, ἢ ἐρωτῆσαι, τίς ὁ ἐκπλήξας αὐτούς· εὐθὺς δὲ τοῦ Χριστοῦ καλέσαντος αὐτὴν, ἐστράφη πάλιν πρὸς αὐτόν.

17 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μή μου ἅπτου·

Ὥρμησε γὰρ ἅψασθαι τῶν ποδῶν αὐτοῦ, ὡς εἰώθει. Κωλύει δὲ αὐτὴν προσφέρεσθαι αὐτῷ τοῦ λοιποῦ, καθὼς τὸ πρότερον, θειοτέρας ἤδη τῆς σαρκὸς αὐτοῦ γενομένης.

17 Οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου·

Τοῦτο εἶπε δὲ οὐδὲν ἕτερον, ὡς ὁ Χρυσόστομός φησιν (2), ἢ μόνον, ἵνα γνῷ, ὅτι ὑψηλότερός ἐστι καὶ αἰδεσιμώτερος. Ὁ γὰρ μετὰ τοῦ σώματος σπεύδων ἀναβαίνειν πρὸς τὸν πατέρα καὶ θεὸν, πρόδηλον, ὅτι τὸ τοῦ σώματος ἐπίκηρον ἀπεβάλετο.

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.
(2) Τομ. Η. Σελ. 515. Α.

Καὶ μὴν πρὸ βραχέος αὕτη τε καὶ ἡ ἄλλη Μαρία ἐκράτησαν αὐτοῦ τοὺς πόδας, ὡς ἱστόρησεν ὁ Ματθαῖος (α)· ἀλλὰ τότε μὲν οὐκ ἀπεκώλυσε, παρέχων πληροφορηθῆναι διὰ τῆς ἀφῆς, ὅτι οὐκ ἔστι φάσμα· νῦν δὲ οὐ συγχωρεῖ, διότι τῆς ὀπτασίας ἐκείνης καὶ τῆς ἀφῆς ἐπελάθετο καὶ ἠπίστησεν.

17 Πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν.

Καὶ μὴν οὐκ εὐθέως ἔμελλεν ἀναβαίνειν, ἀλλὰ μετὰ τεσσαράκοντα ἡμέρας, πῶς οὖν *Ἀναβαίνω* λέγει; Πάντως ἐπὶ πλέον ἀνάγων αὐτῆς τὴν διάνοιαν, καὶ ἔτι βεβαιῶν, ὅτι ὑψηλότερός ἐστι καὶ θειότερος, καὶ πείθων αἰδεσιμώτερον αὐτῷ τοῦ λοιποῦ προσέχειν.

Ἄλλως τε τὸ, *Ἀναβαίνω*, δηλοῖ καὶ τὸ, Βούλομαι ἀναβαίνειν, δυνάμενον εἰς πλείονα καιρὸν ἐκτείνεσθαι.

Ἀναμιμνήσκει δὲ τοὺς μαθητὰς, οὓ πολλάκις εἶπεν αὐτοῖς, πρὸ τοῦ παραδοθῆναι. *Ἀδελφοὺς* δὲ αὐτοὺς ὠνόμασεν, ὡς καὶ αὐτὸς ἄνθρωπος, καὶ συγγενὴς αὐτῶν κατὰ τὸ ἀνθρώπινον.

Ἑτέρως δὲ πατέρα ἑαυτοῦ τὸν πατέρα εἶπε, καὶ ἑτέρως τῶν μαθητῶν· ἑαυτοῦ μὲν, φύσει, ὡς ὁμοουσίου· τῶν μαθητῶν δὲ, τῷ λόγῳ τῆς δημιουργίας καὶ προνοίας, ὡς δημιουργημάτων καὶ προνοίας ἀξιουμένων. Θεὸν δὲ καὶ ἑαυτοῦ καὶ τῶν μαθητῶν, ὡς ἀνθρώπων.

Καὶ πῶς οὐχ ἁπλῶς εἶπε, *Καὶ θεὸν ἡμῶν*, ἀλλὰ κἀνταῦθα διέστειλεν ἑαυτόν; Διότι, εἰ καὶ ἄνθρωπος γέγονε, καὶ ἀδελφὸς αὐτῶν τῇ φύσει τῆς ἀνθρωπότητος, ἀλλὰ πολὺ διέφερεν αὐτῶν τῇ τιμῇ, διά τε τὴν ἕνωσιν τῆς θεότητος, καὶ διὰ τὸ ἀναμάρτητον.

18 Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ, ἀπαγγέλλουσα τοῖς

(α) Ματθ. ΚΗ. 9.

μαθηταῖς, ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν
αὐτῇ.

Καὶ ὅτι *ταῦτα εἶπεν αὐτῇ*, ἃ δηλονότι λελάληκεν αὐτῇ. Ἐπεὶ δὲ εἰκὸς, τοὺς μαθητὰς, ἀκούσαντας ταῦτα, ἢ διαπιστεῖν τῇ γυναικὶ, καθάπερ καὶ πρότερον, ἢ, πιστεύσαντας, (οἷα καὶ τοῦ Πέτρου καὶ Ἰωάννου συντιθεμένων, ἀφ' ὧν εἶδον,) ἀλγεῖν, ὅτι αὐτοὶ οὐκ ἠξιώθησαν ὄψεως αὐτοῦ, αὐθημερὸν ἐμφανίζεται καὶ αὐτοῖς. Πρῶτον μὲν γὰρ ἐγύμνασε τὸν πόθον αὐτῶν· εἶτα ποθεινότερον ἑαυτὸν παρέσχεν αὐτοῖς, διψῶσιν ἤδη αὐτόν.

19 Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ, τῇ μιᾷ τῶν σαβ-
βάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ
μαθηταὶ συνηγμένοι, διὰ τὸν φόβον τῶν Ἰουδαίων,
ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον,

Εσπέρας ἦλθεν, ὅτε μᾶλλον ἐφοβοῦντο, καὶ ὅτε *συνήγοντο*· καὶ τὰς μὲν θύρας οὐκ ἐπάταξεν, ἵνα μὴ θορυβηθῶσιν, κεκλεισμένων δὲ εἰσῆλθεν, ὡς Θεὸς, καὶ ὡς λεπτοῦ ἤδη καὶ κούφου καὶ ἀκηράτου γενομένου τοῦ σώματος αὐτοῦ. Ἔστη δὲ εἰς τὸ μέσον, ἵνα πᾶσιν εἴη θεατός.

19 Καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.

Τουτέστι, μὴ ταράχθητε. Καὶ ἀποθνήσκων δὲ, εἰρήνην ἀφῆκεν αὐτοῖς· *Εἰρήνην γάρ*, φησιν, *ἀφίημι ὑμῖν* (α). Ταῖς μὲν οὖν μαθητρίαις χαρὰν πρὸ παντὸς λόγου δέδωκεν αὐταῖς· λύπην γὰρ τὸ γένος ἐκεῖνο κατεκέκριτο· τοῖς δὲ μαθηταῖς, εἰρήνην, διὰ τὸν ὑποπτευόμενον πόλεμον, ἀπό τε Ἰουδαίων καὶ Ἑλλήνων.

20 Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν
πλευρὰν αὐτοῦ.

Ζήτησον ἐν τῷ τελευταίῳ κεφαλαίῳ τοῦ κατὰ Λουκᾶν τό· *Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ*, καὶ τὰ ἑξῆς (β), ἄχρι τοῦ· *Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων* (γ)· καὶ ἀνάγνωθι τὰς ἐξηγήσεις αὐτῶν, πάνυ χρησιμευσούσας πρὸς τὰ παρόντα.

(α) Ἰωαν. ΙΔ', 27. (β) Λουκ. ΚΔ', 35. (γ) Λουκ. ΚΔ', 41.

20 Ἐχάρησαν οὖν οἱ μαθηταὶ, ἰδόντες τὸν Κύριον.

Ορᾷς, ἐπὶ τῶν ἔργων τοὺς λόγους ἐκβαίνοντας; Πρὸ τοῦ σταυροῦ γὰρ εἶπεν αὐτοῖς· ὅτι *Πάλιν ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία* (α).

21 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν.

Μετὰ τὸ φαγεῖν τὸ ἐπιδοθὲν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσείου κηρίου, καθὼς ἔγραψε Λουκᾶς (β), ἐπληροφορήθησαν· καὶ λοιπὸν ὑπὸ πολλῆς χαρᾶς, ὡς εἰκὸς, θορυβοῦντας καταστέλλει, ἵνα προσέχωσιν, οἷς μέλλει ἐρεῖν.

21 Καθὼς ἀπέσταλκέ με ὁ πατὴρ, κἀγὼ πέμπω ὑμᾶς.

Καὶ πρὸ τοῦ σταυροῦ εἴρηκε πρὸς τὸν πατέρα· ὅτι *Καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον* (γ)· καὶ ἀνάγνωθι τὰ ἐκεῖ ῥηθέντα. Ἐπῆρεν οὖν αὐτῶν τὰς ψυχὰς, ἐγχειρίσας αὐτοῖς τὸ ἴδιον ἔργον, καὶ καταστήσας διαδόχους ἑαυτοῦ.

22 Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λά-
23 βετε πνεῦμα ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας,
ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται.

Καὶ μὴν ὀπίσω εἴρηκεν· ὅτι *Ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς* (δ)· πῶς οὖν ἐνταῦθα δίδωσι Πνεῦμα ἅγιον; Ἐνεφύσησε μὲν, ἐμπνέων αὐτοῖς χάριν δεκτικὴν τοῦ ἁγίου Πνεύματος, καὶ κατασκευάζων ἐπιτηδείους εἰς ὑποδοχὴν αὐτοῦ· λέγει δὲ, *Λάβετε Πνεῦμα ἅγιον*, οὐ τότε, ἀλλ' ὅτε κατέλθῃ.

Ἢ, *Πνεῦμα ἅγιον*, ἐκάλεσε, τὸ πνευματικὸν χάρισμα τοῦ ἀφιέναι καὶ δεσμεῖν ἁμαρτίας. Διαφόρων γὰρ ὄντων πνευμα-

(α) Ἰωαν. Ιϛ', 22. (β) Λουκ. ΚΔ', 42. (γ) Ἰωαν. ΙΖ', 18.
(δ) Ἰωαν. Ιϛ', 7.

τικῶν χαρισμάτων, τοῦτο τηνικαῦτα δέδωκεν αὐτοῖς, μεῖζον ὂν καὶ τῶν σημείων. Τῷ παραλυτικῷ γὰρ εἰπόντος· *Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου* (α)· ἔλεγον οἱ γραμματεῖς· *Τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς, ὁ θεός;*

Καὶ μὴν καὶ πρὸ τοῦ σταυροῦ εἴρηκεν αὐτοῖς (β)· *Ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ·* ἀλλὰ τότε μὲν ὑπέσχετο αὐτοῖς τοῦτο, νῦν δὲ δίδωσι.

Ζήτησον δὲ περὶ τὰ μέσα τοῦ ἐννάτου κεφαλαίου τοῦ παρόντος εὐαγγελιστοῦ τό· *Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη* (γ)· καὶ ἀνάγνωθι τὴν ὅλην ἐξήγησιν αὐτῶν.

Ἐνεφύσησε μὲν οὖν, ὡς πηγὴ χαρισμάτων, καὶ ἵνα μάθωμεν κἀντεῦθεν, ὅτι αὐτός ἐστιν ὁ καὶ τὸ πρῶτον καὶ ζωτικὸν ἐμφύσημα ἐμφυσήσας τῷ Ἀδάμ. *Κράτησιν* δὲ νόει, τὴν δῆσιν, τὴν ἀσυγχωρησίαν. Καθάπερ οὖν βασιλεὺς, στρατηγοὺς ἀποστέλλων (1), οὕτω τοὺς μαθητὰς παραβάλλει (2) πρὸ πάντων τῇ τοιαύτῃ δυνάμει.

[Οἱ (3) διὰ τὸν φόβον τῶν δαιμόνων ἐν τῷ ὕψει τῶν θείων θεωρημάτων ἀσφαλῶς βεβηκότες, καὶ, θυρῶν δίκην, τὰς αἰσθήσεις μύσαντες, παραγινόμενον ἀγνώστως δέχονται τὸν τοῦ θεοῦ λόγον, ἄνευ τῆς κατ' αἴσθησιν ἐνεργείας ἐπιφαινόμενον αὐτοῖς, καὶ δωρούμενον ἀπάθειαν μὲν, διὰ τῆς εἰρήνης, Πνεύματος δὲ ἁγίου χάριν, διὰ τῆς ἐμπνεύσεως, καὶ δεικνύοντα τὰ σύμβολα τῶν μυστηρίων αὐτοῦ.]

24 Θωμᾶς δὲ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος,
οὐκ ἦν μετ' αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς.

Εἰκὸς γὰρ αὐτὸν μετὰ τὸ διασκορπισθῆναι τοὺς μαθητὰς,

(α) Ματθ. Θ', 2. Μαρκ. Β', 5. 7. (β) Ματθ. ΙΗ', 18. (γ) Ἰωαν Ζ', 39.

(1) Ἐκ τῆς μεταφράσεως τοῦ Ἑντενίου γεννᾶται ἡ ὑποψία, ὅτι ἐν τῷ χειρογράφῳ αὐτοῦ ἀνεγινώσκετο, περιςέλλων, τ. ε. παρασκευάζων, εὐτρεπίζων, συγκροτῶν. (2) Ισως, περιβάλλει. (3) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

ἀφέντας τὸν διδάσκαλον καὶ φυγόντας, μήπω συνελθεῖν αὐτοῖς.

[Εἰ καὶ ἀπῆν ὁ Θωμᾶς (1), ὅμως διὰ τῶν ἀδελφῶν τῶν (2) ἀποστόλων μετέλαβε καὶ αὐτὸς τῆς χάριτος τοῦ ἐμφυσηθέντος αὐτοῖς ἁγίου Πνεύματος, ὡς ὁ ἐν ἁγίοις Κύριλλος εἴρηκε (3). Τινὲς δὲ λέγουσιν, ὅτι ὕστερον, μετὰ τὸ ἰδεῖν τὰς χεῖρας καὶ τὴν πλευρὰν τοῦ Σωτῆρος, καὶ πιστεῦσαι περὶ τῆς ἀναστάσεως, ἔλαβε καὶ αὐτὸς τὴν τοιαύτην χάριν, ἵνα μηδ' ἐν τούτῳ λείπηται τῶν συναποστόλων.]

25 Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· Ἑωράκαμεν
τὸν Κύριον.

Ελεγον αὐτῷ, ἐλθόντι πρὸς αὐτούς.

25 Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐ-
τοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν
μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά
μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

Ωσπερ τὸ ἁπλῶς καὶ ὡς ἔτυχε πιστεύειν, εὐκολίας ἐστίν· οὕτω καὶ τὸ πέραν τοῦ μέτρου περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, παχυτάτης διανοίας ἐστί. Διὰ τοῦτο καὶ ὁ Θωμᾶς ἐγκαλεῖται. Τοῖς γὰρ συμμαθηταῖς, ἀξιοπίστοις οὖσι, καὶ διαβεβαιουμένοις, οὐκ ἐπίστευσεν· οὐ τοσοῦτον ἐκείνοις ἀπιστῶν, ὅσον ἀδύνατον τὴν ἀνάστασιν ταύτην νομίζων. Ζητεῖ γὰρ αὐαὐτὸς ἰδεῖν αὐτόν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸν τύπον τῶν ἥλων· καὶ οὐ μέχρι τούτων ἵστησι τὸ περίεργον, ἀλλὰ καὶ βαλεῖν τὸν δάκτυλον εἰς τὸν τύπον τῶν ἥλων, καὶ τὴν χεῖρα εἰς τὴν πλευρὰν αὐτοῦ, μήποτε φάσμα εἴη. Μεμάθηκε γὰρ, ὡς ἔοικε, παρὰ τῶν συμμαθητῶν, ὅτι ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Τὴν ἀφὴν οὖν πιστοτέραν ποιεῖται τῆς ὄψεως.

(1) Καὶ ταῦτα παρομοίως. (2) Τὸ, τῶν, λείπει παρὰ τῷ Α.

(3) Τομ. Δ'. Σελ. 1100. Α. Σελ. 1101. Α.

26 Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν.

Ἔσω τοῦ καταγωγίου αὐτῶν, ὅπου συνήγοντο.

26 Ἔρχεται ὁ Ἰησοῦς, τῶν θυρῶν κεκλεισμένων,

Ἔρχεται πληροφορήσων τὸν ἀπιστοῦντα· καὶ οὐδὲ τὸν ἕνα περιορᾷ, καίτοι τῶν ἄλλων ὄντα παχύτερον εἰς διάνοιαν. Καὶ τίνος ἕνεκεν οὐχ, ὅτε ἐζήτησε τὰ ῥηθέντα ὁ Θωμᾶς, τότε τοῦτον ἐπληροφόρησεν, ἀλλὰ μεθ' ἡμέρας ὀκτώ; Ἵνα ἐν τῷ μέσῳ κατηχούμενος ὑπὸ τῶν μαθητῶν, εὐπειθέστερος πρὸς πίστιν γένηται.

26 Καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν· Εἰρήνη ὑμῖν.

Ὥσπερ καὶ πρότερον. Πάντα γὰρ ποιεῖ πάλιν, ὅσα καὶ ἀπόντος αὐτοῦ πεποίηκεν.

27 Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου·

Μηδὲν εἰπόντος τοῦ Θωμᾶ, προλαμβάνει, καὶ ἅπερ ἐζήτει, δίδωσι, δεικνὺς, ὅτι καὶ ὅτε ταῦτα ἔλεγε, παρῆν τε καὶ ἤκουεν, ὡς Θεός. Καὶ γὰρ τοῖς αὐτοῖς ἐχρήσατο ῥήμασι.

27 Καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

Μεμφόμενος τοῦτό φησιν, ὡς ἐξ ἀπιστίας, οὐκ ἐξ ἀκριβείας, ἀντιτείνοντος.

28 Καὶ ἀπεκρίθη Θωμᾶς, καὶ εἶπεν αὐτῷ· Ὁ Κύριός μου καὶ ὁ θεός μου!

Ἰδὼν ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ τὴν πλευρὰν αὐτοῦ νενυγμένην, αὐτίκα ἐπίστευσε, μὴ ἀναμείνας ψηλαφῆσαι. Τινὲς δέ φασιν, ὅτι ψηλαφήσας ἐβόησεν· *Ὁ Κύριός μου καὶ ὁ θεός μου!*

29 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες.

Ὅ,τε γὰρ Πέτρος καὶ Ἰωάννης, μήπω ἰδόντες αὐτὸν, ὅμως ἀπὸ τῶν ὀθονίων καὶ τοῦ σουδαρίου ἐπίστευσαν, ὅτι ἀνέστη. Καὶ οἱ ἄλλοι δὲ μαθηταὶ μετὰ τοῦτο, τοῦ Πέτρου ἰδόντος αὐτὸν, καὶ ἀναγγείλαντος αὐτοῖς, μήπω ἰδόντες αὐτὸν, ἐπίστευσαν. *Εὗρον γάρ*, φησιν ὁ Λουκᾶς, *συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας· Ὅτι ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι* (α).

Καὶ πῶς, ὅτε ἐφάνη αὐτοῖς, φησὶν ὁ αὐτὸς εὐαγγελιστής· ὅτι *Πτοηθέντες καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦμα θεωρεῖν*, καὶ τὰ ἑξῆς (β); καί· ὅτι *Ἔτι ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· Ἔχετέ τι βρώσιμον ἐνθάδε*, καὶ τὰ λοιπά (γ); Διότι ταῦτα τότε πεπόνθασιν, οὐκ ἀπιστοῦντες, ὅτι ἀνέστη, ἀλλ' ἀμφιβάλλοντες, εἰ αὐτός ἐστιν ὁ φαινόμενος αὐτοῖς, καὶ ἀκριβολογούμενοι.

Συμπαραλαμβάνει δὲ ὁ μακαρισμὸς καὶ τοὺς διὰ τοῦ κηρύγματος πιστεύοντας. Ὅταν οὖν τις λέγῃ· Μακάριοι οἱ κατ' ἐκείνους τοὺς καιροὺς ὄντες, καὶ ἰδόντες τὸν Χριστόν· ἐννοείτω, ὅτι *Μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες.*

Ἀλλὰ, πῶς σῶμα ἄφθαρτον, τύπους εἶχε πληγῶν, καὶ ἁφῇ ὑπέπιπτε; Πῶς; Ὑπερφυῶς τε καὶ οἰκονομικῶς. Καὶ γὰρ καὶ ἔφαγε καὶ ἔπιε, πρὸς πληροφορίαν τῶν μαθητῶν.

30 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ.

Τὰ μετὰ τὴν ἀνάστασιν πάντως λέγει. Διὰ τοῦτο γὰρ εἶπεν, ὅτι *Ἐνώπιον τῶν μαθητῶν αὐτοῦ.* Ὥσπερ γὰρ πρὸ τῆς ἀναστάσεως ἔδει πολλὰ γενέσθαι, ἵνα πιστεύσωσιν, ὅτι υἱός ἐστι τοῦ θεοῦ· οὕτω καὶ μετὰ τὴν ἀνάστασιν, ἵνα πληροφορηθῶσιν, ὅτι ἀνέστη.

(α) Λουκ. ΚΔ', 33, 34 (β) Λουκ. ΚΔ', 37. (γ) Λουκ. ΚΔ', 41.

Ἠ καὶ κοινὸς ὁ λόγος περί τε τῶν πρὸ τῆς ἀναστάσεως, καὶ περὶ τῶν μετὰ τὴν ἀνάστασιν.

31 Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ·

Οὐ πρὸς φιλοτιμίαν, φησὶν, ἐγράψαμεν· ἦ γὰρ ἂν καὶ ἄλλα ἐγράψαμεν, πολλῶν ὄντων· ἀλλὰ πρὸς χρείαν μόνην, ἵνα πιστεύσητε, ὅτι Ἰησοῦς οὗτος ἐστὶν ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ, ὁ ὑπὸ τῶν προφητῶν καταγγελλόμενος.

31 Καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

Τουτέςι, δἰ αὐτοῦ· αὐτὸς γάρ ἐςιν ἡ ζωή· ζωὴν δὲ, αἰώνιον.

ΚΕΦ. XXI, 1 Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος·

Οὐ γὰρ διόλου συνῆν αὐτοῖς, ὡς τὸ πρότερον, ἀλλ᾽ ἐκ διαλείμματος ἐπεδήμει. Τὸ δὲ, *ἐφανέρωσε*, καὶ, *ἐφάνη*, καὶ, *ὤφθη*, καὶ τὰ τοιαῦτα, ὑποφαίνουσιν, ὅτι κατὰ τὴν φύσιν τῆς ἀφθαρσίας τοῦ σώματος ἀφανὴς ἦν φθαρτοῖς ὀφθαλμοῖς· συγκαταβατικῶς δὲ καὶ οἰκονομικῶς ἐφανεροῦτο. Ἡ θάλασσα δὲ αὕτη, ἐν τῇ Γαλιλαίᾳ ἦν. Ἀναθαῤῥήσαντες γὰρ ἀπῆλθον ἐκεῖ.

1 Ἐφανέρωσε δὲ οὕτως·

Ὡς ἐρεῖ.

2 Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς, ὁ λεγόμενος
Δίδυμος, καὶ Ναθαναὴλ, ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας,
καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν
3 αὐτοῦ δύο. Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω
ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ὑμεῖς
σὺν σοί.

Μήτε γὰρ τοῦ Σωτῆρος διόλου συνόντος αὐτοῖς, ὡς εἴρηται, μήτε τοῦ ἄλλου παρακλήτου ἐλθόντος, μήτε τοῦ κηρύγματος, ἐντελῶς ἐγχειρισθέντος αὐτοῖς, οὐδὲν ἔχοντες πράττειν, λοιπὸν

ἡλίευον, τὴν προτέραν μετερχόμενοι τέχνην, εἰ καὶ μὴ φιλοκερδῶς, ὡς τὸ πρίν.

3 Ἐξῆλθον, καὶ ἐνέβησαν εἰς τὸ πλοῖον εὐθύς·

Εἰς τὸ τοῦ Πέτρου, ἢ τὸ τῶν υἱῶν Ζεβεδαίου, ἤ τινος τῶν γνωρίμων.

3 Καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν.

Κατ᾽ οἰκονομίαν, ὡς ἐροῦμεν προϊόντες. Εἰκὸς δὲ καὶ τοὺς ἄλλους μαθητὰς, ὡς ὁ Χρυσόςομος (1) εἴρηκεν, ἔξω (2) ἀκολουθεῖν, χάριν τε ἀγάπης καὶ θέας τὴν σχολὴν εὖ διατιθεμένους, καὶ συνδιανυκτερεύειν αὐτοῖς.

4 Πρωΐας δὲ ἤδη γενομένης, ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ, ὅτι Ἰησοῦς ἐστι.

Ἴσως τοῦ εἴδους αὐτοῦ λαμπροτέρου φαινομένου, διὰ τὴν ἀφθαρσίαν, ἢ κατ᾽ οἰκονομίαν ἀγνοουμένου αὐτοῖς.

5 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μή τι προσφάγιον ἔχετε;

Παιδία τούτους ἐκάλεσε, τῇ συνηθείᾳ χρησάμενος. Ἔθος γὰρ τοὺς ἐργατικοὺς οὕτως ὀνομάζειν, διὰ τὸ πρὸς τοὺς πόνους ἀκμαῖόν τε καὶ νεανικὸν αὐτῶν. Διαλέγεται δὲ αὐτοῖς, ὡς θέλων δῆθεν παρ᾽ αὐτῶν ὠνεῖθαί τι.

5 Ἀπεκρίθησαν αὐτῷ· Οὔ. Ὁ δὲ εἶπεν αὐτοῖς· Βά-
6 λετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ
εὑρήσετε.

Καὶ οὔπω συνῆκαν, ὅτι αὐτός ἐστιν. Ἐχρῆν δὲ συνιέναι. Πῶς γὰρ ἂν κοινὸς ἄνθρωπος εἰδείη, ὅτι, βάλλοντες εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου, εὑρήσουσι; Ῥητῶς δὲ εἰς τὰ δεξιὰ βαλεῖν ἐπέταξεν, ἵνα μὴ κατὰ τύχην ἡ ἄγρα δόξῃ.

(1) Τομ. Η'. Σελ. 521. Α. (2) ἔξωθεν, παρὰ τῷ Β.

6 Ἔβαλον οὖν·

Ἁπλῶς ὑπακούσαντες, ἢ καὶ ὑποπτεύσαντες, αὐτὸν τεκμηρίῳ τινὶ γνῶναί τινας ἰχθύας ἐκεῖ διανηχομένους, ἢ καὶ ἰδεῖν ἀναπηδήσαντας.

6 Καὶ οὐκέτι αὐτὸ ἑλκῦσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.

Ἀπόντος μὲν τοῦ Σωτῆρος, οὐδὲν ἐπίασαν· παρόντος δὲ, πλῆθος συνέκλεισαν· ἵνα γνῶμεν, ὅτι χωρὶς μὲν αὐτοῦ, οὐδὲν ὠφέλιμον ἀνύομεν· σὺν αὐτῷ δὲ, πολλά. Χρὴ τοίνυν ταῖς ἐν-τολαῖς αὐτοῦ πειθομένους πονεῖν, καὶ βάλλειν εἰς τὰ δεξιά· τοῦτο γὰρ τὸ μέρος ἐπαινετόν.

Ζήτησον καὶ ἐν τῷ ἑνδεκάτῳ κεφαλαίῳ τοῦ κατὰ Λουκᾶν, τό· *Ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι*, καὶ τὰ ἑξῆς (α)· καὶ ἀνάγνωθι τὴν ἐξήγησιν αὐτῶν. Εὑρήσεις γὰρ ἀναγωγὴν πάνυ τοῖς πα-ροῦσιν ἁρμόζουσαν.

7 Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· Ὁ Κύριός ἐστι.

Τοῦτο συνεὶς ἀπὸ τῆς εὐτυχίας, καὶ τοῦ συγκεκλεῖσθαι τοὺς ἰχθύας, ὥσπερ ἐξ ἐπιτάγματος.

7 Σίμων οὖν Πέτρος, ἀκούσας, ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο· ἦν γὰρ γυμνός· καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν.

Διορατικώτερος μὲν ὁ Ἰωάννης, περιουσίᾳ καθαρότητος· θερ-μότερος δὲ ὁ Πέτρος, σφοδρότητι φίλτρου. Διὸ γνωρίζει μὲν αὐτὸν ὁ Ἰωάννης, πρὸ τοῦ Πέτρου· ἔξεισι δὲ πρὸς αὐτὸν ὁ Πέτρος, πρὸ τοῦ Ἰωάννου. Ἀκούσας γὰρ μόνον, *Ὅτι ὁ Κύριός ἐστι*, ῥίπτει τὰ ἐν χερσὶν εὐθέως, καὶ μὴ ἀναμείνας τῷ πλοια-ρίῳ ἐξελθεῖν, βάλλει ἑαυτὸν εἰς τὴν θάλασσαν, διὰ τὸ τά-χος τῆς ἐξελεύσεως.

(α) Λουκ. Ε', 10.

Τὸν ἐπενδύτην δὲ, χιτώνιόν τί φασιν ἀχειρίδωτον, ἄχρι γονάτων περιστέλλον. Σύνηθες δὲ τοῦτο τοῖς θαλαττεύουσιν, εὐ-κινησίαν ἅμα καὶ εὐσχημοσύνην αὐτοῖς παρὰ τῷ ὕδατι περιποι-ούμενον. Γυμνὸς μὲν οὖν ἦν τῆς ἄλλης στολῆς αὐτοῦ· τοῦτον δὲ μόνον ἐπὶ τοῦ σώματος ἐνεδέδυτο ἄζωστον· ἀνάξιον γὰρ, εἶναι αὐτὸν πάντη γυμνὸν, διὰ τὴν ἀσχημοσύνην. Ἐζώσατο δὲ αὐτὸν, αἰδοῖ του Κυρίου.

8 Οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, (οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν δια-κοσίων,) σύροντες τὸ δίκτυον τῶν ἰχθύων.

Ἦλθον, ἐφελκόμενοι τοὺς σύροντας τὸ δίκτυον σχοίνους.

9 Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον.

Τὸ μὲν ὀψάριον, τῇ ἀνθρακιᾷ ἐπικείμενον· τὸν δὲ ἄρτον, ἰδίᾳ παρακείμενον, ἐξ οὐκ ὄντων πάντα πάντως παρηγμένα, ἵνα κἀν-τεῦθεν δείξῃ τὴν δύναμιν αὐτοῦ, καὶ πεπονηκότας αὐτοὺς ἀνα-κτήσηται φιλοστόργως διὰ τροφῆς.

10 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψα-ρίων, ὧν ἐπιάσατε νῦν.

Ὡς εἰδὼς, ὅτι ἐπίασαν, λέγει. Καὶ γὰρ καὶ πρὶν, ὡς εἰδὼς, ὅτι πιάσουσιν, εἶπε· *Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε*· καὶ ἵνα μὴ φαντασία δόξῃ τὸ πρᾶγμα, καὶ ὅπως, ἰδόντες καὶ τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν ἰχθύων, καὶ τὸ πῶς ἐκ ἐσχίσθη τὸ δίκτυον, θαυμάσωσι πλέον.

11 Ἀνέβη Σίμων Πέτρος,

Ἀνέβη εἰς τὸ πλοῖον, ὡς ἐμπειρότερος, ἑπομένων αὐτῷ καὶ ἄλλων δηλονότι.

11 Καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκοντατριῶν·

Φασί τινες, διὰ τῶν ἑκατὸν μὲν, ὑποδηλοῦσθαι τοὺς ἐξ ἐθνῶν σαγηνευθησομένους· διὰ τῶν πεντήκοντα δὲ, τοὺς ἐξ Ἰουδαίων·

πλείους γὰρ οἱ ἐξ ἐθνῶν τῶν ἐξ Ἰουδαίων· διὰ τῶν τριῶν δὲ, τὴν ἁγίαν Τριάδα, εἰς ἣν πιστεύουσιν.

11 Καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον.

Οὐχ ὡς ἰσχυρὸν, ἀλλ' ὡς τοῦ Κυρίου τοῦτο δυναμώσαντος.

12 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε, ἀριστήσατε.

Τῆς ὥρας τοῦ ἀρίστου ἤδη ἐπιστάσης. Ἔμελλε γὰρ τοὺς πόνους αὐτῶν διαδέχεσθαι ἀνάπαυσις. Εἰκὸς δὲ καὶ ἐκ τῶν πιασθέντων ἰχθύων τινὰς ὀπτηθῆναι πρὸς ἑστίασιν ὅλων τῶν μαθητῶν, τοὺς λοιποὺς δὲ πένησι διανεμηθῆναι.

12 Οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν· Σὺ τίς εἶ; εἰδότες, ὅτι ὁ Κύριός ἐστιν.

Τὴν ὄψιν αὐτοῦ βλέποντες ἀλλοιοτέραν καὶ ἐκπληκτικωτάτην, ἐβούλοντο μὲν ἐρωτῆσαι, οὐκ ἐτόλμων δὲ, εἰδότες ἀπὸ τῶν εἰρημένων τεκμηρίων, ὅτι ὁ Κύριός ἐστιν.

13 Ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως.

Οὐκέτι ἀναβλέπει εἰς τὸν οὐρανὸν, οὐδὲ τὰ ἀνθρώπινα ἐκεῖνα ποιεῖ, δεικνύων, ὅτι κἀκεῖνα κατ' οἰκονομίαν ἐποίει.

14 Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

Πρῶτον μὲν, οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ (α), καθ' ἣν ἀνέστη· δεύτερον δὲ, μεθ' ἡμέρας ὀκτὼ (β)· τρίτον δὲ, νῦν. Φαίνεται οὖν, ὅτι μετὰ τοῦτο ἀνῆλθον οἱ μαθηταὶ εἰς τὸ ὄρος, οὗ ἐτάξατο αὐτοῖς (γ), ὅτε δηλαδὴ προετράπησαν αὖθις παρὰ τοῦ Κυρίου. Ἐφανερώθη μὲν οὖν καὶ ταῖς μαθητρίαις, καὶ τοῖς παρὰ τῷ Μάρκῳ δυσὶ (δ), καὶ τῷ Πέτρῳ, καὶ τοῖς περὶ Κλεόπαν (ε). Ἀλλὰ τοῖς μαθηταῖς ὁμοῦ, τοῦτο ἤδη τρίτον ἐφανερώθη. Οὐ γὰρ συνεχῶς αὐτοῖς ἐπεχωρίαζεν. Ἀλλ' ἔν-

(α) Ἰωαν. Κ', 19. (β) Ἰωαν. Κ', 26. (γ) Ματθ. ΚΗ', 16.
(δ) Μαρκ. Ιϛ', 12. (ε) Λουκ. ΚΔ', 18.

θα μὲν οὐκ εἶπεν, ὅτι καὶ αὐτὸς ἔφαγεν· οἶμαι δὲ, ὡς τοῦ Λουκᾶ καὶ τοῦτο δηλώσαντος ἐν τῇ βίβλῳ τῶν Πράξεων, ἔνθα φησὶν ὁ Πέτρος, ὅτι Συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν (α).

15 Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ· Ναὶ, Κύριε· σὺ οἶδας, ὅτι φιλῶ σε.

Σίμων, υἱὲ τοῦ Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον ἢ οὗτοι; Τοῦτον δὲ μόνον ἐρωτᾷ, ὡς κορυφαῖον καὶ στόμα τῶν μαθητῶν. Τίνος δὲ χάριν ἐρωτᾷ, ὃ οἶδεν, ἐροῦμεν προϊόντες.

15 Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου.

Τοὺς μαθητὰς, ἀρνία ἑαυτοῦ φησιν, ὡς ποιμὴν αὐτῶν, οὓς καὶ πρόβατα πάλιν καλεῖ. Ζητεῖ οὖν ἀπόδειξιν τῆς εἰς αὐτὸν ἀγάπης, τὴν ἐπιμέλειαν αὐτῶν· καὶ τὴν ψυχὴν αὐτοῦ, ἣν ἐπηγγείλατο θεῖναι ὑπὲρ τοῦ διδασκάλου, ταύτην ἀπαιτεῖ θεῖναι ὑπὲρ τῶν μαθητῶν.

16 Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ· Ναὶ, Κύριε· σὺ οἶδας, ὅτι φιλῶ σε.
17 Λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον· Φιλεῖς με; καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας· σὺ γινώσκεις, ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Βόσκε τὰ πρόβατά μου.

Ὁ μὲν Χριστὸς ἐκ τρίτου ἐρωτῶν, καὶ τὰ αὐτὰ ἐπιτάττων, ἐμφαίνει, ὅτι σφόδρα περὶ πολλοῦ τίθεται τὴν προστασίαν τῶν ἰδίων μαθητῶν, καὶ ταύτην ἁπάσης θεραπείας ἡγεῖται μείζονα· ὁ δὲ Πέτρος τὸ τριπλοῦν τῆς ἐρωτήσεως φοβηθεὶς, καὶ ὑποπτεύσας, μήποτε δοκῇ μὲν φιλεῖν, οὐ φιλεῖ δέ· καὶ γὰρ καὶ πρότερον ἐδόκει μὲν μηδέποτε ἀπαρνήσασθαι αὐτὸν, ἀπηρνή-

(ζ) Πραξ. Ι', 41.

σατο δέ· καὶ σωφρονέστερον αὐτὸν καὶ βελτίονα τὸ πάθος ἐκεῖνο πεποίηκεν· ἐλυπήθη, ἐταράχθη, ἐθορυβήθη· καὶ λοιπὸν αὐτὸν, ὡς πάντα πρὶν γενέσεως αὐτῶν εἰδότα, μάρτυρα ποιεῖται, καὶ λέγει· Σὺ πάντα οἶδας, καὶ τὰ νῦν, καὶ τὰ μέλλοντα, ὡς θεός· σὺ γινώσκεις, ὅτι φιλῶ σε νῦν ὁλοψύχως· καὶ οὐδὲν πλέον λέγει, τὸ μέλλον ἀγνοῶν. Καὶ γὰρ καὶ πρώην ἀντιτείνων ἠλέγχθη μάτην ἰσχυριζόμενος. *Ἀρνία* τοίνυν καὶ *πρόβατα* οἱ μαθηταὶ, διὰ τὸ ἄκακον καὶ πρόχειρον εἰς σφαγήν. Καὶ αὖθις, *ἀρνία* μὲν, οἱ ἀτελέστεροι· *πρόβατα* δὲ, οἱ τελειότεροι.

Πρότερον μὲν οὖν διὰ τῶν πικρῶν ἐκείνων δακρύων τῷ Πέτρῳ τὴν κηλῖδα τῆς ἀρνήσεως ἀπολουσαμένῳ, ἄρτι δὲ πάλιν ἀντὶ τῆς τριπλῆς ἀρνήσεως τριπλῆν ὁμολογίαν εἰσενεγκόντι, καὶ τότε μὲν ἔργῳ, νῦν δὲ λόγῳ, τὸ διὰ λόγου σφάλμα θεραπεύοντι, τὴν ποιμαντικὴν ἐγχειρίζει τῆς *οἰκουμένης*.

Εἶτα παραβολικῶς προμηνύει αὐτῷ καὶ τὸν διὰ σταυροῦ θάνατον, ᾧ τελειωθῆναι ἔμελλε, δεικνύων ἐντεῦθεν, ὅτι οὐκ ἀγνοῶν, οὐδὲ ἀπιστῶν αὐτῷ ἔλεγεν, ἅπερ ἔλεγεν· ἠπίστατο γὰρ πάνυ τὸ διάπυρον τῆς εἰς αὐτὸν ἀγάπης· ἀλλ᾽ ἵνα γνῷ καὶ αὐτὸς, καὶ πάντες, ὅτι σφόδρα περὶ πολλοῦ τίθεται τὴν προστασίαν τῶν ἰδίων μαθητῶν, ὡς ἀνωτέρω δεδήλωται.

18 Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν, καὶ περιεπάτεις ὅπου ἤθελες·

Ὅτε ἐτύγχανες ἀτελέστερος, ὑπὸ τὸν ἀτελέστερον νόμον, τὸν μωσαϊκὸν, κείμενος, ἡτοίμαζες σεαυτὸν, πρὸς ὃ ἐβούλου, καὶ διῆγες, ὡς ἤθελες.

18 Ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις.

Ὅταν δὲ τελειωθῇς εἰς ἄνδρα τέλειον (α), εἰς μέτρον ἡλικίας πνευματικῆς, ὑπὸ τοῦ τελείου νόμου, τοῦ εὐαγγελικοῦ, καταρτιζόμενος, ἐκτενεῖς τὰς χεῖράς σου ἐπὶ σταυροῦ, καὶ ἄλλος σε

(α) Ἐφεσ. Δ', 13.

σφίγξει τοῖς ἥλοις, καὶ ἀγάγῃ (1) εἰς θάνατον, ὃν, εἰ καὶ θέλεις τῇ προαιρέσει, οὐ θέλεις τῇ φύσει· συμπαθεῖ γὰρ ἡ ψυχὴ τῷ σώματι διὰ τὴν φύσιν, καὶ ἄκουσα ἀποῤῥήγνυται, τοῦτο τοῦ θεοῦ συμφερόντως οἰκονομήσαντος, καθὼς καὶ ἀλλαχοῦ δεδήλωται, ἵνα μὴ κατὰ περίστασιν εὐχερῶς ἀνέλωσιν ἑαυτοὺς οἱ ἄνθρωποι. Εἰ γὰρ καὶ τῆς ψυχῆς οὕτως ἰσχυρῶς ἀποστρεφομένης τὴν διάζευξιν τοῦ σώματος, ἰσχύει πολλάκις ὁ ἐχθρός τινας ἐργάζεσθαι φονεῖς ἑαυτῶν· εἰ μὴ τοῦτο ἦν, ταχέως ἂν οἱ πολλοὶ πρὸς ἀναίρεσιν ἑαυτῶν ἐχώρουν.

19 Τοῦτο δὲ εἶπε, σημαίνων, ποίῳ θανάτῳ δοξάσει τὸν θεόν.

Δόξα γὰρ οὐ μόνον τοῦ θνήσκοντος μαθητοῦ, ἀλλὰ καὶ τοῦ θεοῦ, ὁ διὰ τιμωρίας (2) θάνατος· τοῦ θνήσκοντος μὲν, ὅτι ὑπὲρ τοῦ θεοῦ θνήσκει· τοῦ θεοῦ δὲ, ὅτι τοιοῦτον ἔχει μαθητήν.

19 Καὶ τοῦτο εἰπὼν, λέγει αὐτῷ· Ἀκολούθει μοι.

Ἐντεῦθεν πάλιν δείκνυσιν, ὅτι πρὸ τῶν ἄλλων αὐτὸν οἰκειοῦται, καὶ μείζονος ἀξιοῖ τιμῆς, ἵνα καὶ προθυμότερος γένηται.

Εἰ δὲ λέγει τις, Πῶς οὖν Ἰάκωβος ἔλαβε τὸν θρόνον τῶν Ἱεροσολύμων; Ἐροῦμεν, ὅτι ὁ Πέτρος τῆς οἰκουμένης ἐχειροτονήθη διδάσκαλος. Περιπατούντων τοιγαροῦν τοῦ τε διδασκάλου καὶ τῶν μαθητῶν, εἶπεν, *Ἀκολούθει μοι*, σταυρούμενος καὶ αὐτὸς δηλονότι, καὶ τὸν ἴσον θάνατον ὑφιστάμενος.

20 Ἐπιστραφεὶς δὲ ὁ Πέτρος, βλέπει τὸν μαθητὴν, ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα·

Βαδίζοντα ὀπίσω τοῦ Πέτρου· ἔτυχε γὰρ τότε πλησίον αὐτοῦ περιπατῶν.

20 Ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε;

Ἐν τῷ δείπνῳ τῷ μυστικῷ, καθὼς ἐκεῖ δεδήλωται. Αναμι-

(1) Οὕτω παρ' ἀμφοτέροις τοῖς χειρογράφοις. Ἀλλ' ἴσως, ἄξει.
(2) Ἴσως, μαρτυρίου. Ὁ Κύριλλος Τομ. Δ'. Σελ. 1120. C. περὶ τοῦ αὐτοῦ πράγματος « τὴν εἰς αἷμα τιμωρίαν ἐπιθέντες αὐτῷ.»

μνήσκει δὲ ἡμᾶς ἐκείνης τῆς κατακλίσεώς τε καὶ ἐρωτήσεως, δεικνὺς, ὅσην ὁ Πέτρος παῤῥησίαν ἔσχε μετὰ τὴν ἐπὶ τῇ ἀρνήσει μετάνοιαν. Ὁ γὰρ τότε μὴ τολμῶν ἐρωτῆσαι, ἀλλὰ τῷ ἠγαπημένῳ χρησάμενος εἰς τοῦτο, οὗτος οὐ μόνον τὴν προστασίαν ἐπιστεύθη τῶν ἀδελφῶν, ἀλλὰ καὶ περὶ τοῦ ἠγαπημένου θαῤῥαλέως ἐρωτᾷ.

21 Τοῦτον ἰδὼν ὁ Πέτρος, λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί;

Οὐκ ἀκολουθήσει σοι; οὐ τὴν αὐτὴν ἡμῖν ὁδὸν τοῦ θανάτου βαδιεῖται; οὐχ ὁμοίως ἀποθανεῖται; Συνῆκε γὰρ, τί ὑπεδήλου τὸ, Ἀκολούθει μοι, καὶ σφόδρα φιλῶν τὸν Ἰωάννην, ἐβούλετο κοινωνὸν αὐτὸν τοῦ ἴσου θανάτου λαβεῖν· καὶ ὡς τοῦ Ἰωάννου μὴ τολμῶντος ἐρωτᾶν, αὐτὸς ἐρωτᾷ, καὶ τὴν ἀμοιβὴν ἀποδίδωσι. Τί οὖν ὁ Χριστός; Ἐκκόπτων τὴν μερικὴν φιλίαν, καὶ παιδεύων, μηδὲν περαιτέρω πολυπραγμονεῖν, καὶ ἐμφαίνων, ὅτι διαφόρως τὰ κατ' αὐτοὺς οἰκονομηθήσονται, φησί·

22 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν, ἕως ἔρχομαι, τί πρὸς σέ;

Ἐὰν αὐτὸν θέλω μένειν ζῶντα, ἕως ἔρχομαι, κατὰ τὴν δευτέραν μου παρουσίαν, τί πρὸς σὲ κοινόν;

22 Σὺ ἀκολούθει μοι.

Σὺ τὸν σὸν θάνατον σκόπει, μηδὲν τὸν ἐκείνου περιεργαζόμενος.

23 Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς,

Ποῖος λόγος;

23 Ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει.

Εἰκὸς γὰρ κἀκείνους ἀκούειν, ἃ πρὸς τὸν Πέτρον ἐῤῥήθησαν. Διεφημίσθη δὲ ὁ λόγος οὗτος, ἤγουν, ὅτι οὐκ ἀποθνήσκει, ὡς πλανηθέντων αὐτῶν, καὶ μὴ συνεωρακότων τὸν τοῦ λόγου σκοπόν. Εἶτα διορθοῦται τὴν ἐσφαλμένην φήμην.

23 Καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει· ἀλλ'· Ἐὰν αὐτὸν θέλω μένειν, ἕως ἔρχομαι, τὶ πρὸς σέ;

Ὅπερ οὐ δηλοῖ, ὅτι οὐκ ἀποθνήσκει, ἀλλ' ἕτερον ἔχει σκοπὸν, ὡς προείρηται. Τὶς οὖν ὑπολείπεται λόγος τοῖς ἐνισταμένοις, ὅτι οὐ τέθνηκεν, αὐτοῦ δὴ τούτου διαῤῥήδην βοῶντος, ὅτι πλανῶνται οἱ τοῦτο ὑπολαμβάνοντες;

24 Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν, ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ.

Καὶ οἴδαμεν, οἱ εἰδότες αὐτὰ, ὅτι ἀληθῶς μαρτυρεῖ. Φαίνεται γὰρ, ὅτι καὶ ἄλλοι ταῦτα ἐγίνωσκον. Ὡς οὖν σφόδρα θαῤῥῶν τῇ ἀληθείᾳ τοῦτό φησιν· ἔγνω γὰρ, ὅτι δόξει τισὶν ἴσως ὕποπτα λέγειν, διὰ τὸ μὴ μνημονευθῆναι ταῦτα παρὰ τῶν ἄλλων εὐαγγελιστῶν.

25 Ἔστι δὲ καὶ ἄλλα πολλὰ, ὅσα ἐποίησεν ὁ Ἰησοῦς.

Τοῦτο καὶ ἀνωτέρω περὶ τῶν σημείων εἶπεν (1).

25 Ἅτινα ἐὰν γράφηται καθ' ἓν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

Καθ' ὑπερβολὴν ὁ λόγος, ἐμφαίνων τὴν ὑπερβολὴν τοῦ πλήθους τῶν πεπραγμένων τῷ Κυρίῳ. Χρῶνται δὲ τῷ λόγῳ τῆς ὑπερβολῆς καὶ οἱ γράφοντες, καὶ οἱ λέγοντες, ὅταν ὑπερβολὴν πράγματος παραστῆσαι βουληθῶσιν. Οὗτος δὲ καὶ τὸ, *οἶμαι*, προσθεὶς, ἐκόλασε τὴν ὑπερβολὴν, καὶ παρεμυθήσατο τὸ δοκοῦν ἀπίθανον, ὑποδηλῶν, ὅτι διὰ τὸ παμπληθὲς αὐτῶν εἴρηκεν οὕτω. Καὶ ἄλλα μὲν οὖν πολλὰ ἐποίησεν, ὡς πάντα δυνάμενος· ῥᾴδιον γὰρ αὐτῷ τὸ ποιεῖν, ἢ ἡμῖν τὸ λέγειν· μόνα δὲ ἐγράφησαν τὰ πρὸς εὐσέβειαν καὶ πίστιν χρησιμώτερα καὶ ἀναγκαιότερα, ἐκεῖνο τῶν συγγεγραφότων ἐννοησάντων,

---

(1) Ἀναφέρεται εἰς Ἰωαν. Κ', 30.

ὡς ὁ μὴ τοῖς γραφεῖσι πιστεύων, οὐδὲ τοῖς πλείοσι προσέξει· ὁ δὲ ταῦτα δεξάμενος, ἑτέρων οὐ δεηθήσεται.

Οὐ χωρεῖ δὲ αὐτὰ ὁ εἰρημένος κόσμος, καὶ καθ' ἕτερον λόγον· οὐ διὰ πλῆθος συγγραμμάτων, ἀλλὰ διὰ μέγεθος πραγμάτων· οὐδὲ τόπῳ, ἀλλὰ τρόπῳ.

Γένοιτο δὲ ἡμᾶς, τελείους θεραπευτὰς τῆς παντελείου Τριάδος ἀναφανέντας, ἀγαθῷ τέλει καταλῦσαι τὸν βίον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

Τῷ συντελεστῇ τῶν καλῶν θεῷ χάρις. Ἀμήν.

ΤΕΛΟΣ

ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΥ.

ΚΕΦΑΛΑΙΑ
ΤΟΥ
ΚΑΤΑ ΜΑΡΚΟΝ
ΕΥΑΓΓΕΛΙΟΥ.

Σελ.

ΚΕΦΑΛΑΙΑ
ΤΟΥ
ΚΑΤΑ ΛΟΥΚΑΝ
ΕΥΑΓΓΕΛΙΟΥ.

Σελ.

Σελ.

ΚΕΦΑΛΑΙΑ
ΤΟΥ
ΚΑΤΑ ΙΩΑΝΝΗΝ
ΕΥΑΓΓΕΛΙΟΥ.